ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
16Α

ΥΠΟΜΝΗΜΑ ΣΤΙΣ ΠΡΑΞΕΙΣ
('Ομιλίες ΚΔ΄ – ΜΔ΄)

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ

'Από τὸν
ΕΛΕΥΘΕΡΙΟ Γ. ΜΕΡΕΤΑΚΗ
Θεολόγο


66	ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ	66

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς ἐκδόσεως

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1984

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΚΕΙΜΕΝΟ — ΜΕΤΑΦΡΑΣΗ

ΟΜΙΛΙΑ ΚΔ΄

(Πράξ. 10, 44 - 11, 18)

Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἔπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται· ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν.

1. Θέα τοῦ Θεοῦ τὴν οἰκονομίαν. Οὐκ ἀφῆκεν ἀπαρτισθῆναι τὸν λόγον, οὐδὲ ἐκ προστάγματος Πέτρου γενέσθαι τὸ βάπτισμα· ἀλλ' ἐπειδὴ τὴν διάνοιαν αὐτῶν ἔδειξαν θαυμαστὴν οὖσαν, καὶ τῆς διδασκαλίας ἀρχὴ γέγονε καὶ ἐπίστευσαν, ὅτι πάντως τὸ βάπτισμα ἄφεσίς ἐστιν ἁμαρτημάτων, τότε ἐπῆλθε τὸ Πνεῦμα. Τοῦτο δὲ γίνεται, προοικονομοῦντος ἀπολογίαν μεγάλην τῷ Πέτρῳ τοῦ Θεοῦ. Οὐχ ἁπλῶς δὲ τὸ Πνεῦμα λαμβάνουσιν, ἀλλὰ γλώσσας ἐλάλουν, ὅπερ καὶ ἐξέπληττε τοὺς συνελθόντας. Τί δήποτε δὲ οὕτως οἰκονομεῖται τὸ πρᾶγμα; Διὰ τοὺς Ἰουδαίους· καὶ γὰρ πάνυ ἀπεχθῶς εἶχον πρὸς αὐτό. Διὸ πανταχοῦ τοῦ Θεοῦ τὸ πᾶν γίνεται. Καὶ ὁ Πέτρος σχεδὸν ἁπλῶς πάρεστι παιδευόμενος, ὅτι

1. Πράξ. 10, 44 - 46

ΟΜΙΛΙΑ ΚΔ΄
(Πράξ. 10, 44 - 11, 18)

«Ἐνῶ μιλοῦσε ἀκόμα ὁ Πέτρος καὶ ἔλεγε τὰ λόγια αὐτὰ ἦρθε τὸ ἅγιο Πνεῦμα σ' ὅλους ἐκείνους ποὺ ἄκουαν τὸ λόγο του. Καὶ κυριεύθηκαν ἀπὸ ἔκπληξη οἱ ἐξ Ἰουδαίων πιστοὶ ποὺ εἶχαν λάβει τὴν περιτομὴ καὶ εἶχαν ἔρθει μαζὶ μὲ τὸν Πέτρο στὴν Ἰόππη, διότι ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος εἶχε ἐκχυθεῖ πλούσια καὶ στοὺς ἐξ ἐθνικῶν πιστοὺς ποὺ δὲν εἶχαν περιτμηθεῖ· διότι ἄκουαν αὐτοὺς νὰ μιλοῦν γλῶσσες ποὺ δὲν τὶς γνώριζαν προηγουμένως καὶ νὰ δοξολογοῦν τὸ Θεό»[1].

1. Πρόσεχε τὴν οἰκονομία τοῦ Θεοῦ. Δὲν ἄφησε νὰ τελειώσει ὁ λόγος τοῦ Πέτρου, οὔτε κατόπιν ἐντολῆς αὐτοῦ νὰ τελεσθεῖ τὸ βάπτισμα, ἀλλ' ὅταν αὐτοὶ ποὺ ἄκουαν τὸν λόγο τοῦ Πέτρου ἔδειξαν ὅτι ἡ διάνοιά τους ἦταν ἕτοιμη ν' ἀποδεχεῖ τὸ κήρυγμα καὶ ἔγινε ἔτσι ἡ ἀρχὴ τῆς διδασκαλίας, ἀφοῦ πίστεψαν αὐτοὶ ὅτι ὁπωσδήποτε τὸ βάπτισμα παρέχει ἄφεση ἁμαρτιῶν, τότε ἦρθε σ' αὐτοὺς τὸ ἅγιο Πνεῦμα. Αὐτὸ γίνεται ἐπειδὴ ὁ Θεὸς ἑτοίμαζε γιὰ τὸν Πέτρο σπουδαία ἀπολογία. Καὶ δὲν λαμβάνουν ἁπλῶς τὸ ἅγιο Πνεῦμα, ἀλλὰ καὶ μιλοῦν ξένες γλῶσσες, γεγονὸς ποὺ προξένησε ἔκπληξη σ' ὅλους ἐκείνους ποὺ συγκεντρώθηκαν ἐκεῖ. Καὶ γιὰ ποιὸ λόγο ρυθμίζεται τὸ θέμα αὐτὸ ἔτσι; Ἐξ αἰτίας τῶν Ἰουδαίων, οἱ ὁποῖοι ὑπερβολικὰ μισοῦσαν καὶ ἀπέφευγαν νὰ ἔρχονται σὲ σχέση μὲ τοὺς Ἐθνικούς· γι' αὐτὸ παντοῦ τὸ πᾶν γίνεται ἀπὸ τὸ Θεό. Ὁ Πέτρος κατὰ κάποιο τρόπο βρί-

δεῖ λοιπὸν αὐτοὺς ἅψασθαι τῶν ἐθνῶν· καὶ ὅτι δι' αὐτῶν δεῖ γενέσθαι τοῦτο. Καὶ μὴ θαυμάσῃς· ὅπου γὰρ μετὰ τοσαῦτα καὶ ἐν Καισαρείᾳ καὶ ἐν Ἱεροσολύμοις ἀμφισβήτησις γίνεται, τί οὐκ ἂν ἐγεγόνει, εἰ μὴ ταῦτα παρηκολούθησε; Διὰ τοῦτο καὶ μεθ' ὑπερβολῆς ταῦτα γίνεται.

Ὅρα δὲ πῶς καὶ ὁ Πέτρος, λαβὼν ἀφορμήν, ἀπολογεῖται. Ὅτι δὲ μετὰ τὴν ἀφορμὴν ἀποκρίνεται, ἄκουε τοῦ Εὐαγγελιστοῦ διηγουμένου καὶ λέγοντος· «Τότε ἀπεκρίθη ὁ Πέτρος· Μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς;». Εἶδες ποῦ τὸ πρᾶγμα ἀνήνεγκε, καὶ πῶς ὤδινεν ἐξενεγκεῖν τοῦτο; Οὕτω πάλαι τῆς γνώμης ταύτης ἦν. «Μή τι τὸ ὕδωρ», φησί, «κωλῦσαι δύναταί τις;». Σχεδὸν γὰρ ὥσπερ ἐπεμβαίνοντός ἐστι τοῖς κωλύουσι καὶ λέγουσιν ὅτι οὐ χρὴ τοῦτο γενέσθαι. Τὸ πᾶν γέγονε, φησί, τὸ ἀναγκαιότερον γέγονε, τὸ βάπτισμα, ὃ καὶ ἡμεῖς ἐβαπτίσθημεν.

«Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ». Μετὰ τὸ ἀπολογήσασθαι, τότε αὐτοῖς προσέταξε βαπτισθῆναι, παιδεύων αὐτοὺς διὰ τῶν πραγμάτων· τοσοῦτον ἀπεχθῶς εἶχον οἱ Ἰουδαῖοι. Διὰ τοῦτο πρότερον ἀπολογεῖται, καίτοι τῶν πραγμάτων βοώντων, καὶ τότε προσέταξε.

Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς». Ἐντεῦθεν εἰκότως θαρρεῖ λοιπὸν καὶ ἐπιμένει.

------

2. Πράξ. 10, 47
3. Πράξ. 10, 48
4. Πράξ. 10, 48

σκεται ἁπλῶς καὶ μόνο παρὼν διδασκόμενος ὅτι πρέπει πλέον οἱ Ἰουδαῖοι νὰ ρθοῦν σὲ ἐπαφὴ μὲ τοὺς ἐθνικοὺς καὶ ὅτι αὐτὸ πρέπει νὰ γίνει μέσω τῶν Ἀποστόλων. Καὶ μὴ ἀπορήσεις· διότι τὴ στιγμὴ ποὺ δημιουργεῖται ἀμφισβήτηση γιὰ τὸ θέμα αὐτὸ μετὰ τὰ τόσα ἐκεῖνα γεγονότα ποὺ συνέβηκαν καὶ στὴν Καισάρεια καὶ στὰ Ἱεροσόλυμα, τί θὰ ἦταν δυνατὸ νὰ μὴ συμβεῖ, ἐὰν δὲν συνέβαιναν ὅλα αὐτὰ τὰ γεγονότα; Γι' αὐτὸ καὶ αὐτὰ γίνονται κατὰ τρόπο ὑπερβολικό.

Πρόσεχε δὲ πῶς ὁ Πέτρος ἀπολογεῖται ἀφοῦ ἔλαβε ἀφορμή. Τὸ ὅτι δὲ ἀποκρίνεται μετὰ τὴν ἀφορμὴ ποὺ ἔλαβε, ἄκουε τὸν Εὐαγγελιστὴ ποὺ διηγεῖται τὸ γεγονὸς καὶ λέγει· «Τότε ἀποκρίθηκε ὁ Πέτρος· Μήπως μπορεῖ κάποιος νὰ ἐμποδίσει τὸ νερὸ γιὰ νὰ μὴ βαπτισθοῦν μέσα σ' αὐτὸ αὐτοὶ ἐδῶ ποὺ ἔλαβαν τὸ ἅγιο Πνεῦμα ὅπως τὸ λάβαμε καὶ ἐμεῖς;»[2]. Εἶδες ποῦ μετέφερε τὸ πράγμα καὶ πῶς δίσταζε καὶ στενοχωροῦνταν νὰ δώσει ἐντολὴ νὰ γίνει αὐτό; τόσο πολὺ δεμένη ἦταν ἡ γνώμη του μ' αὐτὸ ἀπὸ πολὺ παλιά. «Μήπως», λέγει, «μπορεῖ κάποιος νὰ ἐμποδίσει τὸ νερό;». Σχεδὸν δηλαδὴ εἶναι σὰν νὰ ἐπεμβαίνει πρὸς ἐκείνους ποὺ ἐμποδίζουν καὶ λέγουν ὅτι δὲν πρέπει νὰ γίνει αὐτό. Τὸ πᾶν, λέγει, ἔχει γίνει, τὸ ἀναγκαιότερο ἔγινε, τὸ βάπτισμα δηλαδή, μὲ τὸ ὁποῖο καὶ ἐμεῖς βαπτισθήκαμε.

«Καὶ ἔδωσε ἐντολὴ νὰ βαπτισθοῦν αὐτοὶ στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ»[3]. Ἀφοῦ ἀπολογήθηκε πρῶτα, τότε ἔδωσε ἐντολὴ σ' αὐτοὺς νὰ βαπτισθοῦν, διδάσκοντας αὐτοὺς μὲ τὰ ἴδια τὰ πράγματα· τόσο μεγάλο μίσος ἔτρεφαν οἱ Ἰουδαῖοι πρὸς τοὺς ἐθνικούς. Γι' αὐτὸ προηγουμένως ἀπολογεῖται, ἂν καὶ τὰ πράγματα μιλοῦσαν ἀπὸ μόνα τους, καὶ μετὰ ἔδωσε ἐντολὴ γιὰ νὰ βαπτισθοῦν.

«Τότε τὸν παρακάλεσαν νὰ μείνει μερικὲς ἡμέρες μαζί τους»[4]. Ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος πολὺ εὔλογα παίρνει θάρρος πλέον καὶ μένει κοντά τους.

«Ἤκουσαν δὲ οἱ Ἀπόστολοι καὶ οἱ ἀδελφοί, οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ. Καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, λέγοντες ὅτι πρὸς ἄνδρας, ἀκροβυστίαν ἔχοντας, εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς». Μετὰ τοσαῦτα «Διεκρίνοντο οἱ ἐκ περιτομῆς», οὐχ οἱ Ἀπόστολοι. Τί ἐστι, «Διεκρίνοντο»; Ἐσκανδαλίζοντο, φησίν, οὐ μικρῶς. Καὶ θέα, τί προβάλλονται. Οὐ λέγουσι, 'Διὰ τί κατήγγειλας;', ἀλλὰ «Διὰ τί συνέφαγες;». Ὁ δὲ Πέτρος οὐ πρὸς τοῦτο ἵσταται τὸ ψυχρόν, (ψυχρὸν γὰρ ὄντως ἦν), ἀλλὰ πρὸς ἐκεῖνο τὸ μέγα, λέγων ὅτι, «εἰ Πνεύματος μετέλαβον καὶ αὐτοί, πῶς τούτου μεταδοῦναι οὐκ ἦν; Πῶς οὖν ἐπὶ τῶν Σαμαρειτῶν τοῦτο οὐ γέγονεν, ἀλλὰ τοὐναντίον;» καὶ γὰρ οὐ μόνον πρὸ τοῦ βαπτίσματος οὐκ ἐγένετο, ἀλλ' οὐδὲ μετὰ τὸ βάπτισμα, καὶ οὐκ ἠγανάκτησαν, ἀλλὰ μᾶλλον ἀκούσαντες ἔπεμψαν ἐπὶ τοῦτο αὐτό. Ἀλλ' οὐδὲ ἐνταῦθα τοῦτο ἐγκαλοῦσιν, (ᾔδεισαν γὰρ ὅτι θείας χάριτος ἦν), ἀλλὰ «Διὰ τί», φασί, «συνέφαγες;». Ἄλλως δὲ πολὺ καὶ ἄπειρον τὸ διάφορον Σαμαρειτῶν καὶ ἐθνῶν· ἢ καὶ οἰκονομικῶς γίνεται τὸ ἐγκληθῆναι αὐτόν, ἵν' οὗτοι μάθωσιν· οὐ γὰρ ἂν ἁπλῶς Πέτρος εἶπεν.

Ὅρα δὲ αὐτοῦ τὸ ἄτυφον καὶ ἀκενόδοξον· «Ἀρξάμενος» γάρ, φησί, «Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς, λέγων· Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος». Καὶ οὐ λέγει διὰ τί, οὐδὲ ἐπὶ ποίᾳ προφάσει.

5. Πράξ. 8, 14
6. Πράξ. 11, 4-5

«Ἄκουσαν δὲ οἱ Ἀπόστολοι καὶ οἱ ἀδελφοὶ ποὺ διέμεναν σὲ διάφορα μέρη τῆς Ἰουδαίας, ὅτι καὶ οἱ ἐθνικοὶ δέχθηκαν τὸν λόγο τοῦ Θεοῦ. Καὶ ὅταν ἀνέβηκε ὁ Πέτρος στὰ Ἱεροσόλυμα, οἱ ἐξ Ἰουδαίων πιστοί, ποὺ εἶχαν περιτμηθεῖ προηγουμένως, διετύπωσαν ἀμφιβολίες πρὸς αὐτόν, λέγοντάς του, εἰσῆλθες στὴν οἰκία ἀνθρώπων ποὺ εἶχαν ἀκροβυστία καὶ ἔφαγες μαζί μ' αὐτούς»[5]. Μετὰ ἀπὸ τόσα θαύματα «σκανδαλίζονταν οἱ ἐκ περιτομῆς πιστοί», ὄχι οἱ Ἀπόστολοι· Τί σημαίνει, «Διεκρίνοντο»; Σκανδαλίζονταν, λέγει, ὄχι λίγο. Καὶ πρόσεχε τί προβάλλουν. Δὲν λένε, 'Γιατί κήρυξες σ' αὐτοὺς τὸ εὐαγγέλιο;', ἀλλὰ «Γιατί ἔφαγες μαζί τους;». Ὁ δὲ Πέτρος δὲν ἀπολογεῖται γι' αὐτὸ τὸ ἀσήμαντο (διότι πράγματι ἦταν ἀσήμαντο), ἀλλ' ἀναφέρεται σ' ἐκεῖνο τὸ σπουδαῖο, λέγοντας· «Ἐὰν ἔλαβαν καὶ αὐτοὶ ἅγιο Πνεῦμα, πῶς δὲν ἔπρεπε νὰ μεταδοθεῖ σ' αὐτοὺς καὶ τὸ βάπτισμα; Πῶς δηλαδὴ στὴν περίπτωση τῶν Σαμαρειτῶν δὲν προέκυψε αὐτὸ τὸ θέμα, ἀλλὰ συνέβηκε ἐντελῶς τὸ ἀντίθετο;»· καθόσον ὄχι μόνο πρὶν ἀπὸ τὸ βάπτισμα δὲν συνέβηκε αὐτό, ἀλλ' οὔτε μετὰ τὸ βάπτισμα, καὶ δὲν ἀγανάκτησαν, ἀλλὰ μᾶλλον, ὅταν ἄκουσαν τὸ κήρυγμα, ἔστειλαν ἀνθρώπους καὶ κάλεσαν τοὺς Ἀποστόλους γι' αὐτὸ ἀκριβῶς τὸ σκοπό. Ἀλλ' οὔτε ἐδῶ κατηγοροῦν αὐτὸ (διότι γνώριζαν ὅτι ἦταν ἀποτέλεσμα τῆς θείας χάριτος), ἀλλὰ λένε, «Γιατί ἔφαγες μαζὶ μ' αὐτούς;». Ἄλλωστε δὲ εἶναι μεγάλη και ἄπειρη ἡ διαφορὰ μεταξὺ Σαμαρειτῶν καὶ ἐθνικῶν· ἢ κατ' οἰκονομία ἐπιτρέπεται νὰ κατηγορηθεῖ αὐτός, γιὰ νὰ μάθουν αὐτοί· διότι δὲν θὰ ἦταν δυνατὸ ὁ Πέτρος νὰ μιλήσει ἂν δὲν δημιουργοῦνταν τὸ θέμα αὐτό.

Ἀλλὰ πρόσεχε τὴν ταπεινοφροσύνη καὶ μετριοφροσύνη αὐτοῦ· διότι, λέγει, «Ἄρχισε ὁ Πέτρος νὰ ἐκθέτει σ' αὐτοὺς μὲ τὴ σειρὰ τὰ γεγονότα, λέγοντας· Βρισκόμουν ἐγὼ στὴν πόλη τῆς Ἰόππης καὶ προσευχόμουν»[6]. Καὶ δὲν λέγει γιατί, οὔτε καὶ γιὰ ποιά αἰτία.

«Καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνόν τι σκεῦος ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ· εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἤκουσα δὲ φωνῆς λεγούσης μοι· Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε». Τί διὰ τούτων εἰπεῖν βούλεται; Ἱκανὸν ἦν, φησί, καὶ τοῦτο πεῖσαι, τὸ θεάσασθαι τὴν ὀθόνην· πλὴν ἀλλὰ καὶ φωνὴ προσετέθη.

«Εἶπον δέ· Μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου». Ὁρᾷς; Τὸ ἐμὸν ἐποίησα, φησίν· εἶπον ὅτι οὐδέποτε ἔφαγον. Τοῦτο πρὸς ὃ ἔλεγον ἐκεῖνοι, ὅτι «Εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς». Τοῦτο δὲ πρὸς Κορνήλιον οὐ λέγει· οὐ γὰρ ἦν ἀνάγκη.

Ἀπεκρίθη δέ μοι ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν. Καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν, ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με». Ἅπερ ἀναγκαῖα ἦν διηγεῖται, τὰ ἄλλα δὲ σιωπᾷ· μᾶλλον δὲ διὰ τούτων καὶ αὐτὰ κατασκευάζει. Καὶ ὅρα πῶς ἀπολογεῖται, καὶ οὐκ ἀξιοῖ τῷ τοῦ διδασκάλου ἀξιώματι κεχρῆσθαι· ᾔδει γὰρ ὅτι, ὅσῳ ἐπιεικέστερον φθέγγεται, τοσούτῳ μᾶλλον αὐτοὺς χειροῦται.

«Οὐδέποτε εἰσῆλθε», φησίν, «εἰς τὸ στόμά μου κοινὸν ἢ ἀκάθαρτον». Οὕτως οἰκονομίας πᾶσα ἦν ἡ ἀπολογία.

------

7. Πράξ. 11, 5-7
8. Πράξ. 11, 8.
9. Πράξ. 11, 2
10. Πράξ. 11, 9-11
11. Πράξ. 10, 8

«Καὶ ἀφοῦ περιέπεσα σὲ ἔκσταση εἶδα ὅραμα, σύμφωνα μὲ τὸ ὁποῖο εἶδα ἕνα σκεῦος νὰ κατεβαίνει ἀπὸ τὸν οὐρανό, ποὺ ἔμοιαζε μὲ μεγάλο σεντόνι καὶ κρατοῦνταν ἀπὸ τὰ τέσσερα ἄκρα του, καὶ ἦρθε μέχρι σὲ μένα. Ἔρριξα τὸ βλέμμα μου σ' αὐτὸ καὶ τὸ πρόσεχα καὶ εἶδα τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ, καὶ ἄκουσα φωνὴ ποὺ μοῦ ἔλεγε· Σήκω, Πέτρε, σφάξε καὶ φάγε»[7]. Τί θέλει νὰ πεῖ μὲ τὰ λόγια αὐτά; Ἱκανὸ ἦταν, λέγει, καὶ αὐτὸ νὰ μὲ πείσει, τὸ ὅτι δηλαδὴ εἶδα τὸ σεντόνι· πλὴν ὅμως προστέθηκε καὶ φωνή.

«Καὶ εἶπα ἐγώ· Μὲ κανένα τρόπο δὲν θὰ φάγω, Κύριε· διότι ποτὲ δὲν ἔβαλα στὸ στόμα μου ὁποιοδήποτε μολυσμένο ἢ ἀκάθαρτο φαγητό»[8]. Βλέπεις; Ἔκανα, λέγει, ἐκεῖνο ποὺ ὄφειλα νὰ κάνω· εἶπα ὅτι ποτὲ δὲν ἔφαγα. Αὐτὸ λέγεται καὶ σὰν ἀπάντηση πρὸς ἐκεῖνο ποὺ ἔλεγαν ἐκεῖνοι, ὅτι δηλαδὴ «Εἰσῆλθες στὰ σπίτια τους καὶ ἔφαγες μαζὶ μ' αὐτούς»[9]. Αὐτὸ ὅμως δὲν τὸ λέγει στὸν Κορνήλιο· διότι δὲν ὑπῆρχε ἀνάγκη.

«Ἀποκρίθηκε δὲ σὲ μένα ἡ φωνὴ ἀπὸ τὸν οὐρανὸ γιὰ δεύτερη φορὰ καὶ εἶπε· Ἐκεῖνα ποὺ ὁ Θεὸς καθάρισε, σὺ μὴ θεωρεῖς αὐτὰ ἀκάθαρτα. Αὐτὸ δὲ ἔγινε τρεῖς φορὲς καὶ πάλι ἀνυψώθηκαν ὅλα πρὸς τὸν οὐρανό· Καὶ νὰ τὴν ἴδια ἀκριβῶς στιγμὴ παρουσιάσθηκαν στὴν οἰκία ποὺ διέμενα τρεῖς ἄνδρες, ποὺ εἶχαν σταλεῖ πρὸς ἐμένα ἀπὸ τὴν Καισάρεια»[10]. Ἐκεῖνα ποὺ ἦταν ἀναγκαῖα τὰ διηγεῖται, ἐνῶ τὰ ἄλλα τὰ ἀποσιωπᾶ· μᾶλλον δὲ μὲ ἐκεῖνα καὶ αὐτὰ τὰ ἀποκαλύπτει. Καὶ πρόσεχε πῶς ἀπολογεῖται καὶ δὲν ἔχει τὴν ἀξίωση νὰ χρησιμοποιήσει τὸ ἀξίωμα τοῦ δασκάλου· διότι γνώριζε, ὅτι, μὲ ὅσο μεγαλύτερη ἐπιείκεια ὁμιλεῖ, τόσο περισσότερο πείθει αὐτούς.

«Οὐδέποτε», λέγει, «εἰσῆλθε στὸ στόμα μου φαγητὸ μολυσμένο ἢ ἀκάθαρτο»[11]. Ὅλη δηλαδὴ ἡ ἀπολογία του ἦταν ἔργο τῆς θείας οἰκονομίας·

«Καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐν τῇ οἰκίᾳ, ἐν ᾗ ἤμην. Εἶπε δέ μοι τὸ Πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον». Ὁρᾷς ὅτι Πνεύματος ἡ νομοθεσία;

2. «Ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι». Τί γένοιτ' ἂν ταπεινότερον Πέτρου, ὃς ἀπὸ ταύτης καὶ τῶν ἀδελφῶν τὴν μαρτυρίαν προβάλλεται;

«Συνῆλθον δέ μοι ἓξ ἀδελφοί, καὶ εἰσήλθομεν εἰς τὴν οἰκίαν τοῦ ἀνδρός. Ἀπήγγειλε δὲ ἡμῖν, πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· Ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα, τὸν ἐπικαλούμενον Πέτρον, ὃς λαλήσει ῥήματα πρὸς σέ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου». Καὶ οὐκ εἶπε τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα τῷ Κορνηλίῳ, «Αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ», ἵνα μὴ προστῇ αὐτοῖς. ἀλλά, ἅπερ οὐδὲν εἶχον μέγα· «Λαλήσει ῥήματα πρὸς σέ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου». Ὁρᾷς πῶς δι' ὅπερ ἔφθην ἐπείγεται; Καὶ οὐδὲν λέγει περὶ τῆς ἐπιεικείας τοῦ ἀνδρός. Τοῦ Πνεύματος τοίνυν πέμψαντος, τοῦ Θεοῦ κελεύσαντος, διὰ τοῦ ἀγγέλου ἐκεῖθεν καλέσαντος, ἐντεῦθεν ὠθοῦντος, λύοντος τὴν διαφορὰν τῶν πραγμάτων, τί ποιῆσαι ἔδει; Ἀλλ' οὐ λέγει τούτων οὐδέν, ἀλλ' ἀπὸ τοῦ ὑστέρου ἰσχυρίζεται, ὃ καὶ κατ' αὐτὸ ἀναμφισβήτητον ἦν μαρτύριον. Καὶ διὰ τί, φησί, μὴ τοῦτο γέγονε μόνον; Ἐκ περιουσίας παρὰ τοῦ Θεοῦ, ἵνα δειχθῇ καὶ ἡ ἀρχὴ οὐ παρὰ τοῦ Ἀποστόλου. Εἰ δὲ αὐτόματος ἀπῆλθεν, οὐδενὸς τούτων γενομένου, πάνυ

------

12. Πράξ. 11, 11 - 12
13. Πράξ. 11, 12
14. Πράξ. 11, 12 - 14
15. Πράξ. 10, 4

«Καὶ νά, τὴν ἴδια ἀκριβῶς στιγμὴ παρουσιάσθηκαν, στὴν οἰκία ποὺ διέμενα, τρεῖς ἄνδρες. Καὶ εἶπε σ' ἐμένα τὸ Πνεῦμα ν' ἀκολουθήσω αὐτοὺς χωρὶς καμιὰ ἀμφιβολία»[12]. Βλέπεις ὅτι ἡ νομοθεσία εἶναι ἔργο τοῦ Πνεύματος;

2. «Ἦρθαν δὲ μαζί μου καὶ οἱ ἔξι αὐτοὶ ἀδελφοὶ ποὺ εἶναι ἐδῶ παρόντες»[13]. Τί θὰ μποροῦσε νὰ ὑπάρξη ταπεινότερο ἀπὸ τὸν Πέτρο, ὁ ὁποῖος ἐξ αἰτίας τῆς ταπεινοφροσύνης του προβάλλει καὶ τὴ μαρτυρία τῶν ἀδελφῶν;

«Ἦρθαν δὲ μαζί μου καὶ οἱ ἔξι ἀδελφοί, καὶ εἰσήλθαμε στὴν οἰκία τοῦ ἀνθρώπου ἐκείνου πού μὲ προσκάλεσε. Αὐτὸς μᾶς διηγήθηκε, πῶς εἶδε τὸν ἄγγελο στὴν οἰκία του, ὁ ὁποῖος στάθηκε μπροστά του καὶ τοῦ εἶπε· Στεῖλε ἀνθρώπους στὴν Ἰόππη καὶ κάλεσε νὰ ρθεῖ ἐδῶ ὁ Σίμων, ποὺ ἐπονομάζεται Πέτρος, ὁ ὁποῖος θὰ σοῦ πεῖ λόγια, μὲ τὰ ὁποῖα θὰ σωθεῖς ἐσὺ καὶ ὅλοι οἱ δικοί σου»[14]. Καὶ δὲν εἶπε τὰ ὅσα λέχθηκαν ἀπὸ τὸν ἄγγελο στὸν Κορνήλιο, «Οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν εὐπρόσδεκτες πρὸς τὸ Θεὸ γιὰ ν' ἀποτελοῦν διαρκῆ ὑπενθύμιση ἐνώπιον αὐτοῦ»[15], γιὰ νὰ μὴ τοὺς δυσαρεστήσει, ἀλλ' εἶπε ἐκεῖνα ποὺ δὲν εἶχαν τίποτε τὸ σπουδαῖο· «Θὰ σοῦ πεῖ λόγια, μὲ τὰ ὁποῖα θὰ σωθεῖς ἐσὺ καὶ ὅλοι οἱ δικοί σου». Πρόσεχε πῶς βιάζεται γιὰ ἐκεῖνο πού προανέφερα. Καὶ δὲν λέγει τίποτε γιὰ τὴν καλωσύνη τοῦ ἀνθρώπου. Ἐφόσον λοιπὸν τὸ Πνεῦμα τὸν ἔστειλε, ὁ Θεὸς ἔδωσε τὴν ἐντολή, μέσω τοῦ ἀγγέλου τὸν κάλεσε ἀπὸ ἐκεῖ, ἀπὸ ἐδῶ ποὺ βρίσκεται τὸν προτρέπει, λύνοντας τὴ διαφορὰ τῶν ἀπόψεων, τί ἔπρεπε νὰ κάνει; Ὅμως δὲν λέγει τίποτε ἀπὸ αὐτά, ἀλλὰ τὰ ἐπιβεβαιώνει ἀπὸ τὰ ἑπόμενα, πράγμα ποὺ καὶ γιὰ τὸ λόγο αὐτὸ ἀποτελοῦσε ἀναμφισβήτητη ἀπόδειξη. Καὶ γιατί, λέγει, δὲν ἔγινε μόνο αὐτό; Ἐξ αἰτίας τῆς ἰδιαίτερης φροντίδας τοῦ Θεοῦ, γιὰ ν' ἀποδειχθεῖ ὅτι καὶ ἡ ἀρχὴ τοῦ κηρύγματος στοὺς ἐθνικοὺς δὲν ἔγινε ἀπὸ τὸν Ἀπόστολο. Ἐὰν δὲ μόνος του πήγαινε, χωρὶς νὰ συνέβαινε τίποτε ἀπὸ αὐτά, θὰ δυσα-

ἂν ἐπλήγησαν· ὥστε ἄνωθεν αὐτῶν τὴν διάνοιαν οἰκειοῖ, λέγων πρὸς αὐτούς· «Οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς».

Καὶ πάλιν· «Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ». Καὶ οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ῥήματος ἀναμιμνήσκει τοῦ Κυρίου· «Ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίου ὡς ἔλεγεν· Ἰωάννης δὲ ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ». Ὥστε οὐδὲν καινότερον γέγονεν, ἀλλ' ὅπερ προεῖπεν. Ἀλλ' οὐκ ἔδει βαπτίσαι, φησίν· ἀπήρτιστο γὰρ τὸ βάπτισμα, τοῦ Πνεύματος αὐτοῖς ἐπιπεπτωκότος. Διὰ τοῦτο οὐ λέγει, ''Ἐκέλευσα πρότερον αὐτοὺς βαπτισθῆναι', ἀλλὰ τί; «Μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους;», ἐκ τούτου δεικνὺς ἑαυτὸν οὐδὲν ποιήσαντα. Ὅπερ τοίνυν ἐσχήκαμεν ἡμεῖς, ἔλαβον ἐκεῖνοι.

«Εἰ οὖν τὴν ἴσην δωρεὰν», φησίν, «ἔδωκεν αὐτοῖς ὁ Θεός, ὡς καὶ ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν, ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;». Ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξῃ τὰ στόματα, διὰ τοῦτο προσέθηκε, «Τὴν ἴσην δωρεάν». Ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς ἔλαττον ἔχειν πιστεύσαντας ἅπαξ; «Τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον»· ὥστε αὐτὸς καθαίρει αὐτούς. Καὶ οὐ λέγει, ''Ὑμῖν', ἀλλ' «ἡμῖν», λεαίνων καὶ ταύτῃ τὸν λόγον. Τί τοίνυν ἀναξιοπαθεῖτε, ὅταν ἡμεῖς αὐτοὺς κοινωνοὺς λέγωμεν;

«Ἀκούσαντες δὲ ταῦτα, ἡσύχασαν, καὶ ἐδόξασαν τὸν Θεόν, λέγοντες· Ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς

------

16. Πράξ. 10, 47
17. Πράξ. 11, 15
18. Πράξ. 11, 16· Ματθ. 3, 11· καὶ Πράξ. 1, 5.
19. Πράξ. 10, 47
20. Πράξ. 11, 17

νασχετοῦσαν πάρα πολύ. Ἀπὸ τὴν ἀρχὴ λοιπὸν ἐξοικειώνει τὴ σκέψη τους, λέγοντας πρὸς αὐτούς· «Οἱ ὁποῖοι ἔλαβαν τὸ ἅγιο Πνεῦμα ὅπως καὶ ἐμεῖς»[16].

Στὴ συνέχεια δὲ λέγει· «Ὅταν δὲ ἐγὼ ἄρχισα νὰ ὁμιλῶ γιὰ τὸ Χριστὸ, κατέβηκε ἐπάνω τους τὸ ἅγιο Πνεῦμα, ὅπως ἀκριβῶς καὶ σ' ἐμᾶς στὴν ἀρχή»[17]. Καὶ δὲν ἀρκεῖται σ' αὐτό, ἀλλὰ τοὺς ὑπενθυμίζει καὶ τὰ λόγια τοῦ Κυρίου· «Θυμήθηκα δὲ τὰ λόγια τοῦ Κυρίου ποὺ ἔλεγε· Ὁ μὲν Ἰωάννης βάπτισε μὲ νερό, σεῖς ὅμως θὰ βαπτισθεῖτε μὲ ἅγιο Πνεῦμα»[18]. Ὥστε τίποτε τὸ καινούργιο δὲν συνέβηκε, ἀλλ' ἐκεῖνο ἀκριβῶς ποὺ προεῖπε ὁ Κύριος. Ὅμως, λέγει, δὲν ἔπρεπε νὰ βαπτίσει· διότι εἶχε γίνει τὸ βάπτισμα, ἐφόσον κατέβηκε τὸ Πνεῦμα σ' αὐτούς· Γι' αὐτὸ δὲν λέγει, 'Ἔδωσα ἐντολὴ προηγουμένως νὰ βαπτισθοῦν', ἀλλὰ τί; «Μήπως μπορεῖ κάποιος νά ἐμποδίσει τὸ νερὸ γιὰ νὰ μὴ βαπτισθοῦν αὐτοί;»[19], δείχνοντας μὲ αὐτὸ ὅτι αὐτὸς τίποτε δὲν ἔκανε. Ἐκεῖνο δηλαδὴ ποὺ λάβαμε ἐμεῖς, τὸ ἔλαβαν καὶ ἐκεῖνοι.

«Ἐὰν λοιπόν», λέγει, «ἔδωσε ὁ Θεὸς σ' αὐτοὺς τὴν ἴδια δωρεά, ὅπως καὶ σ' ἐμᾶς, ἐπειδὴ πίστεψαν στὸν Κύριο τὸν Ἰησοῦ, ἐγὼ ποιὸς ἤμουν ποὺ νὰ μποροῦσα νὰ ἐμποδίσω τὸ Θεό;». Μὲ σκοπὸ νὰ κλείσει κατὰ τὸν πλέον δυνατὸ τρόπο τά στόματα αὐτῶν, γι' αὐτὸ πρόσθεσε, «Τὴν ἴδια δωρεά»· Βλέπεις πῶς δὲν ἀφήνει αὐτούς, ἐφόσον πίστεψαν, νὰ ἔχουν λιγότερα; «Τὴν ἴδια δωρεὰ ἔδωσε σ' αὐτοὺς ὁ Θεός, ὅπως καὶ σ' ἐμᾶς, ἐπειδὴ πίστεψαν στὸν Κύριο»[20]· ὁ ἴδιος ὁ Θεὸς δηλαδὴ καθαρίζει αὐτούς. Καὶ δὲν λέγει, 'ὅπως σὲ σᾶς', ἀλλὰ «ὅπως σ' ἐμᾶς», μαλακώνοντας καὶ μὲ τὸν τρόπο αὐτὸ τὸν λόγο. Γιατὶ λοιπὸν ἀγανακτεῖτε, ὅταν ἐμεῖς λέμε ὅτι αὐτοὶ ἔλαβαν τὸ ἴδιο Πνεῦμα;

«Ὅταν τὰ ἄκουσαν αὐτὰ ἡσύχασαν καὶ δόξασαν τὸ Θεό, λέγοντας· Ὥστε λοιπὸν ὁ Θεὸς καὶ στοὺς ἐθνικοὺς

τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν». Ὁρᾷς πῶς ἀπὸ τῆς δημηγορίας τοῦ Πέτρου τὸ πᾶν γέγονε καλῶς, ἀπαγγείλαντος τὰ γεγενημένα; Διὸ καὶ ἐδόξαζον τὸν Θεόν, ὅτι τὴν μετάνοιαν καὶ αὐτοῖς ἔδωκεν· οὕτως ἐταπεινώθησαν ἀπὸ τούτων τῶν λόγων. Ἐντεῦθεν ἀνεῴχθη ἡ θύρα πρὸς τὰ ἔθνη λοιπόν. Ἴδωμεν δέ, εἰ δοκεῖ, ἄνωθεν τὰ εἰρημένα.

Οὐκ εἶπεν ὅτι 'διεκρίθη Πέτρος' ἀλλ' «οἱ ἐκ περιτομῆς», ἐπεὶ αὐτὸς ᾔδει τὸ κατασκευαζόμενον. Καὶ μὴν ἐκεῖνο ἐχρῆν θαυμάσαι, πῶς καὶ αὐτοὶ ἐπίστευσαν. Ὅτε μὲν οὖν ἤκουσαν ὅτι ἐπίστευσαν, οὐδὲν ἔπαθον, ἀλλ' ὅτε ὁ Θεὸς ἐχαρίσατο τὸ Πνεῦμα, ὅτε ὁ Πέτρος ἐξετίθει τὴν ἑαυτοῦ ἔκστασιν, λέγων· 'Ὁ Θεὸς ἔδειξέ μοι μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον'. Οὕτως ἄνωθεν ᾔδει τοῦτο· διὸ καὶ προκατασκευάζει τὸν λόγον τὸν ὑπὲρ τῶν ἐθνῶν, δεικνὺς ὅτι οὐδὲ ἔθνη λοιπὸν ἦν, τῆς πίστεως παραγενομένης. Οὐδὲν θαυμαστὸν τοίνυν, εἰ πρὸ τοῦ βαπτίσματος τὸ Πνεῦμα ἔλαβον· καὶ ἐφ' ἡμῶν τοῦτο γέγονεν. Ἐνταῦθα δείκνυσιν ὁ Πέτρος ὅτι οὐδὲ ὡς οἱ λοιποὶ ἐβαπτίσθησαν, ἀλλὰ πολλῷ βέλτιον. Διὰ τοῦτο δὲ οὕτως ἐκ περιουσίας οἰκονομεῖται, ἵνα μηδὲν ἔχωσι λέγειν, ἀλλὰ κἂν οὕτως ἴσους αὐτοῖς νομίσωσι.

«Καὶ ἠρώτησαν αὐτόν», φησίν, «ἐπιμεῖναι». Ὁρᾷς πῶς οὐκ οἰκείως πρὸς αὐτὸν διέκειντο; εἶδες τὸν ζῆλον, οἷον εἶχον ὑπὲρ τοῦ νόμου; Οὐ το ἀξίωμα Πέτρου ᾐδέσθησαν, οὐ τὰ γενόμενα σημεῖα, οὐ τὸ κατόρθωμα,

------

21. Πράξ. 11, 18
22. Πράξ. 10, 48

ἔδωσε τὴ μετάνοια, γιὰ νὰ λάβουν τὴν αἰώνια ζωή»[21]. Βλέπεις πῶς ἀπὸ τὴν ὁμιλία τοῦ Πέτρου, μὲ τὴν ὁποία γνωστοποίησε σ' αὐτοὺς τὰ συμβάντα ὅλα τελείωσαν καλά; Γι' αὐτὸ καὶ δόξαζαν τὸ Θεό, διότι ἔδωσε σ' αὐτοὺς τὴ μετάνοια· τόσο πολὺ ταπεινώθηκαν ἀπὸ τὰ λόγια αὐτά. Ἀπὸ ἐδῶ πλέον ἀνοίχθηκε ἡ θύρα πρὸς τοὺς ἐθνικούς. Ἂς ἐξετάσομε δέ, ἂν τὸ θεωρεῖτε ὀρθό, ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

Δὲν εἶπε ὅτι 'εἶχε ἀμφιβολίες ὁ Πέτρος', ἀλλὰ «οἱ πιστοὶ ποὺ εἶχαν λάβει προηγουμένως τὴν περιτομή», διότι ὁ ἴδιος γνώριζε ἐκεῖνο ποὺ προετοιμαζόταν ἀπὸ τὸ Θεό. Καὶ ὅμως ἐκεῖνο ἔπρεπε νὰ θαυμάσουν, τὸ πῶς καὶ αὐτοὶ πίστεψαν. Ὅταν δηλαδὴ ἄκουσαν ὅτι πίστεψαν, τίποτε δὲν ἔπαθαν, ἀλλ' ἔπαθαν ὅταν ἄκουσαν ὅτι ὁ Θεὸς τοὺς χάρισε τὸ Πνεῦμα, ὅταν ὁ Πέτρος τοὺς διηγόταν τὴν ἔκστασή του, λέγοντας· Ὁ Θεὸς μοῦ φανέρωσε νὰ μὴ θεωρῶ κανένα ἄνθρωπο μολυσμένο ἢ ἀκάθαρτο· Ὥστε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τὸ γνώριζε αὐτό· γι' αὐτὸ καὶ προετοιμάζει τὸ λόγο ὑπὲρ τῶν ἐθνικῶν, γιὰ νὰ δείξει ὅτι δὲν ὑπῆρχαν στὸ ἑξῆς πλέον ἐθνικοί, ἐφόσον κυριάρχησε ἡ πίστη. Καθόλου λοιπὸν ἀξιοθαύμαστο δὲν εἶναι, ἐὰν ἔλαβαν τὸ Πνεῦμα πρὶν ἀπὸ τὸ βάπτισμα· τὸ ἴδιο συνέβηκε καὶ στὴ δική μας περίπτωση. Μὲ αὐτὰ δείχνει ὁ Πέτρος, ὅτι δὲν βαπτίσθηκαν ὅπως οἱ ὑπόλοιποι πιστοί, ἀλλὰ κατὰ τρόπο πολὺ πιὸ ἀνώτερο. Γι' αὐτὸ δὲ καὶ ρυθμίζεται αὐτὸ μὲ ἕναν τόσο δυναμικὸ τρόπο, ὥστε νὰ μὴ μποροῦν νὰ λένε τίποτε, ἀλλ' ἔστω καὶ ἔτσι νὰ θεωροῦν τοὺς ἑαυτούς τους ἴσους μὲ αὐτούς.

«Καὶ τὸν παρακάλεσαν», λέγει, «νὰ παραμείνει μαζί τους»[22]. Βλέπεις πῶς δὲν ἦταν φιλικὲς οἱ διαθέσεις τους πρὸς αὐτόν; εἶδες τὸ ζῆλο ποὺ ἔτρεφαν γιὰ τὸ νόμο; Δὲν σεβάσθηκαν τὸ ἀξίωμα τοῦ Πέτρου, οὔτε ἔδωσαν σημασία στὰ θαύματα ποὺ συνέβηκαν, οὔτε στὸ κατόρθωμα

ὅσον ἦν τὸ δέξασθαι τὸν λόγον, ἀλλ' ὑπὲρ τῶν μικρῶν ἐκείνων διεκρίνοντο· εἰ γὰρ μηδὲν τούτων ἦν, οὐκ ἤρκει τὸ κατόρθωμα. 'Αλλ' οὐκ ἀπολογεῖται οὕτω Πέτρος· συνετὸς γὰρ ἦν· μᾶλλον δὲ οὐ τῆς συνέσεως αὐτοῦ ἦν, ἀλλὰ τοῦ Πνεύματος τὰ ῥήματα. Καὶ δείκνυσι διὰ τῆς ἀπολογίας ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον, πανταχοῦ δὲ τὸν Θεόν. Καὶ μονονουχὶ πρὸς αὐτοὺς τοῦτο λέγει· ''Εν ἐκστάσει με γενέσθαι αὐτὸς ἐποίησεν (ἐγὼ γὰρ ἁπλῶς προσευχόμενος ἤμην)· τὸ σκεῦος αὐτὸς ἔδειξεν· ἐγὼ ἀντεῖπον· πάλιν αὐτὸς εἶπε, καὶ οὐδὲ οὕτως ἤκουσα· τὸ Πνεῦμα ἐκέλευσεν ἀπελθεῖν, καὶ ὅμως ἀπελθὼν οὐκ ἐπέδραμον· εἶπον ὅτι ὁ Θεὸς ἔπεμψε, καὶ μετὰ ταῦτα οὐδὲ οὕτως ἐβάπτισα, ἀλλὰ πάλιν ὁ Θεὸς τὸ πᾶν εἰργάσατο. Ἄρα Θεὸς αὐτοὺς ἐβάπτισεν, οὐκ ἐγώ'. Καὶ οὐκ εἶπε, 'Τούτων γεγονότων ἁπάντων, οὐκ ἔδει τὸ ὕδωρ προσθεῖναι λοιπόν;', ἀλλά, ὡς οὐδενὸς λείποντος. «'Εγὼ τίς ἤμην», φησὶ «κωλῦσαι τὸν Θεόν;». Βαβαί, οἵα ἡ ἀπολογία! οὐ γὰρ εἶπε, 'Ταῦτα οὖν εἰδότες ἡσυχάζετε', ἀλλὰ τί; Δέχεται αὐτῶν τὴν ὁρμήν, καὶ ἐγκαλοῦσιν ἀπολογεῖται, «Τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;», λέγων (σφόδρα ἐντρεπτικῶς καὶ βαρέως χρησάμενος τῇ ἀπολογίᾳ). Οὐκ ἠδυνάμην κωλῦσαι. Ὅθεν λοιπὸν φοβηθέντες ἡσύχασαν, καὶ ἐδόξαζον τὸν Θεόν.

3. Οὕτω καὶ ἡμᾶς χρὴ ἐν τοῖς τῶν πλησίον ἀγαθοῖς δοξάζειν τὸν Θεόν, ἀλλ' οὐκ ἐπηρεάζειν, καθάπερ οἱ πολλοὶ τῶν νεοφωτίστων ἐπηρεάζουσιν, ὅταν ἄλλους ἴδωσι φωτισθέντας καὶ εὐθὺς ἀπιόντας. Δοξάζειν δεῖ

τὸ νὰ δεχθοῦν οἱ ἐθνικοὶ τὸν θεῖο λόγο, ἀλλὰ πρόβαλλαν ἀμφιβολίες γιὰ ἐκεῖνα τὰ τόσο ἀσήμαντα· διότι, ἐὰν δὲν ὑπῆρχε τίποτε ἀπὸ αὐτά, δὲν θὰ ἐπαρκοῦσε νὰ γίνει τὸ κατόρθωμα. Ὅμως δὲν ἀπολογεῖται ἔτσι ὁ Πέτρος· διότι ἦταν συνετός· ἢ καλύτερα δὲν ἦταν αὐτὸ ἀποτέλεσμα τῆς συνέσεώς του, ἀλλὰ τὰ λόγια αὐτὰ ἀνῆκαν στὸ Πνεῦμα. Καὶ μὲ τὴν ἀπολογία του αὐτὴ δείχνει ὅτι αὐτὸς μὲν δὲν εἶναι αἴτιος γιὰ τίποτε, ἀλλὰ παντοῦ ὁ αἴτιος εἶναι ὁ Θεός. Καὶ σχεδὸν εἶναι σὰν νὰ λέγει πρὸς αὐτούς. 'Αὐτὸς μὲ ἔκανε νὰ περιέλθω σὲ ἔκσταση (διότι ἐγὼ ἁπλῶς προσευχόμουν)· αὐτὸς ἔδειξε τὸ σκεῦος· ἐγὼ ἀπάντησα σ' ἐκεῖνα ποὺ μοῦ εἶπε· πάλι αὐτὸς μοῦ εἶπε, καὶ οὔτε ἔτσι ἄκουσα· τὸ Πνεῦμα μὲ διέταξε νὰ μεταβῶ ἐδῶ, καὶ ὅμως δὲν ἀναχώρησα γιὰ ἐδῶ μὲ ὅλη μου τὴν προθυμία· εἶπα ὅτι ὁ Θεὸς μὲ ἔστειλε, καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ οὔτε καὶ ἔτσι βάπτισα, ἀλλὰ καὶ πάλι τὸ πᾶν τὸ ἔκανε ὁ Θεός. Ἑπομένως ὁ Θεὸς βάπτισε αὐτοὺς καὶ ὄχι ἐγώ'. Καὶ δὲν εἶπε, 'Ἀφοῦ ἔγιναν ὅλα αὐτά, δὲν ἔπρεπε νὰ προστεθεῖ στὴ συνέχεια καὶ τὸ νερό;', ἀλλά, σὰν νὰ μὴ ἔλειπε τίποτε, λέγει· «Ἐγὼ ποιὸς ἤμουν νὰ ἐμποδίσω τὸ Θεό;». Πὼ πὼ τί εἶδος ἀπολογίας! διότι δὲν εἶπε, 'Ἀφοῦ τὰ μάθατε αὐτὰ ἡσυχάζετε', ἀλλὰ τί; Δέχεται τὴν ἐπίθεση αὐτῶν καὶ ἀπολογεῖται ποὺ τὸν κατηγοροῦν, λέγοντας· «Ποιὸς ἤμουν ἐγὼ ποὺ μποροῦσα νὰ ἐμποδίσω τὸ Θεό;» (χρησιμοποιώντας τὴν ἀπολογία κατὰ τρόπο ἐπιτιμητικὸ καὶ βαρύ). Δὲν μποροῦσα νὰ τὸν ἐμποδίσω. Ἐξ αἰτίας αὐτοῦ λοιπὸν ἐπειδὴ φοβήθηκαν ἡσύχασαν καὶ δόξαζαν τὸ Θεό.

3. Ἔτσι καὶ ἐμεῖς πρέπει νὰ δοξάζομε τὸ Θεὸ γιὰ τὰ ἀγαθὰ τῶν συνανθρώπων μας, καὶ νὰ μὴ φερόμαστε προσβλητικά, ὅπως ἀκριβῶς συμβαίνει πολλοὶ ἀπὸ τοὺς νεοφώτιστους νὰ κακολογοῦν ὅταν δοῦν ἄλλους ποὺ ἔλαβαν τὸ βάπτισμα, καὶ ἔφυγαν ἀπὸ τὴ ζωή. Πρέπει νὰ δο-

τὸν Θεόν, καὶ ὅτι μένειν οὐ συγχωρεῖ. Ὥστε καὶ σύ, ἐὰν θέλῃς, μείζονα ἔλαβες δωρεάν, οὐ κατὰ τὸ φώτισμα λέγω (ἡ γὰρ αὐτή ἐστι κἀκείνου καὶ σοῦ), ἀλλὰ κατὰ τὸ λαβεῖν προθεσμίαν εὐδοκιμήσεως. Ἐκεῖνος ἐνεδύσατο τὴν στολὴν καὶ οὐκ ἀφέθη ἐμπομπεῦσαι ἐν αὐτῇ, σοὶ πολλὴν ἔδωκεν ἐξουσίαν ὁ Θεὸς χρήσασθαι τοῖς ὅπλοις εἰς δέον, καὶ λαβεῖν αὐτῶν ἐντεῦθεν τὴν πεῖραν· ἐκεῖνος ἄπεισι, τῆς πίστεως μόνον ἔχων τὸν μισθόν, σὺ ἕστηκας ἐν τῷ σταδίῳ τῶν ἔργων, δυνάμενος λαβεῖν πολλὰς τὰς ἀμοιβάς, καὶ τοσοῦτον ἐκείνου φανῆναι λαμπρότερος, ὅσον ὁ ἥλιος τοῦ μικροτάτου ἀστέρος, ὅσον ὁ στρατηγὸς τοῦ ἐσχάτου στρατιώτου, μᾶλλον δὲ ὅσον ὁ βασιλεύς. Σαυτὸν τοίνυν αἰτιῶ, μᾶλλον δὲ μὴ αἰτιῶ, ἀλλὰ διόρθου ἀεὶ (οὐ γὰρ ἀρκεῖ τὸ αἰτιᾶσθαι), ἔξεστιν ἀναμαχέσασθαι. Κατεβλήθης; δεινὰ ἔπαθες; Ἀνάστηθι, ἀνάκτησαι σαυτόν· ἔτι ἐν τῷ σταδίῳ ἕστηκας, ἔτι τὸ θέατρον συνέστηκεν. Οὐχ ὁρᾷς πόσοι καταπαλαισθέντες, ὕστερον ἀνεμαχέσαντο; Μόνον μὴ ἑκὼν καταπέσῃς.

Μακαρίζεις τὸν ἀπελθόντα; Πολλῷ μᾶλλον μακάρισον σαυτόν. Ἀφέθη ἁμαρτημάτων ἐκεῖνος; Ἀλλά, ἐὰν θέλῃς σύ, οὐ μόνον τὰ ἁμαρτήματα ἀπονίψῃ, ἀλλὰ καὶ κατορθώματα ἕξεις, ὅπερ ἐπ' ἐκείνου οὐ δυνατόν· ἔνεστιν ἡμᾶς ἀνακαλέσασθαι ἑαυτούς. Μεγάλα τῆς μετανοίας τὰ φάρμακα· μηδεὶς ἀπογινωσκέτω ἑαυτοῦ. Ἐκεῖνος ὄντως ἀπογνώσεως ἄξιος, ὁ ἀπογινώσκων ἑαυτοῦ· ἐκεῖνος οὐκ ἔτι σωτηρίας ἔχει ἐλπίδας. Οὐ τὸ εἰς βά-

ξάζομε τὸ Θεὸ καὶ γιὰ τὸ ὅτι δὲν μᾶς ἀφήνει νὰ μένομε μακριὰ ἀπὸ τὴν πίστη καὶ τὰ ἔργα αὐτῆς. Ὥστε καὶ σύ, ἂν θέλεις, μπορεῖς νὰ λάβεις μεγαλύτερη δωρεά, ὄχι ὡς πρὸς τὸ βάπτισμα (διότι ἡ δωρεὰ αὐτὴ εἶναι καὶ ἐκείνου καὶ δική σου), ἀλλὰ ὡς πρὸς τὸ ὅτι ἔλαβες προθεσμία γιὰ εὐδοκίμηση· Ἐκεῖνος φόρεσε τὴ στολὴ καὶ δὲν τοῦ ἐπιτράπηκε νὰ ὑπερηφανευθεῖ γι' αὐτήν, σὲ σένα ἔδωσε ὁ Θεὸς μεγάλη ἐξουσία στὸ νὰ χρησιμοποιήσεις ὅπως πρέπει τὰ ὅπλα καὶ νὰ δοκιμάσεις αὐτὰ ἀπὸ ἐδῶ ἀκόμα. Ἐκεῖνος ἀναχωρεῖ, ἔχοντας μόνο τὸ μισθὸ τῆς πίστεως, σὺ στέκεσαι μέσα στὸ στάδιο τῶν ἔργων, καὶ μπορεῖς νὰ λάβεις πολλὲς ἀμοιβές, καὶ ν' ἀποδειχθεῖς τόσο λαμπρότερος ἀπὸ ἐκεῖνον, ὅσο λαμπρότερος εἶναι ὁ ἥλιος ἀπὸ τὸ πιὸ μικρὸ ἀστέρι, ὅσο ὁ στρατηγὸς ἀπὸ τὸν τελευταῖο στρατιώτη, ἢ καλύτερα ὅσο ὁ βασιλιάς. Τὸν ἑαυτό σου λοιπὸν κατηγόρα, ἢ καλύτερα μὴ τὸν κατηγορᾶς, ἀλλὰ διόρθωνέ τον πάντοτε (διότι δὲν ἀρκεῖ τὸ νὰ τὸν κατηγορᾶς), καὶ μπορεῖς νὰ μάχεσαι συνέχεια. Καταβλήθηκες; ἔπαθες κακά; Σήκω καὶ προσπάθησε νὰ ἐπανεύρεις τὸν ἑαυτό σου· ἀκόμα στέκεσαι μέσα στὸ στάδιο, ἀκόμα οἱ θεατὲς βρίσκονται μέσα στὸ στάδιο. Δὲν βλέπεις πόσοι κατὰ τὴν πάλη, ἐνῶ νικήθηκαν στὴν ἀρχή, ὕστερα ἀγωνίσθηκαν καὶ πάλι καὶ νίκησαν; Μόνο μὴ πέσεις μὲ τὴ θέλησή σου.

Μακαρίζεις ἐκεῖνον ποὺ ἔφυγε; Πολὺ περισσότερο μακάρισε τὸν ἑαυτό σου. Συγχωρήθηκαν τὰ ἁμαρτήματα ἐκείνου; Ὅμως, ἂν θέλεις σύ, ὄχι μόνο θ' ἀποπλύνεις τὰ ἁμαρτήματά σου, ἀλλὰ καὶ κατορθώματα θὰ ἐπιτύχεις, πράγμα ποὺ δὲν εἶναι δυνατὸ σ' ἐκεῖνον· μποροῦμε μόνοι μας νὰ ἐπαναφέρομε τὸν ἑαυτό μας στὸ σωστὸ δρόμο. Εἶναι μεγάλα τὰ φάρμακα τῆς μετάνοιας· κανένας νὰ μὴ χάνει τὴν ἐλπίδα του. Ἄξιος ἀπογνώσεως εἶναι ἐκεῖνος πράγματι, ἐκεῖνος ποὺ ἀπελπίζεται γιὰ τὸν ἑαυτό του· ἐ-

θος κακῶν ἐλθεῖν δεινόν, ἀλλὰ τὸ κεῖσθαι μετὰ τὸ ἐλθεῖν· οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν ἀσεβές, ἀλλὰ τὸ καταφρονῆσαι μετὰ τὸ ἐλθεῖν. Δι' ὃ ὀφείλεις μεριμνᾶν, εἰπέ μοι, μᾶλλον καταφρονεῖς; Τραύματα τοσαῦτα ἔχων, ἀνέπεσες; Οὐδέν ἐστι ψυχῆς ἀνίατον τραῦμα, ἀλλ' ἐπὶ μὲν σώματος πολλὰ τοιαῦτα, ἐπὶ δὲ τῆς ψυχῆς οὐδέν· καὶ ὑπὲρ ἐκείνων μὲν οὐ διαλιμπάνομεν κάμνοντες, ὑπὲρ δὲ τούτων ῥαθυμοῦμεν. Οὐχ ὁρᾷς τὸν λῃστὴν πῶς ἐν βραχεῖ χρόνῳ κατώρθωσεν; οὐχ ὁρᾷς τοὺς μάρτυρας πῶς ἐν βραχεῖ τὸ πᾶν ἤνυσαν; 'Αλλ' οὐκ ἔστιν ἄρτι μαρτυρίου καιρός; 'Αλλ' ἀγώνων ἐστὶ καιρός, ὃ πολλάκις εἶπον, εἰ βουλοίμεθα· «Οἱ γὰρ θέλοντες», φησίν, «εὐσεβῶς ζῆν ἐν Χριστῷ 'Ιησοῦ, διωχθήσονται».

Οἱ εὐσεβῶς ζῶντες ἀεὶ διώκονται, κἂν μὴ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ δαιμόνων, ὃς δὴ καὶ χαλεπώτερός ἐστι διωγμός. Καὶ πρῶτον ὑπ' αὐτῆς μάλιστα τῆς ἀνέσεως τοῦτον ὑπομένουσιν οἱ μὴ νήφοντες. Ἢ μικρὸν οἴει διωγμὸν τὸ ἐν ἀνέσει εἶναι; Τοῦτο πάντων ἐστὶ βαρύτερον, τοῦτο καὶ διωγμοῦ χεῖρον· καθάπερ γὰρ ῥεῦμα ἐπιρρέον ἡ ἄνεσις χαυνοῖ τὴν ψυχήν, καὶ ὅπερ ἐστὶ θέρος καὶ χειμών, τοῦτο διωγμὸς καὶ ἄνεσις. Ἵνα δὲ μάθῃς ἐκ περιουσίας ὅτι χείρων οὗτος ὁ διωγμός,

------

23. Β΄ Τιμ. 3, 12

κεῖνος δὲν ἔχει πλέον ἐλπίδες γιὰ σωτηρία. Δὲν εἶναι κακὸ τὸ νὰ φθάσει κανεὶς στὸ βάθος τῶν κακῶν, ἀλλά, ὅταν καταντήσει σ' αὐτά, τὸ νὰ παραμένει σ' αὐτὴ τὴν κατάσταση· Δὲν εἶναι ἀσέβεια τὸ νὰ περιπέσει κανεὶς στὸ βάθος τῶν κακῶν, ἀλλὰ τὸ νὰ δείξει ἀδιαφορία μετὰ τὴν πτώση του μέσα σ' αὐτά. Πές μου, γι' αὐτὸ ποὺ ὀφείλεις νὰ φροντίζεις ἰδιαίτερα, σὺ δείχνεις τελεία ἀδιαφορία; Ἐνῶ ἔχεις τόσα πολλὰ τραύματα, ἔχασες τὴν ἐλπίδα γιὰ θεραπεία; Κανένα τραῦμα τῆς ψυχῆς δὲν εἶναι ἀθεράπευτο, ἀλλὰ στὴν μὲν περίπτωση τοῦ σώματος ὑπάρχουν πολλὰ ἀθεράπευτα τραύματα, στὴν περίπτωση ὅμως τῆς ψυχῆς κανένα· καὶ γιὰ τὰ μὲν τραύματα τοῦ σώματος δὲν σταματοῦμε νὰ κοπιάζομε ὥστε νὰ θεραπεύσομε αὐτά, ἐνῶ γιὰ τὰ τραύματα τῆς ψυχῆς δείχνομε πλήρη ἀδιαφορία. Δὲν βλέπεις τὸν ληστὴ πῶς μέσα σὲ σύντομο χρόνο κατάρθωσε νὰ σωθεῖ; δὲν βλέπεις τοὺς μάρτυρες πῶς μέσα σὲ σύντομο χρόνο κατόρθωσαν τὸ πᾶν; Ἀλλὰ δὲν εἶναι τώρα καιρὸς μαρτυρίου; Ὅμως, πράγμα ποὺ πολλὲς φορὲς εἶπα, εἶναι καιρὸς ἀγώνων ἂν θὰ θέλαμε· διότι λέγει «Ἐκεῖνοι ποὺ θέλουν νὰ ζοῦν μὲ εὐσέβεια στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, θὰ διωχθοῦν»[23].

Ἐκεῖνοι ποὺ ζοῦν μὲ εὐσέβεια πάντοτε διώκονται, ἂν ὄχι ἀπὸ τοὺς ἀνθρώπους, ὁπωσδήποτε ἀπὸ τοὺς δαίμονες, ποὺ βέβαια εἶναι καὶ φοβερότερος διωγμός. Καὶ πρῶτα τὸν διωγμὸ αὐτὸ τὸν ὑπομένουν ἀπὸ τὴν ἴδια πρὸ πάντων τὴν ἄνεση ἐκεῖνοι ποὺ δὲν εἶναι προσεκτικοί. Ἢ μήπως νομίζεις ὅτι εἶναι μικρὸς διωγμὸς τὸ νὰ ζεῖς μέσα στὴν ἄνεση; Αὐτὸ εἶναι βαρύτερο ἀπὸ ὅλα, αὐτὸ εἶναι χειρότερο καὶ ἀπὸ τὸν διωγμό· διότι ἡ ἄνεση, σὰν ἀκριβῶς ρεῦμα ποὺ κυλάει, ἀποχαυνώνει τὴν ψυχή, καὶ ἐκείνη ἡ σχέση ποὺ ὑπάρχει ἀνάμεσα στὸ θέρος καὶ τὸ χειμώνα, αὐτὴ ὑπάρχει καὶ ἀνάμεσα στὸ διωγμὸ καὶ τὴν ἄνεση. Καὶ γιὰ νὰ γνωρίσεις καλύτερα, ὅτι αὐτὸς ὁ διω-

σκόπει ἐντεῦθεν. Ὕπνον καταχεῖ τῇ ψυχῇ, χάσμην πολλὴν καὶ ῥαθυμίαν ἐμποιεῖ, τὰ πάθη διεγείρει πάντοθεν, ὁπλίζει τύφον, ὁπλίζει ἡδονήν, ὁπλίζει θυμόν, βασκανίαν, κενοδοξίαν, ζῆλον. Ἀλλ' ἐν διωγμῷ τούτων οὐδὲν ἐνοχλεῖν δύναται, ἀλλ' ὁ φόβος ἐπεισελθών, καθάπερ τινὶ μάστιγι σφόδρα κύνα ὑλακτοῦντα πλήξας, ταῦτα πάντα τὰ πάθη οὐδὲ γρῦξαι ἐᾷ. Τίς ἐν διωγμῷ κενοδοξῆσαι δύναται; τίς ἐν ἡδονῇ γενέσθαι; Οὐδείς· ἀλλὰ τρόμος πολὺς καὶ φόβος, πολλὴν τὴν γαλήνην ἐργαζόμενος, εὔδιον τὸν λιμένα παρασκευάζων, τὴν ψυχὴν εὐλαβῆ ποιῶν.

Ἤκουσά ποτε πατέρων τῶν ἡμετέρων λεγόντων (ἐφ' ἡμῶν γὰρ μὴ γένοιτο! κελευόμεθα γὰρ μὴ αἰτεῖν πειρασμόν), ὅτι κατὰ τὸν διωγμὸν τὸν παλαιὸν ἦν ἰδεῖν ὄντως Χριστιανοὺς ἄνδρας· οὐδεὶς γὰρ χρημάτων ἐφρόντιζεν, οὐδεὶς γυναικός, οὐδεὶς παίδων, οὐδεὶς οἰκίας, οὐδεὶς πατρίδος, μία πᾶσιν ἦν σπουδή, τὴν ψυχὴν περισῶσαι ἑαυτῶν. Οἱ μὲν ἐν μνήμασι καὶ τάφοις, οἱ δὲ ἐν ἐρημίαις ἐκρύπτοντο· οὐ μόνον δὲ ἄνδρες, ἀλλὰ καὶ γυναῖκες ἁπαλαὶ καὶ τρυφεραὶ τότε ἐκρύπτοντο, διηνεκεῖ μαχόμεναι λιμῷ. Ἐννόησον οὖν, εἴ τις πολυτελείας, εἴ τις τρυφῆς ἐπεισῆλθεν ἄν ποτε πόθος γυναικί, παρὰ λάρνακι κρυπτομένῃ, καὶ περιμενούσῃ τὴν θεραπαινίδα ὅπως ἔλθῃ κομίζουσα δεῖπνον, καὶ φοβουμένῃ μή πως ἁλῷ, καὶ καθάπερ ἐν καμίνῳ τῷ τάφῳ κειμένῃ· ἆρα γὰρ ἐνθυμήσεται ὅτι γέγονέ ποτε τρυφή, ὅτι κόσμος ὅλως ἐστίν;

γμὸς εἶναι χειρότερος, πρόσεξε τὰ ἑξῆς. Ὕπνο προξενεῖ στὴν ψυχή, δημιουργεῖ μεγάλο χασμουρητὸ καὶ ὀκνηρία, διεγείρει ἀπὸ παντοῦ τὰ πάθη, ὁπλίζει τὴν ὑπερηφάνεια, ὁπλίζει τὴν ἡδονή, ὁπλίζει τὸν θυμό, τὸν φθόνο, τὴν κενοδοξία, τὸν ζῆλο. Ὅμως κατὰ τὴν περίοδο διωγμοῦ τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν μπορεῖ νὰ ἐνοχλήσει, ἀλλά, ἐπερχόμενος ὁ φόβος, καὶ ἐπιφέροντας, σὰν ἀκριβῶς μὲ κάποιο μαστίγιο, φοβερὸ πλῆγμα στὸ σκύλο που γαυγίζει, δὲν ἀφήνει ὅλα αὐτὰ τὰ πάθη οὔτε κὰν νὰ κάνουν τὴν ἐμφάνισή τους· Ποιός, ὅταν διώκεται, μπορεῖ νὰ δείξει κενοδοξία; Ποιὸς μπορεῖ νὰ αἰσθανθεῖ ἡδονή; Κανένας, ἀλλὰ τὸν κυριεύει πολὺς τρόμος καὶ φόβος, ποὺ δημιουργεῖ πολλὴ γαλήνη, ποὺ καθιστᾶ γαλήνιο τὸ λιμάνι καὶ κάμει εὐλαβὴ τὴν ψυχή.

Ἄκουσα κάποτε πατέρες μας νὰ λένε (εὔχομαι βέβαια σ' ἐμᾶς νὰ μὴ συμβεῖ! διότι λάβαμε ἐντολὴ νὰ μὴ ζητοῦμε πειρασμό), ὅτι κατὰ τὸν διωγμὸ τὸν παλιὸ μποροῦσε νὰ δεῖ κανένας ἀληθινοὺς ἄνδρες χριστιανούς· διότι κανένας δὲν φρόντιζε γιὰ χρήματα, κανένας γιὰ γυναίκα, κανένας γιὰ παιδιά, κανένας γιὰ οἰκία, κανένας γιὰ πατρίδα, ἀλλὰ μία ἦταν ἡ φροντίδα ὅλων, νὰ σώσουν τὴν ψυχή τους. Ἄλλοι μὲν κρύβονταν μέσα σὲ μνήματα καὶ τάφους, ἄλλοι δὲ στὶς ἐρημιές· ὄχι δὲ μόνο ἄνδρες, ἀλλὰ καὶ γυναῖκες ἀπαλὲς καὶ τρυφερὲς κρύβονταν τότε, πολεμούμενες ἀπὸ διαρκὴ πείνα. Σκέψου λοιπόν, ἂν κάποτε συνέβηκε γυναίκα νὰ πόθησε κάποιο εἶδος πολυτέλειας ἢ ἀπολαυστικῆς ζωῆς, νὰ εἶναι τώρα κρυμμένη δίπλα στὴ λάρνακα καὶ νὰ περιμένει τὴν ὑπηρέτρια νὰ ρθεῖ καὶ νὰ τῆς φέρει τὸ δεῖπνο της, νὰ φοβᾶται μήπως συλληφθεῖ, καὶ νὰ βρίσκεται μέσα στὸν τάφο σὰν ἀκριβῶς νὰ βρίσκεται μέσα σὲ καμίνι· ἄραγε λοιπὸν θὰ σκεφθεῖ ὅτι ὑπῆρξε κάποτε ζωὴ μὲ ἀπολαύσεις καὶ γενικὰ ὅτι ὑπάρχει κόσμος;

Ὁρᾷς ὅτι νῦν ἐστι μᾶλλον ὁ διωγμός, καθάπερ θηρίων τῶν παθῶν ἐπιτιθεμένων ἡμῖν πάντοθεν; Νῦν ἔστιν ὁ χαλεπὸς διωγμός, ταύτῃ τε, καὶ ὅτι οὐδὲ νομίζεται εἶναι διωγμός· καὶ γὰρ καὶ τοῦτο ἔχει τὸ χαλεπὸν οὗτος ὁ πόλεμος, ὃς εἰρήνη νομίζεται, ἵνα μὴ ὁπλιζώμεθα κατ' αὐτοῦ, μηδὲ διαναστῶμεν· οὐδεὶς δέδοικεν, οὐδεὶς τρέμει. Εἰ δὲ ἀπιστεῖτε, τοὺς Ἕλληνας ἐρωτήσατε, τοὺς διώκοντας, πότε τὰ τῶν Χριστιανῶν ἀκριβέστερα, πότε δοκιμώτεροι πάντες; Εἰς ὀλίγον μὲν περιειστήκει τότε τὸ πλῆθος, εἰς πολὺν δὲ ἀρετῆς πλοῦτον ἦν· τί γὰρ ὄφελος, εἰπέ μοι, πολὺν εἶναι χόρτον, παρὸν λίθους εἶναι τιμίους; Οὐκ ἐν τῷ πλήθει τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ δοκιμότητι τῆς ἀρετῆς τὸ πλῆθός ἐστιν.

Ὁ Ἠλίας εἷς ἦν, ἀλλ' ὁ κόσμος οὐκ ἦν αὐτοῦ ἀντάξιος· καὶ μὴν ὁ κόσμος μυριάδες εἰσίν, ἀλλ' οὐκ εἰσὶ μυριάδες, ὅταν μηδὲ πρὸς τὸν ἕνα ἐξισῶνται. «Κρείσσων εἷς, ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι». Τοῦτο καί τις σοφὸς αἰνιττόμενος οὕτω πώς φησι· «Μὴ ἐπιθύμει πλῆθος τέκνων ἀχρήστων». Οὗτοι καὶ βλασφημίαν προστρίβονται τῷ Θεῷ μᾶλλον, ἢ εἰ μὴ ἦσαν Χριστιανοί. Τί μοι δεῖ πλήθους; Τροφὴ πλείων τῷ πυρί. Τοῦτο καὶ ἐκ τοῦ σώματος γνοίης ἄν, ὅτι βελτίων σύμμετρος τροφὴ μετὰ ὑγιείας, ἢ τρυφὴ μετὰ κακώσεως. Αὕτη πλείων ἐκείνης ἡ τροφή· τοῦτο τροφή, ἐκεῖνο νόσος. Τοῦτο καὶ ἐν πολέμῳ ἴδοι τις ἄν, βέλτιον

------

24. Σοφ. Σειρ. 16, 3.
25. Πρόκειται γιὰ τὸν ἴδιο. Σοφ. Σειρ. 16, 1.

Βλέπεις ὅτι τώρα συμβαίνει ὁ μεγαλύτερος διωγμός, τώρα ποὺ τὰ πάθη μᾶς ἐπιτίθενται ἀπὸ παντοῦ σὰν ἀκριβῶς θηρία; Τώρα ὑπάρχει ὁ φοβερὸς διωγμός, καὶ γιὰ τοὺς λόγους ποὺ ἀναφέρθηκαν, καὶ γιὰ τὸ λόγο ὅτι δὲν θεωρεῖται ὅτι εἶναι διωγμός· καθόσον ὁ πόλεμος αὐτὸς ἔχει καὶ αὐτὸ τὸ φοβερό, ὅτι δηλαδὴ θεωρεῖται εἰρήνη, ὥστε νὰ μὴ ὁπλιζόμαστε οὔτε καὶ νὰ ἐξεγειρόμαστε ἐναντίον του· κανένας δὲν φοβᾶται, κανένας δὲν τρέμει. Ἂν δὲ ἀμφιβάλλετε, ρωτῆστε τοὺς ἐθνικούς, ποὺ καταδιώκουν τοὺς Χριστιανούς, πότε τὰ πράγματα τῶν χριστιανῶν ἦταν ὑψηλότερα, πότε ὅλοι τους παρουσίασαν μεγαλύτερη πνευματικὴ πρόοδο; Λίγο μὲν ἦταν τότε τὸ πλῆθος τῶν χριστιανῶν, διακρινόταν ὅμως γιὰ τὸν μεγάλο πλοῦτο τῆς ἀρετῆς του. Διότι πές μου· ποιό τὸ ὄφελος νὰ ὑπάρχει πολὺ χόρτο, ἀφοῦ εἶναι δυνατὸ νὰ ὑπάρχουν πολύτιμοι λίθοι; Τὸ πλῆθος δὲν ὑπάρχει στὸ πλῆθος τῶν ἀριθμῶν, ἀλλὰ στὴν εὐδοκίμηση καὶ πρόοδο τῆς ἀρετῆς.

Ὁ Ἠλίας ἦταν ἕνας, ἀλλ' ὁ κόσμος δὲν ἦταν ἀντάξιος αὐτοῦ· καὶ βέβαια ὁ κόσμος εἶναι μυριάδες ἄνθρωποι, ἀλλὰ δὲν εἶναι αὐτοὶ μυριάδες, ὅταν δὲν μποροῦν νὰ ἐξισωθοῦν οὔτε μὲ τὸν ἕνα. «Εἶναι προτιμότερος ἕνας ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Κυρίου, παρὰ ἀμέτρητοι παράνομοι»[24]. Αὐτὸ ὑπονοώντας καὶ κάποιος σοφὸς λέγει τὸ ἑξῆς· «Μὴ ἐπιθυμεῖς πλῆθος τέκνων ἀχρήστων»[25]. Αὐτοὶ οἱ ἄνθρωποι βλασφημοῦν περισσότερο ἐναντίον τοῦ Θεοῦ, παρὰ ἂν δὲν ἦταν χριστιανοί. Τί μοῦ χρειάζεται τὸ πλῆθος; Ἀποτελεῖ αὐτὸ περισσότερη τροφὴ γιὰ τὸ πῦρ τῆς κολάσεως. Αὐτὸ θὰ μποροῦσες νὰ τὸ διαπιστώσεις καὶ ἀπὸ τὸ σῶμα, ὅτι δηλαδὴ εἶναι προτιμότερη ἡ μέτρια τροφὴ καὶ νὰ ὑπάρχει μαζὶ μ' αὐτὴν καὶ ὑγεία, παρὰ πλούσια καὶ ἀπολαυστικὴ τροφὴ μαζὶ μὲ κάκωση τοῦ σώματος. Ἡ πρώτη τροφὴ εἶναι περισσότερη καὶ καλύτερη ἀπὸ τὴ δεύ-

εἶναι δέκα ἐμπείρους καὶ γενναίους ἄνδρας, ἢ μυρίους ἀπείρους. Οὗτοι πρὸς τῷ μηδὲν ἐργάσασθαι καὶ τοὺς ἐργαζομένους ἐγκόπτουσι. Τοῦτο καὶ ἐπὶ πλοίου εὕροι τις ἄν, βέλτιον εἶναι δύο ναύτας ἐμπείρους, ἢ μυρίον πλῆθος ἀπείρων· οὗτοι γὰρ τὸ πλοῖον καὶ καταδύσουσι.

4. Ταῦτα λέγω, οὐχὶ πρὸς τὸ πλῆθος ὑμῶν ἀπεχθῶς ἔχων, ἀλλὰ βουλόμενος πάντας εἶναι δοκίμους, καὶ μὴ τῷ πλήθει θαρρεῖν. Πολλῷ πλείους εἰσὶν οἱ εἰς τὴν γέενναν εἰσιόντες, ἀλλὰ μείζων αὐτῆς ἐστιν ἡ βασιλεία, κἂν ὀλίγους ἔχῃ. Ὡς ἡ ἄμμος τῆς θαλάσσης ἦν τὸ πλῆθος τοῦ λαοῦ, ἀλλ' εἷς ἔσωσεν αὐτούς. Εἷς ἦν ὁ Μωϋσῆς, καὶ πάντων μείζονα ἴσχυσεν· εἷς ἦν ὁ Ἰησοῦς, καὶ τῶν ἑξακοσίων χιλιάδων πλέον ἠδυνήθη. Μὴ τοῦτο σπουδάζωμεν, ὅπως πολλοὶ γένοιντο μόνον, ἀλλὰ πρὸ τούτου, ὅπως δόκιμοι· ὅταν τοῦτο κατασκευασθῇ, τότε κἀκεῖνο. Οὐδεὶς οἰκίαν εὐρύχωρον πρῶτον βούλεται ποιῆσαι, ἀλλὰ πρῶτον ἰσχυρὰν καὶ δόκιμον, καὶ τότε εὐρύχωρον· οὐδεὶς βάλλει θεμέλια, ἵνα καταγελασθῇ. Πρῶτον τοῦτο ζητῶμεν, καὶ τότε ἐκεῖνο. Τούτου ὄντος, εὔκολον κἀκεῖνο ἔσται· ἐκείνου δὲ οὐκ ὄντος, τοῦτο κἂν ᾖ, οὐδὲν ὄφελος. Ὄντων μὲν γὰρ τῶν δυναμένων ἐν Ἐκκλησίᾳ λάμψαι, ταχέως ἔσται καὶ πλῆθος· τούτων δὲ οὐκ ὄντων, τὸ πλῆθος οὐδέποτε ἔσται δόκιμον.

τερη· αὐτὴ εἶναι τροφή, ἐνῶ ἐκείνη νόσος. Αὐτὸ θὰ μποροῦσε κανένας νὰ δεῖ νὰ συμβαίνει καὶ στὸν πόλεμο· προτιμότερο δηλαδὴ εἶναι νὰ ὑπάρχουν δέκα ἐμπειροπόλεμοι καὶ γενναῖοι ἄνδρες, παρὰ ἀμέτρητοι χωρὶς πολεμικὴ πείρα. Αὐτοὶ μὴ μπορώντας νὰ κάνουν τίποτε, ἐμποδίζουν καὶ ἐκείνους ποὺ κάνουν. Αὐτὸ θὰ μποροῦσε κανένας νὰ δεῖ νὰ συμβαίνει καὶ σὲ πλοῖο, ὅτι δηλαδὴ εἶναι προτιμότερο νὰ ὑπάρχουν δύο ναῦτες ἔμπειροι, παρὰ ἀμέτρητο πλῆθος χωρὶς πείρα· διότι αὐτοὶ καὶ θὰ καταβυθίσουν τὸ πλοῖο.

4. Αὐτὰ τὰ λέγω, ὄχι ἐπειδὴ τρέφω ἐχθρικότητα πρὸς ἐσᾶς τὸ πλῆθος, ἀλλ᾽ ἐπειδὴ θέλω ὅλοι νὰ εἶστε ἄξιοι καὶ σπουδαῖοι καὶ νὰ μὴ στηρίζεσθε στὸ πλῆθος. Πολὺ περισσότεροι εἶναι ἐκεῖνοι ποὺ εἰσέρχονται στὴ γέεννα, ἀλλ᾽ ὅμως εἶναι ἀνώτερη ἡ βασιλεία τῶν οὐρανῶν, καὶ ἂν ἀκόμα ἔχει λιγότερους. Σὰν τὴν ἄμμο τῆς θάλασσας ἦταν τὸ πλῆθος τοῦ ἰουδαϊκοῦ λαοῦ, ἀλλ᾽ ὅμως ἕνας ἔσωσε αὐτούς. Ἕνας ἦταν ὁ Μωυσῆς, καὶ κατόρθωσε νὰ κάνει περισσότερα ἀπὸ ὅλους· ἕνας ἦταν ὁ Ἰησοῦς, καὶ κατόρθωσε νὰ ἐπιτύχει περισσότερα ἀπὸ τὶς ἑξακόσιες χιλιάδες. Ἂς μὴ φροντίζομε αὐτό, τὸ πῶς δηλαδὴ θὰ μποροῦσαν νὰ γίνουν οἱ πιστοὶ μόνο πολλοί, ἀλλὰ πρὶν ἀπ᾽ αὐτό, τὸ πῶς θὰ μποροῦσαν νὰ γίνουν γνήσιοι· ὅταν κατορθωθεῖ αὐτό, τότε θὰ ἐπιτευχθεῖ καὶ ἐκεῖνο. Κανένας δὲν ἐπιθυμεῖ καὶ δὲν ἐπιχειρεῖ νὰ κατασκευάσει πρῶτα οἰκία εὐρύχωρη, ἀλλὰ πρῶτα ἰσχυρὴ καὶ κατάλληλη, καὶ μετὰ εὐρύχωρη· κανένας δὲν βάζει θεμέλια, γιὰ νὰ καταγελασθεῖ. Πρῶτα αὐτὸ ἐπιδιώκομε, καὶ μετὰ ἐκεῖνο. Ὅταν γίνει αὐτό, εὔκολα θὰ γίνει καὶ ἐκεῖνο· ἂν ὅμως δὲν ὑπάρχει αὐτό, καὶ ἂν ἀκόμα ὑπάρχει αὐτό, δὲν ὑπάρχει κανένα ὄφελος. Διότι, ὅταν ὑπάρχουν ἐκεῖνοι ποὺ μποροῦν νὰ χαρίσουν λαμπρότητα στὴν ἐκκλησία, γρήγορα θὰ γίνει καὶ τὸ πλῆθος· ὅταν ὅμως δὲν ὑπάρχουν αὐτοί, τὸ πλῆθος ποτὲ δὲν θὰ εἶναι γνήσιο.

Πόσους οἴεσθε ἐν τῇ πόλει τῇ ἡμετέρᾳ εἶναι τοὺς σωζομένους; Ἐπαχθὲς μέν ἐστιν, ὃ μέλλω λέγειν, ἐρῶ δὲ ὅμως. Οὐκ ἔστιν ἐν τοσαύταις μυριάσιν ἑκατὸν εὑρεῖν τοὺς σωζομένους· ἀλλὰ καὶ ὑπὲρ τούτων ἀμφισβητῶ. Πόση γάρ, εἰπέ μοι, κακία ἐν τοῖς νέοις; πόση ῥαθυμία ἐν τοῖς γεγηρακόσιν; Οὐδεὶς ὡς χρὴ ἐπιμέλειαν ἔχει τοῦ παιδὸς τοῦ ἑαυτοῦ· οὐδεὶς ἔχει ζῆλον πρὸς πρεσβύτην ἰδὼν μιμήσασθαι. Τὰ ἀρχέτυπα ἠφάνισται· διὰ τοῦτο οὐδὲ οἱ νέοι γίνονται θαυμαστοί. Μή μοι ἐκεῖνο λέγε, ὅτι 'πολυοχλοῦμεν'. Τοῦτο ψυχρῶν ἀνθρώπων ἐστί· καὶ ἐπὶ μὲν ἀνθρώπων εἰκότως ἂν τοῦτο λέγοιτο, ἐπὶ δὲ Θεοῦ, τοῦ οὐ δεομένου ἡμῶν, οὐκ ἔτι. Ὅτι δὲ καὶ ἐκεῖ ψυχρόν ἐστι τὸ ῥῆμα, ἄκουσον. Ὁ πολλοὺς ἔχων οἰκέτας, ἂν διεφθαρμένους αὐτοὺς ἔχῃ, ὅσα πείσεται δεινά! Καὶ ἐπὶ μὲν τοῦ μηδένα ἔχοντος τοῦτο δοκεῖ εἶναι τὸ δεινόν, ὅτι οὐχ ὑπηρετεῖται, ἐπὶ δὲ τοῦ τοὺς πονηροὺς ἔχοντος, καὶ ἑαυτὸν προσαπόλλυσι μετ' ἐκείνων, καὶ μείζων ἡ ζημία· τοῦ γὰρ ἑαυτῷ διακονεῖν πολλῷ χαλεπώτερον τὸ καὶ ἑτέροις πυκτεύειν καὶ πόλεμον ἀναδέχεσθαι.

Ταῦτα λέγω, ἵνα μή τις τὴν Ἐκκλησίαν θαυμάζῃ διὰ τὸ πλῆθος, ἀλλ' ἵνα σπουδάζωμεν αὐτὸ δόκιμον ἐργάσασθαι· ἵνα ἕκαστος τοῦ οἰκείου προνοῇ μέλους, οὐχὶ τῶν φίλων, οὐδὲ τῶν συγγενῶν, ὅπερ ἀεὶ λέγω, οὐδὲ τῶν γειτόνων, ἀλλὰ καὶ ὥστε τοὺς ξένους ἐφέλκεσθαι. Οἷον, εὐχὴ γίνεται, κεῖνται πάντες νέοι ψυχροὶ καὶ γέροντες· καθάρματα μᾶλλον ἢ νέοι, γελῶντες, ἀ-

Πόσοι νομίζετε ὅτι ὑπάρχουν στὴν πόλη ποὺ εἶναι ἄξιοι σωτηρίας; Εἶναι βαρὺ μὲν αὐτὸ ποὺ πρόκειται νὰ πῶ, ἀλλ' ὅμως θὰ τό πῶ. Δὲν εἶναι δυνατὸ νὰ βρεῖ κανένας μέσα σὲ τόσες μυριάδες ἑκατὸ ἄξιους σωτηρίας, ἀλλὰ καὶ γι' αὐτοὺς ἀκόμα ἔχω ἀμφιβολίες. Διότι πές μου, πόση κακία ὑπάρχει στοὺς νέους; πόση ἀδιαφορία στοὺς γέροντες; Κανένας δὲν φροντίζει ὅπως πρέπει γιὰ τὸ παιδί του· κανένας δὲν ἔχει τὸ ζῆλο νὰ προσέξει γέροντα καὶ νὰ τὸν μιμηθεῖ. Τὰ πρότυπα μιμήσεως ἐξαφανίστηκαν· γι' αὐτὸ οὔτε οἱ νέοι γίνονται θαυμαστοί. Μὴ μοῦ πεῖς ἐκεῖνο, 'ὅτι δηλαδὴ εἴμαστε μεγάλο πλῆθος'. Αὐτὰ εἶναι λόγια ψυχρῶν ἀνθρώπων· καὶ γιὰ μὲν τοὺς ἀνθρώπους πολὺ σωστὰ θὰ μποροῦσε αὐτὸ νὰ λέγεται, γιὰ τὸ Θεὸ ὅμως, ποὺ δὲν ἔχει τὴν ἀνάγκη μας, ὁπωσδήποτε ὄχι. Τὸ ὅτι δὲ αὐτὰ τά λεγόμενα καὶ γιὰ τοὺς ἀνθρώπους εἶναι λόγια ψυχρά, ἄκουσε. Ἐκεῖνος ποὺ ἔχει πολλοὺς δούλους, πόσα κακὰ θὰ πάθει, ἂν αὐτοὶ εἶναι διεφθαρμένοι; Καὶ γιά ἐκεῖνον μὲν ποὺ δὲν ἔχει κανένα δοῦλο αὐτὸ θεωρεῖται ὅτι εἶναι τὸ κακό, τὸ ὅτι δὲν ὑπηρετεῖται, στὴν περίπτωση ὅμως ἐκείνου ποὺ ἔχει κακοὺς δούλους, καὶ τὸν ἑαυτό του καταστρέφει μαζὶ μὲ ἐκείνους καὶ ἡ ζημιὰ εἶναι μεγαλύτερη· διότι ἀπὸ τὸ νὰ ὑπηρετεῖ κανένας τὸν ἑαυτό του εἶναι πολὺ χειρότερο τὸ νὰ βρίσκεται σὲ μάχη καὶ πόλεμο ἐναντίον ἄλλων.

Αὐτὰ τὰ λέγω, γιὰ νὰ μὴ θαυμάζει κανένας τὴν ἐκκλησία γιὰ τὸ πλῆθος της, ἀλλὰ γιά νὰ φροντίζομε νὰ καταστήσομε αὐτὸ γνήσιο καὶ ἄξιο, γιὰ νὰ φροντίζει ὁ καθένας γιὰ τὸ δικό του μέλος, ὄχι γιὰ τοὺς φίλους του, οὔτε τοὺς συγγενεῖς του, πράγμα ποὺ πάντοτε λέγω, οὔτε γιὰ τοὺς γείτονές του, ἀλλὰ καὶ μὲ σκοπὸ νὰ προσελκύσει τοὺς ξένους. Γιὰ παράδειγμα, γίνεται προσευχή, στέκονται ὅλοι, νέοι καὶ γέροντες, ἀδιάφοροι· πολὺ περισ-

νακαγχάζοντες, διαλεγόμενοι (καὶ γὰρ καὶ τοῦτο ἤκουσα γινόμενον), καὶ ἀλλήλους σκώπτοντες, ἐπὶ γόνατα κείμενοι· σὺ παρέστηκας ὁ νέος ἢ ὁ πρεσβύτης, ἐπίπληξον, ἂν ἴδῃς, ἐγκάλεσον σφοδρότερον, οὐκ ἀνεχόμενον, τὸν διάκονον κάλεσον, ἀπείλησον, τὰ παρὰ σαυτοῦ ποίησον· καὶ ἐὰν τολμήσῃ τι εἰς σὲ ἐργάσασθαι, πάντως πολλοὺς ἕξεις τοὺς συναιρομένους· τίς γὰρ οὕτως ἀλόγιστος, ὡς, ἰδών σε ἐγκαλοῦντα ὑπὲρ τοιούτων κἀκείνους ἐγκαλουμένους, μὴ τῆς σῆς γενέσθαι μερίδος; Ἄπελθε λαβὼν τὸν μισθὸν ἀπὸ τῆς εὐχῆς. Ἐν οἰκίᾳ δεσποτικῇ τούτους εὐνουστέρους τῶν δούλων κρίνομεν, ὅσοι περ ἂν μηδὲν παρορῶσιν ἀτάκτως κείμενον σκεῦος. Εἰπὲ δή μοι, ἂν ἴδῃς ἐν οἰκίᾳ τὸ ἀργύρεον σκεῦος ἔξω ἐρριμμένον, κἂν μὴ ᾖς ἐπιτεταγμένος, ἆρ' οὐ λήψῃ τοῦτο, καὶ εἰσοίσεις ἐν τῇ οἰκίᾳ; ἂν ἱμάτιον ἁπλῶς ἐρριμμένον, κἂν μὴ ἔχῃς τὴν φροντίδα, κἂν ἐχθρὸς ᾖς τοῦ προστεταχότος, διὰ τὴν εἰς τὸν δεσπότην εὔνοιαν οὐ θήσεις τοῦτο καλῶς; Οὕτω καὶ νῦν. Σκεύη ταῦτά ἐστιν· ἂν ἴδῃς ἀτάκτως κείμενα, μεταρρύθμισον· ἐμοὶ πρόσελθε, οὐ παραιτοῦμαι· ἐμοὶ εἰπέ, δῆλον κατάστησον· οὐ δύναμαι πάντα ὁρᾶν, σύγγνωτε.

Ὁρᾶτε ὅση κακία τὴν οἰκουμένην κατέχει. Μή τι ἁπλῶς ἔλεγον ὅτι πλῆθός ἐσμεν χάρτου, πέλαγος ἄτακτον; Οὐ λέγω ὅτι ἐκεῖνοι τοιαῦτα ποιοῦσιν, ἀλλ' ὅτι τοσοῦτος ὕπνος καταχεῖται τῶν εἰσιόντων, ὥστε μηδὲ

σότερο ἀνάξιοι καὶ ἀπόβλητοι εἶναι οἱ γέροντες, παρὰ οἱ νέοι, διότι, ἐνῶ εἶναι γονατισμένοι, γελοῦν, χαχανίζουν, συζητοῦν (καθόσον ἄκουσα ὅτι καὶ αὐτὸ γίνεται), καὶ περιπαίζουν ὁ ἕνας τὸν ἄλλο· εἶσαι παρὼν ἐσὺ ὁ νέος ἢ ὁ γέροντας, ἂν δεῖς κάποιον νὰ τὸ κάνει αὐτὸ ἐπίπληξέ τον, ἔλεγξέ τον πολὺ αὐστηρά, μὴ τὸν ἀνέχεσαι, κάλεσε τὸν διάκονο, ἀπείλησέ τον, κάνε ὅ,τι ἐξαρτᾶται ἀπὸ σένα· καὶ ἂν τολμήσει νὰ σοῦ κάνει κάτι, ὁπωσδήποτε θὰ ἔχεις πολλοὺς ὑποστηριχτές σου· διότι ποιὸς θά εἶναι τόσο ἀπερίσκεπτος, ὥστε, βλέποντάς σε νὰ ἐλέγχεις γιὰ τέτοια πράγματα καὶ νὰ κατηγοροῦνται καὶ ἐκεῖνοι, δὲν θὰ ταχθεῖ μὲ τὸ μέρος σου; Ἀναχώρησε ἀπὸ τὴν ἐκκλησία, λαμβάνοντας τὸν μισθὸ ἀπὸ τὴν προσευχή. Σὲ δεσποτικὴ οἰκία θεωροῦμε περισσότερο ἀγαπητοὺς ἀπὸ τοὺς δούλους ἐκείνους ποὺ δὲν ἀφήνουν ἀδιάφοροι κανένα ἀπὸ τὰ ἀντικείμενα μὴ βρισκόμενο στὴ θέση του. Πές μου σὲ παρακαλῶ, ἂν δεῖς σὲ κάποια οἰκία πεταμένο ἔξω τὸ ἀργυρένιο σκεῦος, καὶ ἂν ἀκόμα δὲν ἔλαβες ἐντολή, ἄραγε δὲν θὰ τὸ πάρεις καὶ θὰ τὸ μεταφέρεις μέσα στὴν οἰκία; ἂν δεῖς ἕνα ἔνδυμα πεταμένο στὴν τύχη, καὶ ἂν ἀκόμα δὲν εἶσαι ὑπεύθυνος γι' αὐτό, καὶ ἂν ἀκόμα εἶσαι ἐχθρὸς ἐκείνου ποὺ εἶναι ὑπεύθυνος γι' αὐτό, δὲν θὰ φροντίσεις γι' αὐτὸ ὅπως πρέπει ἐξ αἰτίας τῆς εὐνοιάς σου ἀπέναντι στὸν κύριό σου; Ἔτσι καὶ τώρα ἐνέργησε. Σκεύη εἶναι αὐτά· ἂν τὰ δεῖς νὰ βρίσκονται σὲ ἀκαταστασία, τακτοποίησέ τα ὅπως πρέπει· ἔλα σ' ἐμένα καὶ δὲν θ' ἀρνηθῶ· πές το σ' ἐμένα, φανέρωσέ το σ' ἐμένα· δὲν μπορῶ ὅλα νὰ τὰ βλέπω, συγχωρῆστε με.

Βλέπετε πόση κακία κυριαρχεῖ στὴν οἰκουμένη· Μήπως δὲν εἶχα δίκιο ποὺ ἔλεγα ὅτι εἴμαστε πλῆθος χόρτου καὶ πέλαγος ἄτακτο; Δὲν λέγω ὅτι ἐκεῖνοι διαπράττουν τέτοιου εἴδους πράγματα, ἀλλ' ὅτι τόση μεγάλη ἀδιαφορία κυριαρχεῖ σ' αὐτοὺς ποὺ εἰσέρχονται ἐδῶ, ὥστε οὔτε

ταῦτα διορθοῦν. Πάλιν ἑτέρους ὁρῶ διαλεγομένους ἑστῶτας, τῆς εὐχῆς γινομένης· οἱ δὲ ἐπιεικέστεροι αὐτῶν, οὐδὲ τῆς εὐχῆς γινομένης μόνον, ἀλλὰ καὶ εὐλογοῦντος τοῦ ἱερέως. Ὢ τῆς τόλμης! πότε ἔσται σωτηρία; πῶς δυνησόμεθα τὸν Θεὸν ἐξιλεώσασθαι; Εἰς παιδιὰν ἂν ἀπέλθῃς, ὄψει πάντας εὐρύθμους χορεύοντας, καὶ οὐδὲν παρημελημένον. Ὡς οὖν ἐν λύρᾳ παναρμονίῳ καὶ ποικίλως ἐσκευασμένῃ μία τις εὔηχος συμφωνία ἀποτελεῖται ἐκ τῆς καθ' ἕκαστον εὐταξίας τῶν συγκειμένων, οὕτω δὴ καὶ ἐνταῦθα μίαν ἐξ ἁπάντων σύμφωνον ἁρμονίαν προσῆκεν ἀποτελεῖσθαι· μία γὰρ γεγόναμεν Ἐκκλησία, μιᾶς κεφαλῆς συναρμολογούμενα μέλη τελοῦμεν, ἓν οἱ πάντες κατέστημεν σῶμα· ἂν ἀμεληθῇ τὸ τυχόν, τὸ πᾶν ἠμέληται καὶ διέφθαρται. Οὕτω τῇ τῶν πολλῶν εὐταξίᾳ ἡ τοῦ ἑνὸς ἀταξία λυμαίνεται. Καὶ τὸ δὴ φοβερόν, ὅτι ἐνταῦθα οὐχὶ παιδιὰν οὐδὲ χορείαν ἔρχῃ χορεύσων, καὶ ἕστηκας ἄτακτος. Οὐκ οἶδας ὅτι μετὰ ἀγγέλων ἕστηκας; μετ' ἐκείνων ᾄδεις, μετ' ἐκείνων ὑμνεῖς, καὶ ἕστηκας γελῶν; Ὅτι γὰρ σκηπτὸς οὐκ ἀφίεται, οὐκ ἐπ' ἐκείνους μόνον, ἀλλὰ καὶ ἐφ' ἡμᾶς, οὐ θαυμαστόν; ἄξια γὰρ σκηπτοῦ ταῦτα. Πάρεστιν ὁ βασιλεύς, θεωρεῖ τὸ στρατόπεδον, σὺ δὲ ὑπὸ ταῖς ἐκείνων ὄψεσιν ἕστηκας γελῶν, ἢ τὸν γελῶντα περιορῶν;

Ἀλλὰ μέχρι τίνος ἐγκαλοῦμεν; μέχρι τίνος μεμφόμεθα; Οὐ γὰρ ὡς λυμεῶνας, οὐ γὰρ ὡς φθορέας, οὐ γὰρ ὡς ἐξώλεις καὶ διεφθαρμένους τοὺς τοιούτους, καὶ μυρίων γέμοντας κακῶν τῆς Ἐκκλησίας ἀπελαύνεσθαι ἔδει; Πότε οὗτοι φείσονται γέλωτος, οἱ ἐν ὥρᾳ φρίκης

αὐτὰ νὰ διορθώνουν. Ἐπίσης βλέπω ἄλλους νὰ στέκονται καὶ νὰ συζητοῦν τὴν ὥρα ποὺ γίνεται ἡ προσευχή, ἐνῶ οἱ περισσότεροι ἀδιάφοροι ἀπὸ αὐτούς, τὸ κάμνουν αὐτὸ ὄχι μόνο ὅταν γίνεται ἡ προσευχή, ἀλλὰ καὶ ὅταν εὐλογεῖ ὁ ἱερεύς. Πῶ, πὼ μέγεθος τόλμης! πότε θὰ ἐπιτευχθεῖ ἡ σωτηρία; πῶς θὰ μπορέσομε νὰ ἐπιτύχομε τὴν εὐσπλαχνία τοῦ Θεοῦ; Ἂν πᾶς σὲ παιδικὸ χορό, θὰ δεῖς ὅλους νὰ χορεύουν μὲ ρυθμὸ καὶ τίποτε νὰ μὴ παραμελοῦν. Ὅπως λοιπὸν σὲ λύρα παναρμόνια καὶ ρυθμισμένη μὲ κατάλληλο τρόπο δημιουργεῖται μιὰ ἁρμονικὴ συμφωνία ἀπὸ τὴν κατάλληλη ρύθμιση ὅλων τῶν χορδῶν ἀπὸ τὶς ὁποῖες ἀπαρτίζεται, ἔτσι λοιπὸν καὶ ἐδῶ ἔπρεπε νὰ ἐπικρατεῖ ἀπὸ ὅλους μία ἁρμονικὴ συμφωνία· διότι μία ἐκκλησία ἔχομε γίνει, μιᾶς κεφαλῆς συναρμολογούμενα μέλη εἴμαστε, ἕνα σῶμα γίναμε ὅλοι· ἂν παραμεληθεῖ τὸ παραμικρό, τὸ πᾶν παραμελεῖται καὶ καταστρέφεται· Ἔτσι τὴν εὐταξία τῶν πολλῶν τὴν καταστρέφει ἡ ἀταξία τοῦ ἑνός. Καὶ τὸ φοβερὸ βέβαια εἶναι, ὅτι ἐδῶ δὲν ἔρχεσαι γιὰ νὰ λάβεις μέρος σὲ παιδικὸ παιχνίδι ἢ χορό, καὶ ὅμως στέκεσαι ἄτακτος. Δὲν γνωρίζεις ὅτι στέκεσαι μαζὶ μὲ ἀγγέλους; μαζὶ μὲ ἐκείνους ψάλλεις, μαζὶ μὲ ἐκείνους ὑμνεῖς, καὶ στέκεσαι γελώντας; Δὲν εἶναι λοιπὸν ἄξιο θαυμασμοῦ τὸ ὅτι δὲν ρίχνεται κεραυνός, ὄχι μόνο ἐναντίον ἐκείνων, ἀλλὰ καὶ ἐναντίον μας; διότι αὐτὰ εἶναι ἄξια γιὰ κεραυνό. Εἶναι παρὼν ὁ βασιλιάς, ἐπιθεωρεῖ τὸ στρατό, σὺ ὅμως στέκεσαι κάτω ἀπὸ τὰ βλέμματα ἐκείνων γελώντας, ἢ ἀδιαφορεῖς γιὰ ἐκεῖνον ποὺ γελᾶ;

Ἀλλὰ μέχρι πότε θὰ κατηγοροῦμε; μέχρι πότε θὰ μεμφόμαστε; Δὲν ἔπρεπε λοιπὸν τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους νὰ τοὺς ἀπομακρύνομε ἀπὸ τὴν ἐκκλησία σὰν καταστροφεῖς, σὰν διαφθορεῖς, σὰν ἀνθρώπους ποὺ σκορποῦν τὸν ὄλεθρο, σὰν διεφθαρμένους καὶ γεμάτους ἀπὸ ἀμέτρητα κακά; Πότε αὐτοὶ θὰ σταματήσουν τὰ γέλια,

γελῶντες; πότε ἀφέξονται φλυαρίας, οἱ ἐν τῷ καιρῷ τῆς εὐλογίας διαλεγόμενοι; οὐ τοὺς παρόντας αἰδοῦνται; οὐ γὰρ τὸν Θεὸν δεδοίκασιν; οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ κατὰ διάνοιαν ῥαθυμία, οὐδὲ ὅτι εὐχόμενοι ἀλλαχοῦ ῥεμβόμεθα, ἀλλὰ καὶ γέλωτα ἐπεισάγομεν καὶ πολὺν τὸν καγχασμόν· μὴ γὰρ θέατρόν ἐστι τὰ ἐνταῦθα; Ἀλλ', οἶμαι, τὰ θέατρα τοῦτο ποιεῖ, δυσηνίους τοὺς πολλοὺς ἡμῖν καθίστησιν καὶ ἀρρύθμους. Ἅπερ οἰκοδομοῦμεν ἐνταῦθα, ἐκεῖ καταστρέφεται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέρας ἀκαθαρσίας ἀνάγκη αὐτοὺς ἀναπεπλῆσθαι. Καὶ ταυτὸν γίνεται, οἷον ἄν, εἴ τις χωρίον ἐθέλει καθᾶραι, πηγῆς ἄνωθεν ὑπερκειμένης βόρβορον ἀφιείσης· ὅσον γὰρ ἂν καθάρῃς, πάλιν ἕτερον ἐπιρρεῖ. Τοῦτο καὶ ἐνταῦθα γίνεται· ὅταν γὰρ καθάρωμεν ἀπὸ τῶν θεάτρων εἰσιόντας, ἀκαθαρσίαν ἐπιφέροντας, ἀπελθόντας πάλιν ἐκεῖ, μείζονα δέχονται τὴν ἀκαθαρσίαν, ὡς ἐπίτηδες διὰ τοῦτο ζῶντες, ἵνα κόπους ἡμῖν παρέχωσι, καὶ ἔρχονται πάλιν πολλὴν κόπρον βαστάζοντες ἐν τοῖς ἤθεσιν, ἐν τοῖς κινήμασιν, ἐν τοῖς ῥήμασιν, ἐν τῷ γέλωτι, ἐν τῇ ῥαθυμίᾳ. Εἶτα πάλιν ἡμεῖς σκάπτομεν ἄνωθεν, ὡς ἐπίτηδες διὰ τοῦτο σκάπτοντες, ἵνα καθαροὺς αὐτοὺς πέμψαντες πάλιν ἴδωμεν συναγαγόντας τὸν βόρβορον· διὰ τοῦτο παραδίδωμι ὑμᾶς τῷ Θεῷ.

Ἐντεῦθεν ἤδη καὶ διαμαρτύρομαι ὑμῖν τοῖς ὑγιαίνουσιν, ὅτι κρῖμα ὑμῖν ἔσται καὶ κατάκριμα, εἴ τις ἀτακτοῦντα, εἴ τις διαλεγόμενον μάλιστα ἐν ἐκείνῳ τῷ καιρῷ, μὴ καταμηνύσει, μηδὲ ἐπιστρέψει· βέλτιον εὐ-

αὐτοὶ ποὺ σὲ ὥρα φρίκης γελοῦν; πότε θ' ἀποφύγουν τὴ φλυαρία, αὐτοὶ ποὺ τὴν ὥρα τῆς εὐλογίας συζητοῦν; Δὲν σέβονται τοὺς παρόντες; δὲν φοβοῦνται τὸ Θεό; δέν μᾶς ἀρκεῖ ἡ πνευματικὴ ἀδιαφορία, οὔτε τό ὅτι, ἐνῶ προσευχόμαστε, περιφέρεται ἀλλοῦ ἡ σκέψη μας, ἀλλὰ καὶ γέλωτα προσθέτομε καὶ πολὺ καγχασμό; μήπως εἶναι θέατρο τὰ ὅσα γίνονται ἐδῶ στό ναό; Ἀλλά, νομίζω, τὰ θέατρα ἔχουν σὰν ἔργο αὐτό, τὸ νὰ κάμνουν τοὺς περισσοτέρους ἀπὸ ἐμᾶς ἀνυπάκοους καὶ ἄτακτους. Ἐκεῖνα ποὺ οἰκοδομοῦμε ἐδῶ, καταστρέφονται ἐκεῖ καὶ ὄχι μόνο αὐτό, ἀλλ' αὐτοὶ κατ' ἀνάγκη γεμίζουν καὶ ἀπὸ ἄλλη ἀκαθαρσία· Καὶ αὐτὸ ἀκριβῶς συμβαίνει, ὅπως θὰ συνέβαινε ἐὰν κάποιος ἤθελε νὰ καθαρίσει κάποιο χῶρο, ἐνῶ ἐπάνω ἀπ' αὐτὸν ὑπάρχει πηγὴ ἀπὸ τὴν ὁποία τρέχει βοῦρκος· διότι, ὅσο καὶ ἂν τὸν καθαρίσεις, πάλι ἄλλος βοῦρκος τρέχει ἀπ' αὐτήν. Αὐτὸ συμβαίνει καὶ ἐδῶ· διότι ὅταν καθαρίσομε ἐκείνους ποὺ εἰσέρχονται ἀπὸ τὰ θέατρα ἐδῶ, φέροντας μαζί τους ἀκαθαρσία, ἐπιστρέφοντας αὐτοὶ πάλι ἐκεῖ, δέχονται μεγαλύτερη ἀκαθαρσία, σὰν νὰ ζοῦν ἐπίτηδες γι' αὐτό, γιὰ νὰ μᾶς προξενοῦν κόπους, καὶ ἔρχονται πάλι μεταφέροντας πολλὴ κοπριὰ στὰ ἤθη τους, στὰ κινήματά τους, στὰ λόγια τους, στὰ γέλια τους καὶ στὴν ἀδιαφορία τους. Στὴ συνέχεια πάλι μεῖς σκάβομε ἀπὸ τὴν ἀρχή, σὰν νὰ σκάβομε ἐπίτηδες γι' αὐτό, ὥστε, ἀφοῦ τοὺς στείλομε καθαροὺς νὰ τοὺς δοῦμε καὶ πάλι νὰ συγκεντρώνουν τὸ βοῦρκο· γι' αὐτὸ σᾶς παραδίδω στὸ Θεό.

Καὶ τώρα λοιπὸν ἐπιβεβαιώνω ἐσᾶς τοὺς ὑγιεῖς, ὅτι θὰ καταστεῖτε ἄξιοι κατακρίσεως καὶ καταδίκης, ἐὰν συμβεῖ κάποιος, βλέποντας κάποιον νὰ ἀτακτεῖ ἢ νὰ συζητᾶ ἰδίως κατὰ τὴν ὥρα ἐκείνη τῆς προσευχῆς, δὲν τὸν ἀναφέρει, οὔτε τὸν ἐπαναφέρει στὴν τάξη· αὐτὸ εἶναι προτιμότερο ἀπὸ τὴν προσευχή. Ἄφησε τὴν προσευχή σου

χῆς τοῦτο. Ἄφες σου τὴν εὐχήν, κἀκείνῳ ἐπιτίμησον. Οὕτω κἀκεῖνον ὠφελήσεις, καὶ σὺ κερδανεῖς· οὕτω καὶ δυνησόμεθα ἅπαντες σωθῆναι καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν, ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ ἐπιτίμησε ἐκεῖνον. Ἔτσι καὶ ἐκεῖνον θὰ ὠφελήσεις, καὶ οὐ θὰ ὠφεληθεῖς· ἔτσι καὶ θὰ μπορέσομε ὅλοι νὰ σωθοῦμε καὶ νὰ ἐπιτύχομε τὴ βασιλεία τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι ὅλοι μας ν' ἀπολαύσομε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΕ΄
(Πράθ. 11, 19 - 30)

«Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως, τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις».

1. Οὐ μικρὸν ὁ διωγμὸς κατώρθωσεν εἰς τὸν λόγον· «Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ», φησίν, «εἰς ἀγαθόν». Οὐκ ἄν, εἴ γε ἐπίτηδες ἐσπούδασαν στῆσαι τὴν Ἐκκλησίαν, ἄλλο τι ἐποίησαν, ἢ τοῦτο· λέγω δὲ τὸ διασπεῖραι τοὺς διδασκάλους. Καὶ ὅρα ποῦ τὸ κήρυγμα ἐξετάθη. «Διῆλθον», φησίν, «ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις». Ὁρᾷς ὅτι οἰκονομικῶς πάντα γέγονε τὰ περὶ Κορνήλιον; Τοῦτο δὲ καὶ εἰς ἀπολογίαν τοῦ Χριστοῦ, καὶ εἰς κατηγορίαν τῶν Ἰουδαίων ἐστίν. Ὅτε γοῦν Στέφανος ἀνῃρέθη, ὅτε Παῦλος δὶς ἐκινδύνευσεν, ὅτε οἱ Ἀπόστολοι ἐμαστίχθησαν, ὅτε πολλάκις ἠλάθησαν, τότε τὰ ἔθνη ἐδέχθη, τότε Σαμαρεῖται. Ὃ καὶ Παῦλος βοᾷ, λέγων· «Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε

------

1. Πράξ. 11, 19.
2. Ρωμ. 8, 28
3. Πράξ. 7, 58 - 60
4. Πράξ. 21, 27 - 31 καὶ 23, 12 - 35
5. Πράξ. 5, 40
6. Πράξ. 13, 46

Ο Μ Ι Λ Ι Α ΚΕ΄

(Πράξ. 12, 1 - 17)

«Ἐκεῖνοι λοιπὸν ποὺ ἔφυγαν ἀπὸ τὴν Ἱερουσαλήμ, ἐξ αἰτίας τοῦ διωγμοῦ τοῦ Στεφάνου, καὶ διασκορπίσθηκαν ἐκτὸς τῆς Ἰουδαίας, ἔφθασαν μέχρι τὴν Φοινίκη, τὴν Κύπρο καὶ τὴν Ἀντιόχεια, καὶ δὲν κήρυτταν τὸν λόγο τοῦ Θεοῦ σὲ κανένα ἄλλον, παρὰ μόνο στοὺς Ἰουδαίους»[1]·

1. Δὲν συνέβαλε λίγο ὁ διωγμὸς στὴ διάδοση τοῦ θείου λόγου· διότι λέγει, «Σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συμβάλλουν γιὰ ἀγαθὸ ἀποτέλεσμα»[2]. Δὲν θὰ μποροῦσαν τίποτε ἄλλο νὰ κάνουν, ἐὰν φρόντιζαν ἐπίτηδες νὰ στερεώσουν τὴν Ἐκκλησία, παρὰ αὐτό, ἐννοῶ δηλαδὴ τὸ νὰ διασκορπίσουν σ' ὅλα τὰ μέρη τοὺς δασκάλους. Καὶ πρόσεχε ποῦ ἐπεκτάθηκε τὸ κήρυγμα. «Ἔφθασαν», λέγει, «μέχρι τὴν Φοινίκη, τὴν Κύπρο καὶ τὴν Ἀντιόχεια, καὶ δὲν κήρυτταν σὲ κανένα ἄλλο τὸν λόγο τοῦ Θεοῦ, παρὰ μόνο στοὺς Ἰουδαίους». Βλέπεις ὅτι κατὰ θεία οἰκονομία ἔγιναν ὅλα ἐκεῖνα τὰ σχετικὰ μὲ τὸν Κορνήλιο; Αὐτὸ δὲ ἀποτελεῖ καὶ ἀπολογία γιὰ τὸν Χριστὸ καὶ κατηγορία γιὰ τοὺς Ἰουδαίους. Ὅταν λοιπὸν θανατώθηκε ὁ Στέφανος[3], ὅταν ὁ Παῦλος κινδύνεψε δύο φορές[4], ὅταν οἱ Ἀπόστολοι μαστιγώθηκαν[5], ὅταν πολλὲς φορὲς διώχθηκαν, τότε τὰ ἔθνη δέχθηκαν τὸ κήρυγμα, τότε καὶ οἱ Σαμαρεῖτες. Αὐτὸ καὶ ὁ Παῦλος βροντοφωνάζει, λέγοντας· «Πρὸς σᾶς ἀνάγκη ἦταν νὰ κηρυχθεῖ πρῶτα ὁ λόγος τοῦ Θεοῦ· ἐπειδὴ ὅμως τὸν ἀπορρίπτετε καὶ δὲν τὸν δέχεσθε καὶ δὲν θεωρεῖτε ἄξιους τοὺς ἑαυτούς σας γι' αὐτόν, γι' αὐτὸ στρεφόμαστε πρὸς τοὺς ἐθνικούς»[6].

αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Περιήεισαν οὖν καὶ ἔθνεσι διαλεγόμενοι.

Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες, ἐλθόντες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον Ἰησοῦν». Ὅρα, Ἕλλησιν εὐαγγελίζονται· εἰκὸς γὰρ αὐτούς τε λοιπὸν εἰδέναι Ἑλληνιστί, καὶ ἐν Ἀντιοχείᾳ τοιούτους εἶναι πολλούς.

«Καὶ ἦν χεὶρ Κυρίου», φησί, «μετ' αὐτῶν», τουτέστι, σημεῖα εἰργάζοντο. Ὁρᾷς διὰ τί καὶ νῦν ἡ τῶν σημείων ἀνάγκη γέγονεν, ἵνα πιστεύσωσιν;

«Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς Ἐκκλησίας, τῆς οὔσης ἐν Ἱεροσολύμοις, τὰ περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας». Τί δήποτε, τοιαύτης πόλεως δεχομένης τὸν λόγον, οὐκ ἦλθον αὐτοί, ἀλλὰ Βαρνάβαν πέμπουσι; Διὰ τοὺς Ἰουδαίους. Πλὴν οὐ μικρόν δή τι οἰκονομεῖται καὶ οὕτω τὸ τὸν Παῦλον ἐνταῦθα παραγενέσθαι· οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα οἰκονομικῶς αὐτὸν ἀποστρέφονται, ἵνα μὴ κατακλεισθῇ ἐν Ἱεροσολύμοις ἡ φωνὴ τοῦ κηρύγματος, ἡ σάλπιγξ τῶν οὐρανῶν. Εἶδες πῶς πανταχοῦ ταῖς κακίαις αὐτῶν εἰς δέον, καὶ ὥσπερ ἐβούλετο ἄνωθεν, ἀπεχρήσατο ὁ Χριστός, καὶ τῷ μίσει τῷ πρὸς τὸν Παῦλον εἰς οἰκοδομὴν τῆς ἀπὸ τῶν ἐθνῶν Ἐκκλησίας; Ἀλλ' ἴδε καὶ τοῦτον τὸν ἅγιον, τὸν Βαρνάβαν λέγω, πῶς οὐ τὸ αὐτοῦ εἶδεν, ἀλλ' ἔδραμεν εἰς Ταρσόν.

------

7. Πράξ. 11, 20 - 21.
8. Πράξ. 11, 22

Γύριζαν λοιπὸν ἀπὸ τόπο σὲ τόπο κηρύσσοντας τὸν λόγο τοῦ Θεοῦ στοὺς ἐθνικούς·

«Ὑπῆρχαν δὲ μερικοὶ ἄνδρες ἀπ᾽ αὐτοὺς καταγόμενοι ἀπὸ τὴν Κύπρο καὶ τὴν Κυρήνη, πού, ὅταν ἦρθαν στὴν Ἀντιόχεια, δίδασκαν στοὺς Ἰουδαίους ποὺ εἶχαν γεννηθεῖ ἔξω ἀπὸ τὴν Παλαιστίνη, κηρύσσοντας σ᾽ αὐτοὺς τὸ εὐαγγέλιο τοῦ Κυρίου Ἰησοῦ»[7]. Πρόσεχε, ὅτι κηρύσσουν τὸ εὐαγγέλιο στοὺς Ἕλληνες· διότι φυσικὸ ἦταν νὰ γνώριζαν αὐτοὶ τὰ ἑλληνικά, καὶ νὰ ὑπῆρχαν πολλοὶ τέτοιοι στὴν Ἀντιόχεια.

«Καὶ ἦταν», λέγει, «τὸ χέρι τοῦ Κυρίου, μαζὶ μὲ αὐτούς»· δηλαδή, ἐπιτελοῦσε θαύματα. Βλέπεις γιὰ ποιὸ λόγο καὶ τώρα κατέστη ἀναγκαία ἡ ἐπιτέλεση θαυμάτων, ὥστε νὰ πιστέψουν;

«Ἔφθασε δὲ ἡ εἴδηση στ᾽ αὐτιὰ τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων σχετικὰ μὲ τὴ διάδοση τοῦ κηρύγματος στὴν Ἀντιόχεια καὶ ἔστειλαν τὸν Βαρνάβα νὰ μεταβεῖ στὴν Ἀντιόχεια»[8]. Γιατί τέλος πάντων, ἐνῶ μιὰ τέτοια πόλη δέχεται τὸν θεῖο λόγο, δὲν ἦρθαν οἱ ἴδιοι οἱ Ἀπόστολοι, ἀλλὰ στέλνουν τὸν Βαρνάβα; Ἐξ αἰτίας τῶν Ἰουδαίων. Πλὴν ὅμως τὸ θέμα τακτοποιεῖται πολὺ σπουδαῖα, ὥστε ἔτσι νὰ βρεῖ ἐδῶ ὁ Παῦλος· καὶ ὄχι τυχαῖα, ἀλλ᾽ ἀποστρέφονται αὐτὸν μετὰ ἀπὸ μία ὅλως ἰδιαίτερη μέριμνα, ὥστε νὰ μὴ παραμείνει κλεισμένη μέσα στὰ Ἱεροσόλυμα ἡ φωνὴ τοῦ κηρύγματος, ἡ σάλπιγγα τῶν οὐρανῶν. Εἶδες πῶς παντοῦ χρησιμοποίησε ὁ Χριστὸς τὶς κακίες αὐτῶν κατὰ τὸν πρέποντα τρόπο καὶ ὅπως ἀκριβῶς αὐτὸς ἤθελε ἀπὸ τὴν ἀρχή, καὶ τὸ μίσος αὐτῶν πρὸς τὸν Παῦλο τὸ χρησιμοποίησε γιὰ τὴν οἰκοδομὴ τῆς Ἐκκλησίας τῶν πιστῶν ποὺ προέρχονταν ἀπὸ τοὺς ἐθνικούς; Ἀλλὰ πρόσεξε καὶ αὐτὸν τὸν ἅγιο, ἐννοῶ τὸν Βαρνάβα, πῶς δὲν ἔδωσε σημασία γιὰ τὰ δικά του πράγματα, ἀλλ᾽ ἔτρεξε στὴν Ταρσό·

«Ὃς, παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ· ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως. Καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ. Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν». Πολὺ χρηστὸς ἦν ὁ ἀνήρ, καὶ ἀφελής, καὶ τοῦ Παύλου συνήθης· διὸ καὶ ἦλθεν ἐπὶ τὸν ἀθλητήν, ἐπὶ τὸν στρατηγόν, ἐπὶ τὸν μονομάχον, ἐπὶ τὸν λέοντα (οὐκ ἔχω τί εἴπω· ὅσα γὰρ ἂν εἴπω, ἐλάττονα τῆς ἀξίας τοῦ Παύλου ἐρῶ)· ἦλθεν ἐπὶ τὸν κύνα τὸν θηρατικόν, τὸν λέοντας ἀναιροῦντα, ἐπὶ τὸν ταῦρον τὸν ἰσχυρόν, ἐπὶ τὴν λαμπάδα τὴν φαιδράν, ἐπὶ τὸ στόμα, τὸ τῇ οἰκουμένῃ ἀρκοῦν. Ὄντως διὰ τοῦτο ἐν Ἀντιοχείᾳ ἐχρηματίσθησαν καλεῖσθαι «Χριστιανοί», ὅτι Παῦλος ἐν ταύτῃ τοσοῦτον διέτριψε χρόνον.

«Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς 'Χριστιανούς'». Οὐ μικρὸν τῆς πόλεως τὸ ἐγκώμιον. Τοῦτο πρὸς ἅπαντας στῆναι δύναται, ὅτι τοῦ στόματος ἐκείνου τοσοῦτον ἀπέλαυσε χρόνον πρώτη τῶν ἄλλων ἁπασῶν· ὅθεν καὶ πρώτως ἐνταῦθα τοῦ ὀνόματος ἠξιώθησαν. Ὁρᾷς εἰς ὅσον ὕψος ἐπῆρε τὴν πόλιν καὶ περιφανεστέραν ἐποίησε; Τοῦτο Παύλου κατόρθωμα. Ἔνθα τρισχίλιοι, ἔνθα πεντακισχίλιοι ἐπίστευσαν, ἔνθα τοσοῦτον πλῆθος, οὐδὲν τοιοῦτον γέγονεν, ἀλλ' ἔτι τῆς ὁδοῦ μόνον ἤκουον· ἐνταῦθα δὲ «Χριστιανοὶ» ὠνομάσθησαν.

------

9. Πράξ. 11, 23 - 25.
10. Πράξ. 11, 26
11. Πράξ. 9, 1 - 2

«Ὅταν αὐτὸς ἔφθασε καὶ εἶδε τὴ χάρη τοῦ Θεοῦ, χάρηκε, καὶ προέτρεψε ὅλους νὰ παραμένουν μὲ ὅλη τὴ δύναμη τῆς καρδιᾶς τους, πιστοὶ στὸν Κύριο, διότι ἦταν ἄνθρωπος καλὸς καὶ γεμάτος ἀπὸ Πνεῦμα ἅγιο καὶ πίστη. Καὶ προστέθηκε ἀρκετὸ πλῆθος στὸν Κύριο. Τότε ὁ Βαρνάβας ἀναχώρησε γιὰ τὴν Ταρσὸ γιά νὰ ἀναζητήσει τὸν Σαῦλο, καὶ ὅταν τὸν βρῆκε τὸν ἔφερε στὴν Ἀντιόχεια»[9]. Ὁ Βαρνάβας ἦταν πολὺ καλὸς ἄνθρωπος, ἁπλοϊκὸς καὶ γνωστὸς τοῦ Παύλου· γι' αὐτὸ καὶ ἦρθε πρὸς τὸν ἀθλητή, πρὸς τὸν στρατηγό, πρὸς τὸν μονομάχο, πρὸς τὸ λεοντάρι (δὲν ἔχω τί νὰ πῶ· διότι ὅσα καὶ ἂν πῶ, λιγότερα θὰ πῶ ἀπὸ αὐτὸ ποὺ ἀξίζει ὁ Παῦλος)· ἦρθε λοιπὸν πρὸς τὸν κυνηγετικὸ σκύλο, ποὺ φόνευε λεοντάρια, πρὸς τὸν ταῦρο τὸν ἰσχυρό, πρὸς τὴ φωτεινὴ λαμπάδα, πρὸς τὸ στόμα ποὺ ἐπαρκοῦσε γιὰ ὅλη τὴν οἰκουμένη. Πράγματι γι' αὐτὸ στὴν Ἀντιόχεια ἔλαβαν οἱ πιστοὶ τὴν τιμητικὴ ὀνομασία «χριστιανοί», ἐπειδὴ ὁ Παῦλος διέμεινε σ' αὐτὴν τόσον πολὺ χρόνο.

«Ἔμειναν δὲ στὴν ἐκεῖ ἐκκλησία ἕναν ὁλόκληρο χρόνο καὶ δίδαξαν μεγάλο πλῆθος, καὶ γιά πρώτη φορὰ στὴν Ἀντιόχεια οἱ μαθητὲς αὐτῶν ὀνομάσθηκαν τιμητικὰ 'χριστιανοί'»[10]. Δὲν εἶναι μικρὸς ὁ ἔπαινος αὐτὸς γιὰ τὴν πόλη· Αὐτὸς ὁ ἔπαινος μπορεῖ νὰ σταθεῖ ἀπέναντι σ' ὅλους τοὺς ἐπαίνους, διότι πρώτη αὐτὴ ἀπὸ ὅλες τὶς ἄλλες πόλεις ἀπόλαυσε ἐπὶ τόσον πολὺ χρόνο τὸ στόμα ἐκείνου· γι' αὐτὸ καὶ πρῶτα ἐδῶ ἀξιώθηκαν οἱ πιστοὶ νὰ λάβουν τὸ ὄνομα αὐτό. Βλέπεις σὲ πόσο ὕψος ἀνέβασε τὴν πόλη καὶ τὴν κατέστησε περισσότερο ἔνδοξη; Αὐτὸ ἦταν κατόρθωμα τοῦ Παύλου. Ἐκεῖ ποὺ πίστεψαν τρεῖς χιλιάδες, ἐκεῖ ποὺ πίστεψαν πέντε χιλιάδες, ἐκεῖ ποὺ πίστεψε τόσο πολὺ πλῆθος, τίποτε παρόμοιο δὲν συνέβηκε, ἀλλ' ἀκόμα ἄκουαν νὰ γίνεται λόγος γιὰ ὁδό[11], ἐνῶ ἐδῶ ὀνομάσθηκαν «χριστιανοί».

«'Εν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ 'Ιεροσολύμων προφῆται εἰς 'Αντιόχειαν». 'Επεὶ καὶ τὸν τῆς ἐλεημοσύνης ἐνταῦθα καρπὸν φυτευθῆναι ἔδει, συμφερόντως οἰκονομεῖται τοὺς προφήτας κατελθεῖν. Σύ δέ μοι παρατήρει πῶς οὐδεὶς τῶν περιφανῶν καὶ τούτοις γίνεται διδάσκαλος· Κυπρίους γὰρ ἔσχον διδασκάλους, καὶ Κυρηναίους, καὶ Παῦλον (εἰ καὶ οὗτος ὑπερέβαινεν αὐτούς), ὥσπερ Παῦλος Βαρνάβαν καὶ 'Ανανίαν· ἀλλ' οὐδὲν παρὰ τοῦτο ἠλάττωται, ἔσχε δὲ ὅμως καὶ τὸν Χριστόν.

«'Αναστὰς δέ τις ἐξ αὐτῶν, ὀνόματι ῎Αγαβος, ἐσήμανε διὰ τοῦ Πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος». 'Αναγκαίως ἐνταῦθα λιμὸν μέγαν μέλλοντα ἔσεσθαι σημαίνει, ὃς δὴ καὶ ἐγένετο, καθὰ περὶ αὐτοῦ προερρήθη. Ἵνα γὰρ μὴ νομίσωσί τινες διὰ τοῦτο τὸν λιμὸν γεγονέναι, ὅτι Χριστιανισμὸς εἰσῆλθεν, ὅτι δαίμονες ἀπέστησαν, προλέγει τὸ Πνεῦμα τὸ ἅγιον ὃ μέλλει συμβαίνειν, ὥσπερ καὶ ὁ Χριστὸς προεῖπε πολλά, καὶ ἐξέβη. Οὐ τοίνυν διὰ τοῦτο, ἐπεὶ ἔδει ἐξ ἀρχῆς τοῦτο γενέσθαι, ἀλλὰ διὰ τὰ κακά, τὰ εἰς τοὺς 'Αποστόλους γενόμενα· ὧν καὶ γενομένων, τέως ἐμακροθύμει ὁ Θεός, ὡς δὲ ἐνέκειντο, λιμὸς γίνεται, μηνύων τοῖς 'Ιουδαίοις τὰ ἐσόμενα κακά. 'Αλλά, εἰ καὶ δι' αὐτοὺς ἦν, διὰ τοὺς ἄλλους ἔδει καὶ ὄντα παύσασθαι· τί γὰρ ἠδίκησαν Ἕλληνες, ἵνα καὶ μηδὲν ἀδικήσαντες αὐτοὶ τῶν κακῶν μετάσχωσιν; Εἰ δὲ μὴ διὰ τοὺς 'Ιουδαίους, καὶ εὐδοκιμῆσαι δὴ αὐτοὺς μᾶλλον ἐχρῆν, ὅτι τὸ αὐ-

------

12. Πράξ. 11, 27
13. Πράξ. 21, 10
14. Πράξ. 11, 28

«Κατὰ τὶς ἡμέρες αὐτὲς κατέβηκαν ἀπὸ τὰ Ἱεροσόλυμα στὴν Ἀντιόχεια προφῆτες»[12]. Ἐπειδὴ ἔπρεπε ἐδῶ νὰ φυτευθεῖ καὶ ὁ καρπὸς τῆς ἐλεημοσύνης ρυθμίζεται πρὸς ἀποκόμιση ὠφέλειας νὰ κατεβοῦν ἐδῶ οἱ προφῆτες. Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε πῶς κανένας ἀπὸ τοὺς φημισμένους δὲν γίνεται δάσκαλος αὐτῶν· διότι εἶχαν δασκάλους Κυπρίους καὶ Κυρηναίους καὶ τὸν Παῦλο (ἂν καὶ αὐτὸς ὑπερέβαινε αὐτούς), ὅπως ἀκριβῶς ὁ Παῦλος εἶχε τὸν Βαρνάβα καὶ τὸν Ἀνανία· ἀλλὰ δὲν μειονεκτεῖ σὲ τίποτε ὡς πρὸς αὐτό, εἶχε ὅμως καὶ τὸν Χριστό.

«Ἀφοῦ δὲ σηκώθηκε κάποιος ἀπ' αὐτούς, ποὺ ὀνομαζόταν Ἄγαβος, προεῖπε, ἐμπνεόμενος ἀπὸ τὸ Πνεῦμα, μεγάλη πείνα[13] ποὺ ἐπρόκειτο νὰ συμβεῖ σ' ὅλη τὴν οἰκουμένη, ἡ ὁποία καὶ συνέβηκε στὶς ἡμέρες τοῦ Καίσαρα Κλαυδίου»[14]. Κατ' ἀνάγκη ἐδῶ προλέγει ὅτι πρόκειται νὰ συμβεῖ κάποια μεγάλη πείνα, ἡ ὁποία βέβαια καὶ συνέβηκε, ὅπως προλέχθηκε γι' αὐτήν. Γιὰ νὰ μὴ νομίσουν δηλαδὴ μερικοὶ ὅτι γι' αὐτὸ συνέβηκε ἡ πείνα, ἐπειδὴ ἐμφανίσθηκε ὁ Χριστιανισμός, ἐπειδὴ ἀπομακρύνθηκαν οἱ δαίμονες, προλέγει τὸ ἅγιο Πνεῦμα ἐκεῖνο ποὺ πρόκειται νὰ συμβεῖ, ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς προεῖπε πολλὰ καὶ συνέβηκαν· Δὲν συνέβηκε βέβαια αὐτὴ γι' αὐτό, ἐπειδὴ δηλαδὴ ἔπρεπε ἀπὸ τὴν ἀρχὴ νὰ συμβεῖ αὐτή, ἀλλὰ συνέβηκε ἐξ αἰτίας τῶν κακῶν ποὺ συνέβηκαν στοὺς Ἀποστόλους, τὰ ὁποῖα ἂν καὶ ἔγιναν, στὴν ἀρχὴ ἔδειχε ὁ Θεὸς μακροθυμία, ἐπειδὴ ὅμως ἐξακολουθοῦσαν τὴν καταδίωξη, πραγματοποιεῖται ἡ πείνα, προλέγοντας στοὺς Ἰουδαίους τὰ κακὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν· Ἀλλά, ἂν καὶ ἐξ αἰτίας αὐτῶν συνέβηκε, ἔπρεπε ἐξ αἰτίας τῶν ἄλλων, καὶ ἐνῶ ὑπῆρχε, νὰ σταματήσει· διότι ποιὸ ἀδίκημα ἔκαναν οἱ Ἕλληνες, ὥστε καὶ αὐτοὶ νὰ συμμετέχουν στὰ κακὰ ἂν καὶ δὲν διέπραξαν καμιὰ ἀδικία; Ἐὰν δὲ δὲν συνέβηκε ἐξ αἰτίας τῶν Ἰουδαίων, ἔπρεπε βέβαια αὐτοὶ καὶ νὰ

τῶν ἐποίουν, ὅτι ἀνῄρουν, ἐκόλαζον, ἐτιμωροῦντο, πάντοθεν ἐδίωκον. Καὶ θέα πότε γίνεται ὁ λιμός· ὅτε καὶ οἱ ἐθνικοὶ λοιπὸν προσεδέχθησαν.

2. Ἀλλά, εἰ διὰ τὰ κακά, φησίν, ἔδει τούτους ὑπεξαιρεθῆναι. Διὰ τί; εἰπέ μοι· οὐχὶ προλαβὼν εἶπεν αὐτοῖς ὁ Χριστός, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»; Σὺ δέ, ταῦτα λέγων, τάχα καὶ τοῦτο ἐρεῖς, ὅτι ἔδει μηδὲ μαστίζεσθαι. Ἀλλ' ὅρα αὐτοῖς γινόμενον καὶ τὸν λιμὸν σωτηρίας αἴτιον, ἐλεημοσύνης ἀφορμήν, πολλῶν πρόξενον ἀγαθῶν· ὥστε καὶ ὑμῖν γέγονεν ἄν, εἴ γε ἐβούλεσθε, ἀλλ' οὐκ ἠθελήσατε. Προλέγεται δὲ (ὥστε λοιπὸν προπαρασκευασθῆναι πρὸς τὴν ἐλεημοσύνην), ὅτι δεινὰ ἔπασχον οἱ ἐν Ἱερουσαλήμ· πρὸ δὲ τούτου οὐκ ἐν λιμῷ ἦσαν. Καὶ πέμπεται Βαρνάβας καὶ Παῦλος διακονήσοντες.

«Τῶν δὲ μαθητῶν καθὼς ηὐπορεῖτό τις». Εἶδες ἅμα πιστεύοντας, καὶ ἅμα καρποφοροῦντας οὐ τοῖς αὐτῶν μόνον, ἀλλὰ καὶ τοῖς πόρρω; Τοῦτο δοκεῖ μοι ἐνταῦθα λέγειν, ὅπερ ἀλλαχοῦ ὁ Παῦλός φησιν, ὅτι «δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, μόνον ἵνα τῶν πτωχῶν μνημονεύωμεν». Τοσοῦτον ὠφέλησεν ὁ λιμός. Καὶ ὅρα αὐτοὺς οὐδὲ ἐν τῇ θλίψει εἰς θρήνους καὶ δάκρυα καταπίπτοντας, καθάπερ ἡμεῖς, ἀλλ' εἰς ἔργον μέγα καὶ ἀγαθὸν ἑαυτοὺς ἐκδιδόντας· μετὰ πλείονος γὰρ ἀδείας ἐκήρυττον τὸν λόγον. Καὶ οὐκ εἶπον, "Ἡμεῖς Κυ-

------

15. Ἰω. 16, 33
16. Πράξ. 11, 29
17. Γαλ. 2, 9 - 10

εὐημερήσουν περισσότερο, διότι ἔκαμναν ὅ,τι ἐξαρτῶνταν ἀπ' αὐτούς, διότι φόνευαν, ὑπέβαλλαν κολαστήρια, τιμωροῦσαν, καὶ ἐπέβαλλαν κάθε εἴδους ἐκδιώξεις. Καὶ πρόσεχε πότε συμβαίνει ἡ πείνα· ὅταν καὶ οἱ ἐθνικοὶ πλέον ἀποδέχθηκαν τὸ κήρυγμα.

2. Ἀλλά, λέγει, ἐὰν συνέβηκε ἐξ αἰτίας τῶν κακῶν, ἔπρεπε αὐτοὶ νὰ ἐξαιρεθοῦν. Γιατί; πές μου· δὲν εἶπε ἀπὸ τὴν ἀρχὴ ὁ Χριστὸς σ' αὐτούς, «Μέσα στὸν κόσμο θὰ ἔχετε θλίψη»[15]; Σὺ ὅμως, λέγοντας αὐτά, ἴσως νὰ πεῖς καὶ αὐτό, ὅτι δηλαδὴ ἔπρεπε οὔτε νὰ μαστιγώνονται. Ἀλλὰ πρόσεχε τὸ ὅτι καὶ ἡ πείνα γίνεται αἰτία σωτηρίας γι' αὐτούς, ἀφορμὴ ἐλεημοσύνης, καὶ πρόξενος πολλῶν ἀγαθῶν· βέβαια καὶ σὲ σᾶς θὰ μποροῦσε νὰ γίνει, ἐὰν φυσικὰ τὸ θέλατε, ἀλλὰ δὲν τὸ θελήσατε. Προλέγεται δὲ (μὲ σκοπὸ νὰ προετοιμασθοῦν στὴ συνέχεια γιὰ τὴν ἐλεημοσύνη), διότι ἔπασχαν κακὰ οἱ πιστοὶ τῆς Ἱερουσαλήμ· πρὶν δὲ ἀπ' αὐτὸ δὲν ὑπέφεραν ἀπὸ πείνα. Καὶ στέλνονται ὁ Βαρνάβας καὶ ὁ Παῦλος γιὰ νὰ βοηθήσουν.

«Οἱ δὲ μαθητὲς ἀπεφάσισαν νὰ στείλει ὁ καθένας βοήθεια ἀνάλογα μὲ τὴν οἰκονομικὴ κατάστασή του»[16]. Εἶδες ποὺ συγχρόνως μὲ τὴν πίστη τους παράγουν συγχρόνως καὶ καρποὺς καὶ ὄχι μόνο οἱ δικοί τους ἐκεῖ, ἀλλὰ καὶ οἱ βρισκόμενοι μακριά; Μοῦ φαίνεται ἐδῶ ὅτι ἐννοεῖ αὐτὸ ποὺ ἀλλοῦ λέγει ὁ Παῦλος, ὅτι «ἔδωσαν σὲ μένα καὶ τὸν Βαρνάβα τὸ δεξί τους χέρι, σὰν ἀπόδειξη ἐπικοινωνίας, ζητώντας μόνο νὰ θυμόμαστε τοὺς φτωχούς»[17]. Τόσο πολὺ ὠφέλησε ἡ πείνα. Καὶ πρόσεχε αὐτοὺς ποὺ δὲν καταφεύγουν κατὰ τὴν ὥρα τῆς θλίψεως σὲ θρήνους καὶ δάκρυα, ὅπως ἀκριβῶς κάνομε ἐμεῖς, ἀλλὰ παραδίδουν τοὺς ἑαυτούς τους σὲ μεγάλο καὶ ἀγαθὸ ἔργο· διότι μὲ μεγαλύτερη ἀφοβία καὶ ἀσφάλεια κήρυτταν τὸν θεῖο λόγο. Καὶ δὲν εἶπε, Ἐμεῖς ποὺ εἴμαστε Κυρηναῖοι καὶ Κύπριοι ἂς προσπαθήσομε νὰ τεθοῦμε ἐπὶ κεφαλῆς

ρηναῖοι καὶ Κύπριοι ὄντες, τοιαύτῃ ἐπιθώμεθα πόλει λαμπρᾷ καὶ μεγάλῃ', ἀλλά, τῇ χάριτι τοῦ Θεοῦ πιστεύοντες, καὶ ἐκεῖνοι ἐπεχείρησαν τῇ διδασκαλίᾳ, καὶ οὗτοι οὐκ ἀπηξίωσαν παρ' ἐκείνων τι μαθεῖν.

Ὅρα διὰ τῶν μικρῶν πάντα κατασκευαζόμενα, τὸ κήρυγμα αὐξανόμενον, τοὺς ἐν Ἱεροσολύμοις πάντων ὁμοίως φροντίζοντας, ὡς μίαν οἰκίαν τὴν οἰκουμένην ἔχοντας. Ἤκουσαν ὅτι Σαμάρεια δέδεκται τὸν λόγον, καὶ ἔπεμψαν Πέτρον καὶ Ἰωάννην· ἤκουσαν τὰ εἰς Ἀντιόχειαν, καὶ πέμπουσι Βαρνάβαν· πολὺ γὰρ τὸ διάστημα ἦν, καὶ οὐκ ἔδει τοὺς Ἀποστόλους τέως χωρισθῆναι, ἵνα μὴ νομισθῶσιν εἶναι φυγάδες καὶ τοὺς αὐτῶν πεφευγέναι. Τότε δὲ ἀναγκαίως χωρίζονται, ὅτε λοιπὸν ἀνίατα ἔχειν ἐδόκει τὰ κατ' αὐτούς, ὅτε λοιπὸν ὁ πόλεμος ἐπέστη, καὶ ἀπολέσθαι ἔδει, ὅτε ἡ ἀπόφασις ἐξηνέχθη· ἐπεί, ἕως Παῦλος εἰς Ρώμην μὴ ἀνέβαινεν, ἐκεῖ ἦσαν. Ἐξέρχονται δέ, οὐχὶ τὸν πόλεμον δεδοικότες, πῶς γάρ, οἵ γε πρὸς τοὺς πολεμεῖν μέλλοντας ἀπῄεσαν; Καὶ ὁ πόλεμος δὲ γίνεται λοιπόν, τελευτησάντων τῶν Ἀποστόλων, καὶ πέρας τὸ περὶ αὐτῶν ῥηθὲν λαμβάνει· «Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος». Ὅσῳ ἀσημότεροι οὖν ἦσαν, τοσούτῳ μᾶλλον ἔλαμπεν ἡ χάρις, διὰ μικρῶν ἐργαζομένη μεγάλα. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Παρεκάλει πάντας» φησί, «προσμένειν τῷ Κυρίῳ· ὅτι ἦν ἀνὴρ ἀγαθός». Ἐμοὶ δοκεῖ ἀγαθὸν νῦν τὸν ἀφελῆ

---

18. Πράξ. 8, 14
19. Α' Θεσ. 2, 16
20. Πράξ. 11, 23

μιᾶς τέτοιας λαμπρῆς καὶ μεγάλης πόλεως΄, ἀλλά, πιστεύοντας στὴ χάρη τοῦ Θεοῦ, καὶ ἐκεῖνοι ἐπιδόθηκαν στὴ διδασκαλία, καὶ αὐτοὶ δὲν θεώρησαν ἀνάξιο νὰ μάθουν κάτι ἀπὸ ἐκείνους.

Πρόσεχε ποὺ ὅλα κατορθώνονται μὲ τὰ ταπεινὰ ἐκεῖνα πράγματα, τὸ κήρυγμα αὐξάνεται, οἱ πιστοὶ τῶν Ἱεροσολύμων φροντίζουν ἐξ ἴσου γιὰ ὅλους, ἔχοντας σὰν μία οἰκία ὅλη τὴν οἰκουμένη. Ἄκουσαν ὅτι ἡ Σαμάρεια δέχθηκε τὸν θεῖο λόγο, καὶ ἔστειλαν τὸν Πέτρο καὶ τὸν Ἰωάννη[18]· ἄκουσαν τὰ ὅσα συνέβηκαν στὴν Ἀντιόχεια, καὶ στέλνουν τὸν Βαρνάβα΄ διότι ἦταν μεγάλη ἡ ἀπόσταση μέχρι ἐκεῖ καὶ δὲ ἔπρεπε οἱ Ἀπόστολοι στὴν ἀρχὴ ν᾽ ἀπομακρυνθοῦν ἀπὸ τὴν Ἰουδαία, γιὰ νὰ μὴ νομισθοῦν σὰν φυγάδες καὶ ὅτι τὸ ἔκαναν αὐτὸ ἀποφεύγοντας τοὺς δικούς τους. Τότε χωρίζονται ἀναγκαστικά, ὅταν πλέον φαίνονταν ἀθεράπευτα ὅλα τὰ σχετικὰ μὲ αὐτούς, ὅταν πλέον ὁ πόλεμος κηρύχθηκε ἐναντίον τους καὶ ἔπρεπε νὰ ἐξαφανισθοῦν, ὅταν πάρθηκε ἡ ἀπόφαση΄ διότι ἐξακολουθοῦσαν νὰ βρίσκονται οἱ Ἀπόστολοι ἐκεῖ, ἐν ὅσῳ ὁ Παῦλος δὲν ἐπιχειροῦσε νὰ μεταβεῖ στὴ Ῥώμη· Ἐξέρχονται δὲ ἀπὸ τὴν Ἰουδαία, ὄχι φοβούμενοι τὸν πόλεμο, διότι πῶς ἦταν δυνατὸ νὰ συμβεῖ αὐτὸ σ᾽ ἐκείνους ποὺ μετέβαιναν πρὸς ἐκείνους ποὺ ἐπρόκειτο νὰ τοὺς πολεμοῦν; Καὶ ὁ πόλεμος δὲ κηρύσσεται ἐναντίον τους τότε πλέον, ὅταν πέθαναν οἱ ἀπόστολοι, καὶ βρίσκει τὴν πραγματοποίησή του ἐκεῖνο ποὺ λέχθηκε γι᾽ αὐτούς «Ἔφθασε ἐπὶ τέλους ἡ ὀργὴ ἐπάνω τους γιὰ νὰ τοὺς ἐξαφανίσει»[19]. Ὅσο πιὸ ἄσημοι λοιπὸν ἦταν, τόσο περισσότερο ἔλαμπε ἡ χάρη, ποὺ μὲ ἀσήμαντους ἀνθρώπους ἐπιτελοῦσε μεγάλα κατορθώματα. Ἀλλ᾽ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

«Παρότρυνε ὅλους», λέγει, «νὰ παραμένουν πιστοὶ στὸν Κύριο· διότι ἦταν ἄνθρωπος ἀγαθός»[20]. Ἐμένα μοῦ

λέγειν, τὸν ἄπλαστον, τὸν σφόδρα τῆς τῶν πλησίον ἐπιθυμοῦντα σωτηρίας. Οὐ μόνον δὲ ἦν ἀνὴρ ἀγαθός, ἀλλὰ καὶ «Πλήρης Πνεύματος ἁγίου καὶ πίστεως»· διὸ καὶ τῇ προθέσει τῆς καρδίας παρεκάλει πάντας· τουτέστι, μετὰ ἐγκωμίου καὶ ἐπαίνου. Καὶ σκόπει πῶς καθάπερ γῆ λιπαρὰ τὸν λόγον ἐδέξατο ἡ πόλις αὕτη, καὶ πολὺν τὸν καρπὸν ἀπεδείξατο. Διὰ τί δὲ τῆς Ταρσοῦ αὐτὸν ἀπέστησεν ὁ Βαρνάβας καὶ ἐνταῦθα ἤγαγεν; Οὐχ ἁπλῶς, ἀλλ' ὅτι ἐνταῦθα καὶ ἐλπίδες χρησταί, καὶ μείζων ἡ πόλις, καὶ πολὺ τὸ πλῆθος. Εἶδες πάντα τὴν χάριν ἐργαζομένην, οὐ Παῦλον, καὶ πῶς διὰ τῶν μικρῶν τὸ πρᾶγμα ἀρχὴν ἔλαβεν, ὅτε δὲ περιφανὲς γέγονε, τότε Βαρνάβαν πέμπουσι; Καὶ διὰ τί μὴ πρὸ τούτου ἔπεμψαν αὐτόν; Πολλὴν τῶν καθ' ἑαυτοὺς πρόνοιαν ἐποιοῦντο. καὶ οὐκ ἐβούλοντο ἐγκαλεῖν αὐτοῖς 'Ιουδαίους, ὅτι προσελάμβανον τὰ ἔθνη· καίτοι διὰ τὸ ἀπαραιτήτως αὐτοῖς ἐπιμίγνυσθαι, ἐπεὶ ἔμελλέ τις ἀμφισβήτησις γίνεσθαι παρ' αὐτῶν, τὰ κατὰ Κορνήλιον προὔλαβε. Τότε γοῦν καὶ λέγουσιν· '"Ινα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν'.

Καὶ σκόπει πῶς εὐκαίρως ἡ ἀνάγκη τοῦ λιμοῦ εἰσήγαγε τὴν κοινωνίαν τὴν ἀπὸ τῶν ἐθνῶν τὴν πρὸς τοὺς ἐν 'Ιεροσολύμοις πεμφθεῖσαν· δέχονται γὰρ τὰ παρ' αὐτῶν, οἳ καὶ οὐ, καθάπερ ἡμεῖς ἐν θρήνοις τὰς συμφορὰς διάγομεν, οὕτω δήπου καὶ οὗτοι, ἀλλὰ μετὰ πλείονος ἀδείας διῆγον, ἅτε πόρρω γενόμενοι τῶν κωλυόντων αὐτούς, καὶ ἐν ἀνθρώποις ὄντες οὐ πεφοβημένοις τοὺς 'Ι-

φαίνεται ὅτι ἐδῶ ἀγαθὸ ὀνομάζει τὸν ἀφελή, τὸν ἀπροσποίητο, ἐκεῖνον ποὺ ἐπιθυμεῖ ὑπερβολικὰ τὴν σωτηρία τοῦ συνανθρώπου του. Δὲν ἦταν δὲ μόνο ἀγαθὸς ἄνθρωπος, ἀλλὰ καὶ «γεμάτος ἀπὸ ἅγιο Πνεῦμα καὶ πίστη»· γι' αὐτὸ μὲ ὅλη τὴ δύναμη τῆς καρδιᾶς του παρότρυνε ὅλους· δηλαδὴ μὲ ἐγκώμιο καὶ ἔπαινο. Καὶ πρόσεχε πῶς ἡ πόλη αὐτὴ δέχθηκε τὸν θεῖο λόγο σὰν γῆ γόνιμη καὶ ἀπέδωσε πολὺ καρπό. Γιατί ὅμως ὁ Βαρνάβας ἀπέσπασε τὸν Παῦλο ἀπὸ τὴν Ταρσὸ καὶ τὸν ὁδήγησε ἐδῶ; Ὄχι στὴν τύχη, ἀλλ' ἐπειδὴ ἐδῶ καὶ καλὲς ἐλπίδες ὑπῆρχαν καὶ ἡ πόλη ἦταν μεγαλύτερη καὶ τὸ πλῆθος πολύ. Εἶδες ποὺ ὅλα τὰ ἐπιτελοῦσε ἡ θεία χάρη καὶ ὄχι ὁ Παῦλος, καὶ πῶς μὲ ἀσήμαντους ἀνθρώπους ἄρχισε τὸ ἔργο τοῦ κηρύγματος, ὅταν δὲ ἔγινε περίλαμπρο, τότε στέλνουν τὸν Βαρνάβα; Καὶ γιατί πρὶν ἀπ' αὐτὸ δὲν ἔστειλαν αὐτόν; Ἔδειχναν μεγάλη πρόνοια γιὰ ὅλα τὰ θέματα τὰ σχετικὰ μὲ τοὺς ἑαυτούς τους, καὶ δὲν ἤθελαν νὰ τοὺς κατηγοροῦν οἱ Ἰουδαῖοι, ὅτι δέχονταν στοὺς κόλπους τους τοὺς ἐθνικούς· ἂν καὶ βέβαια, γιὰ τὸ ὅτι ἦταν ἀναγκαία ἡ ἀνάμιξή τους μὲ αὐτούς, ἐπειδὴ ἐπρόκειτο νὰ δημιουργηθεῖ κάποια ἀμφισβήτηση ἀπ' αὐτούς, προηγήθηκαν ὅλα ἐκεῖνα ποὺ συνέβηκαν σχετικὰ μὲ τὸν Κορνήλιο. Καὶ τότε λοιπὸν λέγουν. 'Ὥστε ἐμεῖς μὲν νὰ κηρύξομε στοὺς ἐθνικούς, αὐτοὶ δὲ στοὺς Ἰουδαίους'.

Καὶ πρόσεχε πῶς σὲ κατάλληλη στιγμὴ ἡ ἀνάγκη τῆς πείνας ὁδήγησε στὴν σύσφιγξη τῶν σχέσεων μὲ τοὺς ἐθνικοὺς μὲ τὴ βοήθεια ποὺ ἔστειλαν αὐτοὶ πρὸς τοὺς πιστοὺς τῶν Ἱεροσολύμων· διότι δέχονται τὰ ὅσα στάλθηκαν ἀπὸ ἐκείνους, οἱ ὁποῖοι βέβαια δὲν ἀντιμετώπιζαν μὲ θρήνους τὶς συμφορὲς ὅπως ἀκριβῶς ἐμεῖς, ἀλλὰ ζοῦσαν μὲ μεγαλύτερη ἀσφάλεια, ἐπειδὴ βρίσκονταν μακριὰ ἀπὸ ἐκείνους ποὺ πρόβαλλαν ἐμπόδια, καὶ ζοῦσαν ἀνάμεσα σὲ ἀνθρώπους ποὺ δὲν φοβοῦνταν τοὺς Ἰουδαίους, πράγμα

ουδαίους· ὃ καὶ αὐτὸ συνεβάλλετο οὐ μικρόν. 'Αλλὰ καὶ εἰς Κύπρον ἀφίκοντο, ὅπου πολὺ μὲν τὸ ἀδεές, πλείων δὲ ἡ ἀμεριμνία.

«Οὐδενὶ δὲ τὸν λόγον», φησίν, «εἰ μὴ 'Ιουδαίοις ἐλάλουν». Οὐ διὰ τὸν τῶν ἀνθρώπων φόβον, ὃν οὐδὲν ἡγοῦντο, τοῦτο ἐποίουν, ἀλλὰ τὸν νόμον τηροῦντες, καὶ αὐτοὺς ἔτι διαβαστάζοντες.

«Ἦσαν δέ τινες ἐν 'Αντιοχείᾳ Κύπριοι καὶ Κυρηναῖοι». Οὗτοι μάλιστα οὐκ ἐφρόντιζον 'Ιουδαίων. «Οἵτινες ἐλάλουν πρὸς τοὺς 'Ελληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον 'Ιησοῦν». Ἴσως διὰ τὸ μὴ εἰδέναι 'Εβραϊστί, Ἕλληνας αὐτοὺς ἐκάλουν.

«Παραγενόμενος δέ», φησί, «Βαρνάβας, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ» (οὐχὶ τὴν σπουδὴν τῶν ἀνθρώπων), «παρεκάλει αὐτοὺς προσμένειν τῷ Κυρίῳ». Τάχα τῷ ἐπαινεῖν τὸν ὄχλον καὶ ἀποδέχεσθαι, τούτῳ πλείους ἐπέστρεψε. Καὶ διὰ τί μὴ Παύλῳ γράφουσιν, ἀλλὰ Βαρνάβαν πέμπουσιν; Οὔπω τοῦ ἀνδρὸς ᾔδεσαν τὴν ἀρετήν· διὸ καὶ μόνον οἰκονομεῖται Βαρνάβαν παραγενέσθαι. 'Επεὶ δὲ καὶ πλῆθος ἦν, καὶ οὐδεὶς ὁ κωλύων, εἰκότως ἐβλάστησεν ἡ πίστις, καὶ μάλιστα, ὅτι οὐδένα ἐνταῦθα ὑπέμειναν πειρασμόν, καὶ ὅτι Παῦλος κηρύττει, καὶ οὐκ ἔτι ἀναγκάζεται φεύγειν. Καλῶς δὲ οὐκ αὐτοὶ περὶ τοῦ λιμοῦ λέγουσιν, ἀλλ' οἱ προφῆται, ἵνα μὴ φορτικοί τινες δόξωσι. Καὶ θαυμάζειν ἄξιον πῶς οὐκ ἠγανάκτησαν ὡς ὑπεροφθέντες 'Αντιοχεῖς, ἀλλ' ἀρκοῦνται τοῖς διδασκάλοις· οὕτω πάντες ἔζεον πρὸς τὸν λόγον. Οἵ καὶ οὐδὲ περιέμειναν γενέσθαι τὸν λιμόν, ἀλλὰ πρὸ τούτου ἔπεμψαν «καθὼς ηὐπορεῖτό τις».

------

21. Πράξ. 11, 19
22. Πράξ. 11, 20
23. Πράξ. 11, 29

πού βοηθοῦσε πάρα πολὺ στὸ κήρυγμα. Ἀλλὰ καὶ στὴν Κύπρο μετέβηκαν, ὅπου ὑπῆρχε καὶ μεγάλη ἀσφάλεια, καὶ ἦταν περισσότερη ἡ ἀμεριμνησία.

«Σὲ κανένα», λέγει, «δὲν κήρυτταν τὸν θεῖο λόγο, παρὰ μόνο στοὺς Ἰουδαίους»[21]. Δὲν τὸ ἔκαμναν αὐτὸ φοβούμενοι τοὺς ἀνθρώπους, διότι τὸν φόβο δὲν τὸν σκέφτονταν καθόλου, ἀλλὰ τὸ ἔκαμναν τηρώντας τὸν νόμο καὶ δείχνοντας ἀκόμη ἀνοχὴ πρὸς αὐτούς.

«Ὑπῆρχαν δὲ στὴν Ἀντιόχεια μερικοὶ Κύπριοι καὶ Κυρηναῖοι». Αὐτοὶ πρὸ πάντων δὲν φρόντιζαν γιὰ τοὺς Ἰουδαίους. «Οἱ ὁποῖοι μιλοῦσαν πρὸς Ἑλληνιστές, κηρύσσοντας τὸ εὐαγγέλιο περὶ τοῦ Κυρίου Ἰησοῦ»[22]. Ἴσως, ἐπειδὴ δὲν γνώριζαν τὰ ἑβραϊκά, τοὺς ὀνόμαζαν Ἕλληνες.

«Ὅταν δέ», λέγει, «ἔφθασε ὁ Βαρνάβας καὶ εἶδε τὴ χάρη τοῦ Θεοῦ» (ὄχι τὴ φροντίδα τῶν ἀνθρώπων), «παρότρυνε αὐτοὺς νὰ παραμένουν πιστοὶ στὸν Κύριο». Ἴσως μὲ τὸ νὰ ἐπαινεῖ τὸ πλῆθος καὶ νὰ τὸ ἀποδέχεται ὅταν ἐπέστρεφε, αὐτὸ νὰ βοήθησε πολλοὺς νὰ ἐπιστρέψουν. Καὶ γιατί δὲν γράφουν στὸν Παῦλο, ἀλλὰ στέλνουν τὸν Βαρνάβα; Δὲν γνώριζαν ἀκόμα τὴν ἀρετὴ τοῦ ἄνδρα· γι' αὐτὸ καὶ ρυθμίζεται μόνο ὁ Βαρνάβας νὰ μεταβεῖ ἐκεῖ. Ἐπειδὴ δὲ καὶ πλῆθος ὑπῆρχε καὶ κανένας δὲν ἐμπόδιζε, εὔλογα βλάστησε ἡ πίστη, καὶ κυρίως ἐπειδὴ δὲν ὑπέμειναν ἐδῶ κανένα πειρασμὸ καὶ ἐπειδὴ ὁ Παῦλος κηρύσσει ἐκεῖ καὶ δὲν ἀναγκάζεται πιὰ νὰ φεύγει· Πολὺ σωστὰ δὲ αὐτοὶ δὲν κάμνουν λόγο γιὰ τὴν πείνα, ἀλλὰ οἱ προφῆτες, γιὰ νὰ μὴ θεωρηθοῦν ἀνυπόφοροι. Καὶ εἶναι ἄξιο ἀπορίας πῶς δὲν ἀγανάκτησαν, ἀλλ' ἀποδέχονται μὲ προθυμία τοὺς δασκάλους· τόση μεγάλη προθυμία ἔδειχναν ὅλοι γιὰ τὸν θεῖο λόγο. Καὶ δὲν περίμεναν αὐτοὶ νὰ ξαπλωθεῖ ἡ πείνα, ἀλλὰ προτοῦ νὰ συμβεῖ αὐτὴ ἔστειλαν τὴ βοήθειά τους «ὁ καθένας ἀνάλογα μὲ τὴν οἰκονομικὴ του κατάσταση»[23].

3. Καὶ ὅρα ὅτι ἐν μὲν τοῖς 'Αποστόλοις ἕτεροι τοῦτο ἐπιτρέπονται, ἐνταῦθα δὲ Παῦλος καὶ Βαρνάβας. Οὐ μικρὰ δὲ καὶ τοῦτο οἰκονομία ἦν, ἄλλως δὲ καὶ ἀρχὴ ἦν, καὶ τέως οὐκ ἔδει σκανδαλισθῆναι. 'Αλλὰ νῦν οὐδεὶς τοῦτο ποιεῖ, καίτοι λιμός ἐστι χαλεπώτερος ἐκείνου· οὐ γάρ ἐστιν ἴσον κοινῇ φέρειν τὴν συμφοράν, καί, πάντων ἐν ἀφθονίᾳ ὄντων, τοὺς πενεστέρους εἶναι ἐν λιμῷ. Τότε μόνον λιμὸς ἦν, καὶ οἱ δεδωκότες πένητες («καθὼς ηὐπορεῖτο γάρ τις αὐτῶν», φησί), νῦν δὲ λιμὸς διπλοῦς, καθάπερ ἡ ἀφθονία διπλῆ, λιμὸς χαλεπός, λιμὸς οὐ τοῦ λόγον ἀκοῦσαι Κυρίου, ἀλλὰ τοῦ τραφῆναι δι' ἐλεημοσύνης. Τότε καὶ οἱ ἐν 'Ιουδαίᾳ πένητες ἀπέλαυσαν, καὶ οἱ ἐν 'Αντιοχείᾳ δόντες τὰ χρήματα, καὶ οὗτοι μᾶλλον ἐκείνων· νυνὶ δὲ καὶ ἡμεῖς καὶ οἱ πένητες ἐν λιμῷ, οἱ μὲν τῆς ἀναγκαίας ἀποροῦντες τροφῆς, ἡμεῖς δὲ ἐν σπάνει τοῦ ἐλέους ὄντες τοῦ Θεοῦ.

Ταύτης δὲ τῆς τροφῆς οὐδὲν ἀναγκαιότερον γένοιτ' ἄν. Οὐκ ἔστιν ὑποστῆναι τὰ ἀπὸ τῆς πλησμονῆς κακά, οὐκ ἔστιν εἰς ἀφεδρῶνα προχωρῆσαι τὸ πλέον ταύτης τῆς τροφῆς. Οὐδὲν ὡραιότερον, οὐδὲν ὑγιεινότερον ψυχῆς, οὕτω τρεφομένης· πάσης ἀνωτέρα ἕστηκε νόσου, παντὸς λιμοῦ, πάσης ἀνωμαλίας καὶ δυσκρασίας· οὐδεὶς αὐτὴν δυνήσεται ἑλεῖν, ἀλλά, καθάπερ ἀδαμάντινον σῶμα οὐ σίδηρος πλῆξαι δύναται, οὐκ ἄλλο οὐδέν, οὕτω καὶ ψυχήν, ἀπὸ ἐλεημοσύνης συμπεπηγυῖαν, οὐδὲν ὅλως δυνήσεται ἑλεῖν. Τί γάρ, εἰπέ μοι, ταύτην χειρώσεταί

3. Καὶ πρόσεχε ὅτι στὴν περίπτωση μὲν τῶν Ἀποστόλων ἄλλοι ἀναλαμβάνουν τὸ ἔργο αὐτό, ἐνῶ ἐδῶ ὁ Παῦλος καὶ ὁ Βαρνάβας. Δὲν ἦταν καὶ αὐτὴ μικρὴ φροντίδα, ἄλλως τε δὲ καὶ ἀρχὴ ἦταν καὶ δὲν ἔπρεπε στὴν ἀρχὴ νὰ σκανδαλισθοῦν. Ἀλλὰ σήμερα κανένας δὲν τὸ κάμνει αὐτό, ἂν καὶ βέβαια ὑπάρχει πείνα φοβερότερη ἀπὸ ἐκείνη· διότι δὲν εἶναι τὸ ἴδιο τὸ νὰ ὑπομένουν ὅλοι μαζὶ τὴ συμφορά, καί, ἐνῶ οἱ περισσότεροι ἔχουν μὲ ἀφθονία τὰ ἀγαθά, οἱ φτωχότεροι νὰ πεινοῦν. Τότε μόνο πείνα ὑπῆρχε, καὶ ἐκεῖνοι ποὺ ἔδιναν βοήθεια ἦταν φτωχοὶ (διότι, λέγει, «ὁ καθένας ἔδινε ἀνάλογα μὲ τὴν οἰκονομική του κατάσταση»), ἐνῶ τώρα ὑπάρχει διπλὴ πείνα, ὅπως ἀκριβῶς καὶ ἡ ἀφθονία τῶν ἀγαθῶν εἶναι διπλή, πείνα φοβερή, πείνα ὄχι γιὰ ν' ἀκούσει κανένας τὸν λόγο τοῦ Κυρίου, ἀλλὰ γιὰ νὰ τραφεῖ μὲ ἐλεημοσύνη. Τότε καὶ οἱ φτωχοὶ ποὺ ζοῦσαν στὴν Ἰουδαία ἀπόλαυσαν τὰ ἀγαθά, καὶ οἱ Ἀντιοχεῖς ποὺ ἔδωσαν τὰ χρήματα, καὶ περισσότερο αὐτοὶ ἀπὸ ἐκείνους· τώρα ὅμως καὶ ἐμεῖς καὶ οἱ φτωχοὶ ζοῦμε μέσα στὴν πείνα, οἱ μὲν φτωχοὶ στερούμενοι τὴν τροφή, ἐμεῖς δὲ στερούμενοι τὸ ἔλεος τοῦ Θεοῦ·

Τίποτε δὲν θὰ μποροῦσε νὰ ὑπάρξει ἀναγκαιότερο ἀπὸ τὴν τροφὴ αὐτή. Δὲν εἶναι δυνατὸ νὰ ὑποστεῖ κανεὶς τὰ κακὰ ποὺ προέρχονται ἀπὸ τὸν χορτασμό, δὲν εἶναι δυνατὸ νὰ καταλήξει τὸ πλεόνασμα τῆς τροφῆς αὐτῆς στὸ ἀποχωρητήριο. Τίποτε δὲν ὑπάρχει ὡραιότερο, τίποτε δὲν ὑπάρχει ὑγιεινότερο ἀπὸ τὴν ψυχὴ ἐκείνη ποὺ τρέφεται μὲ τὴν τροφὴ αὐτή· στέκεται πάνω ἀπὸ κάθε ἀσθένεια, ἀπὸ κάθε πείνα, ἀπὸ κάθε ἀνωμαλία καὶ δύσκολη κατάσταση· κανένας δὲν θὰ μπορέσει αὐτὴν νὰ τὴν νικήσει, ἀλλά, ὅπως ἀκριβῶς ἀδαμάντινο σῶμα δὲν μπορεῖ ὁ σίδηρος νὰ τὸ χαράξει, οὔτε τίποτε ἄλλο, ἔτσι καὶ ψυχή, ποὺ ἔχει στερεοποιηθεῖ ἀπὸ τὴν ἐλεημοσύνη, τίποτε ἀπολύτως δὲν θὰ μπορέσει νὰ τὴν καταβάλει. Διότι πές μου,

ποτε; Πενία; Οὐκ ἔστιν· ἐν γὰρ τοῖς βασιλικοῖς ἀπόκειται ταμείοις. Ἀλλὰ ληστὴς καὶ τοιχωρύχος; Ἀλλ' ἐκείνους οὐδεὶς διορύξαι τοὺς τοίχους οἷός τε. Ἀλλὰ σκώληξ; Ἀλλὰ καὶ ταύτης ἀνώτερος τῆς λύμης οὗτος ὁ θησαυρός. Ἀλλὰ βασκανία καὶ φθόνος; Ἀλλ' οὐδὲ τούτοις ἁλίσκεται. Ἀλλὰ συκοφαντίαι καὶ ἐπιβουλαί; Οὐδὲ τοῦτο· ἄσυλος γὰρ ὁ θησαυρός.

Ἀλλ' αἰσχρόν, εἰ ταῦτα ἐπιδείξω μόνα τῇ ἐλεημοσύνῃ προσόντα, οὐχὶ δὲ καὶ τἀναντία· οὐ γὰρ δὴ βασκανίας ἀπήλλακται μόνον, ἀλλὰ καὶ εὐλογίας ἀπολαύει πολλῆς καὶ παρὰ τῶν οὐκ εὖ πεπονθότων· ὥσπερ γὰρ οἱ ὠμοὶ καὶ ἀπηνεῖς οὐ τοὺς ἠδικημένους ἔχουσιν ἐχθροὺς μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν παθόντας συναλγοῦντας αὐτοῖς καὶ κατηγοροῦντας, οὕτως οἱ μεγάλα ἐργασάμενοι καλὰ οὐχὶ τοὺς εὖ πεπονθότας μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν παθόντας ἔχουσιν ἐπαινέτας. Τί λέγω βασκανίας; Καὶ ἐπιβουλευόντων ἀπήλλακται, καὶ ληστῶν, καὶ τοιχωρύχων. Οὐ τοῦτο ἔχει μόνον τὸ καλόν, ἀλλ' ἔτι πρὸς τὸ μὴ ἐλαττοῦσθαι καὶ αὔξεται καὶ εἰς πλῆθος ἐπιδίδωσι. Τί τοῦ Ναβουχοδονόσορ γέγονεν αἰσχρότερον; τί δυσειδέστερον; τί παρανομώτερον; Ἀσεβὴς ὁ ἄνθρωπος ἦν, μυρία τεκμήρια καὶ σημεῖα εἶδε, καὶ οὐκ ἠθέλησεν ἀνενεγκεῖν, ἀλλὰ τοὺς τοῦ Θεοῦ δούλους εἰς κάμινον ἐνέβαλεν, εἰ καὶ μετὰ ταῦτα προσεκύνησε. Τί οὖν Προφήτης; «Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσον, καὶ τὰς ἀνομίας σου ἐν

τί θὰ μπορέσει ποτὲ νὰ νικήσει αὐτήν; Φτώχεια; Δὲν εἶναι δυνατό· διότι φυλάσσεται μέσα στὰ βασιλικὰ ταμεῖα. Μήπως ὅμως ληστὴς καὶ διαρρήκτης; Ἀλλ' ἐκείνους τοὺς τοίχους κανένας δὲν μπορεῖ νὰ τοὺς διαρρήξει. Μήπως σκώληκας; Ἀλλ' ὁ θησαυρὸς αὐτὸς εἶναι ἀνώτερος καὶ ἀπὸ αὐτὴ τὴν καταστροφή. Μήπως ὅμως ἡ μοχθηρία καὶ ὁ φθόνος; Ἀλλ' οὔτε ἀπὸ αὐτὰ καταβάλλεται. Ἀλλὰ μήπως συκοφαντίες καὶ ἐπιβουλές; Οὔτε αὐτό· διότι εἶναι ἀσύλητος ὁ θησαυρὸς αὐτός·

Ἀλλ' ὅμως εἶναι αἰσχρὸ ἂν παρουσιάσω αὐτὰ μόνο σὰν προσόντα τῆς ἐλεημοσύνης, ὄχι δὲ καὶ τὰ ἀντίθετα· διότι βέβαια δὲν ἀπαλλάχθηκε μόνο ἀπὸ τὸ φθόνο, ἀλλὰ ἀπολαμβάνει καὶ μεγάλη εὐλογία καὶ ἀπὸ ἐκείνους ποὺ δὲν εὐεργετήθηκαν· ὅπως ἀκριβῶς δηλαδὴ οἱ σκληροὶ καὶ ἀπάνθρωποι δὲν ἔχουν ἐχθροὺς μόνο ἐκείνους ποὺ ἔχουν ἀδικήσει, ἀλλὰ συμπάσχουν μαζὶ μὲ αὐτοὺς καὶ τοὺς κατηγοροῦν καὶ ἐκεῖνοι ποὺ δὲν ἔπαθαν κανένα κακό, ἔτσι καὶ ἐκεῖνοι ποὺ διέπραξαν μεγάλα καλὰ ἔχουν ἐπαινετὲς ὄχι μόνο ἐκείνους ποὺ εὐεργετήθηκαν, ἀλλὰ καὶ ἐκείνους ποὺ δὲν δέχθηκαν κανένα καλὸ ἀπ' αὐτούς· Καὶ γιατί λέγω ὅτι ἀπαλλάχθηκε ἀπὸ τὸ φθόνο; Ἀπαλλάχθηκε καὶ ἀπὸ ἐκείνους ποὺ τὸν ἐπιβουλεύονται, καὶ ἀπὸ τοὺς ληστὲς καὶ ἀπὸ τοὺς διαρρῆκτες. Καὶ δὲν ἔχει αὐτὸ μόνο τὸ καλό, ἀλλ' ἐκτὸς τοῦ ὅτι δὲν ἐλαττώνεται καὶ αὐξάνεται καὶ πληθύνεται. Τί ὑπῆρξε αἰσχρότερο ἀπὸ τὸν Ναβουχοδονόσορ; τί ἀπρεπέστερο; τί παρανομότερο; Ἀσεβὴς ἦταν ὁ ἄνθρωπος αὐτός, ἀμέτρητες ἀποδείξεις καὶ θαύματα εἶδε, καὶ δὲν θέλησε νὰ συνετισθεῖ, ἀλλὰ ἔρριξε στὸ καμίνι τοὺς δούλους τοῦ Θεοῦ, ἂν καὶ στὴ συνέχεια προσκύνησε τὸ Θεό. Τί λοιπὸν λέγει ὁ προφήτης; «Βασιλιά μου, ἂς φανεῖ ἀρεστὴ καὶ ἂς γίνει ἀποδεκτὴ ἡ συμβουλή μου· φρόντισε νὰ καθαρίσεις τὶς ἁμαρτίες σου μὲ ἐλεημοσύνες καὶ τὶς ἀνομίες σου μὲ φιλανθρωπικὲς πράξεις πρὸς

οἰκτιρμοῖς πενήτων· ἴσως ἔσται συγγνώμη τοῖς παραπτώμασί σου». Τοῦτο οὕτως εἶπεν, οὐκ ἀμφιβάλλων (σφόδρα γὰρ ἦν πεπεισμένος), ἀλλὰ βουλόμενος αὐτὸν εἰς μείζονα ἐμβαλεῖν φόβον, καὶ πλείονα ἀνάγκην τοῦ ταῦτα ποιῆσαι· εἰ γὰρ εἶπεν ὡμολογουμένως, ὑπτιώτερος ἂν ἐγένετο ἐκεῖνος.

Οὕτω καὶ ἡμεῖς τότε μάλιστα ὠθοῦμέν τινας, ὅταν λέγωμεν, 'Παρακάλεσον τὸν δεῖνα', καὶ μὴ ἐπαγάγωμεν ὅτι 'πάντως ἀκούσεται', ἀλλ' ὅτι 'ἴσως ἀκούσεται'· ὑπὸ γὰρ τῆς ἀμφισβητήσεως μείζων ὁ φόβος γενόμενος, μᾶλλον αὐτὸν ὠθεῖ. Διὰ τοῦτο δῆλον αὐτὸ οὐκ ἐποίησε. Τί λέγεις; τοσούτοις ἀσεβήμασιν ἔσται συγγνώμη; Ναί. Οὐκ ἔστιν ἁμάρτημα, ὃ μὴ δύναται καθαρίσαι ἐλεημοσύνη, ὃ μὴ δύναται σβέσαι· πᾶσα ἁμαρτία κατωτέρα ταύτης ἕστηκε· φάρμακόν ἐστι πρὸς πᾶν τραῦμα ἐπιτήδειον. Τί τελώνου χεῖρον; Πάσης ἀδικίας ἐστὶν ὑπόθεσις· ἀλλὰ ταύτην πᾶσαν ἀπενίψατο ὁ Ζακχαῖος.

Ὅρα πῶς καὶ ὁ Χριστὸς τοῦτο δείκνυσι, δι' ὧν ἐσπούδασε γλωσσόκομον ἔχειν, καὶ τὰ βαλλόμενα βαστάζειν. Καὶ Παῦλος δέ φησι· «Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν»· καὶ πολὺς πανταχοῦ τῶν Γραφῶν ὑπὲρ τοῦ πράγματος τούτου ὁ λόγος. «Λύτρον ψυχῆς ἀνδρός», φησίν, «ὁ ἴδιος πλοῦτος»· καὶ ὁ Χριστός· «Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι». Τοῦτο τελειότης εἰκότως. Ἐλεημοσύνη δὲ οὐκ ἐν χρήμασι γίνεται μόνον, ἀλ-

24. Δαν. 4, 24
25. Τὸ ὅτι δηλ. θὰ λάβει συγχώρηση ἀπὸ τὸ Θεὸ ἂν καταφύγει σὲ ἔργα ἐλεημοσύνης καὶ φιλανθρωπίας
26. Ἰω. 12, 6
27. Γαλ. 2, 10
28. Παροιμ. 13, 8
29. Ματθ. 19, 21

τοὺς φτωχούς· ἴσως ἔτσι ὁ Θεὸς συγχωρήσει τὰ παραπτώματά σου»[24]. Αὐτὸ τὸ εἶπε ἔτσι, ὄχι ἀμφιβάλλοντας (διότι πίστευε ἀπόλυτα σ' αὐτό), ἀλλὰ θέλοντας νὰ προξενήσει σ' αὐτὸν μεγαλύτερο φόβο καὶ νὰ τὸν ὁδηγήσει σὲ μεγαλύτερη ἀνάγκη γιὰ νὰ πράξει αὐτά· διότι ἂν τὰ ἔλεγε αὐτὰ μὲ φανερὴ βεβαιότητα, θὰ μποροῦσε νὰ φανεῖ ἐκεῖνος περισσότερο ἀδιάφορος.

Ἔτσι καὶ ἐμεῖς τότε πρὸ πάντων ἐξαναγκάζομε κάποιους, ὅταν λέμε, 'παρακάλεσε τὸν τάδε', καὶ δὲν προσθέτομε ὅτι 'ὁπωσδήποτε θὰ σὲ ἀκούσει', ἀλλὰ λέμε ὅτι 'ἴσως σὲ ἀκούσει'· διότι, ἐπειδὴ ἐξ αἰτίας τῆς ἀμφιβολίας ὁ φόβος γίνεται μεγαλύτερος, τὸν ἐξαναγκάζει περισσότερο νὰ τὸ κάνει· Γι' αὐτὸ δὲν τὸ φανέρωσε αὐτό[25]. Τί λέγει; γιὰ τόσα ἀσεβήματα θὰ δοθεῖ συγχώρηση; Ναί. Δὲν ὑπάρχει ἁμάρτημα, ποὺ νὰ μὴ μπορεῖ νὰ τὸ καθαρίσει ἡ ἐλεημοσύνη, ποὺ νὰ μὴ μπορεῖ νὰ τὸ σβήσει· ὁποιαδήποτε ἁμαρτία εἶναι κατώτερη ἀπὸ τὴν ἐλεημοσύνη· αὐτὴ εἶναι φάρμακο κατάλληλο γιὰ κάθε τραῦμα. Τί ὑπάρχει χειρότερο ἀπὸ τὸν τελώνη; Ἀποτελεῖ ἀφορμὴ ὁποιασδήποτε ἀδικίας· ἀλλ' ὅλη αὐτὴ τὴν ἀδικία τὴν ἔπλυνε καὶ τὴν καθάρισε ὁ Ζακχαῖος.

Πρόσεχε πῶς καὶ ὁ Χριστὸς φανερώνει αὐτό, μὲ τὸ ὅτι φρόντισε καὶ κιβώτιο εἰσφορῶν[26] νὰ ἔχει καὶ νὰ φυλάσσει σ' αὐτὸ ἐκεῖνα ποὺ ἔρριχναν μέσα σ' αὐτό. Καὶ ὁ Παῦλος δὲ λέγει· «Μόνο ζήτησαν νὰ ἐνθυμούμαστε τοὺς φτωχούς»[27]· καὶ πολὺς λόγος γίνεται γιὰ τὸ θέμα αὐτὸ σὲ κάθε μέρος τῶν Γραφῶν. «Ὁ ἴδιος ὁ πλοῦτος», λέγει, «γίνεται σωτηρία τῆς ψυχῆς»[28]· καὶ ὁ Χριστὸς λέγει· «Ἂν θέλεις νὰ εἶσαι τέλειος, πούλησε τὰ ὑπάρχοντά σου καὶ μοίρασέ τα στοὺς φτωχούς, καὶ τότε ἔλα καὶ ἀκολούθησέ με»[29]. Αὐτὸ πολὺ σωστὰ εἶναι τελειότητα. Ἐλεημοσύνη δὲ γίνεται ὄχι μόνο μὲ χρήματα, ἀλλὰ καὶ μὲ ἔργα καλά· Ἐννοῶ μ' αὐτὸ ποὺ λέγω τὸ ἑξῆς· Μποροῦμε

λὰ καὶ ἐν πράγμασιν. Οἷον τι λέγω. Ἔστι καὶ προστῆναι, ἔστι καὶ χεῖρα ὀρέξαι· πολλάκις καὶ χρημάτων μειζόνως ἔσωσεν ἡ διὰ πραγμάτων προστασία.

4. Οὐκοῦν φέρε πάντα κινήσωμεν ἐπὶ τοῦ παρόντος τὰ τῆς ἐλεημοσύνης εἴδη. Δύνασαι διὰ χρημάτων; Μὴ ὄκνει. Δύνασαι διὰ προστασίας; Μὴ εἴπῃς, ἐπειδὴ χρήματα οὐκ ἔστι, τοῦτο οὐδέν ἐστι· σφόδρα καὶ τοῦτο μέγα· ὥσπερ χρυσίον δεδωκώς, οὕτω διάκεισο. Δύνασαι διὰ θεραπείας; Καὶ τοῦτο ποίησον. Οἷον, ἰατρὸς εἶ τὴν ἐπιστήμην; Ἐπιμελήθητι ἀρρωστούντων· καὶ τοῦτο μέγα. Δύνασαι διὰ συμβουλῆς; Πολλῷ τοῦτο πάντων μεῖζον· αὕτη βελτίων πάντων, ᾗ καὶ πλείων, ὅσῳ καὶ μεῖζον ἔχει τὸ κέρδος· οὐ γὰρ λιμὸν λύεις, ἀλλὰ θάνατον χαλεπόν. Τοιαύτης καὶ οἱ Ἀπόστολοι ἐκ περιουσίας ἦσαν ἐμπεπλησμένοι· διὰ τοῦτο τὴν τῶν χρημάτων διανομὴν τοῖς μετ' αὐτοὺς ἐνεχείρισαν, αὐτοὶ τὴν διὰ τῶν λόγων ἐπιδεικνύμενοι. Ἢ μικρὰν ἐλεημοσύνην οἴει εἶναι, ψυχὴν ἀπορουμένην, κινδυνεύουσαν περὶ τῶν ἐσχάτων, ὑπὸ πυρώσεως συνεχομένην, δυνηθῆναι ἀπαλλάξαι τῆς νόσου; Οἷον, ὁρᾷς φίλον ὑπὸ φιλαργυρίας κατεχόμενον; Ἐλέησον τὸν ἄνθρωπον. Ἀποπνίγεται; Σβέσον αὐτοῦ τὸ πῦρ. Τί οὖν, ἂν μὴ πείθηται; Σὺ τὸ σαυτοῦ ποίησον, καὶ μὴ κατοκνήσῃς. Εἶδες αὐτὸν ἐν δεσμοῖς κατεχόμενον; (δεσμὰ γὰρ ὄντως τὰ χρήματα). Ἄπελθε πρὸς αὐτόν, ἐπίσκεψαι αὐτόν, παραμύθησαι, πειράθητι τῶν δεσμῶν ἀπολῦσαι· ἂν μὴ βούληται, τὴν αἰτίαν αὐτὸς ὑπομενεῖ.

καὶ νὰ προστατεύσομε κάποιον, μποροῦμε καὶ νὰ τὸν βοηθήσομε· πολλὲς φορὲς ἡ προστασία μὲ ἔργα ἔσωσε πολὺ περισσότερο καὶ ἀπὸ τὰ χρήματα.

4. Ἐμπρὸς λοιπὸν ἂς ἀναφέρομε τώρα ὅλα τὰ εἴδη τῆς ἐλεημοσύνης. Μπορεῖς νὰ βοηθήσεις μὲ χρήματα; Μὴ διστάζεις. Μπορεῖς μὲ προστασία; Μὴ πεῖς, ἀφοῦ δὲν ὑπάρχουν χρήματα, αὐτὸ δὲν εἶναι τίποτε· καὶ αὐτὸ εἶναι πάρα πολὺ σπουδαῖο· σὰν ἀκριβῶς νὰ ἔχεις δώσει χρήματα, ἔτσι νὰ αἰσθάνεσαι. Μπορεῖς μὲ θεραπεία; Καὶ αὐτὸ κάνε το. Γιὰ παράδειγμα, εἶσαι γιατρὸς ὡς πρὸς τὴν ἐπιστήμη; Φρόντισε ἀσθενεῖς· καὶ αὐτὸ εἶναι σπουδαῖο. Μπορεῖς μὲ συμβουλή; Αὐτὸ εἶναι πολὺ πιὸ ἀνώτερο ἀπὸ ὅλα· αὐτὴ εἶναι σπουδαιότερη ἀπὸ ὅλα, ἢ καὶ τόσο μεγαλύτερη, ὅσο καὶ μεγαλύτερο εἶναι τὸ κέρδος ποὺ ἔχει· διότι δὲν ἀπαλλάσσεις ἀπὸ πείνα, ἀλλὰ ἀπὸ θάνατο φοβερό. Ἀπὸ αὐτὸ τὸ εἶδος ἐλεημοσύνης ἦταν γεμάτοι μὲ ὑπεραφθονία καὶ οἱ Ἀπόστολοι· γι' αὐτὸ τὴ διανομὴ τῶν χρημάτων τὴν ἀνέθεσαν σ' αὐτοὺς ποὺ τοὺς συνόδευαν, ἐνῶ αὐτοὶ οἱ ἴδιοι πρόσφερναν τὴ βοήθεια μὲ τοὺς λόγους τους· Ἢ νομίζεις ὅτι εἶναι μικρὴ ἐλεημοσύνη, τὸ νὰ μπορέσεις ν' ἀπαλλάξεις ἀπὸ τὴν ἀσθένεια ψυχὴ ποὺ βρίσκεται σὲ δυσχέρεια, ποὺ διατρέχει τὸν μέχρι θανάτου κίνδυνο, καὶ κατακαίγεται ὁλόκληρη; Γιὰ παράδειγμα, βλέπεις φίλο ποὺ εἶναι κυριευμένος ἀπὸ φιλαργυρία; Βοήθησε αὐτὸν τὸν ἄνθρωπο. Κινδυνεύει νὰ καταστραφεῖ ἀπὸ τὸ πάθος του; Σβῆσε τὴ φλόγα αὐτοῦ. Τί λοιπὸν νὰ κάνω ἂν δὲν πείθεται; Σὺ κάνε ὅ,τι ἐξαρτᾶται ἀπὸ σένα, καὶ μὴ δείξεις ἀδιαφορία. Εἶδες αὐτὸν νὰ συσφίγγεται ἀπὸ δεσμά; (διότι δεσμὰ πράγματι εἶναι τὰ χρήματα). Πήγαινε σ' αὐτόν, ἐπισκέψου τον, παρηγόρησέ τον, προσπάθησε νὰ τὸν ἐλευθερώσεις ἀπὸ τὰ δεσμά· ἂν δὲν θέλει, αὐτὸς θὰ εἶναι αἴτιος.

Εἶδες γυμνὸν καὶ ξένον; (γυμνὸς γὰρ ὄντως καὶ ξένος ἐστὶ τῶν οὐρανῶν ὁ βίου ὀρθοῦ ἐπιμελούμενος). Λάβε εἰς τὸ καταγώγιον τὸ σόν, περίβαλε ἱμάτια τὰ τῆς ἀρετῆς, δὸς πόλιν τὴν ἐν οὐρανῷ. Τί οὖν, ἂν ἐγὼ γυμνὸς ὦ; Καὶ σαυτὸν ἔνδυσον πρῶτον, εἰ οἶδας ὅτι γυμνὸς εἶ πάντως, καὶ ὅτι ἐνδυθῆναι ὀφείλεις οἶδας. Εἰ ταύτης μόνον τῆς γυμνότητος ἐπίστασαι τὸν τρόπον, δυνήσῃ γνῶναι ῥᾳδίως καὶ τὴν αὐτῆς καταστολήν. Πόσαι γυναῖκες σηρικὰ ἱμάτια φοροῦσι, γυμναὶ δὲ ὄντως εἰσὶ τῶν τῆς ἀρετῆς ἱματίων; Ταύτας οἱ ἄνδρες περιβαλέτωσαν. Ἀλλ' οὐ προσίενται τὰ ἱμάτια ἐκεῖνα, ἀλλὰ ταῦτα βούλονται; Τοῦτο πρῶτον ποίησον· εἰς τὴν ἐπιθυμίαν αὐτὰς τῶν ἱματίων ἐκείνων κατάστησον, δεῖξον ὅτι γυμναί εἰσι, διαλέχθητι περὶ τῆς κρίσεως τῆς μελλούσης· εἰπέ· '"Αλλων ἡμῖν ἐκεῖ δεῖ, οὐ τούτων.

Εἰ δὲ ἀνέχοισθέ μου, καὶ ἐγὼ τὴν γυμνότητα δείξω. Ὁ γυμνός, ψύχους μὲν ὄντος, πέπηγε, καὶ τρέμει, καὶ συνεσταλμένος ἕστηκε, συναγαγὼν τοὺς βραχίονας, θέρους δὲ ὄντος, οὐκ ἔτι. Ἂν τοίνυν δείξω καὶ τοὺς πλουτοῦντας καὶ τὰς πλουτούσας τοσούτῳ μάλιστα γυμνάς, ὅσῳ μάλιστα ἂν περιβάλλωνται, μὴ ἀπεχθάνεσθε. Τί οὖν, εἰπέ μοι, ὅταν τοὺς περὶ γεέννης ἀνακινῶμεν λόγους, καὶ τῶν βασανιστηρίων ἐκείνων, οὐχὶ μᾶλλον τῶν γυμνῶν ἐκείνων πεπήγασιν οὗτοι καὶ τρέμουσιν; οὐχὶ πικρὰ στενάζουσι, καὶ καταδικάζουσιν ἑαυτούς; Τί δαί, ὅταν τῷ δεῖνι προσέρχωνται καὶ λέγωσιν, 'Εὖξαι ὑπὲρ ἐμοῦ', οὐχὶ τὰ αὐτὰ ῥήματα φθέγγονται ἐκείνοις; Ἀλλὰ νῦν μέν, ὅσα ἂν εἴπωμεν, οὔπω δήλη ἡ γυμνότης, ἔσται δὲ ἐκεῖ δήλη. Πῶς, καὶ τίνι τρόπῳ; Ὅταν, τῶν σηρικῶν ἱματίων τούτων καὶ τῶν

Εἶδες γυμνὸ καὶ ξένο; (διότι γυμνὸς πράγματι καὶ ξένος τῶν οὐρανῶν εἶναι ἐκεῖνος ποὺ δὲν φροντίζει γιὰ ὀρθὸ τρόπο ζωῆς). Ὁδήγησέ τον στὸ δικό σου κατάλυμα, ἔνδυσέ τον μὲ τὰ ἐνδύματα τῆς ἀρετῆς, δῶσε του τὴν πόλη ποὺ βρίσκεται στὸν οὐρανό. Τί λοιπόν, λέγει, νὰ κάνω, ἂν ἐγὼ εἶμαι γυμνός; Ἔνδυσε καὶ τὸν ἑαυτό σου πρῶτα, ἂν γνωρίζεις ὅτι ὁπωσδήποτε εἶναι γυμνός, καὶ ἐὰν γνωρίζεις ὅτι ὀφείλεις νὰ ἐνδυθεῖς. Ἐὰν γνωρίζεις καλὰ αὐτῆς μόνο τῆς γυμνότητας τὸν τρόπο, θὰ μπορέσεις νὰ γνωρίσεις εὔκολα καὶ τὴν καταστολὴ αὐτῆς. Πόσες γυναῖκες φοροῦν μεταξωτὰ ἐνδύματα, ἐνῶ πράγματι εἶναι γυμνὲς ἀπὸ τὰ ἐνδύματα τῆς ἀρετῆς; Αὐτὲς ἂς τὶς ἐνδύσουν οἱ ἄνδρες. Ὅμως δὲν δέχονται τὰ ἐνδύματα ἐκεῖνα, ἀλλὰ θέλουν αὐτὰ τὰ μεταξωτά; Αὐτὸ πρῶτα κάνε· κάνε τις νὰ ἐπιθυμήσουν τὰ ἐνδύματα ἐκεῖνα δείχνοντας ὅτι εἶναι γυμνές, μίλησέ τις γιὰ τὴ μέλλουσα κρίση, πές· 'ἄλλα ἐνδύματα χρειαζόμαστε ἐκεῖ, ὄχι αὐτά'.

Ἂν μὲ ἀνέχεσθε θὰ σᾶς δείξω καὶ ἐγὼ τὴ γυμνότητα. Ὁ γυμνός, ὅταν μὲν κάνει κρύο, παγώνει καὶ τρέμει καὶ στέκεται συνεσταλμένος, μαζεύοντας τοὺς βραχίονές του, ἐνῶ ὅταν εἶναι θέρος, δὲν συμβαίνει αὐτό. Ἂν λοιπὸν δείξω ὅτι καὶ οἱ πλούσιοι καὶ οἱ πλούσιες, τόσο περισσότερο γυμνὲς εἶναι, ὅσο περισσότερο ντύνονται, μὴ δείξετε δυσαρέσκεια. Τί λοιπόν, πές μου παρακαλῶ, ὅταν μιλᾶμε γιὰ τὴ γέεννα καὶ τὰ βασανιστήρια ἐκεῖνα, δὲν παγώνουν αὐτοὶ καὶ δὲν τρέμουν περισσότερο ἀπὸ τοὺς γυμνοὺς ἐκείνους; δὲν ἀναστενάζουν πικρὰ καὶ καταδικάζουν τοὺς ἑαυτούς τους; Τί δέ, ὅταν πλησιάζουν τὸν τάδε καὶ λένε, 'προσευχήσου γιὰ μένα', δὲν λένε τὰ ἴδια λόγια μὲ ἐκείνους; Ἀλλὰ τώρα μέν, ὅσα καὶ ἂν ποῦμε, δὲν γίνεται ἀκόμα φανερὴ ἡ γυμνότητα, θὰ γίνει δὲ φανερὴ ἐκεῖ. Πῶς καὶ μὲ ποιὸ τρόπο; Ὅταν, ἀφοῦ καταστραφοῦν τὰ μεταξωτὰ αὐτὰ ἐνδύματα καὶ οἱ πολύ-

λίθων ἀπωλολότων, ἀπὸ μόνων τῶν τῆς ἀρετῆς καὶ τῆς κακίας ἱματίων ἅπαντες φαίνωνται· ὅταν οἱ μὲν πένητες ὦσιν ἠμφιεσμένοι δόξαν πολλήν, οἱ δὲ πλουτοῦντες γυμνοὶ καὶ ἀσχημονοῦντες πρὸς τὰ κολαστήρια σύρωνται.

Τί ἁβρότερον ἦν τοῦ πλουσίου, τοῦ τὴν πορφύραν ἐνδεδυσκομένου; τί δὲ πενέστερον τοῦ Λαζάρου; Τίς οὖν τὰ τῶν ἐπαιτῶν ἐφθέγγετο ρήματα; τίς δὲ ἐν ἀφθονίᾳ ἦν; Εἰπέ μοι, εἴ τις τὴν οἰκίαν περιβάλλοι πολλοῖς τοῖς παραπετάσμασιν, αὐτὸς δὲ ἔνδον κάθηται γυμνός, τί τὸ κέρδος; Οὕτω καὶ ἐπὶ τῶν γυναικῶν γίνεται· τὴν μὲν γὰρ οἰκίαν τῆς ψυχῆς, τὸ σῶμα λέγω, πολλοῖς περιβάλλουσιν, ἡ δὲ οἰκοδέσποινα ἔνδον κάθηται γυμνή. Χρήσατέ μοι τοὺς τῆς ψυχῆς ὀφθαλμούς, καὶ ὑποδείξω ὑμῖν τῆς ψυχῆς τὴν γυμνότητα. Τί γάρ ἐστιν ἱμάτιον ψυχῆς; Ἀρετὴ δηλονότι. Τί δὲ γυμνότης; Κακία. Καθάπερ γάρ, εἴ τις ἀποδύσειέ τινα τῶν ἐλευθέρων, αἰσχύνεται, καὶ συστέλλεται, καὶ φεύγει, οὕτω δὴ καὶ ψυχή, ἂν θέλωμεν εἰς αὐτὴν ἰδεῖν, ἡ μὴ ταῦτα ἔχουσα τὰ ἱμάτια, ἐρυθριᾷ.

Πόσας οἴει νῦν αἰσχύνεσθαι, καὶ πρὸς αὐτὸ καταδύεσθαι τὸ βάθος, ὥσπερ τι παραπέτασμα καὶ προκάλυμμα ἐπιζητούσας, ἵνα τούτων μὴ ἀκούειν τῶν λόγων; Αἱ δὲ μηδὲν ἑαυταῖς, γάννυνται, χαίρουσιν, ἐναβρύνονται καὶ ἐγκαλλωπίζονται τοῖς λεγομένοις. Ἄκουσον περὶ τῆς μακαρίας Θέκλης. Ἐκείνη, ἵνα Παῦλον ἴδῃ, καὶ τὰ χρυσία ἔδωκεν ἑαυτῆς, σὺ δέ, ἵνα τὸν Χριστὸν ἴδῃς, οὐδὲ ὀβολὸν δίδως, ἀλλὰ θαυμάζεις μὲν τὰ γεγενημένα ὑπ' ἐκείνης, οὐ ζηλοῖς δέ. Οὐκ ἀκούεις πῶς τοὺς ἐλεήμονας

------

30. Λουκᾶ 16, 19 - 31

τιμες πέτρες, όλοι θὰ φαίνονται μόνο ἀπὸ τὰ ἐνδύματα τῆς ἀρετῆς καὶ τῆς κακίας· ὅταν οἱ μὲν φτωχοὶ θὰ εἶναι ντυμένοι μὲ πολλὴ δόξα, ἐνῶ οἱ πλούσιοι θὰ σύρονται πρὸς τὰ βασανιστήρια γυμνοὶ καὶ γεμάτοι ἀπὸ ἀσχημοσύνη.

Τὶ ὑπῆρχε λαμπρότερο ἀπὸ τὸν πλούσιο ἐκεῖνο ποὺ φοροῦσε τὴν πορφύρα; τί δὲ φτωχότερο ἀπὸ τὸν Λάζαρο[**]; Ποιὸς λοιπὸν ἔλεγε τὰ λόγια τῶν ἐπαιτῶν; ποιὸς δὲ βρισκόταν μέσα στὴν ἀφθονία τῶν ἀγαθῶν; Πές μου, ἐὰν κάποιος ἤθελε περιβάλει τὴν οἰκία του μὲ πολλὰ παραπετάσματα, αὐτὸς δὲ κάθεται μέσα σ' αὐτὴν γυμνός, ποιὸ τὸ κέρδος; Αὐτὸ ἀκριβῶς γίνεται καὶ μὲ τὶς γυναῖκες· διότι τὴν μὲν οἰκία τῆς ψυχῆς, ἐννοῶ τὸ σῶμα, τὴν περιβάλλουν μὲ πολλά, ἡ δὲ οἰκοδέσποινα κάθεται μέσα γυμνή. Δῶστε μου τὰ μάτια τῆς ψυχῆς καὶ θὰ σᾶς φανερώσω τὴ γυμνότητα τῆς ψυχῆς. Διότι ποιὸ εἶναι τὸ ἔνδυμα τῆς ψυχῆς; Ἡ ἀρετὴ ἀσφαλῶς. Ποιὰ δὲ εἶναι ἡ γυμνότητα; Ἡ κακία. Ὅπως ἀκριβῶς δηλαδή, ἐὰν κάποιος ἤθελε ἐνδύσει κάποιον ἀπὸ τοὺς ἐλεύθερους, αὐτὸς ντρέπεται, συστέλλεται καὶ φεύγει, ἔτσι λοιπὸν καὶ ἡ ψυχή, ἂν στρέψομε τὸ βλέμμα μας πρὸς ἐκείνην ποὺ δὲν ἔχει αὐτὰ τὰ ἐνδύματα, κοκκινίζει ἀπὸ ντροπή·

Πόσες νομίζεις τώρα ὅτι ντρέπονται καὶ καταδύονται πολὺ βαθιά, ἀναζητώντας κατὰ κάποιο τρόπο κάποιο παραπέτασμα καὶ προκάλυμμα, γιὰ νὰ μὴ ἀκοῦν αὐτὰ τὰ λόγια; Ἐνῶ ἐκεῖνες ποὺ συναισθάνονται ὅτι τίποτε δὲν τὶς βαρύνει, ἀγάλλονται, χαίρονται, νιώθουν εὐχαρίστηση καὶ ὑπερηφάνεια γι' αὐτὰ ποὺ λέγονται. Ἄκουσε γιὰ τὴ μακάρια τὴ Θέκλα. Ἐκείνη γιὰ νὰ δεῖ τὸν Παῦλο ἔδωσε καὶ τὰ χρυσαφικά της, ἐνῶ σύ, γιὰ νὰ δεῖς τὸν Χριστό, οὔτε μιὰ δραχμὴ δίνεις, ἀλλὰ θαυμάζεις μὲν ἐκεῖνα ποὺ ἔχουν γίνει ἀπὸ ἐκείνην, δὲν τὴ μιμεῖσαι ὅμως. Δὲν ἀκοῦς πῶς

μακαρίζει ὁ Λόγος; «Μακάριοι οἱ ἐλεήμονες», φησίν, «ὅτι αὐτοὶ ἐλεηθήσονται». Τί τὸ κέρδος ἀπὸ τῶν πολυτελῶν ἱματίων; μέχρι πότε πρὸς αὐτὴν κεχήναμεν τὴν στολήν;

'Αμφιασώμεθα τὴν δόξαν τοῦ Χριστοῦ, περιβαλλώμεθα τὸ κάλλος ἐκεῖνο, ἵνα καὶ ἐνταῦθα ἐπαινεθῶμεν, καὶ ἐκεῖ τῶν αἰωνίων τύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

------

31. Ματθ. 5, 7

ὁ Λόγος τοῦ Θεοῦ μακαρίζει τοὺς ἐλεήμονες; «Μακάριοι», λέγει, «εἶναι οἱ ἐλεήμονες, διότι αὐτοὶ θὰ ἐλεηθοῦν»[31]. Ποιὸ τὸ κέρδος ἀπὸ τὰ πολυτελῆ ἐνδύματα; μέχρι πότε θὰ καταγοητευόμαστε ἀπὸ αὐτὴ τὴ στολή;

Ἂς ἐνδυθοῦμε τὴ δόξα τοῦ Χριστοῦ, ἂς φορέσομε τὸ κάλλος ἐκεῖνο, ὥστε καὶ ἐδῶ νὰ λάβομε τὸν ἔπαινο, καὶ ἐκεῖ νὰ τύχομε τὰ αἰώνια ἀγαθὰ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΣΤ'
(Πράξ. 12, 1 - 17)

«Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς Ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. Ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων».

1. Ποῖον ἐκεῖνον λέγει καιρόν; Πάντως τὸν ἐφεξῆς. Ἀλλ' ἐνταῦθα μὲν οὕτως, ἀλλαχοῦ δὲ ἑτέρως· ὅταν γὰρ ὁ Ματθαῖος λέγῃ, «Ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης κηρύσσων», οὐ τὰς ἐφεξῆς ἡμέρας δηλῶν λέγει, ἀλλ' ἐκείνας, ἐν αἷς ἔμελλε γίνεσθαι ἅπερ διηγεῖται· ἔθος γὰρ τῇ Γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ, καὶ ποτὲ μὲν τὰ ἑξῆς συμβαίνοντα ἀκολούθως ἐκτιθέναι, ποτὲ δὲ τὰ ὕστερον συμβαίνειν μέλλοντα ὡς ἐφεξῆς ἀπαγγέλλειν. Καλῶς δὲ λέγει ὅτι «Ἡρώδης ὁ βασιλεύς»· οὗτος γὰρ οὐκ ἦν ὁ ἐπὶ τοῦ Χριστοῦ. Ἰδοὺ πειρασμὸς ἕτερος. Καὶ ὅρα, ὅπερ ἐξ ἀρχῆς εἶπον, πῶς τὰ πράγματα πλέκεται, πῶς δι' ἀνέσεως καὶ θλίψεως πάντα ὑφαίνεται. Οὐκ ἔτι Ἰουδαῖοι, οὐδὲ τὸ συνέδριον, ἀλλ' ὁ βασιλεὺς ἐπιβάλλει τὰς χεῖρας εἰς τὸ κακῶσαι. Μείζων ἡ ἐξουσία, χαλεπώτερος ὁ πόλεμος, ὅσῳ καὶ πρὸς χάριν ἐγίνετο τοῖς Ἰουδαίοις.

1. Πράξ. 12, 1 - 3
2. Ματθ. 3, 1

ΟΜΙΛΙΑ ΚΣΤ΄

(Πράξ. 12, 1 - 17)

«Κατὰ τὸν καιρὸ ἐκεῖνο ὁ Ἡρώδης ὁ βασιλιὰς ἔβαλε χέρι σὲ μερικοὺς ἀπὸ τοὺς πιστοὺς τῆς Ἐκκλησίας γιὰ νὰ τοὺς κακοποιήσει. Φόνευσε δὲ μὲ μάχαιρα τὸν Ἰάκωβο, τὸν ἀδελφὸ τοῦ Ἰωάννη. Καὶ ἐπειδὴ εἶδε ὅτι ἄρεσε αὐτὸ στοὺς Ἰουδαίους, σκέφθηκε νὰ συλλάβει καὶ τὸν Πέτρο. Ἦταν δὲ τότε οἱ ἡμέρες τῆς ἑορτῆς τῶν ἀζύμων»[1].

1. Ποιὸς εἶναι ἐκεῖνος ὁ καιρὸς γιὰ τὸν ὁποῖο ὁμιλεῖ; Ὁπωσδήποτε ἐκεῖνος ποὺ ἀκολουθεῖ. Ἀλλ' ἐδῶ μὲν ἐννοεῖ αὐτό, ἀλλοῦ ὅμως ἐννοεῖ ἄλλο· διότι ὅταν ὁ Ματθαῖος λέγει «Κατὰ τὶς ἡμέρες ἐκεῖνες παρουσιάζεται ὁ Ἰωάννης κηρύσσοντας»[2], δὲν τὸ λέγει γιὰ νὰ δηλώσει τὶς ἡμέρες ποὺ ἀκολουθοῦν, ἀλλ' ἐκεῖνες κατὰ τὶς ὁποῖες ἐπρόκειτο νὰ συμβοῦν αὐτὰ ποὺ διηγεῖται· διότι συνηθίζει ἡ Γραφὴ νὰ χρησιμοποιεῖ αὐτὸν τὸν τρόπο, καὶ ἄλλοτε μὲν ἐκεῖνα ποὺ συμβαίνουν νὰ τὰ παρουσιάζει σὰν γεγονότα ποὺ θὰ συμβοῦν ἀργότερα, ἄλλοτε δὲ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν ἀργότερα νὰ τὰ παρουσιάζει σὰν γεγονότα ποὺ συμβαίνουν ἀμέσως στὴ συνέχεια. Πολὺ σωστὰ δὲ λέγει ὅτι αὐτὸς ἦταν «ὁ Ἡρώδης βασιλιάς»· διότι αὐτὸς δὲν ὑπῆρχε στὶς ἡμέρες τοῦ Χριστοῦ. Νὰ ἄλλος πειρασμός. Καὶ πρόσεχε, αὐτὸ ἀκριβῶς ποὺ εἶπα στὴν ἀρχή, πῶς τὰ πράγματα περιπλέκονται, πῶς ὅλα ὑφαίνονται μὲ ἄνεση καὶ θλίψη. Δὲν σηκώνουν ἀκόμα ἐναντίον τους χέρι οἱ Ἰουδαῖοι, οὔτε τὸ συνέδριο, ἀλλὰ ὁ βασιλιάς, μὲ σκοπὸ νὰ τοὺς κακοποιήσει. Μεγαλύτερη ἡ ἐξουσία, φοβερότερος ὁ πόλεμος, γίνεται δὲ καὶ πρὸς χάρη τῶν Ἰουδαίων.

«'Ανεῖλε δὲ 'Ιάκωβον τὸν ἀδελφὸν 'Ιωάννου μαχαίρᾳ». 'Απλῶς καὶ ὡς ἔτυχεν. Εἰ δέ τις ζητοίη, διὰ τί συνεχώρησεν ὁ Θεός; ἐροῦμεν ὅτι ὑπὲρ αὐτῶν τούτων· πρῶτον μέν, πείθων αὐτοὺς ὅτι καὶ ἀναιρούμενοι κρατοῦσιν, ὅπερ καὶ ἐπὶ Στεφάνου γέγονε, δεύτερον δέ, διδοὺς αὐτοῖς μετὰ τὸ ἐμπλῆσαι τὸν θυμὸν ἀνενεγκεῖν ἀπὸ τῆς μανίας, καὶ τρίτον, δεικνὺς ὅτι κατὰ συγχώρησιν αὐτοῦ γέγονε τοῦτο.

«'Ιδὼν δὲ ὅτι ἀρεστόν ἐστι τοῖς 'Ιουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον». Ὢ τῆς μιαρίας τῆς πολλῆς! Ὑπὲρ τίνων αὐτοῖς ἐχαρίζετο, φόνους ποιῶν ἁπλῶς καὶ εἰκῇ;

«Ἦν δὲ ἡμέρα τῶν 'Αζύμων». Πάλιν ἡ περιττὴ τῶν 'Ιουδαίων ἀκριβολογία· ἀνελεῖν μὲν οὐκ ἐκώλυον, ἐν δὲ καιρῷ τοιούτῳ τοιαῦτα ἔπραττον.

«Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν». Καὶ τοῦ θυμοῦ τοῦτο ἦν καὶ τοῦ δέους. «'Ανεῖλε», φησίν, 'Ιάκωβον τὸν ἀδελφὸν 'Ιωάννου μαχαίρᾳ». Εἶδες αὐτῶν τὴν ἀνδρείαν; Ἵνα γὰρ μηδεὶς λέγῃ ὅτι διὰ τοῦτο ἀκινδύνως καὶ ἀδεῶς κατατολμῶσι τοῦ θανάτου, ἅτε ἐξαρπάζοντος αὐτοὺς τοῦ Θεοῦ, διὰ τοῦτο ἀναιρεθῆναι συγχωρεῖ, καὶ τοὺς κορυφαίους μάλιστα, πείθων αὐτοὺς τοὺς ἀναιροῦντας ὅτι οὐδὲ ταῦτα ἀφίστησιν αὐτοὺς καὶ κωλύει.

---

3. Πράξ. 12, 4

«Φόνευσε δὲ μὲ μάχαιρα τὸν Ἰάκωβο, τὸν ἀδελφὸ τοῦ Ἰωάννη». Ἔτσι στὴν τύχη καὶ χωρὶς κανένα λόγο· Ἐὰν δὲ κάποιος ἤθελε ρωτήσει, γιατί τὸ ἐπέτρεψε ὁ Θεός; θ' ἀπαντήσομε ὅτι τὸ ἐπέτρεψε πρὸς χάρη αὐτῶν τῶν ἴδιων· κατὰ πρῶτο μὲν γιὰ νὰ πείσει αὐτοὺς ὅτι, καὶ μολονότι φονεύονται, ὑπερισχύουν, πράγμα ποὺ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Στεφάνου· δεύτερο γιὰ νὰ τοὺς δώσει τὴν εὐκαιρία ν' ἀπαλλαχθοῦν ἀπὸ τὴ μανία, ἀφοῦ ἱκανοποιήσουν τὸ θυμό τους· καὶ τρίτο, γιὰ νὰ δείξει ὅτι αὐτὸ συνέβηκε ἐπειδὴ τὸ ἐπέτρεψε αὐτὸς ὁ ἴδιος ὁ Θεός.

«Ἐπειδὴ δὲ εἶδε ὅτι αὐτὸ εὐχαρίστησε τοὺς Ἰουδαίους, ἀποφάσισε νὰ συλλάβει καὶ τὸν Πέτρο». Πώ, πὼ μέγεθος μιαρότητας! Γιὰ ποιὸ λόγο ἤθελε νὰ φαίνεται ἀρεστὸς σ' αὐτούς, πράττοντας φόνους ἔτσι στὴν τύχη καὶ χωρὶς κανένα λόγο;

«Ἦταν δὲ ἡ ἡμέρα τῆς ἑορτῆς τῶν Ἀζύμων». Πάλι ἡ περιττὴ ἀκριβολογία τῶν Ἰουδαίων· ἀπὸ τὸ ἕνα μέρος μὲν δὲν ἐμπόδιζαν νὰ διαπραχθεῖ ὁ φόνος, ἀπὸ τὸ ἄλλο δὲ κατὰ τὸν καιρὸ αὐτὸ τῆς ἑορτῆς διέπρατταν τέτοια πράγματα.

«Ἀφοῦ λοιπὸν τὸν ἔπιασε τὸν ἔβαλε στὴ φυλακή, παραδίδοντάς τον σὲ τέσσερις τετράδες στρατιωτῶν γιὰ νὰ τὸν φυλάσσουν»[3]. Αὐτὸ ἦταν ἀποτέλεσμα καὶ τοῦ θυμοῦ του καὶ τοῦ φόβου του. «Φόνευσε», λέγει, «μὲ μάχαιρα τὸν Ἰάκωβο, τὸν ἀδελφὸ τοῦ Ἰωάννη». Εἶδες τὴν ἀνδρεία αὐτῶν; Διότι γιὰ νὰ μὴ λέγει κανένας, ὅτι γι' αὐτὸ ἀκίνδυνα καὶ ἄφοβα τολμοῦν καὶ δέχονται τὸ θάνατο, ἐπειδὴ τοὺς σώζει ὁ Θεός, γι' αὐτὸ ἐπιτρέπει ὁ Θεὸς νὰ φονευθοῦν, καὶ μάλιστα τοὺς κορυφαίους ἀπ' αὐτούς, πείθοντας τοὺς ἴδιους τοὺς φονευτές τους, ὅτι οὔτε αὐτὰ ἀπομακρύνουν καὶ ἐμποδίζουν αὐτοὺς ἀπὸ τὸ θάνατο·

«Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενής, γινομένη ὑπὸ τῆς Ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ». Περὶ τὰ καίρια λοιπὸν ἦν ὁ ἀγών· καὶ τὸ ἐκεῖνον γὰρ ἀναιρεθῆναι περιδεεῖς ἐποίει, καὶ τὸ τοῦτον ἐμβεβλῆσθαι.

«Ὅτε δὲ ἔμελλε προάγειν αὐτὸν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί· φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτόν, λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν». Ὅρα, κατ' ἐκείνην τὴν νύκτα αὐτὸν ἐξήρπασε. «Καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι», ἵνα μὴ νομίσῃ φαντασίαν εἶναι· καὶ τὸ φῶς οὐδεὶς εἶδε πλὴν ἐκείνου· εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως ἐνόμιζε φαντασίαν εἶναι διὰ τὸ ἀπροσδόκητον, εἰ μὴ τοῦτο γέγονε, πολλῷ πλέον· οὕτω παρετάττετο πρὸς τὸν θάνατον. Τὸ γοῦν πολλὰς ἡμέρας ἐκεῖ μείναντα μὴ σωθῆναι, τοῦτο ἐποίει. Καὶ διὰ τί, φησίν, οὐκ ἀφῆκεν αὐτὸν εἰς τὰς χεῖρας ἐμπεσεῖν Ἡρώδου, καὶ τότε ἐξήρπασεν; Ὅτι ἐκεῖνο μὲν εἰς ἔκπληξιν ἤγαγεν ἄν, τοῦτο δὲ ὑπὲρ αὐτῶν ἐγένετο· οὐκ ἂν γὰρ ἐνομίσθησαν ἄνθρωποι εἶναι, εἰ θεοπρεπῶς πάντα ἐποίει. Ἐπὶ δὲ τοῦ Στεφάνου τί οὐκ ἐποίησεν; οὐχ ὡς ἀγγέλου τὸ πρόσωπον αὐτοῖς ἔδειξε; Τί δὲ ὅλως ἐνέλιπε καὶ ἐνταῦθα;

«Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑ-

---

4. Πράξ. 12, 5
5. Πράξ. 12, 6 - 7

«Ὁ μὲν λοιπὸν Πέτρος φυλασσόταν μέσα στὴ φυλακή· ὅμως προσευχὴ θερμὴ γινόταν ἀπὸ τοὺς πιστοὺς τῆς Ἐκκλησίας πρὸς τὸν Θεὸ ὑπὲρ αὐτοῦ»[4]. Ὁ ἀγώνας λοιπὸν ἦταν ἀγώνας ποὺ ὁδηγοῦσε στὸ θάνατο· διότι καὶ τὸ ὅτι φονεύθηκε ὁ Ἰάκωβος τοὺς γέμιζε ἀπὸ φόβο, καὶ τὸ ὅτι ὁ Πέτρος ρίχθηκε στὴ φυλακή.

«Τὴ νύχτα ὅμως πρὶν ἀπὸ τὴν ἡμέρα κατὰ τὴν ὁποία ἐπρόκειτο ὁ Ἡρώδης νὰ τὸν ὁδηγήσει στὸ δικαστήριο, ὁ Πέτρος κοιμόταν ἀνάμεσα σὲ δύο στρατιῶτες, δεμένος μὲ δύο ἁλυσίδες, φύλακες δὲ μπροστὰ ἀπὸ τὴν πόρτα φρουροῦσαν τὴ φυλακή. Καὶ νὰ ξαφνικὰ ἄγγελος Κυρίου ἦρθε καὶ ἔλαμψε φῶς μέσα στὸ οἴκημα. Ἀφοῦ χτύπησε τὴν πλευρὰ τοῦ Πέτρου, τὸν ξύπνησε καὶ τοῦ εἶπε· Σήκω γρήγορα. Καὶ ἔπεσαν οἱ ἁλυσίδες ἀπὸ τὰ χέρια αὐτοῦ»[5]. Πρόσεχε ὅτι κατὰ τὴν νύχτα ἐκείνη τὸν ἅρπαξε ὁ Θεὸς καὶ τὸν ἔσωσε. «Καὶ φῶς ἔλαμψε μέσα στὸ οἴκημα», γιὰ νὰ μὴ νομίσει ὅτι ἦταν κάτι ποὺ τὸ φαντάσθηκε· καὶ τὸ φῶς κανένας δὲν τὸ εἶδε ἐκτὸς ἀπὸ ἐκεῖνον· διότι ἐάν, μολονότι συνέβηκε αὐτό, καὶ ὅμως νόμιζε ὅτι αὐτὸ εἶναι φαντασία ἐπειδὴ ἦταν ἀπροσδόκητο, ἐὰν δὲν εἶχε συμβεῖ αὐτό, πολὺ περισσότερο θὰ τὸ νόμιζε σὰν φαντασία· τόσο πολὺ ἕτοιμος ἦταν γιὰ τὸ θάνατο. Τὸ ὅτι δηλαδὴ ἔμεινε ἐκεῖ πολλὲς ἡμέρες χωρὶς νὰ σωθεῖ, γινόταν αἰτία γιὰ ὅλα αὐτά. Καὶ γιατί, λέγει, δὲν ἐπέτρεψε νὰ πέσει στὰ χέρια τοῦ Ἡρώδη καὶ τότε νὰ τὸν ἅρπαζε ἀπὸ τὰ χέρια του καὶ νὰ τὸν ἔσωζε; Διότι ἐκεῖνο μὲν θὰ προξενοῦσε ἔκπληξη, ἐνῶ αὐτὸ ἔγινε πρὸς ὄφελος αὐτῶν· διότι δὲν θὰ ἦταν δυνατὸ νὰ θεωρηθοῦν ὅτι εἶναι ἄνθρωποι, ἐὰν ὅλα γίνονταν κατὰ τρόπο θεοπρεπή. Στὴν περίπτωση δὲ τοῦ Στεφάνου τί εἶναι ἐκεῖνο ποὺ δὲν τὸ ἔκανε; δὲν ἔδειξε σ' αὐτοὺς τὸ πρόσωπό του ὑπὸ μορφὴ ἀγγέλου; Τί δὲ ἔλειψε καὶ ἀπὸ ἐδῶ ἐξ ὁλοκλήρου;

«Καὶ εἶπε ὁ ἄγγελος πρὸς αὐτόν· Ζώσου καὶ φόρεσε

πόδησαι τὰ σανδάλιά σου». Πάλιν ἐνταῦθα δείκνυσιν ὅτι οὐ κακουργίᾳ γέγονεν· οὐδεὶς γὰρ ἐπειγόμενος, καὶ διορύξαι βουλόμενος τοσαύτην ποιεῖται σπουδήν, ὥστε καὶ τὰ σανδάλια αὐτοῦ λαβεῖν, ὥστε καὶ ζώσασθαι. Ἐποίησε δὲ οὕτω.

«Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ· καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον ὑπὸ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς». Ἰδοὺ δεύτερον σημεῖον. Ὅτε ἀπέστη ὁ ἄγγελος, τότε ἐνόησεν ὁ Πέτρος.

«Καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ὁ ἄγγελος ἀπ' αὐτοῦ ἀπέστη. Καὶ ὁ Πέτρος, γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ὅτι ἀληθῶς ἐξαπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων». «Νῦν ἔγνων», φησίν, οὐ τότε. Διὰ τί δὲ γίνεται τοῦτο, καὶ οὐκ ἔστιν ὁ Πέτρος ἐν αἰσθήσει τῶν γινομένων, καίτοι ἤδη τοιαύτης ἀπολαύσας ἀπαλλαγῆς, ὅτε οἱ πάντες ἀπελύθησαν; Ἀθρόον βούλεται τὴν ἀπαλλαγὴν αὐτῷ γενέσθαι, καὶ μετὰ τὸ ἀπαλλαγῆναι τότε τὴν αἴσθησιν λαβεῖν. Τὸ τὰς ἁλύσεις δὲ ἀπὸ τῶν χειρῶν πεσεῖν, μέγα τεκμήριον τοῦ μὴ φυγεῖν.

«Συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. Κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη· καὶ ἐπιγνοῦσα τὴν φω-

------

6. Πράξ. 12, 8
7. Πράξ. 12' 8 - 10
8. Πράξ. 12, 10 - 11

τὰ σανδάλιά σου»[6]. Πάλι ἐδῶ δείχνει ὅτι δὲν ἦταν κακουργία αὐτὸ ποὺ συνέβηκε˙ διότι κανένας ποὺ βιάζεται καὶ θέλει νὰ τρυπήσει τοῖχο δὲν φροντίζει τόσο πολύ, ὥστε καὶ τὰ σανδάλιά του νὰ λάβει καὶ νὰ ζωσθεῖ. Αὐτὸς ὅμως ἐνήργησε ἔτσι.

«Καὶ λέγει σ' αὐτόν˙ Φόρεσε τὸ ἔνδυμά σου καὶ ἀκολούθα με˙ Καὶ βγῆκε ἔξω καὶ τὸν ἀκολουθοῦσε˙ καὶ δὲν γνώριζε ὅτι εἶναι ἀληθινὸ αὐτὸ ποὺ ἔγινε ἀπὸ τὸν ἄγγελο˙ νόμιζε ὅτι βλέπει ὅραμα. Ἀφοῦ πέρασαν τὴν πρώτη φρουρὰ καὶ τὴ δεύτερη, ἔφθασαν στὴν πύλη τὴ σιδερένια, ποὺ ὁδηγεῖ στὴν πόλη, ἡ ὁποία ἀνοίχθηκε γι' αὐτοὺς αὐτόματα»[7]. Νὰ δεύτερο θαῦμα. Ὅταν ἔφυγε ὁ ἄγγελος, τότε ἀντιλήφθηκε ὁ Πέτρος τὰ ὅσα συνέβηκαν.

«Καὶ ἀφοῦ βγῆκαν προχώρησαν σ' ἕνα στενὸ δρόμο καὶ ἀμέσως ὁ ἄγγελος ἔφυγε ἀπὸ κοντά του. Ὁ δὲ Πέτρος ἀφοῦ συνῆλθε, εἶπε˙ Τώρα τὸ γνωρίζω πολὺ καλὰ ὅτι ἀληθινὰ ὁ Κύριος ἔστειλε τὸν ἄγγελό του καὶ μὲ ἔσωσε ἀπὸ τὰ χέρια τοῦ Ἡρώδη καὶ ἀπὸ ὅλα ἐκεῖνα ποὺ περίμεναν οἱ Ἰουδαῖοι νὰ συμβοῦν»[8]. «Τώρα γνώρισα», λέγει, ὄχι τότε˙ Γιατί δὲ γίνεται αὐτὸ καὶ δὲν συμβαίνει ὥστε ὁ Πέτρος νὰ ἔχει συναίσθηση τῶν ὅσων γίνονται, ἂν καὶ βέβαια ἀπόλαυσε ἤδη τέτοια ἀπαλλαγή, τότε ποὺ ἐλευθερώθηκαν ὅλοι μαζί; Θέλει ὁ Θεὸς ἡ ἀπαλλαγή του νὰ γίνει κατὰ τρόπο ξαφνικὸ καὶ ἀθόρυβο, καὶ ἀφοῦ ἀπαλλαγεῖ τότε νὰ λάβει συναίσθηση τοῦ γεγονότος. Τὸ ὅτι οἱ ἁλυσίδες ἔπεσαν ἀπὸ τὰ χέρια του, ἦταν μεγάλη ἀπόδειξη τοῦ ὅτι δὲν φυγαδεύθηκε.

«Ἀφοῦ συνῆλθε ἦρθε στὴν οἰκία τῆς Μαρίας τῆς μητέρας τοῦ Ἰωάννη, ποὺ ἐπονομαζόταν Μάρκος, ὅπου ὑπῆρχαν ἀρκετοὶ συγκεντρωμένοι καὶ προσεύχονταν. Ἀφοῦ χτύπησε τὴν ἐξωτερικὴ πόρτα, ἦρθε μία ὑπηρέτρια, ποὺ ὀνομαζόταν Ρόδη, γιὰ ν' ἀκούσει ποιὸς εἶναι, καί, ἐπειδὴ γνώρισε τὴ φωνὴ τοῦ Πέτρου, ἀπὸ τὴ χαρά της

νὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα». Ὅρα τὸν Πέτρον οὐκ εὐθέως ἀναχωροῦντα, ἀλλὰ πρότερον εὐαγγελιζόμενον τοὺς αὐτοῦ.

«Εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. Οἱ δὲ πρὸς αὐτὴν εἶπον· Μαίνῃ. Ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν». Ὅρα καὶ τὰς παιδίσκας εὐλαβείας γεμούσας. Ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα· ἐκεῖνοι δέ, καὶ τούτου γενομένου, ἀνένευσαν.

«Ἡ μέν», φησί, «διϊσχυρίζετο οὕτως ἔχειν, οἱ δὲ ἔλεγον· Ὁ ἄγγελος αὐτοῦ ἐστιν. Ὁ δὲ Πέτρος ἐπέμενε κρούων. Ἀνοίξαντες δὲ εἶδον αὐτόν, καὶ ἐξέστησαν. Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς, πῶς ὁ Κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς. Εἶπε δέ· Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον». Ἴδωμεν οὖν ἄνωθεν τὴν ἀκολουθίαν τῶν εἰρημένων.

«Κατ' ἐκεῖνον τὸν καιρόν», φησίν, «ἐπέβαλε τὰς χεῖρας ὁ βασιλεὺς Ἡρώδης κακῶσαί τινας ἀπὸ τῆς Ἐκκλησίας». Καθάπερ θηρίον ἁπλῶς καὶ ἀλογίστως πᾶσιν ἐπῄει. Τοῦτό ἐστιν, ὃ ἔλεγεν ὁ Χριστός· «Τὸ μὲν ποτήριον, ὃ μέλλω πίνειν, πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε». «Ἀνεῖλε δέ», φησίν, «Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ». Καὶ πῶς, φησί, τὸν Πέτρον οὐκ εὐθέως ἀνεῖλεν; Εἶπε τὴν αἰτίαν ὁ συγγραφεύς· «ἡμέραι» γάρ, φησίν, «ἦσαν τῶν Ἀζύμων»· καὶ μᾶλλον αὐτοῦ ἐμπορεῦσαι ἐβούλετο τῇ σφαγῇ. Αὐτοὶ μὲν οὖν ἀπὸ τῆς παραινέσεως τῆς Γαμα-

---

9. Πράξ. 12, 12 - 14
10. Πράξ. 12, 14 - 15
11. Πράξ. 12, 15 - 17
12. Πράξ. 12, 1
13. Μάρκ. 10, 39
14. Πράξ. 12, 2
15. Πράξ. 12, 3

δὲν ἄνοιξε τὴν ἐξωτερικὴ πόρτα»[9]. Πρόσεχε τὸν Πέτρο ποὺ δὲν φεύγει ἀμέσως, ἀλλὰ προηγουμένως γνωστοποιεῖ τὴ σωτηρία του στοὺς δικούς του.

«Ἀφοῦ δὲ ἔτρεξε μέσα ἀνήγγειλε ὅτι ὁ Πέτρος στέκεται μπροστὰ στὴν ἐξωτερικὴ πόρτα. Οἱ βρισκόμενοι ὅμως μέσα εἶπαν πρὸς αὐτήν. Δὲν εἶσαι στὰ καλά σου. Ἀλλ' ἐκείνη ἐπέμενε ὅτι ἔτσι ἔχει τὸ πράγμα»[10]. Πρόσεχε καὶ τὶς ὑπηρέτριες ποὺ εἶναι γεμάτες ἀπὸ εὐλάβεια. Ἀπὸ τὴ χαρά της δὲν ἄνοιξε τὴν ἐξωτερικὴ πόρτα, ἐνῶ ἐκεῖνοι, καὶ ὅταν ἀκόμα ἔγινε αὐτό, δὲν τὸ πίστεψαν.

«Ἡ μὲν ὑπηρέτρια», λέγει, ἐπέμενε ὅτι ἔτσι ἔχει τὸ πράγμα, ἐνῶ οἱ ἄλλοι ἔλεγαν· Ὁ ἄγγελός του εἶναι. Ὁ Πέτρος ὅμως ἐπέμενε νὰ χτυπᾶ τὴν πόρτα. Ἀφοῦ δὲ ἄνοιξαν καὶ τὸν εἶδαν ἔμειναν κατάπληκτοι. Ἀφοῦ τοὺς ἔκανε νεῦμα μὲ τὸ χέρι του νὰ σιωπήσουν, τοὺς διηγήθηκε, πῶς ὁ Κύριος τὸν ἔβγαλε ἀπὸ τὴ φυλακή· Εἶπε δέ· Ἀναγγείλατε αὐτὰ στὸν Ἰάκωβο καὶ στοὺς ἀδελφούς. Στὴ συνέχεια βγῆκε ἔξω καὶ ἀναχώρησε γιὰ ἄλλο τόπο»[11]. Ἂς δοῦμε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τὴ συνέχεια τῶν ὅσων ἔχουν λεχθεῖ.

2. «Κατ' ἐκεῖνο τὸν καιρό», λέγει, «ὁ βασιλιὰς Ἡρώδης σήκωσε χέρι ἐναντίον ὁρισμένων μελῶν τῆς Ἐκκλησίας γιὰ νὰ τοὺς κακοποιήσει»[12]. Σὰν ἀκριβῶς θηρίο χωρὶς κανένα λόγο καὶ τελείως ἀπερίσκεπτα ἔκαμνε τὴν ἐπίθεσή του ἐναντίον ὅλων. Αὐτὸ σημαίνει ἐκεῖνο ποὺ ἔλεγε ὁ Χριστός· «Τὸ μὲν ποτήρι, ποὺ πρόκειται νὰ πιῶ ἐγώ, θὰ τὸ πιεῖτε, καὶ τὸ βάπτισμα, μὲ τὸ ὁποῖο βαπτίζομαι ἐγώ, θὰ βαπτισθεῖτε»[13].

«Φόνευσε δὲ μὲ μάχαιρα», λέγει, «τὸν Ἰάκωβο τὸν ἀδελφὸ τοῦ Ἰωάννη»[14]· Καὶ πῶς, λέγει, δὲν φόνευσε ἀμέσως τὸν Πέτρο; Εἶπε τὴν αἰτία ὁ συγγραφέας. Διότι, λέγει, «Ἦταν οἱ ἡμέρες τῆς ἑορτῆς τῶν Ἀζύμων»[15]· καὶ ἤθελε νὰ διαπομπεύσει περισσότερο τὴ σφαγὴ αὐτοῦ. Οἱ

λιήλου ἐπεῖχον λοιπὸν ἑαυτοὺς τῶν φόνων (ἄλλως δὲ οὐδὲ αἰτίας εὕρισκον), δι' ἑτέρων δὲ αὐτὰ κατεσκεύαζον. Ἐπεὶ δὲ καὶ ἕτερος Ἰάκωβος ἦν, ὁ ἀδελφὸς τοῦ Κυρίου, διὰ τοῦτο ἐπεσημήνατο, εἰπών· «Τὸν ἀδελφὸν Ἰωάννου». Ὁρᾷς ὅτι τὸ κεφάλαιον ἐν τούτοις ἦν τοῖς τρισί, μάλιστα δὲ Πέτρου καὶ Ἰακώβου; Τοῦτο μάλιστα κατάκρισις αὐτῶν ἦν· οὐκ ἔτι γὰρ ἀνθρώπινον τὸ κήρυγμα ἐδείκνυτο, καὶ ὄντως ἐκεῖνο ἐπληροῦτο, ὅτι «Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς».

«Ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι», φησί, «τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον». Ἀρεστὸν φόνος, καὶ φόνος ἄδικος. Πολλὴ ἡ ἄνοια τοῦ Ἡρώδου, ταῖς ἐπιθυμίαις αὐτῶν ταῖς ἀτόποις ὑπηρετεῖτο· δέον γὰρ τοὐναντίον ποιεῖν, καὶ ἐγκόπτειν αὐτῶν τὴν ὁρμήν, ὁ δὲ ἐπέτεινε, καθάπερ τις δήμιος ὢν τῶν νοσούντων, ἀλλ' οὐκ ἰατρός, καίτοι μυρία παραδείγματα ἔχων καὶ τοῦ πάππου καὶ τοῦ πατρὸς Ἡρώδου, καὶ πῶς ἐκεῖνος μὲν διὰ τὴν ἀναίρεσιν τῶν παιδίων μέγιστα ἔπαθε κακά, οὗτος δέ, Ἰωάννην ἀνελών, πόλεμον ἤγειρε χαλεπόν.

«Ὃν καὶ πιάσας», φησίν, «ἔθετο εἰς φυλακήν». Ἐφοβεῖτο μὴ διὰ τὸν φόνον τοῦ Ἰακώβου ἀναχωρήσῃ ὁ Πέτρος, καί, βουλόμενος ἔχειν αὐτὸν ἐν ἀσφαλεῖ, ἐνέβαλε τῷ δεσμωτηρίῳ. Ὅσῳ ἀκριβεστέρα ἡ φρουρά, τοσούτῳ θαυμασιωτέρα ἡ ἐπίδειξις. Τοῦτο δὲ ἦν ὑπὲρ Πέτρου, δοκιμωτέρου μᾶλλον ἐντεῦθεν γενομένου, καὶ τὴν ἀνδρείαν τὴν οἰκείαν ἐπιδεικνύντος.

---

16. Πράξ. 5, 34 - 39
17. Ψαλμ. 43, 23
18. Πράξ. 12, 3
19. Ματθ. 2, 16 - 18
20. Ματθ. 14, 1 - 12
21. Πράξ. 12, 4

μὲν λοιπὸν Ἰουδαῖοι, ἐξ αἰτίας τῆς συμβουλῆς τοῦ Γαμαλιήλου[16], ἀπεῖχαν στὴ συνέχεια οἱ ἴδιοι ἀπὸ τοὺς φόνους (ἄλλωστε δὲ οὔτε αἰτίες ἔβρισκαν), προετοίμαζαν ὅμως αὐτοὺς μέσω ἄλλων. Ἐπειδὴ ὅμως ὑπῆρχε καὶ ἄλλος Ἰάκωβος, ὁ ἀδελφὸς τοῦ Κυρίου, γι' αὐτὸ διευκρίνησε, λέγοντας, «Τὸν ἀδελφὸ τοῦ Ἰωάννη». Βλέπεις ὅτι ἡ ὅλη σπουδαιότητα βρισκόταν σ' αὐτοὺς τοὺς τρεῖς, πρὸ πάντων δὲ μεταξὺ τοῦ Πέτρου καὶ τοῦ Ἰακώβου; Αὐτὸ πρὸ πάντων ἀποτελοῦσε καταδίκη γι' αὐτούς· διότι δὲν παρουσιαζόταν πιὰ τὸ κήρυγμα ἀνθρώπινο, καὶ ἐκπληρωνόταν πράγματι ἐκεῖνο ποὺ προλέχθηκε, ὅτι δηλαδὴ «θεωρηθήκαμε σὰν πρόβατα ποὺ ὁδηγοῦνται στὴ σφαγή»[17].

«Ἐπειδὴ δέ», λέγει, «εἶδε ὅτι αὐτὸ ἄρεσε στοὺς Ἰουδαίους, ἀποφάσισε νὰ συλλάβει καὶ τὸν Πέτρο»[18]. Ἦταν ἀρεστὸς ὁ φόνος, καὶ μάλιστα φόνος ἄδικος. Μεγάλη ἡ παρανοησία τοῦ Ἡρώδη, καθόσον ἐξυπηρετοῦσε τὶς παράλογες ἐπιθυμίες αὐτῶν· διότι ἔπρεπε νὰ κάνει τὸ ἀντίθετο καὶ νὰ σταματήσει τὴν ὁρμὴ αὐτῶν, ἐκεῖνος ὅμως τὴν μεγάλωνε, σὰν ἀκριβῶς νὰ ἦταν κάποιος δήμιος τῶν ἀσθενῶν, ὁπωσδήποτε ὅμως ὄχι γιατρός, ἂν καὶ βέβαια εἶχε ἀμέτρητα παραδείγματα καὶ τοῦ παπποῦ του καὶ τοῦ πατέρα του Ἡρώδη, καὶ πῶς ἐκεῖνος μὲν ἔπαθε ἐξ αἰτίας τῆς σφαγῆς τῶν παιδιῶν[19] τὰ πιὸ μεγαλύτερα κακά, ἐνῶ αὐτός, φονεύοντας τὸν Ἰωάννη[20], προκάλεσε φοβερὸ πόλεμο·

«Τὸν ὁποῖο», λέγει, «ἀφοῦ τὸν ἔπιασε, τὸν ἔκλεισε στὴ φυλακή»[21]. Φοβόταν μήπως ὁ Πέτρος φύγει ἐξ αἰτίας τοῦ φόνου τοῦ Ἰακώβου, καί, θέλοντας νὰ τὸν ἔχει μὲ σιγουριά, τὸν ἔκλεισε στὴ φυλακή. Ὅσο πιὸ προσεκτικὴ εἶναι ἡ φρούρησή του, τόσο περισσότερο θαυμαστὴ εἶναι ἡ ἐπίδειξη. Αὐτὸ δὲ ἦταν ὑπὲρ τοῦ Πέτρου, διότι ἐξ αἰτίας αὐτοῦ σημείωσε μεγαλύτερη πρόοδο στὴν ἀρετή του καὶ ἔδειξε τὴν ἀνδρεία του.

«Προσευχὴ δὲ ἦν», φησίν, «ἐκτενὴς γινομένη». Φιλοστοργίας δεῖγμα ἡ προσευχή· Πατέρα πάντες ἐζήτουν, πατέρα ἥμερον. «Ἐκτενὴς» φησίν, «ἦν προσευχὴ γινομένη ὑπὲρ αὐτοῦ». Ἀκούσατε πῶς διέκειντο περὶ τοὺς διδασκάλους. Οὐκ ἐστασίασαν, οὐκ ἐθορυβήθησαν, ἀλλ' ἐπὶ εὐχὴν ἐτράπησαν, τὴν ὄντως συμμαχίαν τὴν ἄμαχον, ἐπ' αὐτὴν κατέφυγον. Οὐκ ἔλεγον, ''Ο ταπεινὸς ἐγὼ καὶ οὐδαμινὸς ὑπὲρ ἐκείνου εὔχομαι!'· ἐπειδὴ γὰρ ἀγάπη ἐποίουν, οὐδὲν τούτων ἐλογίζοντο. Βούλει μαθεῖν πόσα εἰργάσαντο καὶ ἄκοντες; Ἐκείνους δοκιμωτέρους ἀπέδειξαν, τούτους σπουδαιοτέρους ἐποίησαν. Καὶ ὅρα ἐν τῇ ἑορτῇ τοὺς πειρασμοὺς ἐπαγομένους, ἵνα δοκιμώτεροι φανῶσιν οὗτοι.

«Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, φησί, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος καθεύδων». Ὅρα τὸν Πέτρον καθεύδοντα, καὶ οὐκ ὄντα ἐν ἀγωνίᾳ, οὐδὲ ἐν φόβῳ. Αὐτῇ τῇ νυκτί, ᾗ προάγεσθαι ἔμελλεν, ἐκάθευδε, τὸ πᾶν ρίψας ἐπὶ τὸν Θεόν. Οὐχ ἁπλῶς δὲ ἐκάθευδεν, ἀλλὰ μέσον στρατιωτῶν καὶ δεδεμένος· «μεταξὺ» γάρ, φησί, «δύο στρατιωτῶν κοιμώμενος ἦν, δεδεμένος ἁλύσεσι δυσίν». Ὁρᾷς πῶς ἀκριβὴς ἡ φυλακή;

Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη», φησί, «λέγων· Ἀνάστα ἐν τάχει». Συγκαθεύδοντες ἦσαν οἱ φύλακες· διὸ καὶ τῶν γινομένων οὐδὲν ἐπαισθάνονται. Φῶς δὲ ἔλαμψεν, ὥστε καὶ ἰδεῖν καὶ ἀκοῦσαι τὸν Πέτρον, καὶ μὴ νομίσαι φαντασίαν εἶναι. Ὡς ἂν δὲ μὴ ραθυμήσῃ,

22. Πράξ. 12, 5
23. Πράξ. 12, 6
24. Πράξ. 12, 7

«Θερμὴ προσευχὴ δὲ γινόταν», λέγει, «ἀπὸ τοὺς πιστοὺς τῆς ἐκκλησίας»[22]. Ἡ προσευχὴ ἀποτελεῖ δεῖγμα φιλοστοργίας. Ὅλοι ζητοῦσαν Πατέρα καὶ μάλιστα Πατέρα ἥμερο. «Γινόταν λοιπόν», λέγει, «θερμὴ προσευχὴ ὑπὲρ αὐτοῦ»· Ἀκοῦστε ποιὰ ἦταν ἡ συμπεριφορά τους ἀπέναντι στοὺς δασκάλους. Δὲν ἐξηγέρθηκαν, δὲν θορυβήθηκαν, ἀλλὰ στράφηκαν πρὸς τὴν προσευχή, τὴν πράγματι ἀκαταμάχητη συμμαχία, πρὸς αὐτὴν κατέφυγαν. Δὲν ἔλεγαν, 'ἐγὼ ὁ ταπεινὸς καὶ ἀσήμαντος προσεύχομαι ὑπὲρ ἐκείνου!' διότι, ἐπειδὴ αὐτὸ τὸ ἔκαμναν ἀπὸ ἀγάπη, τίποτε ἀπὸ αὐτὰ δὲν σκέπτονταν. Θέλεις νὰ μάθεις πόσων καλῶν πρόξενοι ἔγιναν οἱ διῶκτες τους χωρὶς νὰ τὸ θέλουν; Ἐκείνους μὲν ποὺ καταδίωκαν τοὺς ἔκαναν νὰ εὐδοκιμήσουν περισσότερο στὴν ἀρετή, ἐνῶ αὐτοὺς ποὺ τοὺς ἀκολουθοῦσαν τοὺς ἔκαναν σπουδαιότερους. Καὶ πρόσεχε ὅτι οἱ πειρασμοὶ προστίθενται κατὰ τὴν ἑορτή, ὥστε νὰ φανοῦν αὐτοὶ περισσότερο ἐνάρετοι.

«Τὴν νύχτα, πρὶν ἀπὸ τὴν ἡμέρα ποὺ ἐπρόκειτο ὁ Ἡρώδης νὰ τὸν ὁδηγήσει στὴ δικαστήριο, ὁ Πέτρος κοιμόταν»[23]. Πρόσεχε τὸν Πέτρο ποὺ κοιμᾶται, καὶ δὲν εἶναι κυριευμένος ἀπὸ ἀγωνία, οὔτε καὶ ἀπὸ φόβο· Τὴν ἴδια τὴ νύχτα, ποὺ ἐπρόκειτο τὴν ἑπομένη ἡμέρα νὰ ὁδηγηθεῖ στὸ δικαστήριο, κοιμόταν, ἀφήνοντας τὸ πᾶν στὸ Θεό. Δὲν κοιμόταν δὲ ἁπλῶς, ἀλλὰ ἀνάμεσα σὲ στρατιῶτες καὶ δεμένος, διότι, λέγει, «κοιμόταν ἀνάμεσα σὲ δύο στρατιῶτες καὶ δεμένος μὲ δύο ἁλυσίδες». Βλέπεις πόσο προσεκτικὴ εἶναι ἡ φρούρηση;

«Καὶ νὰ ξαφνικὰ παρουσιάσθηκε ἄγγελος Κυρίου», λέγει, «λέγοντας· Σήκω γρήγορα»[24]. Μαζί του κοιμόνταν καὶ οἱ φύλακες· γι' αὐτὸ καὶ δὲν ἀντιλαμβάνονται τίποτε ἀπὸ ἐκεῖνα ποὺ γίνονται. Φῶς δὲ ἔλαμψε, ὥστε νὰ τὸ δεῖ καὶ νὰ τὸ ἀκούσει ὁ Πέτρος, καὶ νὰ μὴ νομίσει ὅτι εἶναι κάτι τὸ φανταστικό. Γιὰ νὰ μὴ ἀργήσει δέ, δέχεται καὶ

καὶ τὴν πλευρὰν πατάσσεται. Καὶ οὐχ ἁπλῶς ἀκούει, «Ἀνάστα», ἀλλ' «ἐν τάχει», μετὰ προσθήκης· οὕτω βαθέως ἐκάθευδεν. «Ἐδόκει δὲ ὅραμα βλέπειν», φησί.

«Διῆλθε δὲ πρώτην καὶ δευτέραν φυλακήν». Ποῦ νῦν εἰσι οἱ αἱρετικοί; Πῶς διῆλθεν; εἰπάτωσαν ἡμῖν· ἀλλ' οὐκ ἂν ἔχοιεν. Καίτοι διὰ τοῦτο αὐτὸν καὶ ζώσασθαι κελεύει καὶ ὑποδήσασθαι, καὶ τούτῳ πείθων αὐτὸν ὅτι οὐκ ἔστι φάντασμα, καὶ ἵνα ἀποτινάξηται τὸν ὕπνον, καὶ γνῷ ὅτι ἀληθές ἐστι. Διὰ τοῦτο καὶ εὐθέως «Ἀπέπεσον αὐτοῦ αἱ ἁλύσεις ἀπὸ τῶν χειρῶν», καὶ «Ἀνάστα ἐν τάχει», ἀκούει. Οὐ θορυβοῦντος δέ ἐστι τοῦτο, ἀλλὰ πείθοντος μὴ ἀναβάλλεσθαι. «Καὶ οὐκ ᾔδει», φησίν, «ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν». Εἰκότως διὰ τὴν ὑπερβολὴν τῶν γινομένων. Ὁρᾷς πόσον ἐστὶν ὑπερβολὴ σημείου; πῶς ἐκπλήττει τὸν ὁρῶντα; πῶς οὐκ ἀφίησι πιστευθῆναι; Εἰ γὰρ Πέτρος ἐδόκει ὅραμα βλέπειν ἐν τοσούτῳ χρόνῳ (καίτοι αὐτὸς ζωσάμενος καὶ ὑποδησάμενος), τί ἕτερος μὴ ἔπαθεν ἄν;

3. «Διελθόντες δέ», φησί, «πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ». Τὰ μέντοι ἔνδον γενόμενα θαυμασιώτερα ἦν, τοῦτο δὲ λοιπὸν ἀνθρωπινώτερον. Ὅτε οὐδὲν κώλυμα ἦν, τότε ἀπέστη ὁ ἄγγελος· οὐ γὰρ ἂν προῆλθεν ὁ Πέτρος, τοσούτων ὄντων κωλυμάτων· ὄντως γάρ, ὄντως ἔκπληξις ἦν.

25. Πράξ. 12, 9
26. Πράξ. 12, 10
27. Πράξ. 12, 9
28. Πράξ. 12, 10

χτύπημα στὴν πλευρά. Καὶ ὄχι ἁπλῶς ἀκούει, «Σήκω», ἀλλὰ καὶ προστίθεται «γρήγορα»· τόσο βαθιὰ κοιμόταν. «Νόμιζε δέ», λέγει, «ὅτι βλέπει ὅραμα»[25].

«Πέρασαν δὲ τὴν πρώτη καὶ τὴ δεύτερη φρουρά»[26]· Ποῦ εἶναι τώρα οἱ αἱρετικοί; Πῶς πέρασε; ἂς μᾶς τὸ ποῦν· ἀλλ᾽ ὅμως δὲν θὰ μποροῦσαν. Ἂν καὶ βέβαια γι᾽ αὐτὸ τοῦ δίνει ἐντολὴ καὶ νὰ ζωσθεῖ καὶ νὰ φορέσει τὰ ὑποδήματά του, καὶ μὲ αὐτὸ πείθοντάς τον, ὅτι δὲν ἦταν φαντασία αὐτὸ ποὺ βλέπει, καὶ γιὰ νὰ διώξει ἀπὸ ἐπάνω του τὸν ὕπνο, καὶ ν᾽ ἀντιληφθεῖ ὅτι εἶναι ἀληθινὸ αὐτό. Γι᾽ αὐτὸ καὶ ἀμέσως «ἔπεσαν ἀπὸ τὰ χέρια του οἱ ἁλυσίδες», καὶ ἀκούει τὰ λόγια, «Σήκω γρήγορα». Δὲν θέλει μὲ αὐτὸ νὰ τὸν κάνει ν᾽ ἀνησυχήσει, ἀλλὰ νὰ τὸν πείσει νὰ μὴ καθυστερεῖ.

«Καὶ δὲν γνώριζε», λέγει, «ὅτι ἦταν ἀληθινὸ αὐτὸ ποὺ γινόταν ἀπὸ τὸν ἄγγελο· νόμιζε ὅτι βλέπει ὅραμα»[27]. Πολὺ σωστὰ συνέβαινε αὐτό, ἐπειδὴ ἦταν ὑπερβολικὰ καταπληκτικὰ τὰ γεγονότα. Βλέπεις πόσο ὑπερβολικὰ μεγάλο εἶναι τὸ θαῦμα; Πῶς ἐκπλήσσει τὸν θεατή; πῶς δὲν τὸν ἀφήνει νὰ πιστέψει; Διότι, ἐὰν ὁ Πέτρος νόμιζε ὅτι βλέπει ὅραμα μέσα σὲ τόσο μεγάλο χρονικὸ διάστημα (ἂν καὶ βέβαια καὶ ζώσθηκε καὶ φόρεσε τὰ ὑποδήματά του), τί θὰ ἦταν δυνατὸ νὰ μὴ πάθει κάποιος ἄλλος;

3. «Ἀφοῦ δὲ πέρασαν», λέγει, «τὴν πρώτη καὶ τὴ δεύτερη φρουρά, ἦρθαν στὴ σιδερένια πύλη· καί, ἀφοῦ βγῆκαν, προχώρησαν σ᾽ ἕνα στενὸ δρόμο, καὶ ἀμέσως ἐξαφανίσθηκε ὁ ἄγγελος ἀπὸ κοντά του»[28]. Ἐκεῖνα βέβαια ποὺ συνέβηκαν μέσα στὴ φυλακὴ ἦταν περισσότερο ἄξια θαυμασμοῦ, ἐνῶ αὐτὸ ποὺ γίνεται στὴ συνέχεια εἶναι ἀνθρωπινότερο. Ὅταν δὲν ὑπῆρχε κανένα ἐμπόδιο, τότε ἐξαφανίσθηκε ὁ ἄγγελος· διότι δὲν θὰ μποροῦσε νὰ προχωρήσει ὁ Πέτρος, ἐφόσον ὑπῆρχαν τόσα ἐμπόδια· πράγματι λοιπὸν ἦταν πραγματικὰ καταπληκτικὸ αὐτό.

«Νῦν ἔγνων», φησίν, «ὅτι ἀληθῶς ἀπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων». «Νῦν», οὐχὶ τότε, ὅτε ἐν τῷ δεσμῷ ἤμην. «Συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου», φησί. Τί ἐστι «Συνιδών»; Λογισάμενος ὅπου ἐστίν. Ἢ τοίνυν τοῦτο συνεῖδεν, ἢ ὅτι οὐχ ἁπλῶς ἀπελθεῖν δεῖ, ἀλλ' ἀμείξασθαι τὸν εὐεργέτην, ὃ καὶ συνιδὼν ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας. Τίς ἐστιν οὗτος ὁ Ἰωάννης; Ἴσως ἐκεῖνος, ὁ ἀεὶ αὐτοῖς συνών· διὰ γὰρ τοῦτο καὶ τὸ παράσημον αὐτοῦ ἔθηκεν. Ὅρα ὅσον ἐστὶν ἀγαθὸν ἡ θλῖψις, πόσον εὐχόμενοι ἐν νυκτὶ ἤνυον, πῶς διεγηγερμένους αὐτοὺς εἰργάσατο! Εἶδες τοῦ φόνου Στεφάνου ὅσον τὸ κέρδος; εἶδες τοῦ δεσμωτηρίου τούτου ὅση ἡ ὠφέλεια; Οὐ γὰρ δή, ἐπεξιὼν ὁ Θεὸς τοῖς ἀδικοῦσιν αὐτούς, μέγα δείκνυσι τὸ Εὐαγγέλιον, ἀλλ' ἐν αὐτοῖς τοῖς ἀδικοῦσιν, οὐδὲν ἐκείνων πασχόντων δεινόν, αὐτὰς καθ' ἑαυτὰς τὰς θλίψεις δείκνυσι μέγα οὔσας, ἵνα μὴ τὴν ἀπαλλαγὴν αὐτῶν πάντως ζητῶμεν, μηδὲ τὴν ἐκδικίαν.

Σκόπει δὲ πῶς καὶ αἱ παιδίσκαι αὐτῶν λοιπὸν ὁμότιμοι αὐτοῖς ἦσαν. «Ἀπὸ τῆς χαρᾶς», φησίν, «οὐκ ἤνοιξε». Καλῶς καὶ τοῦτο γέγονεν, ἵνα μὴ καὶ ἐκεῖνοι ἐκπλαγῶσιν εὐθέως ἰδόντες, καὶ ἀποστήσωσιν, ἀλλ' ἐγγυμνασθῇ αὐτῶν ἡ διάνοια. Καὶ ὅπερ ἔθος ἡμῖν ποιεῖν, εὑρέθη πράττουσα καὶ αὐτή· ἵνα γὰρ αὐτὴ τὰ εὐαγγέλια κομίσῃ ἐσπούδαζεν· ὄντως γὰρ εὐαγγέλια ἦν.

Οἱ δὲ εἶπον πρὸς αὐτήν· Μαίνῃ· ἡ δὲ διϊσχυρίζετο

------

29. Πράξ. 12, 11
30. Πράξ. 12, 12
31. Πράξ. 12, 14

«Τώρα», λέγει, «καταλαβαίνω ὅτι πραγματικὰ ἔστειλε ὁ Κύριος τὸν ἄγγελό του καὶ μὲ ἔσωσε ἀπὸ τά χέρια τοῦ Ἡρώδη καὶ ἀπὸ ὅλα ἐκεῖνα ποὺ περίμενε ὁ λαὸς τῶν Ἰουδαίων νὰ συμβοῦν»[29]. «Τώρα», ὄχι τότε, ὅταν βρισκόμουν μέσα στὴ φυλακή.

«Ἀφοῦ συνῆλθε, μετέβηκε», λέγει, «στὴν οἰκία τῆς Μαρίας τῆς μητέρας τοῦ Ἰωάννη»[30]. Τί σημαίνει, «Συνιδών»; Σκέφθηκε ποὺ βρίσκεται. Ἢ λοιπὸν αὐτὸ ἀναλογίσθηκε, ἢ ὅτι δέν πρέπει νὰ φύγει ἔτσι ἁπλά, ἀλλὰ καὶ ν' ἀμείψει τὸν εὐεργέτη, καὶ αὐτὸ σκεπτόμενος ἦρθε στὴν οἰκία τῆς Μαρίας. Ποιὸς εἶναι αὐτὸς ὁ Ἰωάννης; Ἴσως ἐκεῖνος, ποὺ πάντοτε συναναστρεφόταν αὐτούς· γι' αὐτὸ βέβαια καὶ ἀνέφερε καὶ τὸ διακριτικὸ ὄνομα αὐτοῦ. Πρόσεχε πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ θλίψη, πόσο μεγάλα πράγματα κατόρθωναν προσευχόμενοι μέσα στὴ νύχτα, πῶς τοὺς ἔκανε νὰ εἶναι ξάγρυπνοι! Εἶδες πόσο μεγάλο ἦταν τὸ κέρδος ἀπὸ τὸν φόνο τοῦ Στεφάνου; εἶδες πόσο μεγάλη εἶναι ἡ ὠφέλεια ἀπὸ αὐτὴ τὴ φυλακή; Διότι βέβαια ὁ Θεὸς δὲν καθιστᾶ μέγα τὸ εὐαγγέλιο τιμωρῶντας ἐκείνους ποὺ ἀδικοῦσαν αὐτούς, ἀλλὰ μὲ αὐτοὺς ποὺ τοὺς ἀδικοῦσαν, χωρὶς ἐκεῖνοι νὰ πάθαιναν κανένα κακό, παρουσιάζει αὐτὲς καθ' ἑαυτὲς τὶς θλίψεις νὰ εἶναι πολὺ σπουδαῖο πράγμα, ὥστε νὰ μὴ ζητοῦμε ὁπωσδήποτε τὴν ἀπαλλαγὴ ἀπ' αὐτές, οὔτε τὴν ἐκδίκηση·

Πρόσεχε δὲ πῶς καὶ οἱ ὑπηρέτριες αὐτῶν ἦταν πλέον ἰσότιμες μὲ αὐτούς. «Ἀπὸ τὴ χαρά της», λέγει, «δὲν ἄνοιξε»[31]. Πολὺ σωστὰ καὶ αὐτὸ ἔγινε ἔτσι, γιά νὰ μὴ ἐκπλαγοῦν καὶ ἐκεῖνοι βλέποντάς τον ἀπότομα καὶ ἀπιστήσουν, ἀλλὰ νὰ προετοιμασθεῖ ἡ σκέψη τους. Καὶ ἐκεῖνο ἀκριβῶς ποὺ συνηθίζομε νὰ κάνομε, αὐτὸ καὶ αὐτὴ βρέθηκε νὰ κάμνει· διότι αὐτὴ φρόντιζε νὰ ἀναγγείλει τὴν χαρμόσυνη εἴδηση· διότι πράγματι ἦταν χαρμόσυνη εἴδηση.

«Ἐκεῖνοι δὲ εἶπαν πρὸς αὐτήν· Δὲν εἶσαι στὰ καλά

οὕτως ἔχειν· οἱ δὲ εἶπον ὅτι Ἄγγελος αὐτοῦ ἐστιν». Ἐκ τούτου ἀληθὲς ὅτι ἕκαστος ἡμῶν ἄγγελον ἔχει. Καὶ πόθεν ἐπῆλθεν αὐτοῖς ἄγγελον εἶναι τότε ὑπονοῆσαι; Ἀπὸ τοῦ καιροῦ τοῦτο ἐπώπτευσαν.

«Ὡς δὲ ἐπέμενε κρούων», φησίν, «ἀνοίξαντες εἶδον αὐτόν, καὶ ἐξέστησαν. Ὁ δέ, κατασείσας τῇ χειρί», ἡσυχίαν πολλὴν ἐποίησεν, ὥστε ἀκοῦσαι τὰ παρ' αὐτοῦ. Ποθεινότερος πολλῷ λοιπὸν ἦν τοῖς μαθηταῖς οὐ τῷ σωθῆναι μόνον, ἀλλὰ καὶ τῷ ἐπιστῆναι καὶ εὐθέως ἐπελθεῖν. Μανθάνουσι λοιπὸν καὶ οἱ οἰκεῖοι πάντα σαφῶς, μανθάνουσι καὶ οἱ ἀλλότριοι, εἴ γε ἤθελον πιστεῦσαι, ἀλλ' οὐκ ἠθέλησαν. Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν.

«Ἀπαγγείλατε», φησίν, «Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα». Ὅρα πῶς οὐκ ἔστι κενόδοξος· οὐ γὰρ εἶπε, 'Τοῖς πανταχοῦ δῆλα ποιήσατε ταῦτα', ἀλλὰ «τοῖς ἀδελφοῖς».

«Καὶ ἀνεχώρησεν εἰς ἕτερον τόπον»· οὐ γὰρ ἐπείραζε τὸν Θεόν, οὐδὲ εἰς πειρασμοὺς ἐνέβαλλεν ἑαυτόν· ἐπεί, ὅτε καὶ τοῦτο ἐκελεύσθησαν, ἐποίησαν· «Εἰσελθόντες» γάρ, φησίν, «ἐν τῷ ἱερῷ λαλεῖτε τῷ λαῷ». Ἤκουσαν, καὶ εὐθέως ἐπείσθησαν. Τοῦτο δὲ οὐκ εἶπεν ὁ ἄγγελος, ἀλλὰ τῷ σιγῇ ἀποστῆναι καὶ νυκτὸς ἐξαγαγεῖν ἔδωκεν ἐξουσίαν ἀναχωρῆσαι. Καὶ τοῦτο δὲ γίνεται, ἵνα μάθωμεν ὅτι καὶ ἀνθρωπίνως πολλὰ ᾠκονόμηται, ὥστε μὴ περιπεσεῖν πάλιν αὐτόν· ἵνα γὰρ μὴ εἴπωσιν ὅτι ὁ ἄγγελος αὐτοῦ ἐστι μετὰ τὸ ἀπελθεῖν, πρότερον τοῦτο λέγουσι, καὶ τότε αὐτὸν ὁρῶσιν ἀνατρέποντα τὴν δόξαν ἐκείνην. Ὁ ἄγγελος εἰ ἦν, οὐκ ἂν ἔκρουσε τὴν θύραν, οὐκ ἂν ἀνεχώρησεν εἰς ἕτερον τόπον. Πιστοῦ-

---

32. Πράξ. 12, 15
33. Πράξ. 12, 16 - 17
34. Πράξ. 12, 17
35. Πράξ. 5, 20

σου· ἐκείνη ὅμως ἐπέμενε ὅτι ἔτσι ἔχει τὸ πράγμα· αὐτοὶ ὅμως εἶπαν ὅτι εἶναι ὁ ἄγγελος αὐτοῦ»[32]. Ἀπὸ αὐτὸ γίνεται φανερὸ ὅτι ἀληθινὰ ὁ καθένας μας ἔχει ἄγγελο. Καὶ πῶς πέρασε τότε ἀπὸ τὴ σκέψη τους ὥστε νὰ ποῦν ὅτι εἶναι ὁ ἄγγελός του; Ἡ ἴδια ἡ περίσταση τοὺς ἔκανε νὰ σκεφθοῦν αὐτό.

«Ἐπειδὴ ὅμως ἐπέμενε», λέγει, «νὰ χτυπᾶ τὴν πόρτα, ἀφοῦ ἄνοιξαν εἶδαν αὐτὸν καὶ κυριεύθηκαν ἀπὸ ἔκπληξη· Ἐκεῖνος δὲ κινώντας τὸ χέρι του»[33], κατέστησε μεγάλη ἡσυχία ὥστε ν' ἀκούσουν τὰ λεγόμενα ἀπ' αὐτόν. Πολὺ περισσότερο λοιπὸν ποθητὸς ἦταν ἀπὸ τοὺς μαθητές, ὄχι μόνο γιὰ τὸ ὅτι σώθηκε, ἀλλὰ καὶ γιὰ τὸ ὅτι προσῆλθε ἐκεῖ καὶ μάλιστα εὐθὺς ἀμέσως. Μαθαίνουν λοιπὸν ὅλα μὲ λεπτομέρεια καὶ οἱ δικοί του, τὰ μαθαίνουν δὲ καὶ οἱ ξένοι, ἐὰν βέβαια ἤθελαν νὰ πιστέψουν, ἀλλ' ὅμως δὲν θέλησαν. Αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Χριστοῦ.

«Ἀναγγείλατε αὐτά», λέγει, «στὸν Ἰάκωβο καὶ στοὺς ἀδελφούς»[34]. Πρόσεχε πῶς δὲν εἶναι ματαιόδοξος· διότι δὲν εἶπε, Γνωστοποιήσατε αὐτὰ παντοῦ σ' ὅλους, ἀλλὰ «Στοὺς ἀδελφούς».

«Καὶ ἀναχώρησε μεταβαίνοντας σὲ ἄλλο τόπο»[34]· δὲν πείραζε δηλαδὴ τὸ Θεό, οὔτε ἔβαζε σὲ πειρασμοὺς τὸν ἑαυτό του· καθόσον ὅταν ἔλαβαν ἐντολὴ καὶ γι' αὐτό, τὸ ἔπραξαν· διότι, λέγει, «Ἀφοῦ εἰσέλθετε στὸ ναό, μιλῆστε στὸ λαό»[35]. Ἄκουσαν καὶ ἀμέσως πείσθηκαν· Αὐτὸ δὲν τὸ εἶπε ὁ ἄγγελος, ἀλλὰ μὲ τὸ νὰ φύγει σιωπηλὰ καὶ νὰ τὸν βγάλει νύχτα μέσα ἀπὸ τὴ φυλακή, τοῦ ἔδωσε τὴ δύναμη νὰ ἀναχωρήσει. Καὶ αὐτὸ δὲ γίνεται, γιὰ νὰ μάθομε ὅτι πολλὰ πράγματα ἔχουν διευθετηθεῖ μὲ ἀνθρώπινο τρόπο, ὥστε νὰ μὴ περιπέσει πάλι σὲ δοκιμασία· διότι γιὰ νὰ μὴ ποῦν μετὰ τὴν ἀναχώρησή του, ὅτι εἶναι ὁ ἄγγελός του, τὸ λένε αὐτὸ στὴν ἀρχὴ καὶ μετὰ βλέπουν αὐτὸν νὰ ἀνατρέπει τὴ σκέψη ἐκείνη. Ἐὰν ἦταν ὁ ἄγγελος, δὲν θὰ χτυ-

ται δὲ αὐτοὺς καὶ τὸ μὴ ἐν ἡμέρᾳ γενέσθαι. Οἱ μὲν λελυμένοι ἐν εὐχαῖς ἦσαν, ὁ δὲ δεδεμένος ἐν ὕπνῳ, εἰ ἐνόμιζεν ἀληθὲς εἶναι τὸ γινόμενον, κἂν ἐξεπλάγη, κἂν οὐκ ἐμνημόνευσε· νῦν δέ, ἐν ὀνείρῳ ὁρῶν, ἀτάραχος ἦν. «Ἦλθον», φησίν, «ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν». Ὅρα καὶ πῶς ἰσχυρὰ ἦν. «Διελθόντες δέ», φησί, «πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν». Καὶ διὰ τί μὴ δι' ἑαυτῶν, φησί, τοῦτο γίνεται; Διὰ τί; Ὅτι καὶ τούτῳ τιμᾷ αὐτοὺς ὁ Θεός, τῷ δι' ἀγγέλων αὐτοὺς ἐξαρπάζειν. Τί οὖν ἐπὶ Παύλου οὐχ οὕτω γέγονεν; Ἐκεῖ δικαίως, ὅτι πιστεῦσαι ἔδει τὸν δεσμοφύλακα, ἐνταῦθα δὲ ἀπαλλαγῆναι τὸν Ἀπόστολον μόνον· ἄλλως δὲ καὶ διαφόρως ἅπαντα ὁ Θεὸς οἰκονομεῖ. Ἐκεῖ μὲν Παῦλος ὑμνεῖ, ἐνταῦθα δὲ Πέτρος ἐκάθευδε. Μὴ τοίνυν κρύπτωμεν τὰ θαύματα τοῦ Θεοῦ, ἀλλὰ καὶ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας ταῦτα σπουδάζωμεν ἐκπομπεύειν, καὶ εἰς τὴν τῶν ἄλλων οἰκοδομήν· ὥσπερ γάρ ἐστι θαυμαστὸς ἑλόμενος δεσμευθῆναι, οὕτω θαυμαστότερος μὴ πρότερον ἀναχωρήσας, ἕως ὅτε τοῖς οἰκείοις πάντα ἀπήγγειλε.

Καὶ εἶπε, φησίν· «Εἴπατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς». Τί δήποτε κελεύει εἰπεῖν; Ἵνα χαρῶσιν, ἵνα μὴ μεριμνῶσιν, ἵνα διὰ τούτων ἐκεῖνοι μανθάνωσιν, οὐκ αὐτοὶ δι' ἐκείνων· οὕτω τοῦ ταπεινοτέρου μέρους ἐφρόντιζεν. Οὐδὲν ἄρα θλίψεως συμμέτρου βέλτιον. Ποίαν οἴει τὴν ἐκείνων εἶναι τότε ψυχήν; πόσης ἡδονῆς γέμειν; Ποῦ νῦν αἱ γυναῖκες, αἱ διὰ πάσης καθεύ-

36. Πράξ. 12, 10
37. Πράξ. 16, 25
38. Πράξ. 12, 17

πoῦσε τὴν πόρτα, δὲν θ' ἀναχωροῦσε γιὰ ἄλλο τόπο. Ἐπιβεβαιώνει δὲ αὐτοὺς καὶ τὸ ὅτι αὐτὸ δὲν συνέβηκε κατὰ τὴ διάρκεια τῆς ἡμέρας. Οἱ μὲν ἐλεύθεροι προσεύχονταν, ὁ δὲ φυλακισμένος κοιμόταν· ἐὰν νόμιζε ὅτι εἶναι ἀληθινὸ αὐτὸ ποὺ γινόταν, καθόλου δὲν θὰ ἐκπλησσόταν, οὔτε καὶ θὰ τὸ ἀνέφερε, ἐνῶ τώρα, σὰν νὰ ἔβλεπε ὄνειρο, ἦταν ἀτάραχος.

«Ἦρθαν», λέγει, «στὴ σιδερένια πύλη». Πρόσεχε καὶ πῶς ἦταν ἰσχυρή. «Ἀφοῦ πέρασαν», λέγει, «τὴν πρώτη καὶ δεύτερη φρουρά, ἦρθαν στὴ σιδερένια πύλη»[36]· Καὶ γιατί, λέγει, αὐτὸ δὲν γίνεται ἀπὸ αὐτοὺς τοὺς ἴδιους; Γιατί; Διότι καὶ μ' αὐτὸ τιμᾶ αὐτοὺς ὁ Θεός, τὸ νὰ τοὺς σώζει μὲ τοὺς ἀγγέλους. Γιατί λοιπὸν στὴν περίπτωση τοῦ Παύλου δὲν συνέβηκε τὸ ἴδιο; Ἐκεῖ πολὺ σωστὰ δὲν συνέβηκε, διότι ἔπρεπε νὰ πιστέψει ὁ δεσμοφύλακας, ἐνῶ ἐδῶ νὰ ἐλευθερωθεῖ μόνο ὁ Ἀπόστολος· ἄλλωστε δὲ κατὰ διαφορετικὸ τρόπο τὰ ρυθμίζει ὁ Θεός. Ἐκεῖ μὲν ὁ Παῦλος ἐξυμνεῖ τὸ Θεό[37], ἐνῶ ἐδῶ ὁ Πέτρος κοιμόταν. Ἂς μὴ κρύβομε λοιπὸν τὰ θαύματα τοῦ Θεοῦ, ἀλλ' ἄς φροντίζομε νὰ διακηρύσσομε αὐτὰ καὶ γιὰ τὴ δική μας ὠφέλεια καὶ γιὰ τὴν οἰκοδομὴ τῶν ἄλλων· διότι ὅπως ἀκριβῶς εἶναι ἀξιοθαύμαστος ποὺ δέχθηκε νὰ φυλακισθεῖ, ἔτσι εἶναι θαυμαστότερος ποὺ δὲν ἀναχώρησε προηγουμένως γιὰ ἄλλο τόπο, προτοῦ νὰ ἀναγγείλει ὅλα τὰ συμβάντα στοὺς δικούς του.

Καὶ εἶπε, λέγει· «Νὰ τὰ πεῖτε στὸν Ἰάκωβο καὶ στοὺς ἀδελφούς»[38]. Γιατί τέλος πάντων παραγγέλλει νὰ τὰ ποῦν; Γιὰ νὰ χαροῦν, γιὰ νὰ μὴ σκέφτονται αὐτό, γιὰ νὰ μαθαίνουν ἐκεῖνοι μέσω αὐτῶν καὶ ὄχι αὐτοὶ μέσω ἐκείνων. Ἐπομένως δὲν ὑπάρχει τίποτε καλύτερο ἀπὸ τὴ θλίψη ποὺ ἔρχεται μὲ μέτρο. Πῶς νομίζεις ὅτι αἰσθανόταν τότε ἡ ψυχὴ ἐκείνων; ἀπὸ πόση ἡδονὴ ἦταν γεμάτη; Ποῦ εἶναι τώρα οἱ γυναῖκες, ποὺ κοιμόνται ὅλη τὴ νύχτα;

δουσαι νυκτός; ποῦ δὲ οἱ ἄνδρες, οἱ μηδὲ μεταστρεφόμενοι ἐπὶ τῆς κλίνης; Ὁρᾷς νήφουσαν ψυχήν; Μετὰ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν τὸν Θεὸν ὕμνουν, καθαρώτεροι τοῦ οὐρανοῦ τῇ θλίψει γενόμενοι. Νῦν δέ, ἂν μικρὸν ἴδωμεν κίνδυνον, ἀναπίπτομεν. Οὐδὲν τῆς ἐκκλησίας ἐκείνης λαμπρότερον ἦν.

Μιμησώμεθα τούτους, ζηλώσωμεν. Οὐ διὰ τοῦτο γέγονεν ἡ νύξ, ἵνα διὰ παντὸς καθεύδωμεν καὶ ἀργῶμεν. Καὶ τοῦτο μαρτυροῦσιν οἱ χειροτέχναι, ὀνηλάται, οἱ ἔμποροι, ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἐκ μέσων ἀνισταμένη νυκτῶν. Ἀνάστηθι καὶ σύ, καὶ ἴδε τῶν ἄστρων τὴν χορείαν, τὴν βαθεῖαν σιγήν, τὴν ἡσυχίαν τὴν πολλήν· ἐκπλάγηθι τοῦ Δεσπότου σου τὴν οἰκονομίαν. Καθαρωτέρα τότε ἐστὶν ἡ ψυχή· κουφοτέρα καὶ λεπτοτέρα μᾶλλόν ἐστι, μετέωρος καὶ κούφη· τὸ σκότος αὐτό, ἡ σιγὴ ἡ πολλὴ εἰς κατάνυξιν ἀγαγεῖν ἱκανά. Ἂν δὲ καὶ τὸν οὐρανὸν ἴδῃς, τοῖς ἄστροις ὥσπερ τισὶ μυρίοις κατεστιγμένον ὀφθαλμοῖς, πᾶσαν ἡδονὴν καρπώσῃ, ἔννοιαν λαβὼν εὐθὺς τοῦ Δημιουργοῦ. Ἂν ἐννοήσῃς ὅτι οἱ μεθ' ἡμέραν κράζοντες, γελῶντες, σκιρτῶντες, πηδῶντες, ἀδικοῦντες, πλεονεκτοῦντες ἀπειλοῦντες, μυρία ἐπανατεινόμενοι δεινά, οὗτοι νῦν τῶν νεκρῶν οὐδὲν διαφέρουσι, καταγνώσῃ τῆς ἀνθρωπίνης αὐθαδείας ἁπάσης. Ὕπνος ἐπῆλθε, καὶ τὴν φύσιν ἤλεγξεν· εἰκών ἐστι θανάτου, εἰκών ἐστι συντελείας. Ἂν διακύψῃς εἰς τὸν στενωπόν, οὐκ ἀκούσῃ οὐδὲ φωνῆς· ἂν ἴδῃς εἰς τὴν οἰκίαν, πάντας ὄψει καθάπερ ἐν τάφῳ κειμένους. Ταῦ-

ποῦ εἶναι καὶ οἱ ἄνδρες, ποὺ δὲν στρέφουν τὴ σκέψη τους πρὸς τὸ Θεό, οὔτε βρισκόμενοι ξαπλωμένοι ἐπάνω στὸ κρεβάτι; Βλέπεις ψυχὴ γεμάτη ἀπὸ ἐπαγρύπνηση; Μαζὶ μὲ τὶς γυναῖκες, τὰ παιδιὰ καὶ τὶς ὑπηρέτριες ὑμνοῦσαν τὸ Θεό, ἀφοῦ ἔγιναν μὲ τὴ θλίψη καθαρότεροι ἀπὸ τὸν οὐρανό· Ἐνῶ τώρα, ἂν δοῦμε τὸν παραμικρὸ κίνδυνο, χάνομε τὴν ἐλπίδα μας πρὸς τὸ Θεό. Τίποτε δὲν ὑπῆρχε λαμπρότερο ἀπὸ τὴν ἐκκλησία ἐκείνη.

Ἂς μιμηθοῦμε αὐτούς, ἂς γίνομε ζηλωτές τους· Δὲν ἔγινε γι' αὐτὸ ἡ νύχτα, γιὰ νὰ κοιμόμαστε διαρκῶς καὶ νὰ εἴμαστε νωθροί. Καὶ αὐτὸ τὸ ἐπιβεβαιώνουν οἱ χειροτέχνες, οἱ ὀνηγοί, οἱ ἔμποροι, ἡ ἐκκλησία τοῦ Θεοῦ, ποὺ σηκώνεται ἀπὸ τὸν ὕπνο μέσα στὴ νύχτα. Σήκω καὶ σὺ καὶ πρόσεξε τὴν κυκλικὴ κίνηση τῶν ἄστρων, τὴ βαθειὰ σιγή, τὴν ἡσυχία τὴ μεγάλη· νιῶσε ἔκπληξη μὲ τὴν ὅλη φροντίδα τοῦ Κυρίου σου. Καθαρότερη τότε εἶναι ἡ ψυχή, εἶναι περισσότερο ἐλαφρότερη καὶ λεπτότερη, μετάρσια καὶ ἀνάλαφρη· τὸ ἴδιο τὸ σκοτάδι καὶ ἡ μεγάλη σιγὴ εἶναι ἱκανὰ νὰ ὁδηγήσουν σὲ κατάνυξη. Ἂν δὲ προσέξεις καὶ τὸν οὐρανὸ καταστολισμένο μὲ τὰ ἄστρα σὰν ἀκριβῶς μὲ ἀμέτρητους ὀφθαλμούς, θ' ἀποκομίσεις κάθε ἡδονή, φέροντας στὴ σκέψη σου ἀμέσως τὸν Δημιουργό. Ἂν σκεφθεῖς ὅτι ἐκεῖνοι ποὺ φωνάζουν δυνατὰ κατὰ τὴ διάρκεια τῆς ἡμέρας, ποὺ γελοῦν, κάνουν διάφορες κινήσεις, πηδοῦν, ἀδικοῦν, γίνονται πλεονέκτες, ἀπειλοῦν καὶ προξενοῦν ἀμέτρητα κακά, αὐτοὶ τώρα δὲν διαφέρουν καθόλου ἀπὸ τοὺς νεκρούς, θ' ἀντιληφθεῖς ὁλόκληρη τὴν ἀνθρώπινη αὐθάδεια· Ἦρθε ὁ ὕπνος καὶ νίκησε τὴ φύση· εἰκόνα εἶναι τοῦ θανάτου, εἰκόνα εἶναι τῆς συντέλειας. Ἂν παρατηρήσεις τὸ στενὸ δρόμο, δὲν θ' ἀκούσεις οὔτε φωνή· ἂν προσέξεις τὴν οἰκία, θὰ τοὺς δεῖς ὅλους νὰ εἶναι κάτω ξαπλωμένοι σὰν ἀκριβῶς μέσα σὲ τάφο. Ὅλα αὐτὰ εἶναι

τα πάντα ἱκανά ἐστι διαναστῆσαι ψυχήν, καὶ εἰς ἔννοιαν συντελείας ἀγαγεῖν.

4. Οὗτος δή μοι καὶ πρὸς ἄνδρας καὶ πρὸς γυναῖκας ὁ λόγος. Κάμψον τὰ γόνατα, στέναξον, παρακάλεσόν σου τὸν Δεσπότην ἵλεων γενέσθαι· μᾶλλον ἐπικάμπτεται ἐν νυκτεριναῖς εὐχαῖς, ὅταν τὸν καιρὸν τῆς ἀναπαύσεως σὺ θρήνων ποιῇ καιρόν. Ἀναμνήσθητι τοῦ βασιλέως οἷα ῥήματα ἔλεγεν· «Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Ὅσον ἂν ᾖς τρυφηλός, οὐκ εἶ τρυφηλότερος ἐκείνου· ὅσον ἂν ᾖς πλούσιος, οὐκ εἶ πλουσιώτερος τοῦ Δαυίδ. Καὶ πάλιν ὁ αὐτός φησι· «Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου». Τότε οὐ κενοδοξία παρενοχλεῖ· πῶς γάρ, πάντων καθευδόντων καὶ οὐχ ὁρώντων; τότε οὐ ῥαθυμία καὶ χάσμη ἐπιτίθεται· πῶς γάρ, ὑπὸ τοσούτων τῆς ψυχῆς διεγειρομένης; Μετὰ τὰς τοιαύτας παννυχίδας καὶ ὕπνοι ἡδεῖς, καὶ ἀποκαλύψεις θαυμασταί.

Τοῦτο ποίησον καὶ σὺ ὁ ἀνήρ, μὴ μόνη ἡ γυνή. Ἔστω ἐκκλησία ἡ οἰκία, ἐξ ἀνδρῶν καὶ γυναικῶν συνεστηκυῖα. Μὴ γὰρ ὅτι σὺ μόνος εἶ ὁ ἀνήρ, μηδὲ ὅτι αὕτη μόνη ἐστὶν ἡ γυνή, νομίσῃς κώλυμα εἶναι· «Ὅπου γάρ εἰσι δύο εἰς τὸ ἐμὸν ὄνομα», φησί, «συνηγμένοι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Ὅπου ὁ Χριστὸς μέσος, πολὺ πλῆθός ἐστιν· ὅπου ὁ Χριστός, ἀνάγκη καὶ ἀγγέλους εἶναι, ἀνάγκη καὶ ἀρχαγγέλους καὶ τὰς ἄλλας δυνάμεις. Οὐκ ἄρα μόνοι ἐστὲ πάντων ἔχοντες Δεσπότην. Καὶ

---

39. Ψαλμ. 6, 7
40. Ψαλμ. 118, 62
41. Ματθ. 18, 20

ἱκανὰ νὰ διεγείρουν τὴν ψυχὴ καὶ νὰ τὴν ὁδηγήσουν στὸ νὰ σκεφθεῖ τὴ συντέλεια.

4. Αὐτὸς ὁ λόγος μου βέβαια ἀπευθύνεται καὶ πρὸς τοὺς ἄνδρες καὶ πρὸς τὶς γυναῖκες. Κάμψε τὰ γόνατά σου, στέναξε, παρακάλεσε τὸν Κύριο νὰ σοῦ δείξει εὐσπλαγχνία˙ περισσότερο εἰσακούει κατὰ τὴ διάρκεια τῶν νυχτερινῶν προσευχῶν, ὅταν τὸν καιρὸ τῆς ἀναπαύσεως σὺ τὸν μεταβάλλεις σὲ καιρὸ θρήνων. Θυμήσου τὸν βασιλιὰ ποιὰ λόγια ἔλεγε˙ «Ἐκόπιασα μὲ τοὺς ἀναστεναγμούς μου, θὰ λούσω κάθε νύχτα τὸ κρεβάτι μου μὲ δάκρυα καὶ τὸ στρῶμα μου θὰ τὸ περιβρέξω μὲ τὰ δάκρυά μου»[39]. Ὅση ἀπολαυστικὴ ζωὴ καὶ ἂν κάμνεις, δὲν κάμνεις πιὸ ἀπολαυστικὴ ζωὴ ἀπὸ ἐκεῖνον˙ ὅσο πλούσιος καὶ ἂν εἶσαι, δὲν εἶσαι πλουσιότερος ἀπὸ τὸν Δαυίδ. Καὶ πάλι ὁ ἴδιος λέγει˙ «Μέσα στὰ μεσάνυχτα σηκωνόμουν γιὰ νὰ ἐξομολογηθῶ μπροστὰ στὴ δικαιοσύνη σου τὰ κρίματά μου»[40]. Τὴν ὥρα ἐκείνη δὲν ἐνοχλεῖ ἡ ματαιοδοξία˙ διότι πῶς εἶναι αὐτὸ δυνατό, τὴ στιγμὴ ποὺ ὅλοι κοιμοῦνται καὶ δὲν βλέπουν; τὴν ὥρα ἐκείνη δὲν μᾶς ἐπιτίθεται ἡ ἀδιαφορία καὶ τὸ χασμουρητό˙ διότι πῶς εἶναι αὐτὸ δυνατό, τὴ στιγμὴ ποὺ ἡ ψυχὴ ἀπὸ τόσα πολλὰ διεγείρεται; Μετὰ ἀπὸ τὶς παννυχίδες αὐτοῦ τοῦ εἴδους καὶ ὁ ὕπνος εἶναι γλυκός, καὶ ἀποκαλύψεις γίνονται θαυμαστές.

Αὐτὸ κάνε καὶ σὺ ὁ ἄνδρας, καὶ ὄχι μόνο ἡ γυναίκα. Ἂς εἶναι ἡ οἰκία ἐκκλησία, ἀποτελουμένη ἀπὸ ἄνδρες καὶ γυναῖκες. Διότι μὴ νομίσεις, ἐπειδὴ εἶσαι μόνος σὺ ὁ ἄνδρας, οὔτε ἐπειδὴ εἶσαι μόνη σὺ ἡ γυναίκα, ὅτι αὐτὸ ἀποτελεῖ ἐμπόδιο˙ διότι λέγει˙ «Ὅπου εἶναι συγκεντρωμένοι δύο στὸ ὄνομά μου, ἐκεῖ ἀνάμεσά τους βρίσκομαι καὶ ἐγώ»[41]. Ὅπου ἀνάμεσα βρίσκεται ὁ Χριστός, ἐκεῖ ὑπάρχει πολὺ πλῆθος˙ ὅπου βρίσκεται ὁ Χριστὸς ἀνάγκη εἶναι νὰ βρίσκονται ἐκεῖ καὶ ἄγγελοι, ἀνάγκη εἶναι νὰ βρίσκονται καὶ ἀρχάγγελοι καὶ οἱ ἄλλες δυνάμεις. Ἐπομέ-

πάλιν ἄκουε τοῦ Προφήτου λέγοντος· «Κρείσσων εἷς, ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι». Οὐδὲν ἀσθενέστερον πολλῶν παρανόμων, οὐδὲν ἰσχυρότερον ἑνὸς κατὰ νόμον Θεοῦ ζῶντος. Εἴ σοι καὶ παιδία ἐστί, διανάστησον καὶ τὰ παιδία, καὶ γενέσθω διὰ πάντων ἡ οἰκία ἐκκλησία διὰ τῆς νυκτός· ἂν δὲ ἁπαλὰ ᾖ, καὶ μὴ φέρῃ τὴν ἀγρυπνίαν, μέχρι μιᾶς εὐχῆς καὶ δευτέρας, καὶ κατάπαυσον· μόνον διανάστηθι, μόνον ἐν συνηθείᾳ κατάστησον σαυτόν. Οὐδὲν τοῦ ταμείου βέλτιον ἐκείνου, τοῦ τοιαύτας εὐχὰς δεχομένου. Ἄκουε τοῦ Προφήτου λέγοντος· «Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ».

Ἀλλὰ κέκμηκα, φησί, μεθ' ἡμέραν πολλά, καὶ οὐ δύναμαι. Σκῆψις ταῦτα καὶ πρόφασις· ὅσα γὰρ ἂν κάμῃς, οὐ πονήσεις ὡς ὁ χαλκοτύπος, σφῦραν οὕτω βαρεῖαν καταφέρων ἀπὸ πολλοῦ τοῦ ὕψους ἐπὶ τοὺς σπινθῆρας, καὶ τὸν καπνὸν ὅλῳ δεχόμενος τῷ σώματι, καὶ ὅμως τὸ πλέον ἐκεῖνος τῆς νυκτὸς εἰς τοῦτο ἀναλίσκει. Ἴστε καὶ γυναῖκες, εἴ ποτε εἰς ἀγρὸν ἡμῖν γέγονεν ἀνάγκη βαδίσαι, ἢ εἰς παννυχίδα προελθεῖν, πῶς δι' ὅλης τῆς νυκτὸς ἀγρυπνοῦσι. Καί σοι τοίνυν χαλκεῖον ἔστω πνευματικόν, οὐχ ὥστε χύτρας, οὐδὲ λέβητας, ἀλλὰ τὴν ψυχὴν κατασκευάσαι τὴν σήν, ἢ καὶ χαλκοτύπου καὶ χρυσοχόου πολλῷ βελτίων. Τὴν παλαιὰν γενομένην τοῖς ἁμαρτήμασιν εἰσάγαγε εἰς τὸ χωνευτήριον τῆς ἐξομολογήσεως, τὴν σφῦραν κατένεγκαι ἀπὸ πολλοῦ τοῦ ὕψους, τουτέστι, τῶν ρημάτων τὴν κατάγνωσιν, ἄναψον τὸ πῦρ τοῦ Πνεύματος. Πολλῷ μείζο-

42. Σοφ. Σειρὰχ 16, 3
43. Ψαλμ. 62, 7

νως δὲν εἶστε μόνοι ἔχοντας τὸν Κύριο τῶν πάντων. Καὶ πάλι ἄκουσε τὸν προφήτη ποὺ λέγει· «Εἶναι προτιμότερος ἕνας, ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Κυρίου, παρὰ ἀμέτρητοι παράνομοι»[42]. Τίποτε ἀσθενέστερο δὲν ὑπάρχει ἀπὸ πολλοὺς παράνομους, οὔτε ἰσχυρότερο ἀπὸ τὸν ἕνα ποὺ ζεῖ σύμφωνα μὲ τὸ νόμο τοῦ Θεοῦ· Ἐὰν ἔχεις καὶ παιδιά, σήκωσε καὶ τὰ παιδιά, καὶ ἂς γίνει μὲ ὅλους σας μέσα στὴ νύχτα ἡ οἰκία ἐκκλησία· ἂν δὲ εἶναι τρυφερὰ καὶ δὲν ἀντέχουν τὴν ἀγρυπνία, ἂς μείνουν κατὰ τὴ διάρκεια τῆς μιᾶς προσευχῆς καὶ τῆς δεύτερης καὶ ἂς σταματήσουν μετά· μόνο νὰ σηκωθεῖς, μόνο νὰ συνηθίσεις τὸν ἑαυτό σου. Ἄκουε τὸν προφήτη ποὺ λέγει· «Ὅταν σὲ θυμηθῶ τὴ νύχτα ἐνῶ βρίσκομαι στὸ στρῶμα μου χωρὶς νὰ σὲ λησμονήσω, σηκώνομαι πολὺ πρωὶ καὶ μελετῶ στὴ σκέψη μου τὰ πλούσια ἐλέη σου»[43].

Ἀλλά, λέγει, κουράσθηκα πολὺ κατὰ τὴ διάρκεια τῆς ἡμέρας καὶ δὲν μπορῶ. Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφαση· διότι ὅσο καὶ ἂν κοπιάσεις, δὲν θὰ κουρασθεῖς ὅπως ὁ χαλκουργός, ποὺ ἐπιφέρει ἀπὸ τόσο μεγάλο ὕψος μὲ μιὰ τόσο βαρειὰ σφύρα χτυπήματα στὰ πυρωμένα σίδερα καὶ δέχεται τὸν καπνὸ σ' ὅλο τὸ σῶμα του, καὶ ὅμως ἐκεῖνος καταναλίσκει τὸ μεγαλύτερο μέρος τῆς νύχτας στὸ σκοπὸ αὐτό. Γνωρίζετε ὅτι καὶ οἱ γυναῖκες, ἐὰν κάποτε χρειάσθηκε νὰ μεταβοῦμε σὲ ἀγρὸ ἢ νὰ προσέλθομε σὲ ὁλονύκτια ἀγρυπνία, πῶς ἀγρυπνοῦν καθ' ὅλη τὴ νύχτα. Καὶ σὺ λοιπὸν δημιούργησε πνευματικὸ χαλκουργεῖο, γιὰ νὰ κατασκευάσεις ὄχι χύτρα, οὔτε λέβητες, ἀλλὰ τὴν ψυχή σου, ἡ ὁποία εἶναι σπουδαιότερη ἀπὸ τὰ ἔργα καὶ τοῦ χαλκουργοῦ καὶ τοῦ χρυσοχόου. Ὁδήγησε μέσα στὸ χωνευτήρι τῆς ἐξομολογήσεως τὴν ψυχή σου ποὺ ἔγινε παλιὰ ἀπὸ τὰ ἁμαρτήματα, κατέβασε πρὸς αὐτὴν ἀπὸ πολὺ ψηλὰ τὴ σφύρα, δηλαδὴ τὰ λόγια κατηγορίας, ἄναψε τὴ φωτιὰ τοῦ Πνεύματος. Ἔχεις πολὺ πιὸ ἀνώτερη

να τέχνην ἔχεις. Οὐ χρυσᾶ σκεύη ρυθμίζεις, ἀλλὰ τὴν παντὸς χρυσίου τιμιωτέραν ψυχήν, καθάπερ ὁ χαλκεὺς τὸ σκεῦος· οὐ γὰρ σωματικὸν σκεῦος ρυθμίζεις, ἀλλὰ τὴν ψυχὴν ἀπαλλάττεις τῆς φαντασίας πάσης τῆς βιωτικῆς. Παρακείσθω σοι λύχνος, οὐχ οὗτος ὁ καιόμενος, ἀλλ' ὃν ὁ Προφήτης λέγων εἶχε· «Λύχνος γὰρ τοῖς ποσί μου ὁ νόμος σου». Πύρωσον διὰ τῆς εὐχῆς τὴν ψυχήν· ἂν ἴδῃς ἱκανῶς ἔχουσαν, ἐξάγαγε, τύπωσον πρὸς ὅπερ ἂν θέλῃς. Πίστευσόν μοι, οὐχ οὕτω τὸ πῦρ τὸν ἰὸν ἀποκαθαίρειν εἴωθεν, ὡς εὐχὴ νυκτερινὴ τὸν ἰὸν τῶν ἁμαρτημάτων τῶν ἡμετέρων.

Αἰδεσθῶμεν, εἰ μηδένα ἄλλον, τοὺς νυκτερινοὺς φύλακας. Ἐκεῖνοι δι' ἀνθρώπινον νόμον περίιασιν, ἐν κρυμῷ βοῶντες μεγάλα, καὶ διὰ τῶν στενωπῶν βαδίζοντες, βρεχόμενοι πολλάκις, πεπηγότες διὰ σὲ καὶ τὴν σωτηρίαν τὴν σήν, καὶ τὴν τῶν χρημάτων τῶν σῶν φυλακήν. Ἐκεῖνος ὑπὲρ τῶν χρημάτων σου τοσαύτην ποιεῖται πρόνοιαν, σὺ δὲ οὐδὲ ὑπὲρ τῆς ψυχῆς τῆς σῆς. Καὶ μὴν ἐγὼ οὐκ ἀναγκάζω αἴθριον περιϊέναι, καθάπερ ἐκεῖνος, οὐδὲ μεγάλα βοᾶν καὶ διαρρήγνυσθαι, ἀλλ' ἐν αὐτῷ τῷ ταμείῳ ὤν, ἐν αὐτῷ τῷ κοιτῶνι, κάμψον τὰ γόνατα, παρακάλεσον τὸν Δεσπότην. Διὰ τί αὐτὸς ὁ Χριστὸς διενυκτέρευεν ἐν τῷ ὄρει; οὐχ ἵνα τύπος ἡμῖν γένηται; Τότε ἀναπνεῖ τὰ φυτά, ἐν τῇ νυκτὶ λέγω· τότε καὶ ψυχὴ μάλιστα μᾶλλον ἐκείνων δρόσον δέχεται. Ἅπερ μεθ' ἡμέραν ὁ ἥλιος κατέκαυσε, ταῦτα ἐν τῇ νυκτὶ καταψύχεται. Πάσης δρόσου μᾶλλον τὰ τῆς νυκτὸς δάκρυα καὶ κατὰ τῶν ἐπιθυμιῶν καὶ κατὰ πάσης φλεγμο-

τέχνη. Δὲν κατασκευάζεις χρυσὰ σκεύη, ἀλλὰ διαμορφώνεις τὴν ψυχή σου ποὺ εἶναι πολυτιμότερη ἀπὸ ὁποιοδήποτε χρυσὸ σκεῦος, ὅπως ἀκριβῶς ὁ χαλκουργὸς τὸ σκεῦος· διότι δὲν κατασκευάζεις σωματικὸ σκεῦος, ἀλλὰ τὴν ψυχὴ ἀπαλλάσσεις ἀπὸ ὅλη τὴν κοσμικὴ φαντασία. Ἂς βρίσκεται δίπλα σου λυχνάρι, ὄχι αὐτὸ ποὺ καίει, ἀλλ' αὐτὸ ποὺ λέγει ὁ προφήτης ὅτι εἶχε· «Λυχνάρι γιὰ τὰ πόδια μου εἶναι ὁ νόμος σου»[48]. Θέρμανε μὲ τὴν προσευχὴ τὴν ψυχή σου· ἂν δεῖς ὅτι θερμάνθηκε ἀρκετά, βγάλε την καὶ δός της ὅποια μορφὴ θέλεις. Πίστεψέ με, ὅτι δὲν καθαρίζει συνήθως τόσο πολὺ ἡ φωτιὰ τὴ σκουριά, ὅσο ἡ νυχτερινὴ προσευχὴ τὸ δηλητήριο τῶν ἁμαρτημάτων μας.

Ἂς ντραποῦμε, ἂν ὄχι κανέναν ἄλλο, τοὺς νυχτερινοὺς φύλακες. Ἐκεῖνοι ἐξ αἰτίας τοῦ ἀνθρώπινου νόμου περιφέρονται μέσα στὸ κρύο, φωνάζοντας δυνατά, βαδίζουν μέσα στοὺς στενοὺς δρόμους, βρέχονται πολλὲς φορὲς καὶ παγώνουν γιὰ σένα, γιὰ τὴ σωτηρία σου καὶ γιὰ τὴ φύλαξη τῶν χρημάτων σου. Ἐκεῖνος γιὰ τὰ χρήματά σου καταβάλλει τόση φροντίδα, ἐνῶ σὺ δὲν φροντίζεις οὔτε γιὰ τὴν ψυχή σου. Καὶ βέβαια ἐγὼ δὲν σὲ ἐξαναγκάζω νὰ περιφέρεσαι ἔξω, ὅπως ἐκεῖνος, οὔτε νὰ φωνάζεις δυνατὰ καὶ νὰ καταπονεῖσαι τόσο πολύ, ἀλλὰ βρισκόμενος μέσα στὸ γραφεῖο σου, μέσα στὸ δωμάτιό σου, λύγισε τὰ γόνατά σου, παρακάλεσε τὸν Κύριο. Γιατί ὁ ἴδιος ὁ Χριστὸς διανυκτερεύει στὸ ὄρος; δὲν τὸ κάνει γιὰ νὰ γίνει σ' ἐμᾶς παράδειγμα πρὸς μίμηση; Τότε ἀναπνέουν τὰ φυτά, ἐννοῶ κατὰ τὴ διάρκεια τῆς νύχτας· τότε καὶ ἡ ψυχὴ πρὸ πάντων δέχεται τὴ δροσιὰ πολὺ περισσότερο ἀπὸ ἐκεῖνα· Ἐκεῖνα ποὺ κατὰ τὴ διάρκεια τῆς ἡμέρας τὰ κατέκαυσε ὁ ἥλιος, αὐτὰ κατὰ τὴ διάρκεια τῆς νύχτας δροσίζονται. Περισσότερο ἀπὸ ὁποιαδήποτε δροσιὰ τὰ δάκρυα τῆς νύχτας κατεβαίνουν καὶ ἐναντίον τῶν

νῆς καὶ καύσωνος καθίεται, καὶ οὐκ ἀφίησι χαλεπόν τι παθεῖν. Ἂν δὲ μὴ τῆς δρόσου ἀπολαύσῃ ἐκείνης, μεθ' ἡμέραν κατακαυθήσεται.

Ἀλλὰ μὴ γένοιτο μηδένα ὑμῶν ὑπέκκαυμα τοῦ πυρὸς ἐκείνου γενέσθαι, ἀλλά, ἀναψύξαντες καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαύσαντας, οὕτω πάντας ἡμᾶς ἐλευθερωθῆναι τοῦ φορτίου τῶν ἁμαρτημάτων χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐπιθυμιῶν καὶ ἐναντίον κάθε φλεγμονῆς καὶ καύσωνα, καὶ δὲν ἀφήνουν νὰ πάθομε κάτι τὸ φοβερό. Ἂν ὅμως δὲν ἀπολαύσεις ἐκείνη τὴ δροσιά, κατὰ τὴ διάρκεια τῆς ἡμέρας θὰ κατακαεῖς.

Ἀλλ' εὔχομαι κανένας ἀπὸ σᾶς νὰ μὴ συμβεῖ νὰ γίνει τροφὴ καύσεως τοῦ πυρὸς ἐκείνου, ἀλλ', ἀφοῦ δροσισθοῦμε καὶ ἀπολαύσομε τὴ φιλανθρωπία τοῦ Θεοῦ, ἔτσι ὅλοι μας νὰ ἐλευθερωθοῦμε ἀπὸ τὸ φορτίο τῶν ἁμαρτημάτων μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΖ΄
(Πράξ. 12, 18 - 13, 3)

«Γενομένης δὲ ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρώδης δέ, ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβε».

1. Πολλοὶ διαποροῦσι πῶς περιεῖδεν ὁ Θεὸς τότε δι' αὐτὸν τοὺς παῖδας ἀναιρουμένους, καὶ νῦν πάλιν τοὺς στρατιώτας διὰ τὸν Πέτρον, καίτοι γε δυνατὸν ἦν αὐτῷ μετὰ τοῦ Πέτρου κἀκείνοις ἐξελέσθαι. Ἀλλά, εἰ καὶ τοὺς στρατιώτας ἐξήγαγεν ὁ ἄγγελος μετὰ τοῦ Πέτρου, ἐνομίσθη ἂν φυγῆς εἶναι τὸ πρᾶγμα. Τί οὖν οὐχ ἑτέρως ᾠκονόμησε; φησί· ποία γὰρ βλάβη γέγονε νῦν; Ἂν ἴδωμεν ὅτι οἱ ἀδίκως τι παθόντες καὶ κακῶς οὐδὲν ἐβλάβησαν, οὐ ζητήσομεν ταῦτα. Διὰ τί γὰρ μὴ λέγεις καὶ περὶ Ἰακώβου, διὰ τί αὐτὸν οὐκ ἐξείλετο; Ἄλλως δὲ οὐκ ἦν οὐδέπω τῆς κρίσεως ὁ καιρός, ὥστε τὸ κατ' ἀξίαν ἀπονεῖμαι ἑκάστῳ. Ἀλλ' οὐδὲ ἐνέβαλλεν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ Πέτρος. Μᾶλλον οὖν αὐτὸν ἐλύπει τὸ ἐμπαιχθῆναι, ὥσπερ τὸν πάππον αὐτοῦ, ὑπὸ τῶν μάγων ἀπατηθέντα, μᾶλλον ἐποίει διαπρίεσθαι καὶ καταγέλαστον εἶναι. Καλὸν δὲ καὶ αὐτῶν τῶν ῥημάτων ἀκοῦσαι τοῦ συγγραφέως.

«Γενομένης», φησίν, «ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο.

---

1. Πράξ. 12, 18 - 19
2. Ματθ. 2, 16 - 18

ΟΜΙΛΙΑ ΚΖ
(Πράξ. 12, 18 - 13, 3)

«Όταν ξημέρωσε άνησύχησαν πάρα πολὺ οἱ στρατιῶτες γιὰ τὸ τί ἄραγε νὰ ἔγινε ὁ Πέτρος. Ὁ δὲ Ἡρώδης, ἀφοῦ τὸν ἀναζήτησε καὶ δὲν τὸν βρῆκε, ἀνέκρινε τοὺς φρουροὺς καὶ διέταξε νὰ φονευθοῦν, αὐτὸς δὲ κατέβηκε ἀπὸ τὴν Ἰουδαία καὶ διέμεινε στὴν Καισάρεια»[1].

1. Πολλοὶ ἀποροῦν πῶς ὁ Θεὸς ἀνέχθηκε τότε ἐξ αἰτίας τοῦ ἑαυτοῦ του (τοῦ Χριστοῦ) νὰ φονευθοῦν τὰ παιδιά[2], καὶ τώρα πάλι τοὺς στρατιῶτες ἐξ αἰτίας τοῦ Πέτρου, ἂν καὶ βέβαια ἦταν δυνατὸ σ' αὐτὸν μαζὶ μὲ τὸν Πέτρο καὶ ἐκείνους νὰ σώσει. Ἀλλά, ἐὰν ὁ ἄγγελος ἔβγαζε μαζὶ μὲ τὸν Πέτρο καὶ τοὺς στρατιῶτες, θὰ θεωροῦνταν τὸ πράγμα αὐτὸ φυγή. Γιατί λοιπόν, λέγει, ὁ Θεὸς δὲν τὰ ρύθμισε κατ' ἄλλο τρόπο; Ποιὰ βλάβη λοιπὸν προέκυψε τώρα; Ἂν δοῦμε ὅτι ἐκεῖνοι ποὺ παθαίνουν κάποιο κακὸ ἄδικα δὲν ὑπέστησαν καμιὰ βλάβη, δὲν θὰ ζητήσομε αὐτά. Διότι γιατί δὲν λὲς καὶ γιὰ τὸν Ἰάκωβο, γιατί δὲν ἔσωσε αὐτόν; Ἄλλωστε δὲ δὲν ἦταν ἀκόμα καιρὸς τῆς κρίσεως, ὥστε ν' ἀποδώσει στὸν καθένα ἐκεῖνο ποὺ ἀξίζει. Ἀλλ' οὔτε παρέδωσε αὐτοὺς στὰ χέρια αὐτοῦ ὁ Πέτρος. Περισσότερο λοιπὸν τὸν στενοχωροῦσε ὁ ἐμπαιγμός, ὅπως ἀκριβῶς τὸν παπποῦ αὐτοῦ, ποὺ ἐξαπατήθηκε ἀπὸ τοὺς μάγους, περισσότερο τὸν ἐξόργιζε καὶ τὸν ἔκαμνε ἄξιο γιὰ γέλια. Καλὸ εἶναι δὲ ν' ἀκούσομε τὰ ἴδια τὰ λόγια τοῦ συγγραφέα.

«Όταν», λέγει, «ξημέρωσε ἀνησύχησαν πάρα πολὺ οἱ στρατιῶτες, γιὰ τὸ τί νὰ ἔγινε ἄραγε ὁ Πέτρος· Ὁ δὲ

Ἡρώδης δέ, ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι». Καίτοι ἤκουσε παρ' αὐτῶν (ἀνέκρινε γάρ), καὶ ὅτι αἱ ἁλύσεις ἀφέθησαν, καὶ ὅτι τὰ σανδάλια ἔλαβε, καὶ ὅτι μέχρι τῆς νυκτὸς ἐκείνης μετ' αὐτῶν ἦν. Ἀλλὰ τί συνέκρυψαν; διὰ τί οὖν μὴ καὶ αὐτοὶ ἔφυγον; Καὶ μὴν αὐτὸν ἔδει θαυμάσαι, ἔδει καταπλαγῆναι τοῦτο. Λοιπὸν φανερὸν γίνεται πᾶσι διὰ τοῦ θανάτου τούτων καὶ τοῦ Θεοῦ τὸ θαῦμα, ἥ τε ἐκείνου κακία κατάδηλος. Ἀλλ' ὅρα πῶς οὗτος ταῦτα οὐ κρύπτει, ἀλλὰ καὶ μέμνηται ἱστορίας, ὥστε διδάξαι ἡμᾶς.

Εἶτά φησι· *«Καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβεν. Ἦν δὲ ὁ Ἡρώδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδόν τε παρῆσαν πρὸς αὐτόν, καὶ πείσαντες Βλάστον τὸν ἐπ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην διὰ τὸ διατρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς. Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης, ἐνδυσάμενος ἐσθῆτα βασιλικήν, καὶ καθίσας ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς· ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου. Παραχρῆμα δὲ αὐτὸν ἐπάταξεν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ· καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν. Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο»*. Οὐ μικρὸν οὐδὲ τοῦτό ἐστιν. Εὐθέως ἡ δίκη κατέλαβεν αὐτόν, εἰ καὶ μὴ διὰ Πέτρον, ἀλλὰ διὰ τὴν αὐτοῦ μεγαληγορίαν. Καὶ μήν, εἰ ἐκεῖνοι, φησίν, ἐβόησαν, τί πρὸς τοῦτον; Ὅτι κατελέξατο τὴν φωνήν, ὅτι ἄξιον ἑαυτὸν ἐνόμισεν εἶναι τῆς κολακείας. Διὰ τούτου ἐκεῖνοι μάλιστα παιδεύονται οἱ κολακεύοντες εἰκῇ. Ὅρα πάλιν ἀμφοτέρους μὲν ὄντας ἀξίους τιμωρίας,

---

3. Πράξ. 12, 18 - 19
4. Πράξ. 12, 20 - 24

Ἡρώδης, ἀφοῦ τὸν ἀναζήτησε καὶ δὲν τὸν βρῆκε, ἀνέκρινε τοὺς φρουροὺς καὶ διέταξε νὰ φονευθοῦν»[3]. Ἂν καὶ ἄκουσε βέβαια ἀπ' αὐτοὺς (διότι τοὺς ἀνέκρινε), καὶ ὅτι οἱ ἁλυσίδες ἀφέθηκαν ἐκεῖ, καὶ ὅτι ἔλαβε μαζί του τὰ σανδάλια, καὶ ὅτι μέχρι τὴ νύχτα ἐκείνη ἦταν μαζὶ μὲ αὐτούς. Ἀλλὰ γιατί τὸν ἀπέκρυψαν; γιατί λοιπὸν δὲν ἔφυγαν καὶ αὐτοί; Καὶ ὅμως ἔπρεπε αὐτὸς νὰ θαυμάσει, ἔπρεπε νὰ ἐκπλαγεῖ μὲ αὐτό. Ὥστε λοιπὸν γίνεται φανερὸ σ' ὅλους μὲ τὸν θάνατο αὐτῶν καὶ τὸ θαῦμα τοῦ Θεοῦ καὶ ἡ κακία ἐκείνου. Ἀλλὰ πρόσεχε πῶς αὐτὸς δὲν τὰ κρύβει αὐτά, ἀλλὰ καὶ μνημονεύει τὴν ἱστορία, γιὰ νὰ μᾶς διδάξει.

Ἔπειτα λέγει· «Ἀφοῦ κατέβηκε ἀπὸ τὴν Ἰουδαία διέμενε στὴν Καισάρεια. Ἀλλ' ὁ Ἡρώδης ἦταν πολὺ ὀργισμένος ἐναντίον τῶν κατοίκων τῆς Τύρου καὶ τῆς Σιδώνας· αὐτοὶ συμφωνώντας ὅλοι μαζὶ παρουσιάσθηκαν σ' αὐτὸν καί, ἀφοῦ κέρδησαν μὲ τὸ μέρος τους τὸν Βλάστο, τὸν θαλαμηπόλο τοῦ βασιλιᾶ, ζητοῦσαν εἰρήνη, διότι ἡ χώρα τους προμηθευόταν τρόφιμα ἀπὸ τὴ χώρα τοῦ βασιλιᾶ· Μιὰ ὁρισμένη ἡμέρα δὲ ὁ Ἡρώδης, ἀφοῦ φόρεσε βασιλικὴ στολή, κάθισε ἐπάνω στὸ βῆμα καὶ τοὺς μιλοῦσε, ἐνῶ τὸ πλῆθος φώναζε καὶ ἔλεγε· Αὐτὴ εἶναι φωνὴ Θεοῦ καὶ ὄχι ἀνθρώπου. Ἀμέσως δὲ ἄγγελος Κυρίου τὸν πάταξε, διότι δὲν ἔδωσε τὴ δόξα στὸ Θεό, καί, ἀφοῦ κατάντησε νὰ τὸν τρώγουν τὰ σκουλήκια, ξεψύχησε. Ὅμως ὁ λόγος τοῦ Θεοῦ αὔξανε καὶ διαδιδόταν»[4]. Δὲν εἶναι μικρὸ οὔτε καὶ αὐτό. Ἀμέσως ἡ θεία δίκη τὸν τιμώρησε, ἂν καὶ ὄχι ἐξ αἰτίας τοῦ Πέτρου, ἀλλ' ἐξ αἰτίας τῆς καυχησιολογίας του. Καὶ ὅμως, λέγει, ἐὰν ἐκεῖνοι φώναζαν καὶ τὸν ἐπευφήμησαν, τί σχέση ἔχει αὐτὸ πρὸς ἐκεῖνον; Διότι ἀποδέχθηκε τὴν ἐπευφημία, διότι θεώρησε τὸν ἑαυτό του ἄξιο τῆς κολακείας. Μὲ αὐτὸ διδάσκονται πρὸ πάντων ἐκεῖνοι ποὺ κολακεύουν χωρὶς λόγο. Πρόσεχε πάλι ποὺ

τοῦτον δὲ κολαζόμενον· οὐ γάρ ἐστι νῦν τῆς κρίσεως ὁ καιρός, ἀλλὰ τὸν μάλιστα ὑπεύθυνον, τοῦτον κολάζει, ἐκείνους ἀφιεὶς ἀπὸ τούτου κερδᾶναι. «Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε», φησί, «καὶ ἐπληθύνετο»· τουτέστι, τούτου γενομένου. Εἶδες Θεοῦ οἰκονομίαν;

«Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἱερουσαλήμ, πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην, τὸν ἐπικληθέντα Μάρκον». «Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν Ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεών, ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος». Ἔτι Βαρνάβαν πρῶτον μνημονεύει· οὔπω γὰρ Παῦλος ἦν λαμπρός, οὔπω σημεῖον οὐδὲν εἰργάσατο.

«Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· 'Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς'. Τότε νηστεύσαντες καὶ προσευξάμενοι, καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέλυσαν». Τί ἐστι, «Λειτουργούντων»; Κηρυττόντων. «Ἀφορίσατέ μοι», φησί, «τὸν Βαρνάβαν καὶ Σαῦλον». Τί ἐστιν, «Ἀφορίσατέ μοι»; Εἰς τὸ ἔργον, εἰς τὴν ἀποστολήν. Ὅρα πάλιν ὑπὸ τίνων χειροτονεῖται· ὑπὸ Λουκίου τοῦ Κυρηναίου καὶ Μαναήν, μᾶλλον δὲ ὑπὸ τοῦ Πνεύματος· ὅσῳ γὰρ τὰ πρόσωπα ἐλάττονά ἐστι, τοσούτῳ γυμνοτέρα ἡ τοῦ Θεοῦ φαίνεται χάρις. Χειροτονεῖται λοιπὸν εἰς ἀποστολήν, ὥστε μετ' ἐξουσίας κηρύττειν. Πῶς οὖν αὐτός φησιν, «Οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων»; Τὸ

---

5. Πράξ. 12, 25
6. Πράξ. 13, 46
7. Πράξ. 13, 2-3
8. Γαλ. 1, 1

καὶ οἱ δύο μὲν εἶναι ἄξιοι τιμωρίας, ὅμως αὐτὸς τιμωρεῖται· διότι δὲν εἶναι τώρα ὁ καιρὸς τῆς κρίσεως, ἀλλὰ τὸν κυρίως ὑπεύθυνο, αὐτὸν τιμωρεῖ τώρα, ἀφήνοντας ἐκείνους νὰ ὠφεληθοῦν ἀπὸ τὸ γεγονὸς αὐτό. «Καὶ ὁ λόγος τοῦ Θεοῦ αὔξανε», λέγει, «καὶ διαδιδόταν»· δηλαδή, ἐξ αἰτίας αὐτοῦ ποὺ ἔγινε. Εἶδες οἰκονομία Θεοῦ;

«Ὁ Βαρνάβας δὲ καὶ ὁ Σαῦλος, ἀφοῦ ξεπλήρωσαν τὴν ἀποστολή τους, ἐπέστρεψαν ἀπὸ τὰ Ἱεροσόλυμα, παίρνοντας μαζί τους καὶ τὸν Ἰωάννη, ποὺ μετονομάσθηκε Μάρκος»[5].

«Ὑπῆρχαν ὅμως στὴν ἐκκλησία τῆς Ἀντιόχειας μερικοὶ προφῆτες καὶ διδάσκαλοι, ὁ Βαρνάβας, ὁ Συμεών, ποὺ ὀνομαζόταν Νίγερ, ὁ Λούκιος ὁ Κυρηναῖος, ὁ Μαναὴν ποὺ εἶχε συναναστραφεῖ τὸν τετράρχη Ἡρώδη, καὶ ὁ Σαῦλος»[6]. Ἀκόμα ἀναφέρει πρῶτον τὸν Βαρνάβα· διότι ἀκόμα ὁ Παῦλος δὲν ἦταν ξακουστός, οὔτε ἔκανε ἀκόμα κανένα θαῦμα.

«Ἐνῶ δὲ αὐτοὶ ἐκτελοῦσαν τὸ καθῆκον τους πρὸς τὸν Κύριο καὶ νήστευαν, εἶπε τὸ ἅγιο Πνεῦμα· Ἐεχωρίστε μου τὸν Βαρνάβα καὶ τὸν Σαῦλο γιὰ τὸ ἔργο ποὺ τοὺς προσκάλεσα'. Τότε, ἀφοῦ νήστευσαν καὶ προσευχήθηκαν καὶ ἔβαλαν τὰ χέρια τους ἐπάνω τους, τοὺς ἄφησαν νὰ φύγουν»[7]. Τί σημαίνει, «Λειτουργούντων»; Σημαίνει ὅτι ἐνῶ κήρυτταν. «Ξεχωρίστε μου», λέγει, «τὸν Βαρνάβα καὶ τὸν Σαῦλο». Τί σημαίνει, «Ξεχωρίστε μου»; Σημαίνει νὰ μοῦ τοὺς ξεχωρίσετε γιὰ τὸ ἔργο, γιὰ τὴν ἀποστολή. Πρόσεχε πάλι ἀπὸ ποιοὺς γίνεται ἡ χειροτονία· ἀπὸ τὸν Λούκιο τὸν Κυρηναῖο καὶ τὸν Μαναήν, ἢ καλύτερα ἀπὸ τὸ Πνεῦμα· διότι ὅσο κατώτερα εἶναι τὰ πρόσωπα, τόσο περισσότερο ἀποκαλύπτεται ἡ χάρη τοῦ Θεοῦ. Χειροτονοῦνται πλέον γιὰ τὴν ἀποστολή, ὥστε μὲ ἐξουσία νὰ κηρύττουν. Πῶς λοιπὸν αὐτὸς λέγει, «Δὲν ἔλαβα τὸ ἀξίωμα τοῦ ἀποστόλου ἀπὸ ἀνθρώπους, οὔτε μέσω ἀνθρώπων»[8];

μέν, «οὐκ ἀπ' ἀνθρώπων», εἶπεν ἵνα δηλώσῃ ὅτι οὐκ ἄνθρωπος αὐτὸν ἐκάλεσεν οὐδὲ προσηγάγετο, τὸ δέ, «δι' ἀνθρώπων», ὅτι οὐχ ὑπὸ τοῦδε ἐπέμφθη, ἀλλ' ὑπὸ τοῦ Πνεύματος· διὸ καὶ οὕτως ἐπήγαγεν· «Οὗτοι μὲν οὖν, ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος, κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον». Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα.

2. «Ἡμέρας δὲ γενομένης», φησίν, ἦν τάραχος οὐκ ὀλίγος διὰ τὸν Πέτρον, καὶ ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι». Οὕτως οὐκ ᾔσθετο ὅτι καὶ κολάζειν ἀδίκως ἐπιχειρεῖ. Ἰδοὺ τὸν ὑπὲρ αὐτῶν ἀναλαμβάνω λόγον. Τὰ δεσμὰ ἦν, οἱ φύλακες ἔνδον, τὸ δεσμωτήριον κεκλεισμένον, οὐδαμοῦ τοῖχος διορωρυγμένος, πάντες τὰ αὐτὰ ἔλεγον, ἀνάρπαστος ὁ ἄνθρωπος γέγονε, διὰ τί αὐτοὺς καταδικάζεις; εἰ ἤθελον ἀπολῦσαι, πρὸ τούτου ἀπέλυσαν ἄν, ἢ συνεξῆλθον. Ἀλλὰ χρήματα ἔλαβον; Πόθεν ὁ μηδὲ πένητι δοῦναι ἔχων, τούτοις ἐδίδου; οὐδὲ γὰρ διεθρύβησαν αἱ ἁλύσεις, οὐδὲ λελυμέναι ἦσαν. Ἔδει ἰδεῖν ὅτι θεῖον τὸ πρᾶγμα ἦν καὶ οὐκ ἀνθρώπινον. Εἶτα, ἐπειδὴ ἱστορίας ἔμελλε μεμνῆσθαι λοιπόν, διὰ τοῦτο καὶ τὰ ὀνόματα τίθησιν, ἵνα δειχθῇ πάντα ἐπαληθεύων. «Καὶ πείσαντες Βλάστον», φησί, «τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην». Τοῦτο ποιοῦσιν, ἐπειδὴ λιμὸς ἦν.

«Τακτῇ δὲ ἡμέρᾳ καθίσας ὁ Ἡρώδης ἐπὶ τοῦ βήματος, ἐδημηγόρει», φησί. Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου· καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξε». Τοῦτο καὶ Ἰώσηπος λέγει, ὅτι μακρᾷ περιέ-

9. Πράξ. 13, 4
10. Πράξ. 12, 18 - 19
11. Πράξ. 12, 20
12. Πράξ. 12, 21
13. Πράξ. 12, 23

Τὸ μέν, «ὄχι ἀπὸ ἀνθρώπους», τὸ εἶπε γιὰ νὰ δείξει ὅτι δὲν τὸν προσκάλεσε οὔτε τὸν ὁδήγησε στὸ ἀξίωμα τοῦ ἀποστόλου ἄνθρωπος, ἐνῶ τὸ «δι' ἀνθρώπων», τὸ εἶπε γιὰ νὰ δείξει ὅτι δὲν στάλθηκε ἀπὸ αὐτόν, ἀλλὰ ἀπὸ τὸ Πνεῦμα· γι' αὐτὸ καὶ πρόσθεσε τὸ ἑξῆς· «Αὐτοὶ λοιπόν, ποὺ στάλθηκαν ἀπὸ τὸ Πνεῦμα, κατέβηκαν στὴ Σελεύκεια, καὶ ἀπὸ ἐκεῖ ἀναχώρησαν μὲ πλοῖο γιὰ τὴν Κύπρο»[9]. Ἀλλὰ ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

2. «Ὅταν ξημέρωσε», λέγει, «ἀνησύχησαν πάρα πολὺ οἱ στρατιῶτες ἐξ αἰτίας τοῦ Πέτρου, καὶ ἀφοῦ ἀνέκρινε τοὺς φρουρούς, διέταξε νὰ φονευθοῦν»[10]. Τόσο πολὺ δὲν αἰσθανόταν ὅτι ἄδικα ἐπιχειρεῖ νὰ τοὺς τιμωρήσει. Νὰ ἀναλαμβάνω τὸν λόγο νὰ τοὺς ὑπερασπισθῶ. Τὰ δεσμὰ ὑπῆρχαν, οἱ φύλακες ἦταν μέσα, ἡ φυλακὴ ἦταν κλεισμένη, πουθενὰ δὲν ὑπῆρχε τοῖχος τρυπημένος, ὅλοι τὰ ἴδια ἔλεγαν, ὅτι ὁ ἄνθρωπος δηλαδὴ ἁρπάχθηκε ἀπὸ κάποιον, γιατί καταδικάζεις αὐτούς; ἐὰν ἤθελαν νὰ τὸν ἀπολύσουν, θὰ μποροῦσαν νὰ τὸν ἀπολύσουν πρὶν ἀπ' αὐτό, ἢ θὰ ἔφευγαν καὶ αὐτοὶ μαζὶ μὲ αὐτόν. Ἀλλὰ μήπως ἔλαβαν χρήματα; Ἀπὸ ποῦ θὰ ἔδινε σ' αὐτοὺς ἐκεῖνος ποὺ δὲν εἶχε νὰ δώσει οὔτε σὲ φτωχό; οὔτε βέβαια σπάσθηκαν οἱ ἁλυσίδες, οὔτε λυμένες ἦταν. Ἔπρεπε νὰ καταλάβει ὅτι τὸ πράγμα ἦταν θεία ἐνέργεια καὶ ὄχι ἀνθρώπινη. Ἔπειτα, ἐπειδὴ ἐπρόκειτο πλέον ν' ἀναφέρει ἱστορίες, γι' αὐτὸ ἀναφέρει καὶ τὰ ὀνόματα, γιὰ ν' ἀποδειχθεῖ ὅτι ὅλα εἶναι ἀληθινά. «Καὶ ἀφοῦ», λέγει, «κέρδησαν μὲ τὸ μέρος τους τὸν Βλάσιο, τὸν θαλαμηπόλο τοῦ βασιλιᾶ, ζητοῦσαν εἰρήνη»[11]. Αὐτὸ τὸ κάνουν ἐπειδὴ ὑπῆρχε πείνα.

«Μία ὁρισμένη δὲ ἡμέρα, ἀφοῦ κάθησε», λέγει, «ὁ Ἡρώδης ἐπάνω στὸ βῆμα, τοὺς μιλοῦσε»[12]. «Ἀμέσως δὲ τὸν πάταξε ἄγγελος Κυρίου καί, ἀφοῦ κατάντησε νὰ τὸν τρώγουν τὰ σκουλήκια, ξεψύχησε»[13]. Αὐτὸ τὸ λέγει καὶ ὁ Ἰώσηπος, ὅτι δηλαδὴ περιέπεσε σὲ μακροχρόνια ἀρρώστια.

πεσε νόσῳ. Οἱ μὲν οὖν πολλοὶ τοῦτο οὐκ ᾔδεσαν, ὁ δὲ Ἀπόστολος αὐτὸ τίθησι. Πλὴν ἀλλὰ καὶ ἡ ἄγνοια ὠφέλει, λογιζομένων αὐτῶν τῷ Ἰακώβου θανάτῳ καὶ τῷ τῶν στρατιωτῶν φόνῳ τὸ κατὰ τὸν Ἡρώδην συμβεβηκέναι. Ὅρα· ὅτε μὲν τὸν Ἀπόστολον ἔσφαξεν, οὐδὲν τοιοῦτον εἰργάσατο, ὅτε δὲ τούτους, λοιπὸν ἐν ἀφασίᾳ ἦν. Ἅτε οὖν ἠπορηκὼς καὶ αἰσχυνόμενος κατῆλθεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν. Ἐμοὶ δοκεῖ καὶ ἐκείνους ἀπαγαγεῖν βουλόμενος, πρὸς ἀπολογίαν ἦλθε τούτων· ὠργίζετο γὰρ ἐκείνοις, τούτους οὕτω θεραπεύων. Ὅρα πῶς κενόδοξος ὁ ἄνθρωπός ἐστι. Μέλλων αὐτοῖς διδόναι τὴν δωρεάν, ἐδημηγόρησεν. Ὁ δὲ Ἰώσηπός φησιν ὅτι καὶ ἐσθῆτα λαμπράν, ἐξ ἀργύρου πεποιημένην, περιέκειτο.

Ὅρα καὶ ἐκεῖνοι πῶς κόλακες ἦσαν, καὶ τῶν Ἀποστόλων τὸ φρόνημα· ὃν γὰρ ἔθνος ὁλόκληρον ἐθεράπευσε, τοῦτον οὗτοι διέπτυον. Πάλιν δὲ γίνεται ἀνάπνευσις αὐτῶν μεγάλη, καὶ μυρία ἀγαθὰ ἐκ τῆς ἐκείνου τιμωρίας. Εἰ δὲ οὗτος, ἀκούσας ὅτι «Φωνὴ Θεοῦ καὶ οὐκ ἀνθρώπου», καίτοι γε μηδὲν εἰπών, τοιαῦτα ἔπαθε, πολλῷ μᾶλλον ἂν ὁ Χριστός, εἰ μὴ Θεὸς ἦν αὐτός, ἀεὶ λέγων ὅτι «Τὰ ῥήματα τὰ ἐμὰ οὐκ ἔστιν ἐμά», καὶ «Οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο», καὶ ὅσα τοιαῦτα. Ἐκεῖνος δὲ αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσε, καὶ οὐδὲ φαίνεται λοιπόν. Ὅρα δὲ αὐτὸν καὶ ὑπὸ τοῦ Βλάστου ἀναπειθόμενον, καὶ ἅτε δὴ ταλαίπωρον ὄντα εὐκόλως ὀργιζόμενον, καὶ πάλιν καταλλαττόμενον, καὶ πανταχοῦ δοῦλον τῶν δήμων, καὶ οὐδὲν ἐλεύθερον ἔχοντα.

---

14. Πράξ. 12, 22
15. Ἰω. 14, 10
16. Ἰω. 18, 36

Οἱ μὲν πολλοὶ αὐτὸ δὲν τὸ γνώριζαν, ἀλλ' ὁ Ἀπόστολος ἀναφέρει αὐτό. Πλὴν ὅμως καὶ ἡ ἄγνοια ὠφελοῦσε, σκεπτόμενοι αὐτοὶ ὅτι αὐτὸ ποὺ εἶχε συμβεῖ στὸν Ἡρώδη συνέβηκε ἐξ αἰτίας τοῦ θανάτου τοῦ Ἰακώβου καὶ τοῦ φόνου τῶν στρατιωτῶν. Πρόσεχε· ὅταν μὲν ἔσφαξε τὸν Ἀπόστολο, τίποτε παρόμοιο δὲν συνέβηκε, ὅταν ὅμως φόνευσε αὐτούς, κατάντησε στὸ ἑξῆς σὲ ἀφασία. Ἐπειδὴ λοιπὸν εἶχε κυριευθεῖ ἀπὸ ἀπορία καὶ ντρεπόταν κατέβηκε ἀπὸ τὴν Ἰουδαία στὴν Καισάρεια. Ἐγὼ νομίζω θέλοντας νὰ συλλάβει καὶ ἐκείνους, ἦρθε πρὸς ἀπολογία αὐτῶν· διότι ὀργιζόταν ἐναντίον ἐκείνων, ὑπηρετώντας μὲ τὸν τρόπο αὐτὸ αὐτούς. Πρόσεχε πῶς εἶναι ἄνθρωπος ματαιόδοξος· Μίλησε πρὸς αὐτοὺς ἐνῶ ἐπρόκειτο νὰ τοὺς προσφέρει τὴ δωρεά. Ὁ δὲ Ἰώσηπος λέγει ὅτι φοροῦσε καὶ λαμπρὴ στολή, κατασκευασμένη ἀπὸ ἄργυρο.

Πρόσεχε καὶ ἐκείνους πόσο κόλακες ἦταν, καθὼς καὶ τὸ φρόνημα τῶν Ἀποστόλων· διότι ἐκεῖνον ποὺ ὁλόκληρο ἔθνος τὸν κολάκευε, αὐτὸν αὐτοὶ τὸν περιφρονοῦσαν. Πάλι δὲ ἀκολουθεῖ μεγάλη κατάπαυση τοῦ διωγμοῦ καὶ προκύπτουν ἀμέτρητα ἀγαθὰ ἀπὸ τὴν τιμωρία ἐκείνου. Ἐὰν δὲ αὐτός, ἐπειδὴ ἄκουσε νὰ τοῦ λέγουν, «Φωνὴ Θεοῦ εἶναι αὐτὴ καὶ ὄχι ἀνθρώπου»[4], ἂν καὶ βέβαια τίποτε δὲν εἶπε, ἔπαθε τέτοια, πολὺ περισσότερο θὰ τὸ πάθαινε ὁ Χριστός, ἐὰν δὲν ἦταν ὁ ἴδιος Θεός, λέγοντας πάντοτε ὅτι «τὰ δικά μου τὰ λόγια δὲν εἶναι δικά μου»[15], καὶ «Οἱ ὑπηρέτες μου θὰ ἀγωνίζονταν»[16], καὶ τόσα παρόμοια. Ἐκεῖνος ὅμως τερμάτισε τὴ ζωή του κατὰ τρόπο αἰσχρὸ καὶ ἐλεεινό, καὶ δὲν ὑπάρχει πλέον. Πρόσεχε δὲ αὐτὸν ποὺ παρασύρεται καὶ πείθεται ἀπὸ τὸν Βλάστο, καὶ ἐπειδὴ βέβαια εἶναι ταλαίπωρος εὔκολα ὀργίζεται, καὶ πάλι συμφιλιώνεται, καὶ παντοῦ γίνεται δοῦλος τῶν ἀνθρώπων, χωρὶς νὰ ἔχει τίποτε τὸ ἐλεύθερο·

Σκόπει δὲ καὶ τὴν αὐθεντίαν τοῦ ἁγίου Πνεύματος. «Λειτουργούντων δὲ αὐτῶν», φησί, «τῷ Κυρίῳ, καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· ''Αφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον'». Τίς ἂν ἐτόλμησε, μὴ τῆς αὐτῆς ἐξουσίας ὤν, ταῦτα εἰπεῖν; Τοῦτο δὲ γίνεται, ὥστε μὴ εἶναι αὐτοὺς κοινῇ μεθ' ἑαυτῶν. Εἶδεν αὐτοὺς μείζονα δύναμιν ἔχοντας, καὶ πολλοῖς δυναμένους ἀρκέσαι. Πῶς δὲ αὐτοῖς εἶπε; Διὰ προφητῶν ἴσως. Διὰ τοῦτο προλαβὼν εἶπεν ὅτι καὶ προφῆται ἦσαν καὶ ἐνήστευον καὶ ἐλειτούργουν, ἵνα μάθῃς ὅτι πολλῆς νήψεως χρεία ἦν. 'Εν 'Αντιοχείᾳ χειροτονεῖται, ἔνθα κηρύττει. Διὰ τί μὴ εἶπε, 'Τῷ Κυρίῳ ἀφορίσατε', ἀλλ', «ἐμοί»; Δείκνυσιν ὅτι ἕν ἐστι τὸ τῆς ἐξουσίας καὶ τῆς δυνάμεως.

'Ορᾷς ὅσον ἡ νηστεία μέγα; Δείκνυσιν ὅτι πάντα τὸ Πνεῦμα ἐποίει. Μέγα τι ἡ νηστεία ἀγαθόν, οὐχ ὅρῳ περιορίζεται. Ὅτε χειροτονεῖν ἔδει, τότε νηστεύουσι· καὶ νηστεύουσιν αὐτοῖς εἶπε τὸ Πνεῦμα. 'Η νηστεία δὲ οὐ τοῦτο μόνον ἐστίν, ἀλλὰ καὶ τὸ τρυφῆς ἀπέχεσθαι νηστείας εἶδός ἐστι. Τοσοῦτον ἐπιτάττω μόνον ἐγώ· μὴ νηστεύσητε, ἀλλὰ τρυφῆς ἀπέχεσθε. Τροφὰς ζητῶμεν, μὴ διαφθοράν· τροφὰς ζητῶμεν, μὴ νόσων ὑποθέσεις, νόσων καὶ ψυχικῶν καὶ σωματικῶν· τρυφὴν ζητῶμεν, ἡδονὴν ἔχουσαν, μὴν τρυφὴν ἀηδίας γέμουσαν· τοῦτο τρυφή, ἐκεῖνο λύμη· τοῦτο ἡδονή, ἐκεῖνο πόνος· τοῦτο κατὰ φύσιν, ἐκεῖνο παρὰ φύσιν. Εἰπέ γάρ μοι, εἴ τις ἔδωκέ σοι κώνειον πιεῖν, οὐχὶ παρὰ φύσιν ἦν;

---

17. Πράξ. 113, 2

Πρόσεχε δὲ καὶ τὴν αὐθεντία τοῦ ἁγίου Πνεύματος. «Ἐνῶ αὐτοί», λέγει, «ἐκτελοῦσαν τὰ καθήκοντά τους πρὸς τὸν Κύριο καὶ νήστευαν, εἶπε τὸ Πνεῦμα τὸ ἅγιο· 'Ξεχωρίστε μου τὸν Βαρνάβα καὶ τὸν Σαῦλο'[17]. Ποιός θὰ τολμοῦσε νὰ τὰ πεῖ αὐτά, ἂν δὲν εἶχε αὐτὴν τὴν ἐξουσία; Αὐτὸ δὲ γίνεται, γιὰ νὰ μὴ μένουν αὐτοὶ στὸ ἴδιο μέρος μὲ τοὺς ἄλλους. Εἶδε τὸ Πνεῦμα ὅτι αὐτοὶ ἔχουν μεγαλύτερη δύναμη καὶ μποροῦν σὲ πολλοὺς νὰ ἐπαρκέσουν. Πῶς ὅμως τὸ εἶπε σ' αὐτούς; Ἴσως μὲ προφῆτες. Γι' αὐτὸ καὶ προηγουμένως εἶπε, ὅτι ὑπῆρχαν καὶ προφῆτες ποὺ νήστευαν καὶ ἐκτελοῦσαν ὅλα τὰ καθήκοντά τους πρὸς τὸν Κύριο, γιὰ νὰ μάθεις, ὅτι χρτιαζόταν μεγάλη ἐπαγρύπνηση καὶ προσευχή. Στὴν Ἀντιόχεια χειροτονεῖται ἐκεῖ ὅπου κηρύττει. Γιατί δὲν εἶπε, 'Ξεχωρίστε τους γιὰ τὸν Κύριο', ἀλλ' εἶπε «γιὰ ἐμένα»; Δείχνει ὅτι πρόκειται γιὰ τὴν ἴδια ἐξουσία καὶ δύναμη.

Βλέπεις πόσο σπουδαῖο πρᾶγμα εἶναι ἡ νηστεία; Δείχνει ὅτι ὅλα τὰ ἔκαμνε τὸ Πνεῦμα. Εἶναι ἕνα πολὺ μεγάλο ἀγαθὸ ἡ νηστεία καὶ ὅτι δὲν περιορίζεται ἀπὸ σύνορα. Ὅταν ἔπρεπε νὰ τοὺς χειροτονήσουν, τότε νηστεύουν καὶ κατὰ τὸν χρόνο ποὺ νηστεύουν μίλησε πρὸς αὐτοὺς τὸ Πνεῦμα. Ἡ νηστεία δὲ δὲν εἶναι μόνο αὐτό, ἀλλὰ καὶ τὸ νὰ ἀπέχει κανεὶς ἀπὸ τὴν ἀπολαυστικὴ ζωὴ καὶ αὐτὸ εἶναι εἶδος νηστείας. Αὐτὴν τὴν προτροπὴ μόνο σᾶς δίνω· μὴ νηστεύσετε δηλαδή, ἀλλ' ἀπέχετε ἀπὸ τὴν ἀπολαυστικὴ ζωή. Ἂς ἐπιδιώκομε τροφὲς καὶ ὄχι διαφθορά· ἂς ἐπιζητοῦμε τροφὲς καὶ ὄχι ἀφορμὲς ἀσθενειῶν, ἀσθενειῶν καὶ ψυχικῶν καὶ σωματικῶν· ἂς ἐπιδιώκομε τροφὴ ποὺ παρέχει εὐχαρίστηση, καὶ ὄχι ἀπόλαυση γεμάτη ἀπὸ ἀηδία· αὐτὴ εἶναι ἀπόλαυση, ἐνῶ ἐκείνη καταστροφή· αὐτὸ εἶναι ἡδονή, ἐνῶ ἐκεῖνο πόνος· αὐτὸ εἶναι φυσικὸ ἐπακόλουθο, ἐνῶ ἐκεῖνο ἀντίθετο μὲ τὴ φύση. Διότι πές μου σὲ παρακαλῶ, ἐὰν κάποιος σοῦ

εἴ τις ξύλα καὶ λίθους, οὐκ ἂν ἀπεστράφης; Εἰκότως παρὰ φύσιν γάρ ἐστι. Τοιοῦτον καὶ ἡ τρυφή· καθάπερ γὰρ ἐν πόλει, πολιορκίας γενομένης, πολὺς θόρυβος γίνεται καὶ τάραχος, τῶν πολεμίων εἰσελθόντων, οὕτως ἐν τῇ ψυχῇ γίνεται, οἴνου καὶ τρυφῆς ἐπεισελθούσης. «Τίνι οὐαί; τίνι θόρυβοι; τίνι ἀηδίαι καὶ λέσχαι; τίνι κρίσις; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐχὶ τοῖς ἐγχρονίζουσιν ἐν οἴνοις;».

Ἀλλὰ γάρ, ὅσα ἂν εἴπωμεν, οὐκ ἀποστήσομεν τοὺς περὶ τὴν τρυφὴν ἀπησχολημένους, ἂν μὴ πρὸς ἕτερον ἀντιστήσωμεν τὸ πάθος. Καὶ πρῶτον μὲν πρὸς τὰς γυναῖκας ἡμῖν ἔστω ὁ λόγος. Οὐδὲν αἰσχρότερον γυναικὸς τρυφώσης, οὐδὲν αἰσχρότερον μεθυούσης· ἀμαυροῦται αὐτῆς τὸ τῆς ὄψεως ἄνθος, θολοῦται τὸ γαληνὸν καὶ ἥμερον τῶν ὀφθαλμῶν, οἱονεὶ νεφέλης τινός, ἀκτῖνας ὑποδραμούσης ἡλιακάς. Ἀνελεύθερον τὸ πρᾶγμα καὶ δουλικόν, καὶ πάσης δυσγενείας ἀνάμεστον. Πῶς ἐστιν ἀηδὴς οἴνου ἀποπνέουσα γυνὴ ὀδωδότος, σεσηπότος, ἐρευγομένη κρεῶν διεφθορότων χυμόν, βεβαρημένη καὶ διαναστῆναι μὴ δυναμένη, ἐρυθρὰ οὖσα τοῦ δέοντος πλέον, χάσμης γέμουσα καὶ ἀχλύος πολλῆς; Ἀλλ' οὐκ ἐκείνη ἡ τρυφῆς ἀπεχομένη τοιαύτη, ἀλλὰ σεμνὴ καὶ σώφρων καὶ εὔμορφος· καὶ γὰρ τῷ σώματι πολὺ περιτίθησι κάλλος τῆς ψυχῆς ἡ κατάστασις. Μὴ γὰρ δὴ νομίσῃς ἀπὸ τῶν σωματικῶν τύπων τοῦτο γίνεσθαι μόνον.

---

18. Παροιμ. 23, 29 - 30

ἔδινε νὰ πιεῖς κώνειο, δὲν θὰ ἦταν ἀντίθετο μὲ τὴ φύση; ἐὰν σοῦ ἔδινε ξύλα καὶ πέτρες, δὲν θὰ τὸν ἀποστρεφόσουν; Ἀσφαλῶς ναί· διότι εἶναι κάτι τό ἀφύσικο. Τέτοιο πράγμα εἶναι καὶ ἡ ἀπολαυστικὴ ζωή· διότι ὅπως σὲ μία πόλη, ποὺ γίνεται πολιορκία, ὑπάρχει πολὺς θόρυβος καὶ ταραχὴ ὅταν εἰσέλθουν οἱ ἐχθροί, τὸ ἴδιο συμβαίνει καὶ στὴν ψυχή, ὅταν εἰσέλθουν ἐντὸς αὐτῆς οἶνος καὶ ἀπόλαυση ὑλική. «Σὲ ποιόν ταιριάζει τὸ ἀλλοίμονο; σὲ ποιόν οἱ θόρυβοι; σὲ ποιόν οἱ ἀηδίες καὶ οἱ φλυαρίες; σὲ ποιόν τὰ δικαστήρια καὶ οἱ δίκες; τίνος οἱ ὀφθαλμοὶ εἶναι ὠχροί; δὲν εἶναι ἐκείνων ποὺ περνοῦν τὸν καιρό τους πίνοντας κρασί;»[18].

Ἀλλ' ὅμως ὅσα καὶ ἂν ποῦμε δὲν θ' ἀπομακρύνομε ἀπὸ τὶς ὑλικὲς ἀπολαύσεις ἐκείνους ποὺ ἐπιδίδονται σ' αὐτές, ἂν δὲν ἀντιπαραβάλομε τὸ πάθος πρὸς κάποιο ἄλλο. Καὶ πρῶτα ἂς μιλήσομε γιὰ τὶς γυναῖκες. Τίποτε δὲν ὑπάρχει αἰσχρότερο ἀπὸ γυναίκα ποὺ ἐπιδίδεται σὲ ἀπολαύσεις, τίποτε δὲν ὑπάρχει αἰσχρότερο ἀπὸ γυναῖκα ποὺ παραδίδει τὸν ἑαυτό της στὴ μέθη· χάνει τὴν λαμπρότητά της, τὴν ἀνθηρότητα τοῦ προσώπου της, θολώνει ἡ ἠρεμία καὶ ἡμερότητα τῶν ματιῶν της, σὰν κάποιο σύννεφο νὰ πέρασε κάτω ἀπὸ τὶς ἡλιακὲς ἀκτίνες. Αὐτὸ ἀποτελεῖ ἀνελευθερία καὶ δουλικότητα καὶ εἶναι δεῖγμα κάθε κατωτερότητας. Πόσο ἀηδὴς εἶναι ἡ γυναίκα ἀπὸ τὴν ὁποία βγαίνει ὀσμὴ κρασιοῦ ἀλλοιωμένου καὶ ἀποσυντιθεμένου, ποὺ ρεύεται καὶ βγαίνει μυρωδιὰ χυμοῦ κρεάτων σάπιων, ποὺ ἔχει βαρυθυμία καὶ δὲν μπορεῖ νὰ σηκωθεῖ, ποὺ εἶναι κόκκινη περισσότερο ἀπὸ ὅ,τι πρέπει, ποὺ χασμουριέται συνέχεια καὶ εἶναι θολωμένα τὰ μάτια της; Ὅμως δὲν εἶναι τέτοια ἐκείνη ποὺ ἀπέχει ἀπὸ τὶς ὑλικὲς ἀπολαύσεις, ἀλλ' εἶναι σεμνή, γεμάτη ἀπὸ σωφροσύνη καὶ ὀμορφιά· καθόσον ἡ κατάσταση τῆς ψυχῆς προσδίδει πολλὴ ὀμορφιὰ στὸ σῶμα· Διότι

Δὸς εὔμορφον κόρην, τεταραγμένην, λάλον, λοίδορον, μέθυσον, πολυτελῆ, εἰ μὴ πάσης αἰσχρᾶς δυσειδεστέρα καθέστηκεν; Εἰ δὲ αἰσχύνοιτο, εἰ δὲ σιγῴη, εἰ δὲ ἐρυθριᾶν μανθάνοι, εἰ δὲ φθέγγεσθαι συμμέτρως, εἰ δὲ νηστείαις ἐσχολακέναι, διπλοῦν τὸ κάλλος, πλείων ἡ ὥρα, ποθεινοτέρα ἡ ὄψις, σωφροσύνης γέμουσα καὶ κοσμιότητος.

Βούλει λοιπὸν καὶ περὶ ἀνδρῶν εἴπωμεν; Τί τοῦ μεθύοντος αἰσχρότερον; Καταγέλαστος οἰκέταις, καταγέλαστος ἐχθροῖς, ἐλεεινὸς παρὰ φίλοις, μυρίας καταγνώσεως ἄξιος, θηρίον ἐστὶ μᾶλλον ἢ ἄνθρωπος· τὸ γὰρ πολλὰ σιτεῖσθαι παρδάλεως καὶ λέοντος καὶ ἄρκτου ἐστίν. Εἰκότως· οὐ γὰρ ἔχουσιν ἐκεῖνα ψυχὴν λογικήν. Καὶ μὴν κἀκεῖνα, πλέον τοῦ δέοντος καὶ τοῦ μέτρου τοῦ παρὰ τῆς φύσεως αὐτοῖς ὡρισμένου σιτισθέντα, διέφθειρε τὸ πᾶν σῶμα, πόσῳ οὖν μᾶλλον ἡμεῖς; Διὰ τοῦτο ἡμῖν εἰς μικρὸν συνέστειλε τὴν γαστέρα ὁ Θεός, διὰ τοῦτο ὀλίγον μέτρον ὥρισε τροφῆς, ἵνα παιδεύσῃ ψυχῆς ἐπιμελεῖσθαι.

3. Καταμάθωμεν αὐτὴν τὴν κατασκευὴν τὴν ἡμετέραν, καὶ ὀψόμεθα ἓν μόριον ἐν ἡμῖν ταύτην ἔχον τὴν ἐνέργειαν· τὸ στόμα γὰρ ἡμῶν καὶ ἡ γλῶττα πρὸς ὕμνους ἀφώρισται, ὁ φάρυγξ πρὸς φωνήν. Διὰ τοῦτο καὶ ἡ ἀνάγκη τῆς φύσεως ἡμᾶς ἐγκατέδησεν, ἵνα μηδὲ ἄκοντες ἐμπίπτωμεν εἰς πολλὴν πραγματείαν. Ὡς, εἴ γε ἡ τρυφὴ πόνους μὴ εἶχε, μηδὲ νόσους καὶ ἀρρωστίας, φο-

μὴ νομίσεις ὅτι ἡ ὀμορφιὰ προέρχεται μόνο ἀπὸ τὰ σωματικὰ χαρακτηριστικά. Παρατήρησε μιὰ ὄμορφη κόρη, φλύαρη, ποὺ λέγει βρωμόλογα, ποὺ μεθάει, ἀγαπᾶ τὴν πολυτέλεια, δὲν κατάντησε αὐτὴ ἀσχημότερη ἀπὸ ὁποιαδήποτε ἄσχημη γυναίκα; Ἐὰν ὅμως εἶναι ντροπαλή, ἀγαπᾶ τὴ σιωπή, ἔμαθε νὰ κοκκινίζει ἀπὸ ντροπή, τὰ λόγια της εἶναι μετρημένα, περνᾶ τὶς ὧρες της μὲ νηστεῖες, τότε εἶναι διπλὴ ἡ ὀμορφιά της, μεγαλύτερη ἡ ὡραιότητά της, περισσότερο ποθητὴ ἡ μορφή της, εἶναι γεμάτη ἀπὸ σωφροσύνη καὶ κοσμιότητα.

Θέλεις λοιπὸν νὰ μιλήσουμε καὶ γιὰ τοὺς ἄνδρες; Τί ὑπάρχει πιὸ ἄσχημο ἀπὸ ἐκεῖνον ποὺ μεθάει; Εἶναι ἄξιος χλευασμοῦ ἀπὸ τοὺς δούλους, ἄξιος χλευασμοῦ ἀπὸ τοὺς ἐχθρούς, ἄξιος περιφρονήσεως ἀπὸ τοὺς φίλους, ἄξιος κατακρίσεως, καὶ εἶναι θηρίο μᾶλλον, παρὰ ἄνθρωπος· διότι ἡ πολυφαγία ἀποτελεῖ γνώρισμα πάρδαλης, λεονταριοῦ καὶ ἀρκούδας. Καὶ πολὺ σωστά· διότι ἐκεῖνα δὲν ἔχουν ψυχὴ λογική. Καθόσον ἐὰν ἐκεῖνα, ὅταν φᾶνε περισσότερο ἀπὸ ὅ,τι πρέπει καὶ ἀπὸ τὸ μέτρο ποὺ εἶναι καθορισμένο ἀπὸ τὴ φύση, καταστρέφουν τὸ σῶμα τους, πόσο περισσότερο λοιπὸν δὲν τὸ καταστρέφομε ἐμεῖς; Γι' αὐτὸ ὁ Θεὸς περιόρισε τὴν κοιλιά μας μέσα σὲ μικρὰ ὅρια, γι' αὐτὸ ὅρισε νὰ τρῶμε μικρὴ ποσότητα τροφῆς, γιὰ νὰ μᾶς διδάξει νὰ φροντίζομε τὴν ψυχή μας.

3. Ἂς γνωρίσομε καλὰ τὴν ἴδια τὴν κατασκευή μας καὶ θὰ διαπιστώσομε ὅτι ἕνα πολὺ μικρὸ μέρος ἀπὸ τὸ σῶμα μας ἔχει αὐτὴν τὴν ἐνέργεια· διότι τὸ στόμα μας καὶ ἡ γλώσσα μας ὁρίσθηκαν γιὰ ὕμνους, ἐνῶ ὁ φάρυγγας γιὰ φωνή. Γι' αὐτὸ καὶ ἡ ἀνάγκη τῆς φύσεως μᾶς περιόρισε μέσα σὲ ὅρια, ὥστε νὰ μὴ παραφορτωνόμαστε, χωρὶς νὰ τὸ θέλομε, μὲ περιττὲς ἀνάγκες· Γιὰ παράδειγμα, ἂν ἡ τρυφηλὴ ζωὴ δὲν εἶχε κόπους, οὔτε ἀσθένει-

ρητὸν ἦν, νῦν δέ σοι τέθεικεν ὁροθέσια τῆς φύσεως, ἵνα μηδὲ βουλόμενος ὑπερβαίνῃς. Οὐχ ἡδονὴν ζητεῖς, ἀγαπητέ; Τοῦτο παρὰ τῆς αὐταρκείας εὑρήσεις. Οὐχ ὑγείαν; Καὶ τοῦτο. Οὐχὶ ἀμεριμνίαν; Καὶ τοῦτο. Οὐχὶ ἐλευθερίαν; οὐχὶ ρῶσιν σώματος; οὐχὶ εὐεξίαν; οὐχὶ νῆψιν ψυχῆς; οὐχὶ διέγερσιν; Οὕτω πάντα τὰ καλὰ ἐνταῦθα, ἐν ἐκείνῃ δὲ τὰ ἐναντία, ἀηδία, καχεξία, νόσος, ἀνελευθερία, δαπάνη.

Πόθεν οὖν, φησίν, ἐπὶ ταύτην τρέχομεν ἅπαντες; Ἀπὸ νόσου. Εἰπὲ γάρ μοι, διὰ τί τὸ βλάπτον ὁ νοσῶν ἐπιζητεῖ; οὐχὶ καὶ αὐτὸ τοῦτο τοῦ νοσεῖν σημεῖόν ἐστι; Διὰ τί ὁ χωλὸς μὴ ὀρθὰ βαδίζει; αὐτὸ δὲ τοῦτο οὐκ ἀπὸ ραθυμίας καὶ τοῦ μὴ βούλεσθαι παρὰ τὸν ἰατρὸν ἰέναι; Τῶν γὰρ πραγμάτων τὰ μὲν πρόσκαιρον ἡδονὴν ἔχει, διηνεκῆ δὲ τὴν κόλασιν, τὰ δὲ τοὐναντίον, τὴν μὲν καρτερίαν πρόσκαιρον, διηνεκῆ δὲ τὴν ἀπόλαυσιν. Ὁ τοίνυν οὕτω χαῦνος καὶ ράθυμος, ὥστε μὴ ὑπεριδεῖν τῶν παρόντων ἡδέων ὑπὲρ τῶν μελλόντων, ταχέως ἁλίσκεται. Εἰπέ μοι, ὁ Ἡσαῦ πόθεν ἑάλω; πόθεν τὴν παροῦσαν ἡδονὴν μελλούσης προτετίμηκε τιμῆς; Ἀπὸ χαυνότητος καὶ μαλακίας. Τοῦτο δὲ αὐτὸ πόθεν; φησίν. Ἐξ ἡμῶν αὐτῶν· καὶ δῆλον ἐκεῖθεν· ὅταν γὰρ θέλωμεν, διανιστῶμεν ἑαυτούς, καὶ καρτερικοὶ γινόμεθα. Ἐὰν γοῦν ἀνάγκη ποτὲ ἐπέλθῃ, πολλάκις δὲ καὶ φιλονεικήσαντες μόνον, τὸ χρήσιμον συνείδομεν.

ες καὶ ἀρρώστιες, θὰ ἦταν κάτι τὸ ὑποφερτό, ἐνῶ τώρα σοῦ ἔθεσε ὁ Θεὸς τὰ ὅρια τῆς φύσεως, ὥστε νὰ μὴ τὰ ὑπερβαίνεις καὶ ὅταν ἀκόμα τὸ θέλεις. Δὲν ἀναζητεῖς ἡδονή, ἀγαπητέ; Αὐτὸ θὰ τὸ βρεῖς στὴν αὐτάρκεια. Δὲν ἐπιθυμεῖς ὑγεία; Καὶ αὐτὸ θὰ τὸ βρεῖς ἐκεῖ. Ὄχι ἀμεριμνησία; Καὶ αὐτὸ ἐκεῖ. Ὄχι ἐλευθερία; ὄχι σωματικὴ δύναμη; ὄχι εὐεξία; ὄχι ἠρεμία ψυχικὴ καὶ πνευματικὴ διαύγεια; ὄχι ἀφύπνιση πνευματική; Ὅλα λοιπὸν τὰ καλὰ βρίσκονται σ' αὐτήν, ἐνῶ στὴν τρυφηλὴ ζωὴ βρίσκονται τὰ ἀντίθετα, ἀκηδία, σωματικὴ ἀδυναμία, ἀσθένεια, ἔλλειψη ἐλευθερίας, δαπάνη.

Καὶ γιὰ ποιὸ λόγο λοιπόν, λέγει, ὅλοι τρέχομε πρὸς αὐτήν; Ἀπὸ ἀσθένεια. Διότι πές μου σὲ παρακαλῶ, γιατί ὁ ἀσθενὴς ἐπιζητεῖ ἐκεῖνο ποὺ τὸν βλάπτει; δὲν εἶναι καὶ αὐτὸ τὸ ἴδιο ἀπόδειξη τῆς ἀσθένειας; Γιατί ὁ χωλὸς δὲν βαδίζει σωστά; δὲν συμβαίνει αὐτὸ ἀπὸ ἀδιαφορία καὶ ἐπειδὴ δὲν θέλει νὰ ἐπισκεφθεῖ τὸν γιατρό; Διότι ἀπὸ τὰ ὑλικὰ πράγματα ἄλλα μὲν προσφέρουν προσωρινὴ ἡδονή, ἄλλα διαρκὴ τὴν τιμωρία, ἄλλα δὲ τὸ ἀντίθετο, τὴν μὲν καρτερία προσωρινή, ἐνῶ ἀδιάκοπη τὴν ἀπόλαυση. Ἐκεῖνος λοιπὸν ποὺ εἶναι τόσο πολὺ ἀποχαυνωμένος καὶ ἀδιάφορος, ὥστε νὰ μὴ περιφρονήσει τὰ εὐχάριστα αὐτῆς τῆς ζωῆς πρὸς χάρη τῶν μελλοντικῶν ἀπολαύσεων, ἀμέσως νικιέται. Πές μου σὲ παρακαλῶ, ὁ Ἠσαῦ ἐξ αἰτίας ποιοῦ πράγματος νικήθηκε; γιὰ ποιὸ λόγο προτίμησε τὴν παροῦσα ἡδονὴ ἀπὸ τὴν μέλλουσα τιμή; Ἀπὸ ἀποχαύνωση καὶ μαλθακότητα. Καὶ αὐτὰ τὰ ἴδια ἀπὸ ποῦ, λέγει, προέρχονται; Ἀπὸ μᾶς τοὺς ἴδιους· καὶ γίνεται φανερὸ ἀπὸ τὸ ἑξῆς· ὅταν δηλαδὴ θέλομε διεγειρόμαστε ἀπὸ τὴν ἀδιαφορία μας καὶ γινόμαστε καρτερικοί. Ἐὰν λοιπὸν κάποτε παρουσιασθεῖ ἀνάγκη, πολλὲς φορὲς δὲ δείχνοντας καὶ μόνο λίγη προσπάθεια, ἀντιλαμβανόμαστε τὸ χρήσιμο.

Ὅταν τοίνυν μέλλῃς τρυφᾶν, ἐννόησον τὸ πρόσκαιρον τῆς ἡδονῆς, τὴν ζημίαν (ζημία γὰρ ὄντως ἐστὶ μετὰ τῆς οἰκείας λύμης τοσαῦτα χρήματα δαπανᾶν), τὰς νόσους, τὰς ἀρρωστίας, καὶ καταφρόνησον τρυφῆς. Πόσους σοὶ βούλει ἀριθμήσω, κακὰ παθόντας ἀπὸ τῆς τρυφῆς; Ὁ Νῶε ἐμεθύσθη καὶ ἐγυμνώθη, καὶ ὅρα πόσα γέγονε κακὰ ἀπὸ τούτου· ὁ Ἠσαῦ ἀπὸ λαιμαργίας προὔδωκε τὰ πρωτοτόκια, καὶ εἰς ἀδελφοκτονίαν ὥρμησεν. «Ὁ λαὸς τοῦ Ἰσραὴλ ἐκάθισε φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν». Διὰ τοῦτό φησι· «Φαγὼν καὶ πιών, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου»· εἰς γὰρ κρημνὸν ἐνέπεσον οἱ εἰς τὴν τρυφὴν ἐμπεσόντες. «Ἡ χήρα», φησίν, «ἡ σπαταλῶσα, ζῶσα τέθνηκε»· καὶ πάλιν· «Ἐλιπάνθη, ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος»· καὶ πάλιν ὁ Ἀπόστολος· «Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας».

Οὐ νομοθετῶ νηστείαν (οὐδὲ γὰρ ὁ ἀκούων ἐστίν), ἀλλ' ἀναιρῶ σπατάλην, ἐκκόπτω τρυφὴν διὰ τὸ χρήσιμον τὸ ὑμέτερον· καθάπερ γὰρ χείμαρρος, οὕτω πάντα ἀνατρέπει ἡ τρυφή· οὐδὲν αὐτὴν τὸ κωλύον ἐστί· βασιλείας ἐκβάλλει. Τί τὸ πλέον; Βούλει τρυφᾶν; Δὸς πένησι, κάλεσον τὸν Χριστόν, ἵνα καὶ μετὰ τὸ τὴν τράπεζαν ἀρθῆναι ἔχῃς τρυφᾶν· νῦν μὲν γὰρ οὐκ ἔχεις· οὐδὲ γὰρ ἕστηκε τὰ ἐνταῦθα· τότε δὲ ἕξεις. Βούλει τρυφῆσαι; Θρέψον τὴν ψυχήν, μετάδος αὐτῇ σιτίων, ὧν

---

19. Γέν. 9, 20 - 27
20. Ἐξ. 32, 6
21. Δευτ. 6, 11 - 12
22. Α΄ Τιμ. 5, 6
23. Δευτ. 32, 15
24. Ρωμ. 13, 14

Ὅταν λοιπὸν συμβεῖ νὰ ἐπιδιώξεις τὴν τρυφηλὴ ζωή, σκέψου τὸ πρόσκαιρο τῆς ἡδονῆς, τὴ ζημία (διότι πραγματικὰ ζημία εἶναι, ἀφοῦ μαζὶ μὲ τὴν καταστροφὴ ποὺ παθαίνει κανεὶς δαπανᾶ καὶ τόσα πολλὰ χρήματα), τὶς ἀσθένειες, τὶς ἀρρώστιες, καὶ δεῖξε καταφρόνηση πρὸς τὴν τρυφηλὴ ζωή. Πόσους θέλεις νὰ σοῦ ἀπαριθμήσω ποὺ ἔπαθαν κακὰ ἀπὸ τὴν τρυφηλὴ ζωή; Ὁ Νῶε μέθησε καὶ γυμνώθηκε καὶ πρόσεχε πόσα κακὰ προέκυψαν ἀπ' αὐτό[19]. Ὁ Ἠσαῦ ἀπὸ τὴ λαιμαργία παρέδωσε τὰ πρωτοτόκια καὶ ὅρμησε νὰ διαπράξει δολοφονία· «Ὁ λαὸς τοῦ Ἰσραὴλ κάθισε νὰ φάγει καὶ νὰ πιεῖ καὶ στὴ συνέχεια σηκώθηκαν γιὰ νὰ παίξουν»[20]. Γι' αὐτὸ λέγει· «Τρῶγε καὶ πίνε, ἀλλὰ νὰ θυμᾶσαι καὶ τὸν Κύριο τὸ Θεό σου»[21]· διότι στὸ γκρεμὸ ἔπεσαν ἐκεῖνοι ποὺ ἐπιδόθηκαν στὶς ἀπολαύσεις τῆς ζωῆς. «Ἡ χήρα», λέγει, «ποὺ σπαταλᾶ, ἂν καὶ βρίσκεται στὴ ζωή, ἔχει πεθάνει»[22]. καὶ πάλι· «Λιπάνθηκε, παχύνθηκε καὶ κλώτσησε τὸ Θεὸ ὁ ἀγαπημένος λαός»[23]· καὶ ὁ Ἀπόστολος πάλι λέγει· «Μὴ φροντίζετε γιὰ τὴ σάρκα, ὥστε νὰ ἱκανοποιεῖτε τὶς ἐπιθυμίες της»[24].

Δὲν νομοθετῶ νηστεία (οὔτε βέβαια ὑπάρχει κανένας ποὺ θὰ τὸ ἀποδεχόταν αὐτό), ἀλλὰ προτρέπω ἀποφυγὴ ἀπὸ τὴ σπατάλη, ἀποκλείω τὴν τρυφηλὴ ζωὴ πρὸς ὄφελος δικό σας· διότι ὅπως ἀκριβῶς ὁ χείμαρρος, ὅλα τὰ ἀνατρέπει ἡ τρυφηλὴ ζωή· δὲν ὑπάρχει τίποτε ποὺ νὰ τὴν ἐμποδίζει, ἀπομακρύνει ἀπὸ τὴν οὐράνια βασιλεία. Τί ἄλλο περισσότερο κακὸ νὰ κάνει; Ἐπιθυμεῖς τὴν τρυφή; Δῶσε στοὺς φτωχούς, προσκάλεσε τὸ Χριστό, ὥστε καὶ ὅταν σηκωθεῖ τὸ τραπέζι νὰ ἐξακολουθεῖς νὰ νιώθεις εὐχαρίστηση· διότι τώρα μὲν δὲν μπορεῖς νὰ ἔχεις συνέχιση τῆς εὐχαρίστησης· καὶ πολὺ σωστά· διότι δὲν διαρκοῦν γιὰ πάντα τὰ πράγματα τῆς ἐδῶ ζωῆς, ἐνῶ τότε θὰ ἔχεις. Θέλεις ν' ἀπολαύσεις ἡδονή; θρέψε τὴν ψυχή σου, δῶσε σ' αὐτὴν τὴν τροφὴ ποὺ ἀρέσει καὶ ται-

ἔθος ἔχει· μὴ λιμοκτονήσῃς αὐτήν. Καιρὸς πολέμου, καιρὸς ἀγῶνος, σὺ δὲ κάθησαι τρυφῶν; Οὐχ ὁρᾷς καὶ τοὺς τὰ σκῆπτρα ἐγκεχειρισμένους ἐν ταῖς ἔξω στρατείαις εὐτελῶς ζῶντας; «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα», σὺ δὲ λιπαίνεις σαυτόν, μέλλων παλαίειν; Ἕστηκε τρίζων τοὺς ὀδόντας αὐτοῦ ὁ ἀντίπαλος, σὺ δὲ διακεχυμένος τυγχάνεις, καὶ τραπέζῃ προσέχεις. Οἶδα εἰκῇ ταῦτα λέγων, ἀλλ' οὐχ ἅπασιν. «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω».

Ὁ Χριστὸς ὑπὸ λιμοῦ τήκεται, σὺ δὲ ὑπὸ γαστριμαργίας διασπᾷς σαυτόν· δύο ἀμετρίαι. Τί γὰρ οὐ ποιεῖ κακὸν ἡ τρυφή; Πρὸς ἑαυτὴν ἐναντία ἐστίν· ὅθεν οὐκ οἶδα, πῶς καὶ τὸ ὄνομα τοῦτο ἔχει· ἀλλά, ὥσπερ ἡ δόξα ἀτιμία οὖσα, καὶ ὁ πλοῦτος, πενία ὤν, τοῦτο κέκληται, οὕτω καὶ ἡ τρυφή, ἀηδία οὖσα. Μὴ γὰρ τυθῆναι ἔχομεν, ὅτι λιπαίνομεν ἑαυτούς; Τί παρέχεις τῷ σκώληκι λαμπρὰν τὴν τράπεζαν; τί πλείονας ποιεῖς τοὺς ἰχῶρας; τί πηγὰς ἱδρώτων, καὶ δυσωδίας ἐναποτίθεσαι; τί πρὸς πάντα σεαυτὸν ἄχρηστον κατασκευάζεις; Βούλει γενέσθαι ἰσχυρὸν τὸν ὀφθαλμόν; Τὸ σῶμα ποίησον εὔτονον· καὶ γὰρ ἐν ταῖς χορδαῖς ἡ μὲν παχεῖα καὶ ἀδιακάθαρτος, ἄχρηστος πρὸς τὰς μελῳδίας, ἡ δὲ πάντοθεν ἐπεξεσμένη εὔτονός ἐστι καὶ παναρμόνιος. Τί καταχωννύεις τὴν ψυχήν; τί τοῖχον παχύτερον ποιεῖς; τί πολὺν τὸν καπνὸν καὶ τὴν νεφέλην, ὅταν ἀτμοὶ καθάπερ τις ἀχλὺς πάντοθεν ὦσιν ἀναδιδόμενοι; Εἰ καὶ μηδεὶς ἕτερος, οἱ ἀθληταί σε παιδεύτωσαν ὅτι τὸ ἰσχνό-

------

25. Ἐφ. 6, 12
26 Λουκᾶ 2

ριάζει σ' αὐτήν· μὴ τὴν ἀφήσεις νὰ πεθάνει ἀπὸ πείνα πνευματική· Εἶναι καιρὸς πολέμου, εἶναι καιρὸς ἀγώνα, καὶ σὺ κάθεσαι καὶ ἐπιδίδεσαι στὶς ἀπολαύσεις; Δὲν βλέπεις καὶ ἐκείνους ποὺ τοὺς παραδόθηκαν σκῆπτρα, ὅτι κατὰ τὶς ἐκστρατεῖες κάνουν ζωὴ λιτοδίαιτη; «Δὲν εἶναι ὁ ἀγώνας μας πρὸς τὶς δυνάμεις ποὺ ἔχουν αἷμα καὶ σάρκα»[25], καὶ σὺ παχαίνεις τὸν ἑαυτό σου, ἐνῶ πρόκειται νὰ παλαίψεις; Ὁ ἀντίπαλος στέκεται τρίζοντας τὰ δόντια του, ἐνῶ σὺ βρίσκεσαι σὲ κατάσταση ἀποχαυνώσεως καὶ συγκεντρώνεις τὴν προσοχή σου στὴν τράπεζα· Γνωρίζω ὅτι αὐτὰ ἄδικα τὰ λέγω, ἀλλ' ὄχι γιὰ ὅλους. «Ἐκεῖνος ποὺ ἔχει αὐτιὰ γιὰ ν' ἀκούει, ἂς ἀκούει»[26].

Ὁ Χριστὸς λειώνει ἀπὸ τὴν πείνα, ἐνῶ σὺ καταστρέφεις τὸν ἑαυτό σου ἀπὸ τὴ γαστριμαργία· δύο ἐντελῶς ἀσύμμετρα πράγματα. Ποιό κακὸ λοιπὸν δὲν προκαλεῖ ἡ ἀπολαυστικὴ ζωή; Εἶναι ἀντίθετη μὲ τὸν ἑαυτό της· γι' αὐτὸ δὲν γνωρίζω πῶς ἔχει καὶ τὸ ὄνομα αὐτό· διότι, ὅπως ἀκριβῶς ἡ δόξα εἶναι ἀτιμία, καὶ ὁ πλοῦτος, ἐνῶ εἶναι φτώχεια, ὅμως ἔχει τὸ ὄνομα αὐτό, ἔτσι καὶ ἡ τρυφηλὴ ζωὴ εἶναι ἀηδία. Μήπως δηλαδὴ πρόκειται νὰ θυσιασθοῦμε καὶ παχαίνομε τοὺς ἑαυτούς μας; Γιατί προσφέρεις στὸ σκώληκα πλούσιο τραπέζι; γιατί αὐξάνεις τὴν ποσότητα τῆς σήψεως, γιατί χύνεις πηγὲς ἱδρώτων καὶ συγκεντρώνεις δυσωδία; γιατί καθιστᾶς τὸν ἑαυτό σου ἄχρηστο ὡς πρὸς ὅλα; Θέλεις νὰ γίνει ὁ ὀφθαλμός σου ἰσχυρός; Κάνε τὸ σῶμα σου δυνατό· καθόσον καὶ στὶς χορδὲς ἡ μὲν παχειὰ καὶ ἀδιευκρίνητη εἶναι ἄχρηστη γιὰ τὶς μελωδίες, ἐνῶ ἐκείνη ποὺ ἔχει λιανθεῖ ἀπὸ παντοῦ εἶναι ρυθμικὴ καὶ παναρμόνια· Γιατί καταχωνιάζεις τὴν ψυχή σου; γιατί κατασκευάζεις τοῖχο παχύτερο; γιατί δημιουργεῖς πολὺ τὸν καπνὸ καὶ πυκνὸ τὸ σύννεφο, τὴ στιγμὴ ποὺ ἀπὸ παντοῦ ἀναδίδονται ἀτμοί, σὰν πυκνὴ ὁμίχλη; Ἂν ὄχι κανένας ἄλλος, τουλάχιστο οἱ ἀθλητὲς ἂς

τερον σῶμα ἰσχυρότερον. Οὐκοῦν καὶ ἡ φιλοσοφοῦσα ψυχὴ εὐτονωτέρα· ἡνιόχῳ γὰρ καὶ ἵππῳ ἔοικε. Καὶ ἔξεστιν ὁρᾶν, καθάπερ ἐπὶ τῶν τρυφῇ προσεχόντων ἀνθρώπων καὶ εὐσαρκούντων, οὕτω καὶ τοὺς εὐσαρκοῦντας τῶν ἵππων δυσκινήτους ὄντας, καὶ πολλὰ τῷ ἡνιόχῳ πράγματα παρέχοντας. Ἀγαπητὸν εὐήνιον ἵππον ἔχοντα καὶ εὐσκελῆ δυνηθῆναι τὸ βραβεῖον λαβεῖν. Ὅταν δὲ ἀναγκάζηται ὁ ἡνίοχος ἕλκειν αὐτόν, καὶ καταπεσόντα μυριάκις νύττων μὴ διανιστᾶν, κἂν σφόδρα αὐτὸς ἔμπειρος ᾖ, τῆς νίκης ἀποστερηθήσεται.

Μὴ δὴ περιΐδωμεν ἡμῶν τὴν ψυχὴν ἐπηρεαζομένην διὰ τὸ σῶμα, ἀλλὰ καὶ ἐκείνην διορατικωτέραν ἐργασώμεθα· τὸ πτερὸν αὐτῇ κοῦφον ποιήσωμεν, χαυνότερα τὰ δεσμά· λόγοις αὐτὴν τρέφωμεν, αὐταρκείᾳ, ὅσον ὑγιαίνειν μόνον τὸ σῶμα, ὅσον εὔρωστον εἶναι, ὅσον χαίρειν καὶ μὴ ἀλγεῖν· ἵνα οὕτω, τὰ καθ' ἑαυτοὺς εὖ διαθέντες, δυνηθῶμεν τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σὲ διδάσκουν, ὅτι τὸ λεπτότερο σῶμα εἶναι ἰσχυρότερο. Συνεπῶς καὶ ἡ ψυχὴ ποὺ ζεῖ μὲ εὐσέβεια εἶναι ἰσχυρότερη· διότι μοιάζει μὲ ἡνίοχο καὶ ἵππο· Καὶ μποροῦμε νὰ παρατηρήσουμε ὅτι, ὅπως εἶναι εὔσαρκοι ἐκεῖνοι ἀπὸ τοὺς ἀνθρώπους ποὺ ἐπιδίδονται στὴν τρυφηλὴ ζωή, ἔτσι εἶναι δυσκίνητοι οἱ ἵπποι ἐκεῖνοι ποὺ εἶναι εὔσαρκοι καὶ δημιουργοῦν πολλὰ προβλήματα στὸν ἡνίοχο. Προτιμᾶ νὰ ἔχει ἵππο ποὺ νὰ χαλιναγωγεῖται εὔκολα καὶ νὰ τρέχει πολὺ γιὰ νὰ μπορέσει νὰ πάρει τὸ βραβεῖο. Ὅταν ὅμως ἀναγκάζεται ὁ ἡνίοχος νὰ σύρει τὸν ἵππο, καί, ὅταν πέσει κάτω, νὰ μὴ μπορεῖ νὰ τὸν σηκώσει κεντρίζοντάς τον ἀμέτρητες φορές, καὶ ἂν ἀκόμα αὐτὸς εἶναι πάρα πολὺ ἔμπειρος, θὰ στερηθεῖ τὴ νίκη.

Ἂς μὴ παραβλέψομε λοιπὸν τὴν ψυχή μας βλέποντάς την νὰ βλάπτεται ἐξ αἰτίας τοῦ σώματος, ἀλλ' ἂς τὴν καταστήσομε καὶ ἐκείνην περισσότερο διορατική. Ἂς κάνομε τὰ φτερὰ της ἐλαφρά, καὶ τὰ δεσμά της πιὸ χαλαρά. Ἂς τὴν τρέφομε μὲ λόγια τόσα, ὅσα ἐπαρκοῦν γιὰ νὰ εἶναι ὑγιὲς τὸ σῶμα, ὅσα ἐπαρκοῦν γιὰ νὰ εἶναι εὔρωστο, γιὰ νὰ χαίρεται καὶ νὰ μὴ ὑποφέρει, ὥστε ἔτσι, ἀφοῦ τακτοποιήσομε ὅπως πρέπει τὰ σχετικὰ μὲ ἐμᾶς, νὰ μπορέσομε νὰ φθάσομε στὸ πιὸ ψηλό σημεῖο τῆς ἀρετῆς καὶ νὰ ἐπιτύχομε τὰ αἰώνια ἀγαθὰ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΗ΄

(Πράξ. 13, 4 - 15)

«Οὗτοι μὲν οὖν, ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς Σελεύκειαν, κἀκεῖθεν ἀπέπλευσαν εἰς τὴν Κύπρον. Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγειλαν τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. Εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην».

1. Ἅμα χειροτονηθέντες ἐξῆλθον, καὶ εἰς Κύπρον ἀπέπλευσαν, ἅτε οὐκ οὔσης ἐπιβουλῆς ἐκεῖ, καὶ τοῦ λόγου κατασπαρέντος ἤδη· ἐν Ἀντιοχείᾳ μὲν γὰρ ἦσαν ἱκανοί, καὶ ἡ Φοινίκη δὲ πλησίον τῆς Παλαιστίνης ἦν, Κύπρος δὲ οὐχί. Λοιπὸν μὴ ζήτει, 'διὰ τί;' ὅταν Πνεύματι κινῶνται· οὐ γὰρ δὴ ἐχειροτονήθησαν Πνεύματι μόνον, ἀλλὰ καὶ ἐξεπέμφθησαν.

«Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων». Ὁρᾷς πᾶσαν σπουδὴν ποιουμένους αὐτοὺς ἐκείνοις καταγγέλλειν τὸν λόγον πρώτοις, ἵνα μὴ φιλονεικοτέρους ἐργάσωνται; Καὶ ἐκεῖνοι οὐκ ἐλάλουν εἰ μὴ Ἰουδαίοις μόνοις, καὶ οὗτοι εἰς τὰς συναγωγὰς ἀπῄεσαν.

«Διελθόντες δὲ τὴν νῆσον ὅλην ἄχρι Πάφου, εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνο-

1. Πράξ. 13, 4 - 5

ΟΜΙΛΙΑ ΚΗ΄
(Πράξ. 13, 4 - 15)

Αὐτοὶ λοιπόν, ἀφοῦ στάλθηκαν ἀπὸ τὸ ἅγιο Πνεῦμα, κατέβηκαν στὴ Σελεύκεια, καὶ ἀπὸ ἐκεῖ ἀναχώρησαν μὲ πλοῖο γιὰ τὴν Κύπρο· Ἀφοῦ ἔφθασαν στὴ Σαλαμίνα, κήρυξαν τὸ λόγο τοῦ Θεοῦ στὶς συναγωγὲς τῶν Ἰουδαίων. Εἶχαν δὲ μαζί τους καὶ τὸν Ἰωάννη σὰν βοηθό[1].

1. Μόλις χειροτονήθηκαν ἀναχώρησαν καὶ μὲ πλοῖο ἔφθασαν στὴν Κύπρο, καθόσον δὲν ὑπῆρχαν ἐκεῖ κίνδυνοι γιὰ ἐπιβουλὲς καὶ ὁ λόγος τοῦ Θεοῦ εἶχε διαδοθεῖ ἤδη· διότι στὴν μὲν Ἀντιόχεια ὑπῆρχαν ἀρκετοί, ἐνῶ ἡ Φοινίκη ἦταν κοντὰ στὴν Παλαιστίνη, ἡ Κύπρος ὅμως ὄχι. Μὴ λοιπὸν ζητᾶς νὰ μάθεις τὸ 'γιατί', ὅταν κινοῦνται ἀπὸ τὸ Πνεῦμα· καθόσον βέβαια δὲν χειροτονήθηκαν μόνο ἀπὸ τὸ Πνεῦμα, ἀλλὰ καὶ στάλθηκαν.

«Καί, ἀφοῦ ἔφθασαν στὴ Σαλαμίνα, κήρυξαν τὸ λόγο τοῦ Θεοῦ στὶς συναγωγὲς τῶν Ἰουδαίων»[2]. Βλέπεις ποὺ καταβάλλουν κάθε φροντίδα νὰ κηρύξουν τὸ λόγο τοῦ Θεοῦ πρῶτα στοὺς Ἰουδαίους, ὥστε νὰ μὴ αὐξήσουν περισσότερο τὶς διαθέσεις τους γιὰ φιλονεικίες; Καὶ οἱ ἄλλοι ἀπόστολοι δὲν κήρυτταν σὲ ἄλλους παρὰ μόνο στοὺς Ἰουδαίους, καὶ αὐτοὶ μετέβηκαν στὶς ἰουδαϊκὲς συναγωγές.

«Ἀφοῦ δὲ διέτρεξαν ὅλο τὸ νησὶ ἀπὸ τὸ ἕνα ἄκρο του μέχρι τὴν Πάφο, βρῆκαν κάποιον μάγο ψευδοπροφή-

μα Βὰρ Ἰησοῦς, ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ· ὅς, προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον, ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας, ὁ μάγος (οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ), ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως». Πάλιν μάγος Ἰουδαῖος, καθάπερ Σίμων. Καὶ ὅρα τοῦτον, ὅτε μὲν τοῖς ἄλλοις ἐκήρυττον, οὐ σφόδρα ἀγανακτοῦντα, ἐπειδὴ δὲ τῷ ἀνθυπάτῳ προσήεσαν, τότε. Τὸ δὲ θαυμαστὸν τοῦ ἀνθυπάτου, ὅτι, καὶ προκατειλημμένος τῇ μαγείᾳ ἐκείνου, ἤθελεν ἀκοῦσαι τῶν Ἀποστόλων. Οὕτω καὶ οἱ Σαμαρεῖται ἐποίησαν, καὶ ἀπὸ συγκρίσεως ἡ νίκη φαίνεται, τῆς μαγείας ἁλισκομένης. Πανταχοῦ ἡ κενοδοξία καὶ ἡ φιλαρχία αἴτιαι τῶν κακῶν.

«Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος ἁγίου, ἀτενίσας εἰς αὐτόν, εἶπεν· Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ». Ἐνταῦθα τὸ ὄνομα αὐτοῦ ἀμείβεται μετὰ χειροτονίας, ὅπερ καὶ ἐπὶ τοῦ Πέτρου γεγένηται. Καὶ ὅρα, οὐχ ὕβρις τὸ πρᾶγμά ἐστιν, ἀλλὰ κατάπληξις· τοὺς γὰρ ἰταμοὺς καὶ ἀναισχύντους οὕτω δεῖ καταπλήττεσθαι.

«Ὦ πλήρης παντὸς δόλου», φησί, «καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύ-

------

2. Πράξ. 13, 5
3. Πράξ. 13, 6 - 8
4. Πράξ. 8, 24
5. Πράξ. 13, 9 - 11

τη Ἰουδαῖο, ποὺ ὀνομαζόταν Βὰρ Ἰησοῦς, ποὺ ἀνῆκε στὸ περιβάλλον τοῦ ἀνθύπατου Σέργιου Παύλου, ὁ ὁποῖος ἤταν ἄνθρωπος συνετός. Αὐτός, ἀφοῦ προσκάλεσε τὸν Βαρνάβα καὶ τὸν Σαῦλο, ζήτησε μὲ πολὺ ἐνδιαφέρον ν' ἀκούσει τὸ λόγο τοῦ Θεοῦ. Πρόβαλε ὅμως σ' αὐτοὺς ἀντίσταση ὁ Ἐλύμας ὁ μάγος (διότι ἔτσι ἑρμηνεύεται τὸ ὄνομα αὐτοῦ), προσπαθώντας ν' ἀποτρέψει τὸν ἀνθύπατο ἀπὸ τὴν πίστη»[3]. Πάλι μάγος Ἰουδαῖος, ὅπως ἀκριβῶς ὁ Σίμων[4]. Καὶ πρόσεχε αὐτόν, ὅταν μὲν κήρυτταν στοὺς ἄλλους, δὲν ἔδειχνε ὑπερβολικὴ ἀγανάκτηση, ὅταν ὅμως προσῆλθαν στὸν ἀνθύπατο, τότε ἔδειξε. Τὸ ἄξιο θαυμασμοῦ ὅμως τοῦ ἀνθύπατου εἶναι, ὅτι, ἂν καὶ ἦταν προκατειλημμένος ἀπὸ τὴν μαγεία ἐκείνου, ἤθελε ν' ἀκούσει τοὺς Ἀποστόλους. Κατὰ τὸν ἴδιο τρόπο ἐνήργησαν καὶ οἱ Σαμαρεῖτες, καὶ ἀπὸ τὴ σύγκριση φαίνεται ἡ νίκη, ἀφοῦ ἐξολοθρεύεται ἡ μαγεία. Παντοῦ ἡ ματαιοδοξία καὶ ἡ φιλαρχία γίνονται αἰτίες τῶν κακῶν.

«Ὁ Σαῦλος ὅμως, ποὺ ὀνομαζόταν Παῦλος, ἀφοῦ κυριεύθηκε ἀπὸ τὸ ἅγιο Πνεῦμα, ἔρριξε πρὸς αὐτὸν τὸ βλέμμα του καὶ εἶπε· Υἱὲ τοῦ διαβόλου καὶ ἐχθρὲ κάθε δικαιοσύνης, ποὺ εἶσαι γεμάτος ἀπὸ κάθε δολιότητα καὶ κάθε ραδιουργία, δὲν θὰ παύσεις νὰ διαστρέφεις τὶς εὐθεῖες ὁδοὺς τοῦ Κυρίου; Καὶ νὰ τώρα πέφτει ἐπάνω σου τὸ τιμωρὸ χέρι τοῦ Κυρίου, θὰ τυφλωθεῖς καὶ δὲν θὰ βλέπεις τὸν ἥλιο μέχρι ἕναν ὁρισμένο καιρό»[5]. Ἐδῶ τὸ ὄνομα τοῦ Σαύλου γίνεται Παῦλος συγχρόνως μὲ τὴν χειροτονία, πράγμα ποὺ συνέβηκε καὶ μὲ τὸν Πέτρο· Καὶ πρόσεχε, ἡ ἐνέργειά του αὐτὴ δὲν ἀποτελεῖ ὕβρη, ἀλλὰ ἐπίπληξη· διότι οἱ ἀδιάντροποι καὶ ἀναίσχυντοι ἔτσι πρέπει νὰ ἐπιπλήσσονται.

«Υἱὲ τοῦ διαβόλου καὶ ἐχθρὲ κάθε δικαιοσύνης, ποὺ εἶσαι γεμάτος», λέγει, «ἀπὸ κάθε δολιότητα καὶ κάθε ραδιουργία». Ἐδῶ ἀποκαλύπτει τὰ ὅσα ὑπῆρχαν μέσα στὴ

νης». Ἐνταῦθα αὐτοῦ ἀποκαλύπτει τὰ ἐν τῇ διανοίᾳ, προσχήματι σωτηρίας ἀπολλύντος τὸν ἀνθύπατον.

«Οὐ παύσῃ», φησί, «διαστρέφων τὰς ὁδοὺς Κυρίου;». Καὶ ἀξιοπίστως, οὐχ ἡμῖν πολεμεῖς, φησίν, οὐδὲ μάχῃ, ἀλλὰ τὰς ὁδοὺς Κυρίου διαστρέφεις τὰς εὐθείας καὶ μετ' ἐγκωμίου.

«Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλός». Ὧ αὐτὸς προσήχθη σημείῳ, τούτῳ καὶ τοῦτον ἠβουλήθη προσαγαγεῖν. Καὶ τὸ «ἄχρι καιροῦ» δὲ οὐ κολάζοντος ἦν τὸ ῥῆμα, ἀλλ' ἐπιστρέφοντος· εἰ γὰρ κολάζοντος ἦν, διὰ παντὸς ἂν αὐτὸν ἐποίησε τυφλόν· νῦν δὲ οὐ τοῦτο, ἀλλὰ πρὸς καιρόν, ἵνα τὸν ἀνθύπατον κερδάνῃ.

«Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς. Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονός, ἐπίστευσεν, ἐκπληττόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου». Εἰκότως· τὸν γὰρ προκατειλημμένον τῇ μαγείᾳ ταύτῃ τῇ τιμωρίᾳ παιδεῦσαι ἐχρῆν. Οὕτω καὶ οἱ ἐν Αἰγύπτῳ μάγοι ὑπὸ τῶν φλυκτίδων τὸ πρὶν ἐπαιδεύοντο. Ὅρα δὲ αὐτοὺς οὐκ ἐγχρονίζοντας αὐτόθι, ἅτε τοῦ ἀνθυπάτου λοιπὸν πιστεύσαντος, οὐδὲ μαλακισθέντας τῇ κολακείᾳ καὶ τῇ τιμῇ, ἀλλ' εὐθέως ἔργου ἐχομένους, καὶ εἰς τὴν ἀντιπέραν χώραν ὁρμῶντας.

«Ἀναχθέντες δὲ ἀπὸ τῆς Κύπρου οἱ περὶ Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας, Ἰωάννης δέ, ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. Αὐτοὶ δέ, διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν Σαββάτων ἐκάθισαν». Πάλιν εἰς τὰς συναγωγὰς ἐν σχή-

------

6. Πράξ. 13, 11 - 12
7. Πράξ. 13, 13 - 14

σκέψη του, διότι μὲ τὸ πρόσχημα τῆς σωτηρίας ὁδηγοῦσε τὸν ἀνθύπατο στὴν ἀπώλεια·

«Δὲν θὰ παύσεις» λέγει, «νὰ διαστρέφεις τὶς εὐθεῖες ὁδοὺς τοῦ Κυρίου;». Τὰ λόγια αὐτὰ τὰ λέγει μὲ τρόπο ἀξιόπιστο καὶ ἐγκωμιαστικό. Δὲν πολεμᾶς ἐμᾶς, λέγει, οὔτε μάχεσαι ἐμᾶς, ἀλλὰ διαστρέφεις τὶς εὐθεῖες ὁδοὺς τοῦ Κυρίου.

«Καὶ νὰ τώρα θὰ πέσει ἐπάνω σου τὸ τιμωρὸ χέρι τοῦ Κυρίου καὶ θὰ τυφλωθεῖς». Μὲ τὸ θαῦμα ποὺ ὁδηγήθηκε ὁ ἴδιος στὴν πίστη, μὲ τὸ ἴδιο θέλησε καὶ αὐτὸν νὰ τὸν ὁδηγήσει. Καὶ τὸ «Μέχρι ἕνα ὁρισμένο καιρό», δέ δέν ἦταν λόγος ποὺ ἀπέβλεπε στὴν τιμωρία, ἀλλὰ στὴν ἐπιστροφή· διότι, ἂν ἀποσκοποῦσε στὴν τιμωρία, θὰ τὸν τύφλωνε γιὰ πάντα· τώρα ὅμως δὲν συμβαίνει αὐτό, ἀλλὰ γιὰ ὁρισμένο καιρό, γιὰ νὰ κερδίσει τὸν ἀνθύπατο.

«Καὶ τὴν ἴδια στιγμὴ ἔπεσε ἐπάνω του καταχνιὰ καὶ σκοτάδι καὶ γύριζε ἐδῶ καὶ ἐκεῖ ζητώντας νὰ τὸν ὁδηγήσουν πιάνοντάς τον ἀπὸ τὸ χέρι. Ὅταν ὁ ἀνθύπατος εἶδε αὐτὸ τὸ γεγονός, πίστεψε, καὶ ἔμεινε κατάπληκτος ἀπὸ τὴ διδασκαλία τοῦ Κυρίου»[6]. Πολὺ σωστά· διότι ἐκεῖνον ποὺ εἶχε κυριευθεῖ ἀπὸ τὴ μαγεία αὐτὴ ἔπρεπε νὰ τὸν διδάξει μὲ τὴν τιμωρία. Κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ μάγοι στὴν Αἴγυπτο διδάσκονταν προηγουμένως ἀπὸ τὶς φλυκτίδες. Πρόσεχε ὅμως ὅτι αὐτοὶ δὲν παρατείνουν τὴν παραμονή τους ἐκεῖ, ἀφοῦ πίστεψε ἤδη ὁ ἀνθύπατος, οὔτε κυριεύθηκαν ἀπὸ ἀλαζονεία ἐξ αἰτίας τῆς κολακείας καὶ τῆς τιμῆς, ἀλλ' ἀμέσως συνεχίζουν τὸ ἔργο τους καὶ ἐξορμοῦν στὴν ἀπέναντι χώρα·

«Ἀφοῦ ἀναχώρησαν ἀπὸ τὴν Κύπρο ὁ Παῦλος καὶ ὅσοι ἦταν μαζί του ἦρθαν στὴν Πέργη τῆς Παμφυλίας, ὁ δὲ Ἰωάννης τοὺς ἄφησε καὶ ἐπέστρεψε στὰ Ἱεροσόλυμα. Ἀφοὺ πέρασαν τὴν Πέργη, ἔφθασαν στὴν Ἀντιόχεια τῆς Πισιδίας, καὶ τὴν ἡμέρα τοῦ Σαββάτου μπῆκαν στὴν συναγωγὴ καὶ κάθισαν»[7]. Ἐξακολουθοῦσαν νὰ μπαίνουν στὶς

ματι Ἰουδαίων εἰσῄεσαν, ὥστε μὴ πολεμεῖσθαι, μηδὲ ἐλαύνεσθαι, καὶ οὕτω τὸ πᾶν κατώρθουν.

«Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτούς, λέγοντες· Ἄνδρες, ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε». Λοιπὸν ἐντεῦθεν τὰ κατὰ Παῦλον μανθάνομεν, οὐ μικρὰ περὶ τοῦ Πέτρου μαθόντες ἐν τοῖς πρώην εἰρημένοις. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Καὶ γενόμενοι», φησίν, «ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ» τῇ μητροπόλει τῆς Κύπρου. Ἐποίησαν ἐνιαυτὸν ἐν Ἀντιοχείᾳ· ἔδει κἀκεῖ ἀπελθεῖν, καὶ μὴ διὰ παντὸς ἐνθάδε καθῆσθαι, ἔδει μειζόνων αὐτοῖς διδασκάλων. Ὅρα πῶς καὶ ἐν Σελευκείᾳ οὐ διατρίβουσιν, εἰδότες ὅτι ἀπὸ τῆς γείτονος πόλεως ἐκαρπώσαντο ἂν πολλὴν τὴν ὠφέλειαν, ἀλλὰ πρὸς τὰ κατεπείγοντα σπεύδουσι καὶ ἐκεῖ· πρὸς γὰρ τὴν μητρόπολιν ἐλθόντες τῆς νήσου, τὸν ἀνθύπατον ἔσπευδον διορθῶσαι. Ὅτι δὲ οὐ κολακείας ἦν τὸ λέγειν, «Συνῆν τῷ ἀνθυπάτῳ, ἀνδρὶ συνετῷ», ἀπὸ τοῦ πράγματος μάνθανε, πῶς οὐκ ἐδεήθη λόγων πολλῶν, πῶς ἠθέλησεν αὐτῶν ἀκοῦσαι. Καὶ τὰ ὀνόματα δὲ καταλέγει τῶν πόλεων, δεικνὺς ὅτι, ἐπειδὴ προσφάτως τὸν λόγον ἐδέξαντο, χρεία ἦν ἐπιστηρίζεσθαι τῇ πίστει ἐμμένειν· διὸ καὶ συνεχῶς αὐταῖς ἐφίσταντο. Ὅρα ὅτι οὐδὲν πρὸς τὸν μάγον εἶπεν, ἕως ἐκεῖνος ἀφορμὴν ἔδωκεν, ἀλλὰ τὸν λόγον τοῦ Κυρίου μόνον κατήγγελλον. Ἐπειδὴ γὰρ τοὺς ἄλλους ἑώρα προσέχοντας, αὐτὸς πρὸς ἓν τοῦτο ἐσκόπει, ὥστε ἐκεῖνον μὴ πεισθῆναι. Καὶ

------

8. Πράξ. 13, 15
9. Πράξ. 13, 5
10. Πράξ. 13, 6

συναγωγὲς μὲ ἐνδυμασία ἰουδαϊκή, γιὰ νὰ μὴ πολεμοῦνται οὔτε καὶ νὰ διώχνονται, καὶ μὲ τὸν τρόπο αὐτὸ κατόρθωναν τὸ πᾶν.

«Μετὰ τὴν ἀνάγνωση τοῦ Νόμου καὶ τῶν Προφητῶν ἔστειλαν οἱ ἀρχισυνάγωγοι ἀνθρώπους πρὸς αὐτοὺς καὶ τοὺς εἶπαν· Ἄνδρες ἀδελφοί, ἐὰν ἔχετε νὰ πεῖτε τίποτε πρὸς νουθεσία τοῦ λαοῦ, πέστε το». Ἀπὸ ἐδῶ πλέον μαθαίνομε τὰ ὅσα ἔχουν σχέση μὲ τὸν Παῦλο, καθόσον δὲν εἶναι λίγα ἐκεῖνα ποὺ μάθαμε προηγουμένως σχετικὰ μὲ τὸν Πέτρο. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

«Ὅταν ἔφθασαν στὴ Σαλαμίνα, κήρυτταν τὸ λόγο τοῦ Θεοῦ»[9], στὴ μητρόπολη τῆς Κύπρου. Ἔμειναν ἕνα χρόνο στὴν Ἀντιόχεια· ἔπρεπε νὰ πᾶνε καὶ ἐκεῖ καὶ νὰ μὴ μένουν γιὰ πάντα ἐδῶ, χρειάζονταν αὐτοὶ σπουδαιότερους δασκάλους. Πρόσεχε πῶς δὲν παραμένουν καὶ στὴ Σελεύκεια, γνωρίζοντας ὅτι ἀπὸ τὴ γειτονικὴ πόλη θὰ μποροῦσαν νὰ ἀποκομίσουν μεγάλη ὠφέλεια, ἀλλὰ καὶ ἐκεῖ ἐνδιαφέρονται γιὰ τὰ πιὸ κατεπείγοντα· διότι, ἀφοῦ ἔφθασαν στὴ μητρόπολη τῆς νήσου, τὸ ἐνδιαφέρον τους συγκεντρώθηκε στὸ νὰ διορθώσουν τὸν ἀνθύπατο. Τὸ ὅτι δὲ τὰ λόγια «Ἦταν μαζὶ μὲ τὸν ἀνθύπατο, ποὺ ἦταν ἄνθρωπος συνετός»[10], δὲν ἀποτελοῦν κολακεία, μπορεῖς νὰ τὸ διαπιστώσεις ἀπὸ τὰ ἴδια τὰ πράγματα, τὸ πῶς δηλαδὴ δὲν χρειάσθηκε πολλὰ λόγια, πῶς θέλησε νὰ τοὺς ἀκούσει. Ἀναφέρει δὲ καὶ τὰ ὀνόματα τῶν πόλεων, γιὰ νὰ δείξει ὅτι, ἐπειδὴ δέχθηκαν πρόσφατα τὸν θεῖο λόγο, εἶχαν ἀνάγκη ἀπὸ στήριγμα γιὰ νὰ παραμείνουν σταθεροὶ στὴν πίστη, καὶ γι' αὐτὸ συνέχεια ἐπισκέπτονταν αὐτούς· Πρόσεχε ὅτι τίποτε δὲν εἶπε πρὸς τὸν μάγο, μέχρι ποὺ ἔδωσε ἐκεῖνος ἀφορμή, ἀλλὰ μόνο κήρυτταν τὸν λόγο τοῦ Κυρίου. Ἐπειδὴ δηλαδὴ ἔβλεπε τοὺς ἄλλους νὰ τὸν προσέχουν, ὁ μάγος σὲ ἕνα μόνο πράγμα ἀποσκοποῦσε, νὰ μὴ πεισθεῖ δηλαδὴ ὁ ἀνθύπατος. Καὶ γιατί δὲν ἔκανε

διὰ τί μὴ ἕτερον σημεῖον ἐποίησεν; Ὅτι οὐκ ἦν τούτου ἴσον, τοῦ τὸν ἐχθρὸν ἑλεῖν.

2. Καὶ ὅρα, πρότερον ἐγκαλεῖ, καὶ τότε τιμωρεῖται. Δείκνυσι δὲ δικαίως αὐτὸν παθόντα τῷ λέγειν· «Ὦ πλήρης παντὸς δόλου»· τουτέστιν, οὐδὲν ἔχων ἐλλιπές», φησί. Καὶ καλῶς εἶπε, «Παντὸς δόλου»· ὑπεκρίνετο γάρ. «Υἱὲ διαβόλου»· τὸ γὰρ ἔργον ἐκείνου ἔπραττεν. «Ἐχθρὲ πάσης δικαιοσύνης»· ἡ γὰρ πᾶσα δικαιοσύνη ὄντως αὕτη ἦν. Ἐμοὶ δοκεῖ καὶ τὸν βίον ἐλέγχειν τὸν αὐτοῦ, ταῦτα λέγων. Καὶ ἵνα δείξῃ ὅτι οὐκ ἦν θυμοῦ τὰ ῥήματα, διὰ τοῦτο προλαβὼν εἶπε· «Πλησθεὶς Πνεύματος ἁγίου»· τουτέστιν, ἐνεργείας.

«Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ». Οὐκ ἄρα τιμωρία ἦν, ἀλλ' ἴασις· μονονουχὶ γὰρ ἔλεγεν· ‘Οὐκ ἐγὼ ποιῶ, ἀλλ' ἡ τοῦ Θεοῦ χείρ’. Ὅρα τὸ ἄτυφον.

«Ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ». Τοῦτο λέγει, ἵνα δῷ αὐτῷ μετανοῆσαι· οὐδαμοῦ γὰρ ἐβούλοντο ἀπὸ τῶν σκυθρωποτέρων φαίνεσθαι, εἰ καὶ εἰς ἐχθροὺς ταῦτα ἐγένετο· ἀλλ' ἐπὶ μὲν τῶν οἰκείων εἰκότως, ἐπὶ δὲ τῶν ἀλλοτρίων οὐχί, ἵνα μὴ νομισθῇ τὸ πρᾶγμα ἀνάγκης εἶναι λοιπὸν καὶ δέους. Τεκμήριον δὲ τῆς τυφλότητος τὸ χειραγωγοὺς ζητεῖν. Εἶτα ὁρᾷ τὴν πήρωσιν ὁ ἀνθύπατος, καὶ εὐθὺς πιστεύει· καὶ οὐχ ἁπλῶς, ἀλλ' «ἐκπληττόμενος»· εἶδε γὰρ ὅτι οὐ λόγοι οὐδὲ ἀπάτη ταῦτα. Ὅρα πόσον ἔρωτα εἶχε διδασκαλίας, ἐν ἀρχῇ ὢν τοσαύτῃ. Οὐκ εἶπε πρὸς αὐτόν, ‘Οὐ παύσῃ διαστρέ-

------

11. Πράξ. 13, 10
12. Πράξ. 13, 11
13. Πράξ. 13, 11

ἄλλο θαῦμα; Διότι δὲν ἦταν ἴσο μὲ αὐτό, τὸ νὰ νικήσει τὸν ἐχθρό.

2. Καὶ πρόσεχε, πρῶτα τὸν ἐπιπλήττει καὶ μετὰ τὸν τιμωρεῖ· Τὸ ὅτι αὐτὸς ἔπαθε δίκαια τὸ φανερώνουν τὰ λόγια «Σὺ ποὺ εἶσαι γεμάτος ἀπὸ κάθε δολιότητα»[11]· δηλαδὴ χωρίς, λέγει, νὰ ὑπολείπεται σὲ τίποτα ἡ δολιότητά του. Καὶ σωστὰ εἶπε, «Ἀπὸ κάθε δολιότητα»· διότι ὑποκρινόταν. «Υἱὲ τοῦ διαβόλου»· διότι ἔπραττε τὸ ἔργο ἐκείνου. «Ἐχθρὲ κάθε δικαιοσύνης»· διότι αὐτὴ πράγματι ἦταν ἡ ὅλη δικαιοσύνη. Ἐμένα μοῦ φαίνεται ὅτι ἐλέγχει καὶ τὴ ζωὴ αὐτοῦ, λέγοντας αὐτά. Καὶ γιὰ νὰ δείξει ὅτι τὰ λόγια του δὲν ἦταν ἀποτέλεσμα θυμοῦ, γι' αὐτὸ εἶπε προηγουμένως· «Ἀφοῦ πληρώθηκε ἀπὸ ἅγιο Πνεῦμα», δηλαδὴ ἀπὸ ἐνέργεια.

«Καὶ τώρα νά, τὸ χέρι τοῦ Κυρίου θὰ πέσει ἐπάνω σου»[12]. Ἑπομένως δὲν ἦταν τιμωρία, ἀλλὰ θεραπεία· διότι εἶναι σὰν νὰ ἔλεγε· 'Δὲν τὸ κάμνω ἐγώ, ἀλλὰ τὸ χέρι τοῦ Θεοῦ'. Πρόσεχε τὴν ἔλλειψη ὑπερηφάνειας.

«Θὰ εἶσαι τυφλὸς καὶ δὲν θὰ βλέπεις τὸν ἥλιο γιὰ ἕνα ὁρισμένο διάστημα»[13]. Αὐτὸ τὸ λέγει γιὰ νὰ τοῦ δώσει τὴν εὐκαιρία νὰ μετανοήσει· διότι σὲ καμιὰ περίπτωση δὲν ἤθελαν νὰ παρουσιάζονται δημιουργώντας δυσάρεστα γεγονότα, ἂν καὶ αὐτὰ γίνονταν σὲ ἐχθρούς· στὴν περίπτωση μὲν τῶν δικῶν τους αὐτὸ γινόταν πολὺ σωστά, στὴν περίπτωση ὅμως τῶν ξένων ὄχι, γιὰ νὰ μὴ θεωρηθεῖ τὸ πράγμα ὅτι γίνεται ἀπὸ ἀνάγκη καὶ φόβο. Ἀπόδειξη τῆς τυφλότητας εἶναι τὸ ὅτι ζητᾶ χειραγωγούς. Στὴ συνέχεια βλέπει τὴν τύφλωση ὁ ἀνθύπατος καὶ ἀμέσως πιστεύει· καὶ ὄχι ἁπλῶς πιστεύει, ἀλλὰ «κυριευμένος ἀπὸ ἔκπληξη»· διότι διαπίστωσε ὅτι αὐτὰ δὲν εἶναι οὔτε λόγια, οὔτε ἀπάτη. Πρόσεχε πόσον ἔρωτα διδασκαλίας εἶχε, ἂν καὶ κατεῖχε τόσο ψηλὸ ἀξίωμα. Δὲν εἶπε πρὸς αὐτόν, 'Δὲν θὰ παύσεις νὰ διαστρέφεις τὸν ἀνθύ-

φων τὸν ἀνθύπατον', ἀλλὰ «τὰς ὁδοὺς Κυρίου», ὃ πλέον ἦν, ἵνα μὴ δόξῃ κολακεύειν.

Τί δήποτε δὲ ὁ Ἰωάννης ἀναχωρεῖ ἀπ' αὐτῶν; «Ἰωάννης» γάρ, φησίν, «ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα», ἅτε ἐπὶ μακροτέραν λοιπὸν στελλομένων ὁδόν, καίτοι γε ὑπηρέτης ἐκεῖνος ἦν, αὐτοὶ δὲ τὸν κίνδυνον εἶχον. Πάλιν, ἐλθόντες εἰς Πέργην, παρατρέχουσι τὰς ἄλλες πόλεις· ἐπὶ τὴν μητρόπολιν γὰρ ἠπείγοντο, τὴν Ἀντιόχειαν. Καὶ ὅρα πῶς ὑποτέμνεται ὁ συγγραφεύς. «Ἐκάθισαν ἐν τῇ συναγωγῇ», φησί, «καὶ τῇ ἡμέρᾳ τῶν Σαββάτων», ὥστε προοδοποιῆσαι τῷ λόγῳ. Καὶ οὐ πρῶτοι λέγουσιν, ἀλλ' ἐπιτραπέντες, ἅτε ὡς ξένους προσεκαλοῦντο. Εἰ μὴ περιέμειναν δέ, οὐκ ἂν ἐγένετο λόγος. Ἐνταῦθα πρῶτον κηρύττει Παῦλος. Καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν· ἔνθα μὲν ἦν κατεσπαρμένος ὁ λόγος, παρατρέχει, ἔνθα δὲ οὐδεὶς ἦν, ἐνδιατρίβει, καθὼς καὶ αὐτός φησι, γράφων· «Οὕτω δὲ φιλοτιμούμενος εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός». Ἀνδρείας δὲ ἦν καὶ τοῦτο πολλῆς.

Ὄντως ἐκ προοιμίων θαυμαστὸς ὁ ἀνήρ· ἐσταυρωμένος, παρατεταγμένος, ᾔδει πόσης ἀπέλαυσε χάριτος· ἀντίρροπον εἰσήγαγε τὴν σπουδήν. Οὐκ ὠργίσθη πρὸς Ἰωάννην (οὐ γὰρ τούτου ἦν) ἀλλὰ τοῦ ἔργου εἴχετο· οὐκ ἐδειλίασεν, οὐκ ἐφοβήθη, ἐν μέσῳ πλήθους ἀπειλημμένος. Ὅρα πῶς οἰκονομεῖται Παῦλον μὴ κηρύττειν ἐν Ἱεροσολύμοις· ἀρκεῖ καὶ τοῦτο μόνον, τὸ ἀκοῦσαι ὅτι ἐπίστευσε· κηρύττοντος δὲ οὐκ ἂν ἠνέσχετο διὰ τὸ μῖσος· καὶ πόρρω ἄπεισιν, ἔνθα

14. Πράξ. 13, 13
15. Πράξ. 13, 14
16. Ρωμ. 15, 20

πατο΄, ἀλλά, «Τίς ὁδοὺς τοῦ Κυρίου», πράγμα πού ἦταν σπουδαιότερο, γιὰ νὰ μὴ φανεῖ ὅτι τὸν κολακεύει.

Γιατί τέλος πάντων φεύγει ἀπὸ κοντὰ τους ὁ Ἰωάννης (Μᾶρκος); Διότι, λέγει, «Ὁ Ἰωάννης τοὺς ἄφησε καὶ ἐπέστρεψε στὰ Ἱεροσόλυμα»[14], ἐπειδὴ ἀναχωροῦσαν πλέον γιὰ μακρότερη ἀποστολή, ἂν καὶ βέβαια ἐκεῖνος ἦταν ὑπηρέτης, ἐνῶ αὐτοὶ διέτρεχαν τὸν κίνδυνο. Πάλι, ἐρχόμενοι στὴν Πέργη, προσπερνοῦν τὶς ἄλλες πόλεις χωρὶς νὰ σταματήσουν΄ διότι βιάζονταν νὰ φθάσουν στὴ μητρόπολη τὴν Ἀντιόχεια. Καὶ πρόσεχε πῶς ὁ συγγραφέας ἀποφεύγει ν΄ ἀναφερθεῖ σὲ λεπτομέρειες. «Κάθισαν», λέγει, «στὴ συναγωγὴ κατὰ τὴν ἡμέρα τοῦ Σαββάτου»[15], γιὰ νὰ προετοιμάσει τό λόγο. Καὶ δὲν ὁμιλοῦν πρῶτοι, ἀλλ΄ ἀφοῦ πῆραν τὴν ἄδεια, ἐπειδὴ σάν ξένοι δέχονταν τὴν πρόσκληση. Ἂν ὅμως δὲν περίμεναν, δὲν θὰ μποροῦσε νὰ μιλήσει. Ἐδῶ γιὰ πρώτη φορὰ κηρύττει ὁ Παῦλος. Καὶ πρόσεχε τὴ σύνεση αὐτοῦ΄ ὅπου μὲν ἦταν διαδεδομένος ὁ λόγος τοῦ κηρύγματος, προσπερνᾶ τά μέρη αὐτά, ὅπου ὅμως δὲν ὑπῆρχε κανένας πιστός, ἐκεῖ ἔρχεται καὶ διαμένει, καθὼς καὶ ὁ ἴδιος λέγει, γράφοντας΄ «Ἀγωνιζόμενος μὲ τόσο μεγάλο ζῆλο νὰ κηρύξω τὸν Χριστὸ ἐκεῖ πού δὲν κηρύχθηκε»[16]. Καὶ αὐτὸ δὲ ἦταν δεῖγμα μεγάλης ἀνδρείας.

Πράγματι ἀπὸ τὴν ἀρχὴ ὁ ἄνδρας ἦταν θαυμαστός΄ σηκώνοντας τὸ σταυρό του καὶ ἕτοιμος πάντοτε γιὰ ἀγώνα, γνώριζε πόση χάρη ἀπόλαυσε΄ ἀντίβαρο γι΄ αὐτὴν πρόσφερε τὸν μεγάλο ζῆλο καὶ τὴ φροντίδα του. Δὲν ὀργίσθηκε ἐναντίον τοῦ Ἰωάννη (διότι αὐτὸ δὲν ἦταν γνώρισμα αὐτοῦ), ἀλλὰ προχωροῦσε μὲ ζῆλο στὸ ἔργο΄ δὲν δειλίασε, δὲν φοβήθηκε, βρισκόμενος ἀνάμεσα σὲ τόσο πλῆθος. Πρόσεχε πῶς ἐκδηλώνεται ἡ πρόνοια τοῦ Θεοῦ, ὥστε νὰ μὴ κηρύσσει ὁ Παῦλος στὰ Ἱεροσόλυμα΄ ἀρκεῖ καὶ μόνο αὐτό, τὸ ὅτι ἄκουσε ὅτι πίστευσε΄ ἐὰν ὅμως κήρυττε δὲν θὰ τὸν ἀνέχονταν ἐξ αἰτίας τοῦ μίσους΄ καὶ φεύγει μακριά, ἐκεῖ

γνώριμος οὐκ ἦν. Πρότερον ἤλεγξε τὸν μάγον ὅστις ἦν· καὶ ὅτι τοιοῦτος ἦν, τὸ σημεῖον ἐδείκνυ. Τῆς ἐν ψυχῇ τυφλότητος τοῦτο σημεῖον ἦν, «Ἄχρι δὲ καιροῦ» πάσχει, ὥστε μετανοῆσαι. Καλῶς δὲ τῷ Σαββάτῳ εἰσῆλθον εἰς τὴν συναγωγήν, ὅτε πάντες ἦσαν συνειλεγμένοι.

«Καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν», φησίν, «ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι, λέγοντες· Ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε». Ὅρα αὐτοὺς ἀφθόνως τότε τοῦτο ποιοῦντας, μετὰ δὲ τοῦτο οὐκ ἔτι. Εἰ τοῦτο ἐβούλεσθε, μᾶλλον ἔδει παρακαλέσαι. Ἀλλ' ὢ τῆς φιλαρχίας! ὢ τῆς κενοδοξίας! πῶς πάντα ἀνατρέπει καὶ ἀπόλλυσι· κατὰ τῆς οἰκείας, κατὰ τῆς ἀλλήλων σωτηρίας ἑστάναι παρασκευάζει· πηροὺς οὕτω καὶ τυφλοὺς ἐργάζεται, ὥστε χειραγωγοὺς ζητεῖν. Εἴθε κἂν τοῦτο, εἴθε κἂν χειραγωγοὺς ἐζήτουν· ἀλλ' οὐκ ἔτι τούτου ἀνέχονται, ἀλλ' ἑαυτοῖς ἐπιτρέπουσι τὸ πᾶν. Οὐδένα ἀφίησιν ἰδεῖν· καθάπερ ἀχλὺς ἐπιτίθεται καὶ ζόφος, οὐκ ἀφιεὶς διαβλέψαι.

Ποίαν ἕξομεν ἀπολογίαν, διὰ πάθος πάθους κρατοῦντες, διὰ δὲ τὸν τοῦ Θεοῦ φόβον οὐκ ἔτι; Οἷον, πολλοί, ἀσελγεῖς ὄντες καὶ φιλοχρήματοι, διὰ τὴν τῶν χρημάτων φειδωλίαν ἐχαλίνωσαν τὴν ἡδονήν· ἄλλοι τοὐναντίον διὰ τὴν ἡδονὴν ὑπερεῖδον χρημάτων. Πάλιν οἱ ἡττώμενοι δόξης κενῆς ἀμφοτέρων περιγεγόσι, χρήματα ἀναλίσκοντες ἀφειδῶς καὶ σωφρονοῦντες εἰκῇ. Ἄλλοι πάλιν, κενόδοξοι σφόδρα ὄντες, κατεφρόνησαν τοῦ πάθους, πολλὰ ὑπομείναντες

---

17. Πράξ. 13, 15

ποὺ δὲν ἦταν γνωστός. Προηγουμένως ἔλεγξε τὸν μάγο τί λογῆς ἄνθρωπος ἦταν· καὶ τὸ ὅτι ἦταν τέτοιος, τὸ φανέρωνε τὸ θαῦμα. Αὐτὸ ἦταν ἀπόδειξη τῆς ψυχικῆς τυφλότητας αὐτοῦ καὶ ὑποφέρει «Γιὰ ἕνα ὁρισμένο διάστημα», ὥστε νὰ μετανοήσει. Πολὺ σωστὰ δὲ μπῆκε στὴ συναγωγὴ τὸ Σάββατο, ὅταν ὅλοι ἦταν συγκεντρωμένοι.

«Καὶ μετὰ τὴν ἀνάγνωση τοῦ νόμου καὶ τῶν προφητῶν ἔστειλαν», λέγει, «οἱ ἀρχισυνάγωγοι ἀνθρώπους πρὸς αὐτοὺς καὶ τοὺς εἶπαν· Ἄνδρες ἀδελφοί, ἂν ἔχετε νὰ πεῖτε τίποτε πρὸς νουθεσία τοῦ λαοῦ πέστε το»[17]. Πρόσεχε αὐτοὺς ποὺ τὸ κάνουν αὐτὸ τότε χωρὶς φθόνο, ὄχι ὅμως καὶ στὴ συνέχεια. Ἐὰν τὸ ἐπιθυμούσατε αὐτό, ἔπρεπε περισσότερο νὰ τοὺς παρακαλέσετε. Ἀλλ' ὅμως πόσο μεγάλη εἶναι ἡ φιλαρχία! πόσο μεγάλη ἡ ματαιοδοξία! πῶς ὅλα τὰ ἀνατρέπει καὶ τὰ καταστρέφει· τοὺς προετοιμάζει νὰ σταθοῦν ἐναντίον τῆς δικῆς τους σωτηρίας καὶ τῶν ἄλλων· Τόσο πολὺ τοὺς βλάπτει καὶ τόσο πολὺ τυφλοὺς τοὺς κάνει, ὥστε καὶ χειραγωγοὺς νὰ ζητοῦν. Καὶ μακάρι μόνο αὐτό, μακάρι μόνο χειραγωγοὺς νὰ ζητοῦσαν· ὅμως δὲν τὸν ἀνέχονται πλέον αὐτόν, ἀλλ' ἀφήνουν τὸ πᾶν στὸν ἑαυτό τους. Κανένα ἡ τυφλότητα δὲν ἀφήνει νὰ δεῖ· σὰν ἀκριβῶς ὁμίχλη καὶ σκοτάδι κάθετα ἐπάνω στὰ μάτια τῆς ψυχῆς, καὶ δὲν ἀφήνει τοὺς ἀνθρώπους νὰ δοῦν.

Ποιὰ ἀπολογία θὰ ἔχομε, τὸ ὅτι γιὰ χάρη κάποιου πάθους ὑπερνικοῦμε ἄλλο πάθος, δὲν τὸ κάνομε ὅμως αὐτὸ καὶ ἐξ αἰτίας τοῦ φόβου τοῦ Θεοῦ; Γιὰ παράδειγμα, πολλοί, ἐνῶ ἦταν ἀκόλαστοι καὶ φιλοχρήματοι, ἐξ αἰτίας τῆς τσιγγουνιᾶς τους γιὰ τὰ χρήματα χαλιναγώγησαν τὴν ἡδονή· ἄλλοι πάλι γιὰ χάρη τῆς ἡδονῆς περιφρόνησαν τὰ χρήματα. Ἐπίσης ἐκεῖνοι ποὺ νικοῦνται ἀπὸ τὴ ματαιοδοξία κατανίκησαν καὶ τὰ δύο, καὶ ξοδεύοντας μὲ ἀφθονία χρήματα, καὶ δείχνοντας σωφροσύνη ἀνώφελη. Ἄλλοι πάλι, ἐνῶ εἶναι ὑπερβολικὰ ματαιόδοξοι, περιφρόνησαν

γνώριμος οὐκ ἦν. Πρότερον ἤλεγξε τὸν μάγον ὅστις ἦν· καὶ ὅτι τοιοῦτος ἦν, τὸ σημεῖον ἐδείκνυ. Τῆς ἐν ψυχῇ τυφλότητος τοῦτο σημεῖον ἦν, «Ἄχρι δὲ καιροῦ» πάσχει, ὥστε μετανοῆσαι. Καλῶς δὲ τῷ Σαββάτῳ εἰσῆλθον εἰς τὴν συναγωγήν, ὅτε πάντες ἦσαν συνειλεγμένοι.

«Καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν», φησίν, «ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι, λέγοντες· Ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε». Ὅρα αὐτοὺς ἀφθόνως τότε τοῦτο ποιοῦντας, μετὰ δὲ τοῦτο οὐκ ἔτι. Εἰ τοῦτο ἐβούλεσθε, μᾶλλον ἔδει παρακαλέσαι. Ἀλλ' ὢ τῆς φιλαρχίας! ὢ τῆς κενοδοξίας! πῶς πάντα ἀνατρέπει καὶ ἀπόλλυσι· κατὰ τῆς οἰκείας, κατὰ τῆς ἀλλήλων σωτηρίας ἑστάναι παρασκευάζει· πηροὺς οὕτω καὶ τυφλοὺς ἐργάζεται, ὥστε χειραγωγοὺς ζητεῖν. Εἴθε κἂν τοῦτο, εἴθε κἂν χειραγωγοὺς ἐζήτουν· ἀλλ' οὐκ ἔτι τούτου ἀνέχονται, ἀλλ' ἑαυτοῖς ἐπιτρέπουσι τὸ πᾶν. Οὐδένα ἀφίησιν ἰδεῖν· καθάπερ ἀχλὺς ἐπιτίθεται καὶ ζόφος, οὐκ ἀφιεὶς διαβλέψαι.

Ποίαν ἕξομεν ἀπολογίαν, διὰ πάθος πάθους κρατοῦντες, διὰ δὲ τὸν τοῦ Θεοῦ φόβον οὐκ ἔτι; Οἷον, πολλοί, ἀσελγεῖς ὄντες καὶ φιλοχρήματοι, διὰ τὴν τῶν χρημάτων φειδωλίαν ἐχαλίνωσαν τὴν ἡδονήν· ἄλλοι τοὐναντίον διὰ τὴν ἡδονὴν ὑπερεῖδον χρημάτων. Πάλιν οἱ ἡττώμενοι δόξης κενῆς ἀμφοτέρων περιγεγόσι, χρήματα ἀναλίσκοντες ἀφειδῶς καὶ σωφρονοῦντες εἰκῇ. Ἄλλοι πάλιν, κενόδοξοι σφόδρα ὄντες, κατεφρόνησαν τοῦ πάθους, πολλὰ ὑπομείναντες

---

17. Πράξ. 13, 15

πού δέν ἦταν γνωστός. Προηγουμένως ἔλεγξε τόν μάγο τί λογῆς ἄνθρωπος ἦταν˙ καί τό ὅτι ἦταν τέτοιος, τό φανέρωνε τό θαῦμα. Αὐτό ἦταν ἀπόδειξη τῆς ψυχικῆς τυφλότητας αὐτοῦ καί ὑποφέρει «Γιά ἕνα ὁρισμένο διάστημα», ὥστε νά μετανοήσει. Πολύ σωστά δέ μπῆκε στή συναγωγή τό Σάββατο, ὅταν ὅλοι ἦταν συγκεντρωμένοι.

«Καί μετά τήν ἀνάγνωση τοῦ νόμου καί τῶν προφητῶν ἔστειλαν», λέγει, «οἱ ἀρχισυνάγωγοι ἀνθρώπους πρός αὐτούς καί τούς εἶπαν˙ Ἄνδρες ἀδελφοί, ἄν ἔχετε νά πεῖτε τίποτε πρός νουθεσία τοῦ λαοῦ πέστε το»[17]. Πρόσεχε αὐτούς πού τό κάνουν αὐτό τότε χωρίς φθόνο, ὄχι ὅμως καί στή συνέχεια. Ἐάν τό ἐπιθυμούσατε αὐτό, ἔπρεπε περισσότερο νά τούς παρακαλέσετε. Ἀλλ' ὅμως πόσο μεγάλη εἶναι ἡ φιλαρχία! πόσο μεγάλη ἡ ματαιοδοξία! πῶς ὅλα τά ἀνατρέπει καί τά καταστρέφει˙ τούς προετοιμάζει νά σταθοῦν ἐναντίον τῆς δικῆς τους σωτηρίας καί τῶν ἄλλων· Τόσο πολύ τούς βλάπτει καί τόσο πολύ τυφλούς τούς κάνει, ὥστε καί χειραγωγούς νά ζητοῦν. Καί μακάρι μόνο αὐτό, μακάρι μόνο χειραγωγούς νά ζητοῦσαν˙ ὅμως δέν τόν ἀνέχονται πλέον αὐτόν, ἀλλ' ἀφήνουν τό πᾶν στόν ἑαυτό τους. Κανένα ἡ τυφλότητα δέν ἀφήνει νά δεῖ˙ σάν ἀκριβῶς ὁμίχλη καί σκοτάδι κάθεται ἐπάνω στά μάτια τῆς ψυχῆς, καί δέν ἀφήνει τούς ἀνθρώπους νά δοῦν.

Ποιά ἀπολογία θά ἔχομε, τό ὅτι γιά χάρη κάποιου πάθους ὑπερνικοῦμε ἄλλο πάθος, δέν τό κάνομε ὅμως αὐτό καί ἐξ αἰτίας τοῦ φόβου τοῦ Θεοῦ; Γιά παράδειγμα, πολλοί, ἐνῶ ἦταν ἀκόλαστοι καί φιλοχρήματοι, ἐξ αἰτίας τῆς τσιγγουνιᾶς τους γιά τά χρήματα χαλιναγώγησαν τήν ἡδονή˙ ἄλλοι πάλι γιά χάρη τῆς ἡδονῆς περιφρόνησαν τά χρήματα. Ἐπίσης ἐκεῖνοι πού νικοῦνται ἀπό τή ματαιοδοξία κατανίκησαν καί τά δύο, καί ξοδεύοντας μέ ἀφθονία χρήματα, καί δείχνοντας σωφροσύνη ἀνώφελη. Ἄλλοι πάλι, ἐνῶ εἶναι ὑπερβολικά ματαιόδοξοι, περιφρόνησαν

αἰσχρὰ καὶ δι' ἔρωτας καὶ διὰ χρήματα· ἕτεροι πάλιν, ἵνα τὸν θυμὸν ἐμπλήσωσι τὸν αὑτῶν, εἵλοντο ζημιωθῆναι μυρία, καὶ οὐδενὸς αὐτοῖς τούτων ἐμέλησεν, ἵνα μόνον τὸ θέλημα ποιήσωσι τὸ αὑτῶν. Καὶ ὅπερ ἰσχύει πάθος, οὐκ ἴσχυσε παρ' ἡμῖν ὁ τοῦ Θεοῦ φόϐος. Καὶ τί λέγω πάθος; Ὅπερ αἰδὼς ἀνθρώπων ἰσχύει, οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόϐος. Πολλὰ καὶ κατορθοῦμεν καὶ ἁμαρτάνομεν, ἀνθρώπους αἰδούμενοι, τὸν δὲ Θεὸν οὐ δεδοίκαμεν. Πόσοι δι' αἰσχύνην προήκαντο χρήματα; πόσοι ἐφιλοτιμήσαντο εἰκῇ ὑπηρετούμενοι τοῖς αὐτῶν φίλοις ἐπὶ κακῷ; πόσοι, φιλίας αἰδεσθέντες, μυρία ἥμαρτον;

3. Εἰ τοίνυν καὶ πάθος καὶ αἰδὼς ἀνθρωπίνη δύναται ἐμϐαλεῖν ἡμᾶς καὶ εἰς ἁμαρτήματα καὶ εἰς κατορθώματα, εἰκῇ λέγομεν ὅτι οὐ δυνάμεθα· δυνάμεθα γάρ, ἂν θέλωμεν· θελῆσαι δὲ παντὸς χρή. Εἰπὲ δή μοι, διὰ τί οὐ δύνασαι δόξης κρατεῖν, ὅταν ἕτεροι ὦσι κρατοῦντες, τὴν αὐτὴν ἔχοντες ψυχήν, τὸ αὐτὸ σῶμα, τὴν αὐτὴν μορφήν, τὴν αὐτὴν ζῶντες ζωήν; Ἐννόησον τὸν Θεόν, ἐννόησον τὴν ἄνωθεν δόξαν, ἀντίστησον αὐτῇ τὰ παρόντα, καὶ ταχέως ταύτης ἀποπηδήσεις. Ὅλως, εἰ δόξης ἐπιθυμεῖς, τῆς ὄντως δόξης ἐπιθύμει. Ποία δόξα, ὅταν ἀτιμίας ποιῇ; ποία δόξα, ὅταν τῆς ἐλαττόνων ἀναγκάζῃ τιμῆς ἐφίεσθαι, κἀκείνης χρείαν ἔχῃ; Τιμή ἐστι τὸ τῆς παρὰ τῶν μειζόνων ἀπολαύειν δόξης. Ὅλως, εἰ δόξης ἐρᾷς, μᾶλλον ἐράσθητι τῆς παρὰ τοῦ Θεοῦ. Ἄν, ἐρασθεὶς ἐκείνης, ταύτης καταφρονήσῃς, ὄψει ταύτην ἄτιμον· ἕως ἂν ἐκείνην μὴ ἴδῃς, οὐδὲ ταύτην ἰδεῖν δυ-

τὸ πάθος, καὶ ὑπέμειναν πολλὰ αἰσχρὰ καὶ ἐξ αἰτίας τῶν ἐρώτων, καὶ ἐξ αἰτίας τῶν χρημάτων· ἄλλοι πάλι, γιὰ νὰ χορτάσουν τὸ θυμό τους, προτίμησαν νὰ ὑποστοῦν ἀμέτρητες ζημιές, καὶ δὲν ἐνδιαφέρθηκαν γιὰ τίποτε ἄλλο, παρὰ μόνο τὸ νὰ κάνουν αὐτὸ ποὺ ἤθελαν. Καὶ ἐκεῖνο ποὺ κατορθώνει τὸ πάθος, δὲν τὸ κατόρθωσε σὲ μᾶς ὁ φόβος τοῦ Θεοῦ· Καὶ γιατί λέγω τὸ πάθος; Ἐκεῖνο ποὺ κατορθώνει ἡ ντροπὴ τῶν ἀνθρώπων, δὲν τὸ κατορθώνει ὁ φόβος τοῦ Θεοῦ. Πολλὰ καὶ κατορθώνομε καὶ σφάλματα πράττομε, ἐπειδὴ ντρεπόμαστε τοὺς ἀνθρώπους, τὸν Θεὸ ὅμως δὲν τὸν φοβόμαστε. Πόσοι ἐξ αἰτίας τῆς ντροπῆς στάθηκαν πάνω ἀπὸ τὰ χρήματα; Πόσοι ἐπιδίωξαν ἀλόγιστα τὴ φιλοδοξία παρέχοντας ἐκδούλευση στοὺς φίλους τους πρὸς βλάβη τους; πόσοι, σεβόμενοι τὴ φιλία, διέπραξαν ἀμέτρητα σφάλματα;

3. Ἐὰν λοιπὸν καὶ πάθος καὶ ντροπὴ ἀνθρώπινη μπορεῖ νὰ μᾶς ὁδηγήσει καὶ σὲ παραπτώματα καὶ σὲ κατορθώματα, ἄδικα λέμε ὅτι δὲν μποροῦμε· διότι μποροῦμε, ἂν θέλομε, καὶ πρέπει ὅλοι νὰ θελήσομε· Πές μου λοιπόν, γιατί δὲν μπορεῖς νὰ νικήσεις τὴ δόξα, τὴ στιγμὴ ποὺ ὑπάρχουν ἄλλοι ποὺ τὴ νικοῦν, ἔχοντας τὴν ἴδια ψυχή, τὸ ἴδιο σῶμα, τὴν ἴδια μορφή, καὶ ζοῦν τὴν ἴδια ζωή; Σκέψου τὸν Θεό, σκέψου τὴν οὐράνια δόξα, ἀντιπαράθεσε σ' αὐτὴν τὰ παρόντα πράγματα καὶ ἀμέσως θ' ἀπομακρυνθεῖς ἀπ' αὐτήν. Μὲ ἕνα λόγο, ἂν ἐπιθυμεῖς δόξα, νὰ ἐπιθυμεῖς τὴν ἀληθινὴ δόξα. Ποιὰ δόξα εἶναι, ὅταν διαπράττει ἀτιμίες; ποιὰ δόξα εἶναι, ὅταν ἀναγκάζει κάποιον νὰ ποθεῖ τὴν τιμὴ ἀπὸ τοὺς κατώτερους καὶ ἔχει ἀνάγκη ἀπὸ ἐκείνην; Τιμὴ εἶναι τὸ ν' ἀπολαμβάνει κανένας τὴ δόξα ἐκ μέρους τῶν ἀνωτέρων. Μὲ ἕνα λόγο, ἂν ἀγαπᾶς τὴ δόξα, πολὺ περισσότερο ἀγάπησε τὴ δόξα ποὺ πηγάζει ἀπὸ τὸ Θεό. Ἂν, ἀγαπώντας ἐκείνη, περιφρονήσεις αὐτήν, θὰ δεῖς αὐτὴν ἄτιμη· μέχρις ὅτου δὲν θὰ δεῖς ἐκείνην, δὲν θὰ μπορέσεις νὰ δεῖς αὐτὴν πόσο αἰσχρὴ

νήση πῶς ἐστιν αἰσχρά, πῶς καταγέλαστος. Καθάπερ γάρ, οἱ πονηρᾷ τινι γυναικὶ προκατειλημμένοι εἰδεχθεῖ καὶ αἰσχρᾷ, ἕως ἂν φιλῶσιν αὐτήν, οὐ δύνανται τὴν δυσείδειαν ἰδεῖν, τοῦ πάθους ἐπισκοποῦντος τῇ κρίσει, οὕτω δὴ καὶ ἐνταῦθα, ἕως ἂν κατεχώμεθα τῷ πάθει, οὐ δυνάμεθα συνιδεῖν οἷόν ἐστι κακόν.

Πῶς οὖν ἀπαλλαγείημεν ἄν, φησίν, αὐτοῦ; Ἐννόει τοὺς χρήματα ἀναλώσαντας μυρία, καὶ οὐδὲν ἀπ' αὐτῶν καρπωσαμένους· ἐννόει τοὺς ἀποθανόντας ὅσης ἀπήλαυσαν δόξης, καὶ οὐδαμοῦ αὕτη βεβαία, ἀλλ' ἀπόλωλε καὶ διέφθαρται· ἐννόησον ὅτι ὄνομα μόνον ἐστί, πρᾶγμα δὲ οὐκ ἔχει· ἐπεὶ τί ἐστι δόξα; εἰπέ μοι· δὸς ὅρον τινά. Τὸ θαυμάζεσθαι παρὰ πάντων, φησί. Δικαίως, ἢ καὶ ἀδίκως; Εἰ μὲν γὰρ ἀδίκως, οὐκ ἂν εἴη τοῦτο θαῦμα, ἀλλὰ κατηγορία, καὶ κολακεία, καὶ διαβολή· εἰ δικαίως, τοῦτο οὐ δυνατόν· οὐ γὰρ ἔχει κρίσεις ὀρθὰς ὁ δῆμος, ἀλλὰ τοὺς ταῖς ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντας τούτους θαυμάζουσι. Καὶ εἰ βούλεσθε, καταμάθετε τοὺς ταῖς πόρναις τὰ αὐτῶν δωρουμένους, τοὺς τοῖς ἡνιόχοις, τοὺς τοῖς ὀρχησταῖς.

Ἀλλ' οὐ τούτους, φησί, φαμέν, ἀλλὰ τοὺς δικαίους, καὶ τοὺς ὀρθούς, καὶ μεγάλα δυναμένους ποιεῖν καλά. Εἴθε ἠβούλοντο, καὶ ταχέως ἐποίουν ἂν τὰ ἀγαθά· νῦν δὲ οὐδὲν τούτων ποιοῦσι. Τίς, εἰπέ μοι, τὸν δίκαιον ἐπαινεῖ νῦν καὶ τὸν ὀρθόν; Τοὐναντίον μὲν οὖν. Τί δὲ ψυχρότερον δικαίου εἰ, πρᾶγμα τοιοῦτον κατορθῶν, τῆς παρὰ τῶν πολλῶν δόξης ἐφίεται; Τοιοῦτον γὰρ ποιεῖ, οἷον ἄν, εἴ τις ζωγράφος, ἄριστος ὤν, καὶ εἰκόνα γράφων βασιλικήν, τῶν οὐκ ἐμ-

εἶναι, πόσο ἄξια γιὰ γέλια. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἔχουν πέσει στὰ δίχτυα κάποιας πονηρῆς, ἄσχημης καὶ αἰσχρῆς γυναίκας, ὅσον καιρὸ συμβαίνει ν' ἀγαποῦν αὐτήν, δὲν μποροῦν νὰ δοῦν τὴν ἀσχήμια αὐτῆς, διότι τὸ πάθος ἐπισκοτίζει τὴν κρίση, ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅσον καιρὸ εἴμαστε κυριευμένοι ἀπὸ τὸ πάθος, δὲν μποροῦμε ν' ἀντιληφθοῦμε τί εἴδους κακὸ εἶναι.

Πῶς λοιπὸν θὰ μπορούσαμε, λέγει, ν' ἀπαλλαγοῦμε ἀπ' αὐτό; Σκέψου ἐκείνους ποὺ δαπάνησαν ἀμέτρητα χρήματα, καὶ δὲν καρπώθηκαν καμιὰ ὠφέλεια ἀπ' αὐτά· σκέψου ἐκείνους ποὺ πέθαναν, πόση δόξα ἀπόλαυσαν, καὶ πουθενὰ αὐτὴ δὲν ὑπάρχει μόνιμη, ἀλλὰ χάθηκε καὶ φθάρθηκε· σκέψου ὅτι μόνο ὄνομα εἶναι, καὶ δὲν ἔχει καμιὰ πραγματικὴ ἀξία. Διότι πές μου, τί εἶναι δόξα; δῶσε κάποιον ὁρισμό. Τὸ νὰ θαυμάζεται, λέγει, κάποιος ἀπὸ ὅλους. Δίκαια ἢ καὶ ἄδικα; Διότι, ἐὰν μὲν ἄδικα, δὲν θὰ μποροῦσε αὐτὸ νὰ εἶναι θαυμασμός, ἀλλὰ κατηγορία, κολακεία καὶ συκοφαντία, ἂν δὲ δίκαια, αὐτὸ δὲν εἶναι δυνατό· διότι ὁ λαὸς δὲν ἔχει κρίσεις ὀρθές, ἀλλὰ θαυμάζουν ἐκείνους ποὺ ὑπηρετοῦν τὶς ἐπιθυμίες τους. Καὶ ἐὰν θέλετε προσέξατε ἐκείνους ποὺ δωρίζουν τὰ πράγματά τους στὶς πόρνες, ἐκείνους ποὺ τὰ δωρίζουν στοὺς ἱπποδρομεῖς καὶ στοὺς χορευτές.

Ὅμως, λέγει, δὲν ἐννοοῦμε αὐτούς, ἀλλὰ τοὺς δίκαιους, τοὺς σωστοὺς καὶ ἐκείνους ποὺ μποροῦν νὰ κάμνουν μεγάλα καλά. Μακάρι νὰ ἤθελαν, καὶ ἀμέσως θὰ μποροῦσαν νὰ κάνουν τὰ καλά, ἐνῶ τώρα τίποτε ἀπὸ αὐτὰ δὲν κάμνουν. Πές μου, ποιὸς σήμερα ἐπαινεῖ τὸν δίκαιο καὶ τὸν σωστὸ ἄνθρωπο; Καὶ βέβαια τὸ ἀντίθετο συμβαίνει. Τί δὲ ὑπάρχει ἐλεεινότερο ἀπὸ τὸν δίκαιο, ἐάν, κατορθώνοντας κάποιο παρόμοιο πράγμα, ἐπιθυμεῖ τὴ δόξα ἐκ μέρους τῶν πολλῶν; Πράγματι, κάτι παρόμοιο πράττει, ὅπως ἐὰν κάποιος ζωγράφος, ποὺ εἶναι ἄριστος καὶ ζωγραφίζει τὴν εἰκόνα τοῦ βασιλιᾶ, συνέβαινε νὰ

πείρων ἀποδέχοιτο τοὺς ἐπαίνους. Ἄλλως δὲ ταχέως ἀποστήσεται ἄνθρωπος, ὁ πρὸς δόξαν ὁρῶν ἀνθρωπίνην τῶν κατ' ἀρετὴν πραγμάτων· εἰ γὰρ μέλλοι πρὸς ἐπαίνους κεχηνέναι, ἅπερ ἂν ἐκεῖνοι θέλωσι, ταῦτα ἐργάζεται, οὐχ ἅπερ ἂν αὐτός.

Τί οὖν ἂν ὑμῖν συμβουλεύσαιμι λοιπὸν ποιεῖν; Τῷ Θεῷ προσέχειν, τοῖς ἐπαίνοις ἀρκεῖσθαι τοῖς παρ' αὐτοῦ, πάντα τὰ ἐκείνῳ δοκοῦντα ἐργάζεσθαι, καὶ τὰ ἀγαθὰ πράττειν, πρὸς μηδὲν τῶν ἀνθρωπίνων κεχηνέναι· τοῦτο γὰρ καὶ νηστείαν καὶ εὐχὴν καὶ ἐλεημοσύνην λυμαίνεται, καὶ πάντα τὰ ἡμέτερα ἀγαθὰ κενοῖ. Ὅπερ ἵνα μὴ πάθωμεν, φύγωμεν τουτὶ τὸ πάθος· πρὸς ἓν μόνον ὁρῶμεν, τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον, τὴν ἐκεῖθεν ἀποδοχήν, τὴν παρὰ τοῦ κοινοῦ Δεσπότου εὐφημίαν, ἵνα, μετὰ ἀρετῆς τὸν παρόντα βίον διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν σὺν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δέχεται τοὺς ἐπαίνους ἐκείνων ποὺ δὲν εἶναι ἔμπειροι. Ἐξ ἄλλου δέ ὁ ἄνθρωπος, ποὺ ἀποβλέπει πρὸς τὴν ἀνθρώπινη δόξα, γρήγορα θ' ἀπομακρυνθεῖ ἀπὸ τὰ πράγματα τῆς ἀρετῆς· διότι, ἐφόσον συμβαίνει νὰ ἀρέσκεται μὲ τοὺς ἐπαίνους, ἐκεῖνα ποὺ θὰ θέλουν ἐκεῖνοι, αὐτὰ θὰ κάμνει, καὶ ὄχι ἐκεῖνα ποὺ θὰ θέλει αὐτός.

Τί λοιπὸν θὰ μπορούσαμε νὰ σᾶς συμβουλεύσομε νὰ κάμνετε στὸ ἑξῆς; Νὰ προσέχετε στὸ Θεό, νὰ ἀρκεῖσθε στοὺς ἐπαίνους ἐκ μέρους ἐκείνου, νὰ πράττετε ὅλα ἐκεῖνα ποὺ ἀρέσουν σ' ἐκεῖνον, νὰ πράττετε τὰ καλὰ καὶ νὰ μὴ μένετε μὲ ἀνοιχτὸ τὸ στόμα μπροστὰ σὲ κανένα ἀπὸ τὰ ἀνθρώπινα πράγματα· διότι αὐτὸ καὶ τὴν νηστεία, καὶ τὴν προσευχή, καὶ τὴν ἐλεημοσύνη καταστρέφει καὶ ὅλα τὰ ἀγαθά μας τὰ ἐκμηδενίζει. Αὐτὸ ἀκριβῶς γιὰ νὰ μὴ πάθομε, ἃς ἀποφεύγσμε αὐτὸ τὸ πάθος καὶ πρὸς ἕνα μόνο ν' ἀποβλέπομε, πρὸς τὸν ἔπαινο ἐκ μέρους τοῦ Θεοῦ, πρὸς τὴν ἀποδοχὴ ἐκ μέρους ἐκείνου, πρὸς τὴν εὐφημία ἐκ μέρους τοῦ κοινοῦ Δεσπότη, ὥστε, ἀφοῦ διανύσομε μέ ἔργα ἀρετῆς τὴν παρούσα ζωή, νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ μαζὶ μὲ ἐκείνους ποὺ ἀγαποῦν αὐτόν, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν·

ΟΜΙΛΙΑ ΚΘ΄
(Πράξ. 13, 16 - 41)

«Ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρί, εἶπεν· Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν, ἀκούσατε. Ὁ Θεὸς τοῦ λαοῦ τούτου Ἰσραὴλ ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ αὐτοῦ ἐν γῇ Αἰγύπτῳ, καὶ μετά βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς».

1. Ὅρα τὸν Βαρνάβαν παραχωροῦντα τῷ Παύλῳ, ὥσπερ καὶ Πέτρῳ Ἰωάννης πανταχοῦ. Αὐτὸς ἤγαγεν αὐτὸν ἀπὸ Δαμασκοῦ· καίτοι αὐτοῦ αἰδεσιμώτερος ἦν· ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἑώρων.

«Καὶ ἀναστάς», φησί, «καὶ κατασείσας τῇ χειρί». Ἔθος τοῦτο Ἰουδαίοις ἦν· διὸ καὶ αὐτὸς καὶ τοῦτο αὐτοῖς διαλέγεται. Ὅρα πῶς προοδοποιεῖ τῷ λόγῳ· πρότερον ἐγκωμιάσας αὐτούς, καὶ δείξας πολλὴν περὶ αὐτοὺς τὴν κηδεμονίαν διὰ τοῦ εἰπεῖν, «Οἱ φοβούμενοι τὸν Θεόν», οὕτως ἄρχεται τοῦ λόγου. Καὶ οὐκ εἶπεν, 'Οἱ προσήλυτοι', ὅπερ ἦν συμφορᾶς ὄνομα.

«Ὁ Θεὸς τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν καὶ τὸν λαόν». Ὅρα πῶς καὶ αὐτὸς τὸν κοινὸν τῶν ἀνθρώπων Θεὸν αὐτῶν ἰδίως καλεῖ, καὶ

1. Πράξ. 13, 16

Ο Μ Ι Λ Ι Α ΚΘ΄
(Πράξ. 13, 16 - 41)

«Ἀφοῦ δὲ σηκώθηκε ὁ Παῦλος καὶ ἔκανε νεῦμα μὲ τὸ χέρι του, εἶπε· Ἄνδρες Ἰσραηλῖτες, καὶ ὅσοι ἀπὸ σᾶς φοβᾶσθε τὸν Θεό, ἀκοῦστε. Ὁ Θεὸς τοῦ λαοῦ αὐτοῦ τοῦ Ἰσραὴλ διάλεξε τοὺς πατέρες μας καὶ ἀνύψωσε τὸ λαό, ὅταν ζοῦσαν σὰν ξένοι στὴ γῆ τῆς Αἰγύπτου, καὶ τοὺς ἔβγαλε ἀπὸ ἐκεῖ μὲ δύναμη μεγάλη»[1].

1. Πρόσεχε τὸν Βαρνάβα ποὺ παραχωρεῖ τὸ λόγο στὸν Παῦλο, ὅπως ἀκριβῶς καὶ ὁ Ἰωάννης τὸ κάνει αὐτὸ παντοῦ παραχωρώντας τὸ λόγο στὸν Πέτρο. Αὐτὸς ὁδήγησε αὐτὸν ἀπὸ τὴ Δαμασκό, ἂν καὶ βέβαια ἦταν περισσότερο σεβαστὸς ἀπὸ αὐτόν· ἀλλ' ὅμως ἀπέβλεπαν πρὸς τὸ κοινὸ συμφέρον.

«Ἀφοῦ σηκώθηκε», λέγει, «καὶ ἔκανε νεῦμα μὲ τὸ χέρι του». Αὐτὸ ἀποτελοῦσε συνήθεια στοὺς Ἰουδαίους· γι' αὐτὸ καὶ αὐτὸς ὁμιλεῖ πρὸς αὐτοὺς κατὰ τὸν ἴδιο τρόπο. Πρόσεχε πῶς προετοιμάζει τὸ λόγο· ἀφοῦ πρῶτα τοὺς ἐγκωμίασε καὶ ἔδειξε μεγάλη τὴ φροντίδα πρὸς αὐτοὺς μὲ τὸ νὰ πεῖ, «καὶ αὐτοὶ ποὺ φοβοῦνται τὸν Θεό», ἔτσι ἀρχίζει τὸ λόγο. Καὶ δὲν εἶπε, 'Οἱ προσήλυτοι', ποὺ ἦταν ὄνομα συμφορᾶς.

«Ὁ Θεὸς τοῦ λαοῦ αὐτοῦ διάλεξε τοὺς πατέρες μας καὶ τὸ λαὸ αὐτό». Πρόσεχε πῶς καὶ αὐτὸς τὸν κοινὸ Θεὸ τῶν ἀνθρώπων τὸν ὀνομάζει ἰδιαίτερα Θεὸ αὐτῶν, καὶ

δείκνυσιν ἄνωθεν τὰς εὐεργεσίας αὐτοῦ μεγάλας οὔσας, καθάπερ καὶ Στέφανος. Ταῦτα δὲ ποιοῦσιν, ἵνα παιδεύσωσιν αὐτοὺς ὅτι καὶ νῦν κατὰ τὸ αὐτὸ ἔθος τὸν Υἱὸν αὐτοῦ ἀπέστειλε. Καθάπερ καὶ ὁ Χριστὸς εἶπεν ἐν τῷ ἀμπελῶνι, οὕτω καὶ αὐτός φησιν.

«Ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς». Καὶ μὴν τοὐναντίον γέγονεν· ἀλλ' εἰς πλῆθος ἐπέδοσαν, ἀλλὰ τὰ θαύματα δι' αὐτοὺς γέγονε. Τούτων καὶ οἱ προφῆται μνημονεύουσιν ἀεὶ τῶν κατ' Αἴγυπτον. Καὶ ὅρα πῶς τοὺς καιροὺς τῶν συμφορῶν παρατρέχει, καὶ οὐδαμοῦ τὰ ἐγκλήματα παράγει εἰς μέσον, ἀλλὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἐκεῖνα αὐτοῖς ἀφεὶς λογίζεσθαι.

«Καὶ ὡς τεσσαράκοντα ἔτη χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ». Εἶτα τὴν κατοικίαν λέγει·

«Καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναάν, κατεκληροδότησεν αὐτοῖς τὴν γῆν αὐτῶν». Καὶ ὁ χρόνος πολύς· τετρακόσια γὰρ πεντήκοντα ἔτη.

«Καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν αὐτοῖς κριτὰς ἕως Σαμουὴλ τοῦ Προφήτου». Ἐνταῦθα ὅτι διαφόρως ᾠκονόμει τὰ κατ' αὐτοὺς ἐδήλωσε. «Κἀκεῖθεν ᾐτήσαντο βασιλέα» (καὶ οὐ λέγει τὴν ἀγνωμοσύνην αὐτῶν, ἀλλὰ πανταχοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν), «καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαούλ, υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμίν, ἔτη τεσσαράκοντα· καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς τὸν Δαυὶδ εἰς βασιλέα· ᾧ καὶ εἶπε μαρτυρήσας· Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσῃ πάντα τὰ θε-

------

2. Πράξ. 7, 2 ἑ.
3. Πρβλ. Ματθ. 21, 33 - 42. Μάρκ. 12, 1 - 2. Λουκᾶ 20, 9 - 19
4. Πράξ. 13, 18
5. Πράξ. 13, 19
6. Πράξ. 13, 20

δείχνει ὅτι οἱ εὐεργεσίες αὐτοῦ πρὸς αὐτοὺς ἀπὸ τὴν ἀρχὴ ἦταν μεγάλες, ὅπως ἀκριβῶς τὸ ἴδιο ἔκανε καὶ ὁ Στέφανος[2]. Αὐτὰ δὲ τὰ κάνουν, γιὰ νὰ διδάξουν αὐτοὺς ὅτι καὶ τώρα, ἀκολουθώντας τὴν ἴδια συνήθεια, ἔστειλε τὸν Υἱό του. Ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς εἶπε λέγοντας τὴν παραβολὴ τοῦ ἀμπελώνα[3], τὸ ἴδιο καὶ αὐτὸς λέγει.

«Ἀνύψωσε αὐτοὺς ὅταν ζοῦσαν σὰν ξένοι στὴν Αἴγυπτο καὶ τοὺς ἔβγαλε ἀπ' αὐτὴν μὲ δύναμη μεγάλη». Καὶ βέβαια τὸ ἀντίθετο συνέβηκε, ἀλλ' ὅμως αὐξήθηκε τὸ πλῆθος αὐτῶν καὶ τὰ θαύματα γιὰ χάρη αὐτοῦ ἔγιναν. Αὐτὰ ποὺ συνέβηκαν σ' αὐτοὺς στὴν Αἴγυπτο ἀναφέρουν πάντοτε καὶ οἱ προφῆτες. Καὶ πρόσεχε πῶς προσπερνᾶ τοὺς καιροὺς τῶν συμφορῶν καὶ πουθενὰ δὲν ἀναφέρει τὰ ἐγκλήματά τους, ἀλλὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ, ἀφήνοντας ἐκεῖνα νὰ τὰ σκεφθοῦν αὐτοί·

«Καὶ ἐπὶ σαράντα περίπου χρόνια ἀνεχόταν τὴν κακὴ συμπεριφορά τους στὴν ἔρημο»[4]. Στὴ συνέχεια ἀναφέρει τὴν κατοικία.

«Καὶ ἀφοῦ ἐξολόθρευσε στὴ γῆ τῆς Χαναὰν ἑπτὰ ἔθνη, ἔδωσε σ' αὐτοὺς γιὰ κληρονομιὰ τὴ γῆ αὐτῶν»[5]. Καὶ ὁ χρόνος εἶναι πολύς· διότι τετρακόσια πενήντα χρόνια πέρασαν.

«Κατόπιν ἐπὶ τετρακόσια πενήντα περίπου χρόνια ἔδωσε σ' αὐτοὺς κριτὲς μέχρι τὸν Σαμουὴλ τὸν προφήτη»[6]. Ἐδῶ ἀνέφερε, ὅτι κατὰ διαφόρους τρόπους ρύθμιζε τὰ ὅσα εἶχαν σχέση μ' αὐτούς.

«Μετὰ ζήτησαν βασιλιὰ» (καὶ δὲν ἀναφέρει τὴν ἀγνωμοσύνη αὐτῶν, ἀλλὰ παντοῦ ἀναφέρει τὴ φιλανθρωπία τοῦ Θεοῦ), «καὶ τοὺς ἔδωσε ὁ Θεὸς τὸν Σαούλ, τὸν υἱὸ τοῦ Κίς, ποὺ καταγόταν ἀπὸ τὴ φυλὴ τοῦ Βενιαμίν, ἐπὶ σαράντα χρόνια· καὶ ἀφοῦ ἀπομάκρυνε αὐτόν, ἀνύψωσε στὸ θρόνο γιὰ βασιλιὰ τὸν Δαυίδ, στὸν ὁποῖο ἔδωσε τὴν ἑξῆς ἐπιβεβαίωση· Βρῆκα τὸν Δαυίδ, τὸν υἱὸ τοῦ Ἰεσσαί, ἄνδρα τέτοιο ποὺ ἐπιθυμοῦσα καὶ ὁ ὁποῖος

λήματά μου'». Οὐ μικρὸν τοῦτο τὸ ἀπὸ Δαυὶδ εἶναι τὸν Χριστόν.

Εἶτα καὶ 'Ιωάννην εἰσάγει μαρτυροῦντα, λέγων· «Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγειρε τῷ 'Ισραὴλ Σωτῆρα ('Ιησοῦν), προκηρύξαντος 'Ιωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ 'Ισραήλ. 'Ως δὲ ἐπλήρου ὁ 'Ιωάννης τὸν δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ, ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμέ, οὗ οὐκ εἰμὶ ἱκανὸς τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι». Καὶ 'Ιωάννης δὲ μαρτυρεῖ οὐχ ἁπλῶς, ἀλλὰ τὴν δόξαν ἐξ ἑαυτοῦ ἀποκρουόμενος, καίτοι πάντων ἐπ' αὐτὸν ταύτην ἀγόντων. Οὐκ ἔστι δὲ ἴσον μηδενὸς διδόντος καὶ πολλῶν παρεχόντων ταύτην τὴν τιμὴν διωθεῖσθαι, καὶ μηδὲ ἁπλῶς, ἀλλὰ μετὰ τοσαύτης ἀποστολῆς.

«Ἄνδρες ἀδελφοί, υἱοὶ γένους 'Αβραάμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη· οἱ γὰρ κατοικοῦντες ἐν 'Ιερουσαλήμ, καὶ οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν· καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν». Πανταχοῦ τοῦτο σπουδάζουσι δεῖξαι οἰκεῖον αὐτῶν ὂν τὸ ἀγαθόν, ἵνα μή, ὡς ἀλλοτρίῳ προσέχοντες, φεύγωσιν, ἐπειδὴ ἐσταύρωσαν αὐτόν. «Τοῦτον», φησίν, «ἀγνοήσαντες»· ὥστε ἀγνοίας ἦν τὸ ἁμάρτημα. Ὅρα πῶς καὶ ὑπὲρ ἐκείνων ἀπολογεῖται ἠρέμα. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ οὕτως ἔδει γενέσθαι προστίθησι. Καὶ ἵνα μή τις εἴπῃ, 'Πόθεν δῆλον ὅτι ἀνέστη;', φησὶ τὸ «καὶ μάρτυρες αὐτοῦ εἰσιν».

------

7. Πράξ. 13, 21 - 22 8. Πράξ. 13, 23 - 25
9. Πράξ. 13, 26 - 28

θὰ κάνει τὰ θελήματά μου»[7]. Δὲν εἶναι μικρὸ πράγμα αὐτό, τὸ νὰ κατάγεται δηλαδὴ ὁ Χριστὸς ἀπὸ τὸν Δαυΐδ.

Ἔπειτα ἀναφέρει καὶ τὸν Ἰωάννη, ποὺ δίνει τὴ μαρτυρία καὶ λέγει· «Ὁ Θεὸς αὐτοῦ, σύμφωνα μὲ τὴν ὑπόσχεσή του, ἔστειλε στὸν Ἰσραὴλ τὸν Σωτήρα Ἰησοῦν, πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ ὁποίου εἶχε κηρύξει ὁ Ἰωάννης βάπτισμα μετανοίας σ' ὅλο τὸ λαὸ τοῦ Ἰσραήλ· Καὶ ὅταν ὁ Ἰωάννης βρισκόταν πρὸς τὸ τέλος τῆς ἀποστολῆς του ἔλεγε· Ποιὸς νομίζετε ὅτι εἶμαι; δὲν εἶμαι ἐγὼ ἐκεῖνος, ἀλλὰ νά, ἔρχεται πίσω ἀπὸ μένα, τοῦ ὁποίου ἐγὼ δὲν εἶμαι ἱκανὸς νὰ λύσω τὸ ὑπόδημα τῶν ποδιῶν του»[8]. Καὶ ὁ Ἰωάννης δίνει τὴ μαρτυρία αὐτὴ ὄχι ἔτσι στὴν τύχη, ἀλλ' ἀποκρούοντας τὴ δόξα ἀπὸ τὸν ἑαυτό του, ἂν καὶ βέβαια ὅλοι ἀπέδιδαν αὐτὴν σ' αὐτόν. Δὲν εἶναι τὸ ἴδιο πράγμα τὸ ν' ἀποκρούει κάποιος τὴν τιμὴ ὅταν κανένας δὲν τοῦ δίδει αὐτὴν καὶ ὅταν πολλοὶ τοῦ τὴν παρέχουν, καὶ ὄχι ἁπλῶς αὐτό, ἀλλὰ καὶ ὅταν τόσο σπουδαία εἶναι ἡ ἀποστολή του.

«Ἄνδρες ἀδελφοί, ἀπόγονοι τοῦ Ἀβραὰμ καὶ ὅσοι ἀνάμεσα ἀπὸ σᾶς φοβεῖσθε τὸν Θεό, σὲ σᾶς στάλθηκε τὸ κήρυγμα αὐτὸ τῆς σωτηρίας· διότι οἱ κάτοικοι τῆς Ἰερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν ἀγνόησαν αὐτὸν καὶ ἔτσι, ἀφοῦ καταδίκασαν αὐτόν, πραγματοποίησαν τὰ λόγια τῶν προφητῶν ποὺ διαβάζονται κάθε Σάββατο· χωρὶς λοιπὸν νὰ βροῦν καμιὰ αἰτία θανάτου ζήτησαν ἀπὸ τὸν Πιλάτο νὰ θανατωθεῖ»[9]. Παντοῦ αὐτὸ φροντίζουν, τὸ νὰ δείξουν δηλαδὴ ὅτι τὸ ἀγαθὸ εἶναι δικό τους, ὥστε νὰ μὴ φεύγουν, θεωρώντας αὐτὸν σὰν ξένο, ἐπειδὴ τὸν σταύρωσαν. «Αὐτόν», λέγει, «τὸν ἀγνόησαν»· ὥστε ἀπὸ ἄγνοια διαπράχθηκε τὸ ἁμάρτημα. Πρόσεχε πῶς μὲ ἤρεμο τρόπο ἀπολογεῖται καὶ ὑπὲρ ἐκείνων. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ προσθέτει ὅτι ἔτσι ἔπρεπε νὰ γίνει. Καὶ γιὰ νὰ μὴ πεῖ κάποιος, 'Ἀπὸ ποῦ γίνεται φανερὸ ὅτι ἀναστήθηκε;', λέγει καὶ τὸ ὅτι «Αὐτοὶ εἶναι μάρτυρες αὐτοῦ».

Εἶτα πάλιν ἀπὸ τῶν Γραφῶν ἰσχυρίζεται· «Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. Ὁ δὲ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γεγενημένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν, καθὼς καὶ ἐν τῷ Ψαλμῷ τῷ δευτέρῳ γέγραπται· 'Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε'. Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα αὐτὸν εἰς διαφθορὰν ὑποστρέφειν, οὕτως εἴρηκεν ὅτι 'δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά'. Διὸ καὶ ἐν ἑτέρῳ λέγει· 'Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν'. Δαυὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν· ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδ διαφθοράν». Ὅρα τοῦτον σφοδρότερον διαλεγόμενον· τοῦτο οὐδαμοῦ Πέτρος εἶπεν.

«Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται, καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται». Εἶτα καὶ τὸ φοβερόν· «Βλέπετε οὖν, μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφήταις· Ἴδετε οἱ καταφρονηταί, καὶ ἐμβλέψατε, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται

------

10. Ψαλμ. 15, 10
11. Ἡσ. 55, 3
12. Ψαλμ. 15, 10
13. Πράξ. 13, 29 - 36
14. Πράξ. 13, 37 - 39
15. Πράξ. 13, 40 - 41. Ἀββακ. 1, 5

Ἔπειτα πάλι ἀναφέρει ἀπὸ τὶς Γραφὲς τὴν ἐπιβεβαίωση· «Ὅταν ἐπλήρωσαν ὅλα ἐκεῖνα ποὺ εἶχαν γραφεῖ γι' αὐτόν, τὸν κατέβασαν ἀπὸ τὸ σταυρὸ καὶ τὸν τοποθέτησαν σὲ μνημεῖο· Ὁ Θεὸς ὅμως ἀνέστησε αὐτὸν ἀπὸ τοὺς νεκροὺς καὶ ὁ ὁποῖος ἐπὶ διάστημα πολλῶν ἡμερῶν φανερώθηκε σ' ἐκείνους ποὺ εἶχαν ἀνεβεῖ μαζί του ἀπὸ τὴ Γαλιλαία στὴν Ἱερουσαλήμ, οἱ ὁποῖοι καὶ εἶναι μάρτυρες αὐτοῦ πρὸς τὸ λαό. Καὶ ἐμεῖς σᾶς κηρύττομε τὸ χαρμόσυνο ἄγγελμα, σύμφωνα μὲ τὸ ὁποῖο, τὴν ὑπόσχεση ποὺ ἔδωσε ὁ Θεὸς στοὺς Πατέρες μας, τὴν πραγματοποίησε σ' ἐμᾶς τοὺς ἀπογόνους του, ἀνασταίνοντας τὸν Ἰησοῦ, ὅπως ἔχει γραφεῖ καὶ στὸν δεύτερο ψαλμό· Υἱός μου εἶσαι σύ, ἐγὼ σήμερα σὲ γέννησα'[10]. Τὸ ὅτι δὲ τὸν ἀνέστησε ἀπὸ τοὺς νεκροὺς γιὰ νὰ μὴ ἐπιστρέψει ποτὲ στὴ φθορά, τὸ εἶπε ὡς ἑξῆς· Θὰ σᾶς δώσω τὶς ἱερὲς καὶ βέβαιες εὐλογίες ποὺ ὑποσχέθηκα στὸν Δαυίδ'[11]. Γι' αὐτὸ καὶ σ' ἄλλον ψαλμὸ λέγει· Δὲν θὰ ἐπιτρέψεις ὁ ὅσιός σου νὰ ὑποστεῖ διαφθορά'[12]. Καὶ ὁ μὲν Δαυίδ, ἀφοῦ ὑπηρέτησε στοὺς χρόνους τῆς γενεᾶς του τὰ σχέδια τοῦ Θεοῦ, πέθανε καὶ ἐνταφιάσθηκε κοντὰ στοὺς πατέρες του καὶ γνώρισε τὴ διαφθορά, ἐνῶ αὐτός, τὸν ὁποῖο ἀνέστησε ὁ Θεός, δὲν γνώρισε τὴ διαφθορά»[13]. Πρόσεχε αὐτὸν ποὺ ὁμιλεῖ μὲ μεγαλύτερη σφοδρότητα· αὐτὸ πουθενὰ δὲν τὸ εἶπε ὁ Πέτρος.

«Μάθετε λοιπόν, ἄνδρες ἀδελφοί, ὅτι ἀπ' αὐτὸν κηρύττεται σὲ σᾶς ἄφεση ὁμαρτιῶν καὶ μὲ αὐτὸν δικαιώνεται ὁ καθένας ποὺ πιστεύει ἀπὸ ὅλα ἐκεῖνα ἀπὸ τὰ ὁποῖα δὲν μπορέσατε νὰ δικαιωθεῖτε μὲ τὸν Μωσαϊκὸ νόμο»[14]. Ἔπειτα λέγει καὶ τὸ φοβερό· «Προσέχετε λοιπὸν μὴ τυχὸν καὶ πραγματοποιηθεῖ σ' ἐσᾶς ἐκεῖνο ποὺ λέχθηκε ἀπὸ τοὺς προφῆτες· Κοιτάξτε σεῖς οἱ καταφρονητὲς καὶ δῶστε ὅλη τὴν προσοχή σας καὶ θαυμάστε καὶ ἐξαφανισθεῖτε, διότι ἐγὼ κατὰ τὶς ἡμέρες αὐτὲς ποὺ ζεῖτε θὰ πραγματοποιήσω ἔργο, ποὺ δὲν θὰ τὸ πιστέψετε, ἐὰν κάποιος σᾶς

ὑμῖν». Ὅρα πῶς πλέκει τὸν λόγον ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν προφητῶν, ἀπὸ τοῦ σπέρματος τοῦ κατ' ἐπαγγελίαν. Ἀλλ' ἄνωθεν ἴδωμεν τὰ εἰρημένα.

2. «Ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ». Καὶ ἀπὸ τοῦ πατρὸς αὐτοὺς καλεῖ.

«Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη». Ἐνταῦθα τὸ «ὑμῖν» οὐκ Ἰουδαίοις ἀφωρισμένως λέγει, ἀλλὰ δίδωσιν αὐτοῖς ἐξουσίαν ἀποσχισθῆναι τῶν τὸν φόνον τετολμηκότων· καὶ τοῦτο ἀπὸ τοῦ ἐπαγομένου δῆλον.

«Οἱ γὰρ κατοικοῦντες», φησίν, «Ἰερουσαλήμ, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν». Μεγάλη ἡ κατηγορία, εἰ, συνεχῶς ἀκούοντες, οὐ προσεῖχον. Ἀλλ' οὐδὲν θαυμαστόν· τὰ γὰρ εἰρημένα ἐκεῖνα, τὰ κατ' Αἴγυπτον καὶ τὴν ἔρημον, ἱκανὰ δεῖξαι αὐτῶν τὴν ἀγνωμοσύνην. Καὶ πῶς ἠγνόησαν, φησίν, Ἰωάννου λέγοντος; Τί θαυμαστόν, ὅπου γε καὶ τῶν προφητῶν συνεχῶς βοώντων;

Εἶτα καὶ ἄλλη κατηγορία· «Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες», ὅπερ οὐκ ἦν ἀγνοίας· θῶμεν γὰρ ὅτι οὐχ ὡς Χριστὸν αὐτὸν εἶχον, τίνος ἕνεκεν καὶ ἀνῄρουν; «Καὶ ᾐτήσαντο», φησί, «Πιλάτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες αὐτὸν ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον». Ὅρα πῶς αὐτοῖς περισπούδαστον ἦν τοῦτο. Τὸν τρόπον εἶπε τὸν τοῦ θανάτου, καὶ Πιλάτον εἰς μέσον φέρει, ἅμα μὲν ἵνα δῆλον τὸ πάθος γέ-

------

16. Πράξ. 13, 26
17. Πράξ. 13, 27
18. Πράξ. 13, 28 - 29

τὸ διηγηθεῖ»[15]. Πρόσεχε πῶς πλέκει τὸ λόγο ἀπὸ τὰ παρόντα, ἀπὸ τοὺς προφῆτες, ἀπὸ τὸ σπέρμα ποὺ ὑποσχέθηκε νὰ στείλει ὁ Θεός. Ἀλλ' ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

2. «Ἄνδρες ἀδελφοί, ἀπόγονοι τοῦ Ἀβραάμ». Τοὺς προσφωνεῖ καὶ ἀπὸ τὸ ὄνομα τοῦ πατέρα τους.

«Σὲ σᾶς στάλθηκε ὁ λόγος τῆς σωτηρίας αὐτῆς»[16]. Ἐδῶ τὸ «Σέ σᾶς» δὲν τὸ λέγει ξεχωρίζοντάς τους ἀπὸ τοὺς Ἰουδαίους, ἀλλὰ τοὺς δίνει τὴ δυνατότητα νὰ ξεχωρίσουν τοὺς ἑαυτούς τους ἀπὸ ἐκείνους ποὺ τόλμησαν νὰ κάνουν τὸ φόνο, καὶ αὐτὸ γίνεται φανερὸ ἀπὸ αὐτὸ ποὺ προσθέτει.

«Διότι», λέγει, «μὲ τὸ ὅτι οἱ κάτοικοι τῆς Ἰερουσαλὴμ ἀγνόησαν αὐτὸν ξεπλήρωσαν τὰ λόγια τῶν προφητῶν ποὺ διαβάζονται κάθε Σάββατο»[17]. Μεγάλη ἡ κατηγορία ἐφόσον δὲν πρόσεχαν, ἐνῶ ἄκουαν συνέχεια αὐτά. Ἀλλὰ δὲν εἶναι καθόλου ἀξιοθαύμαστο· διότι ὅλα ἐκεῖνα, ποὺ λέχθηκαν κατὰ τὴν παραμονή τους στὴν Αἴγυπτο καὶ τὴν ἔρημο, εἶναι ἱκανὰ νὰ δείξουν τὴν ἀχαριστία αὐτῶν. Καὶ πῶς τὸν ἀγνόησαν, λέγει, τὴ στιγμὴ ποὺ ὁ Ἰωάννης διακήρυττε αὐτόν; Τί τὸ ἄξιο θαυμασμοῦ, τὴ στιγμὴ βέβαια ποὺ τὸν ἀγνόησαν καὶ ἐνῶ οἱ προφῆτες διακήρυτταν αὐτὸν μεγαλόφωνα;

Ἔπειτα προστίθεται καὶ ἄλλη κατηγορία· «Καὶ χωρὶς νὰ βροῦν καμιὰ αἰτία θανάτου», πράγμα ποὺ δὲν ἔγινε ἀπὸ ἄγνοια· διότι ἂς ὑποθέσομε ὅτι δὲν θεωροῦσαν αὐτὸν σὰν Χριστό· γιὰ ποιὸ λόγο τότε τὸν φόνευσαν; «Ζήτησαν», λέγει, «ἀπὸ τὸν Πιλάτο νὰ θανατωθεῖ· Ὅταν δὲ ἐκπλήρωσαν ὅλα ὅσα εἶχαν γραφεῖ γι' αὐτόν, ἀφοῦ τὸν κατέβασαν ἀπὸ τὸν σταυρὸ τὸν ἔβαλαν σὲ μνημεῖο»[18]. Πρόσεχε πῶς ὅλη ἡ φροντίδα τους ἦταν συγκεντρωμένη σ' αὐτό. Ἀνέφερε τὸν τρόπο τοῦ θανάτου του, ἀναφέρει δὲ καὶ τὸν Πιλάτο, ἀφ' ἑνὸς μὲν γιὰ νὰ γίνει φανερὸ τὸ πάθος ἀπὸ τὸ κριτήριο, ἀφ' ἑτέρου δὲ γιὰ νὰ γίνει μεγα-

νηται ἀπὸ τοῦ κριτηρίου, ἅμα δὲ ἵνα ἐκεῖνοι μειζόνως κατηγορῶνται, ἀνδρὶ παραδόντες ἀλλοφύλῳ. Καὶ οὐκ εἶπεν, ''Ἐνέτυχον', ἀλλ' ᾐτήσαντο», μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ἀναιρεθῆναι αὐτόν, ὥστε δηλῶσαι ὅτι χάριν ἔλαβον, ἐκείνου μὴ θέλοντος· ὅπερ σαφέστερον ὁ Πέτρος λέγει· «Κρίναντος ἐκείνου ἀπολύειν». Πάνυ ἐφίλει αὐτοὺς ὁ Παῦλος. Καὶ ὅρα, οὐκ ἐνδιατρίβει τῇ ἁγιωσύνῃ τῶν πατέρων, ἀλλ' αὐτοῖς ἐφίστησι τὸν φόβον· ὁ μὲν γὰρ Στέφανος εἰκότως τοῦτο ποιεῖ, ἅτε ἀναιρεῖσθαι μέλλων, καὶ οὐχὶ διδάσκων, καὶ δεικνὺς ὅτι ὁ νόμος ἤδη καταλύεται, οὗτος δὲ οὐκ ἔτι, ἀλλ' ἀπειλεῖ καὶ φοβεῖ μόνον.

«Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Ὃς ὤφθη», φησίν, «ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας ἐπὶ Ἱερουσαλήμ». Ὅρα γὰρ τοῦτον ἅτε ἀπ' αὐτοῦ κεκινημένον τοῦ Πνεύματος, ἄνω καὶ κάτω τὸ πάθος καὶ τὸν τάφον κηρύττοντα.

«Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα», φησί, «τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γεγενημένην»· τουτέστι, τὴν μὲν ἐπαγγελίαν οἱ πατέρες ἐδέξαντο, τὸ δὲ ἔργον ὑμεῖς.

Εἶτα, μάρτυρα τὸν Ἰωάννην ἐπαγαγών, ὅτε ἔλεγεν ὅτι «ἀπὸ τοῦ σπέρματος τούτου κατ' ἐπαγγελίαν ἤγαγε τῷ Ἰσραὴλ Σωτῆρα, προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας τῷ Ἰσραήλ», ἑξῆς ἐπάγει πάλιν αὐτόν, λέγων· «Τίνα με ὑπονοεῖτε; οὐκ εἰμὶ ἐγώ».

Εἶτα παράγει καὶ τοὺς Ἀποστόλους μάρτυρας τῆς ἀναστάσεως, λέγων· «Οἵτινές εἰσι μάρτυρες αὐτοῦ

---

19. Πράξ. 3, 13
20. Πράξ. 13, 30 - 31
21. Πράξ. 13, 32
22. Πράξ. 13, 23 - 24
23. Πράξ. 13, 25

λύτερη ἡ κατηγορία γιὰ ἐκείνους, ἀφοῦ τὸν παρέδωσαν σὲ ἄνθρωπο ἀλλόφυλο. Καὶ δὲν εἶπε, '"Οτι αὐτὸ ἔγινε μὲ ἀνεπηρέαστη ἀπόφαση ἐκείνου', ἀλλὰ «Ζήτησαν ἐπίμονα ἀπὸ ἐκεῖνον», χωρὶς νὰ βρῆκαν καμιὰ αἰτία θανάτου, νὰ φονευθεῖ αὐτός, ὥστε νὰ δείξει ὅτι τοὺς ἔκανε τὸ χατήρι, ἐνῶ ἐκεῖνος δὲν ἤθελε, πράγμα ποὺ ὁ Πέτρος τὸ λέγει σαφέστερα· «"Οταν ἐκεῖνος ἀποφάσισε νὰ τὸν ἀπολύσει»[19]. Πολὺ τοὺς ἀγαποῦσε ὁ Παῦλος. Καὶ πρόσεχε, ὅτι δὲν ἐπιμένει στὴν ἀχαριστία τῶν πατέρων, ἀλλ' ἐμβάλλει σ' αὐτοὺς τὸ φόβο. Διότι ὁ μὲν Στέφανος πολὺ σωστὰ τὸ κάμνει αὐτό, ἐφόσον ἐπρόκειτο νὰ φονευθεῖ, καὶ ὄχι διδάσκοντας αὐτούς, καὶ γιὰ νὰ δείξει ὅτι ὁ νόμος καταργεῖται πιά, αὐτὸς ὅμως δὲν τὸ κάνει γι' αὐτό, ἀλλὰ μόνο ἀπειλεῖ καὶ φοβίζει.

«Ὁ Θεὸς ὅμως ἀνέστησε αὐτὸν ἀπὸ τοὺς νεκρούς. Καὶ αὐτός», λέγει, «φανερώθηκε, κατὰ τὸ διάστημα πολλῶν ἡμερῶν, σ' ἐκείνους ποὺ εἶχαν ἀνεβεῖ μαζί του ἀπὸ τὴ Γαλιλαία στὴν Ἰερουσαλήμ»[20]. Πρόσεχε λοιπὸν αὐτόν, ἐπειδὴ ἔχει λάβει τὴν ἔμπνευση ἀπὸ τὸ ἅγιο Πνεῦμα, διακηρύσσει συνέχεια τὸ πάθος καὶ τὸν τάφο.

«Καὶ ἐμεῖς», λέγει, «διακηρύσσομε σὲ σᾶς τὴ χαρμόσυνη ὑπόσχεση ποὺ δόθηκε πρὸς τοὺς πατέρες»[21]· δηλαδὴ τὴν μὲν ὑπόσχεση τὴν ἔλαβαν οἱ πατέρες, τὸ δὲ ἔργο σεῖς.

Ἔπειτα, ἀφοῦ πρόσθεσε τὴ μαρτυρία τοῦ Ἰωάννη, σύμφωνα μὲ τὴν ὁποία ἔλεγε ὅτι «Ὁ Θεὸς ἀπὸ τοὺς ἀπογόνους αὐτοῦ, σύμφωνα μὲ τὴν ὑπόσχεσή του, ἔστειλε στὸν Ἰσραὴλ Σωτήρα, πρὶν ἔρθει δὲ ὁ Ἰωάννης εἶχε κηρύξει βάπτισμα μετανοίας στὸν Ἰσραηλιτικὸ λαό»[22], στὴ συνέχεια ἀναφέρει πάλι αὐτόν, λέγοντας· «Ποιὸς νομίζετε ὅτι εἶμαι; ὄχι δὲν εἶμαι ἐγώ»[23].

Ἔπειτα ἀναφέρει καὶ τοὺς Ἀποστόλους σὰν μάρτυρες τῆς ἀναστάσεως, λέγοντας· «Οἱ ὁποῖοι εἶναι μάρτυ-

πρὸς τὸν λαόν»· εἶτα τὸν Δαυὶδ τοῦτο αὐτὸ μαρτυροῦντα τῷ λέγειν· «Οὐ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν»· οὔτε γὰρ τὰ παλαιὰ ἰσχυρὰ καθ' ἑαυτὰ ἐδόκει εἶναι οὕτως, οὔτε ταῦτα ἄνευ ἐκείνων, ὥστε δι' ἑκατέρων πιστοῦται τὸν λόγον. Ἐπειδὴ γὰρ τῷ δέει κατείχοντο, ὡς ἀνῃρηκότες αὐτόν, καὶ τὸ συνειδὸς αὐτοὺς ἠλλοτρίου, οὐχ ὡς πρὸς χριστοκτόνους διαλέγονται, οὐδὲ ὡς ἀλλότριον ἀγαθὸν αὐτοῖς ἐγχειρίζοντες, ἀλλὰ τὸ οἰκεῖον. Πάνυ ποθεινὸν ἦν αὐτοῖς τὸ ὄνομα τοῦ Δαυίδ· διὸ καὶ τίθησιν αὐτό, ἵνα κἂν οὕτως αὐτὸν δέξωνται, ὡσεὶ ἔλεγεν ὑπὸ τοῦ παιδὸς αὐτοῦ βασιλεύεσθαι, οὐκοῦν ἀπ' αὐτοῦ μὴ ἀφηνιάζετε.

Τί ἐστι, «Δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά»; Τὰ βέβαια, φησί, τὰ οὐδέποτε ἀπολλύμενα. Καὶ οὐκ ἐγχρονίζει τούτοις, ἅτε τοῦ λόγου λοιπὸν πιστευθέντος, ἀλλ' ἐπιτείνει τὴν κόλασιν, καὶ μετέρχεται τὸ αὐτοῖς ποθεινόν, δεικνὺς τὸν νόμον ἐκβαλλόμενον, καὶ τῷ συμφέροντι ἐνδιατρίβει, ὅτι τε μεγάλα ἀγαθὰ ὑπακούουσι, καὶ ὅτι μεγάλα κακὰ παρακούουσιν ἔσται.

Εἶτα περὶ τοῦ Δαυὶδ πάλιν λέγει, καὶ τοῦτο μετ' ἐγκωμίου. «Δαυὶδ μὲν» γάρ, φησίν, «ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ»· καθὼς καὶ Πέτρος, αὐτοῦ μνημονεύων, ἔλεγεν· «Ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ τοῦ πατριάρχου Δαυίδ». Καὶ οὐ λέγει ὅτι 'ἐτελεύτησεν', ἀλλὰ «προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ», ὅπερ ἦν εὐφημότερον. Καὶ ὅρα πῶς οὐδαμοῦ κατορθώματα αὐτῶν τίθησιν, ἀλλ' ἅπερ ἔχει κατηγορίαν.

------

24. Πράξ. 13, 31 — 25. Πράξ. 13, 35. Ψαλμ. 15, 10
26. Πράξ. 13, 34. Ἡσ. 55, 3 — 27. Πράξ. 13, 36
28. Πράξ. 2, 29

ρες αὐτοῦ πρὸς τὸ λαό»[24]. Στὴ συνέχεια ἀναφέρει τὸν Δαυὶδ ποὺ δίνει τὴν ἴδια μαρτυρία, λέγοντας· «Δὲν θὰ ἐπιτρέψεις ὁ ὅσιός σου νὰ δεῖ φθορά»[25]· διότι οὔτε τὰ παλιὰ θεωροῦσε ὅτι εἶναι ἀπὸ μόνα τους τόσο ἰσχυρά, οὔτε αὐτὰ χωρὶς ἐκεῖνα, καὶ ἔτσι μὲ τὸ καθένα ἀπὸ αὐτὰ ἐπιβεβαιώνει τὸ λόγο του. Ἐπειδὴ δηλαδὴ ἦταν κυριευμένοι ἀπὸ τὸν φόβο, καθόσον εἶχαν φονεύσει αὐτόν, καὶ ἡ συνείδησή τους τοὺς ἔλεγχε καὶ τοὺς ἀποξένωνε, δὲν μιλοῦσαν πρὸς αὐτοὺς οἱ Ἀπόστολοι σὰν νὰ ἦταν αὐτοὶ χριστοκτόνοι, οὔτε σὰν νὰ πρόσφερναν σ' αὐτοὺς ξένο ἀγαθό, ἀλλὰ τὸ δικό τους. Πάρα πολὺ ἀγαπητὸ ἦταν σ' αὐτοὺς τὸ ὄνομα τοῦ Δαυίδ, καὶ γι' αὐτὸ ἀναφέρει αὐτό, ὥστε ἔστω καὶ ἔτσι νὰ δεχθοῦν αὐτόν, σὰν δηλαδὴ νὰ ἔλεγε, ἀπὸ τὸν υἱὸ αὐτοῦ βασιλεύεσθε, καὶ ἐπομένως μὴ ἀπομακρύνεσθε σὰν τυφλοὶ ἀπ' αὐτόν.

Τί σημαίνει, «Θὰ δώσω σὲ σᾶς τὰ ὅσια τοῦ Δαυὶδ τὰ πιστά»[26]; Τὰ σταθερά, λέγει, ἐκεῖνα ποὺ δὲν χάνονται ποτέ. Καὶ δὲν ἐπιμένει σ' αὐτά, ἐπειδὴ ὁ λόγος του ἔγινε πλέον πιστευτός, ἀλλ' αὐξάνει τὴν τιμωρία, καὶ ἀναφέρει αὐτὸ ποὺ εἶναι ποθητὸ ἀπ' αὐτούς, δείχνοντας ὅτι ὁ νόμος καταργεῖται, καὶ ἐπιμένει σ' αὐτὸ ποὺ τοὺς συμφέρει, καὶ ὅτι μεγάλα ἀγαθὰ θὰ δοθοῦν σ' ἐκείνους ποὺ πιστεύουν αὐτά, μεγάλα δὲ κακὰ σ' ἐκείνους ποὺ δὲν τὰ πιστεύουν.

Ἔπειτα ὁμιλεῖ γιὰ τὸν Δαυὶδ πάλι καὶ τὸ κάνει αὐτὸ μὲ τρόπο ἐγκωμιαστικό. Διότι, λέγει, «Καὶ ὁ μὲν Δαυίδ, ἀφοῦ κατὰ τὸν καιρὸ ποὺ ζοῦσε ὑπηρέτησε τὰ σχέδια τοῦ Θεοῦ, προστέθηκε στοὺς πατέρες του»[27]· καθὼς καὶ ὁ Πέτρος, μιλώντας γι' αὐτόν, ἔλεγε· «Μπορῶ νὰ σᾶς πῶ ἀδίστακτα γιὰ τὸν πατριάρχη Δαυίδ»[28]. Καὶ δὲν λέγει ὅτι, 'πέθανε', ἀλλὰ «προστέθηκε στοὺς πατέρες του», πράγμα ποὺ ἦταν πιὸ ἐγκωμιαστικό. Καὶ πρόσεχε πῶς πουθενὰ δὲν ἀναφέρει κατορθώματα αὐτῶν, ἀλλ' ἐκεῖνα ποὺ τοὺς προσάπτουν κατηγορία. Διότι τὸ «Ζήτησαν ἐπί-

Τὸ γὰρ «ᾐτήσαντο» καὶ ἔλαβον μεγίστη κατηγορία αὐτῶν.

Εἶτα τὰς εὐεργεσίας τοῦ Θεοῦ καταλέγει, «ἐξελέξατο» εἰπών, «ὕψωσεν, ἐτροποφόρησε». Ταῦτα δὲ οὐκ ἐκείνων ἐγκώμια, ἀλλὰ τοῦ Θεοῦ. Τὸν δὲ Δαυὶδ ἐγκωμιάζει μόνον, ἐπειδὴ ἐξ αὐτοῦ ὁ Χριστός. Εἴσοδον δὲ ὁ Ἰωάννης καλεῖ, λέγων, «Πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ», τὴν σάρκωσιν τοῦ Χριστοῦ, τὴν μετὰ σαρκὸς αὐτοῦ φανέρωσιν. Οὕτω καὶ ὁ Ἰωάννης, τὸ Εὐαγγέλιον γράφων, ἐπὶ τοῦτον καταφεύγει συνεχῶς· ὄνομα γὰρ ἦν αὐτῷ πολὺ κατὰ τὴν οἰκουμένην ἅπασαν. Καὶ ὅρα· οὐ λέγει αὐτὸ ἐξ ἑαυτοῦ, ἀλλὰ τὴν ἐκείνου φέρει μαρτυρίαν.

3. Εἶδες πῶς σπουδαίως ἔδειξεν οἰκονομίας τὸ πρᾶγμα ὄν; Ἀλλ' ἀκούσωμεν τί καὶ λέγοντες οἱ Ἀπόστολοι ἔπεισαν ὅτι ἐσταυρώθη. Τί τούτου ἀπιθανώτερον, ὅτι ἐτάφη παρ' αὐτῶν, οἷς ἐπηγγέλετο σωτηρίαν ἔσεσθαι, ὅτι ὁ ταφεὶς ἀφίησιν ἁμαρτήματα, καὶ τοῦ νόμου μᾶλλον; Διὸ καὶ οὐκ εἶπεν, '῟Ων οὐκ ἠβουλήθητε', ἀλλ' «῟Ων οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται», τὸ ἀσθενὲς τοῦ νόμου δεικνύς. Καλῶς δὲ προσέθηκε καὶ τὸ «πᾶς», ἵνα δείξῃ ὅτι, ὅστις ἂν ᾖ ὁ πιστεύων. Οὐδὲν γὰρ ὄφελος ἐκείνων, ἐὰν μή τις εὐεργεσία ᾖ. Διὰ τοῦτο ὕστερον τίθησι τὴν ἄφεσιν, ἐντεῦθεν τὸ μεῖζον συνάγων, καὶ δεικνὺς ὅτι, ὃ ἀδυνάτως εἶχεν ὁ νόμος ποιεῖν, τοῦτο ἐργασάμενος διὰ τοῦ θανάτου ὁ παθὼν φαίνεται. Ὥστε καλῶς ἔλεγεν, «Οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν»·

------

29. Πράξ. 13, 17 - 19
30. Πράξ. 13, 24
31. Πράξ. 13, 39
32. Πράξ. 13, 31

μονα» καὶ ἐπέτυχαν αὐτὸ ποὺ ζητοῦσαν ἀποτελεῖ μέγιστη κατηγορία αὐτῶν.

Ἔπειτα κατονομάζει τὶς εὐεργεσίες τοῦ Θεοῦ, λέγοντας ὅτι «Τοὺς διάλεξε, τοὺς ἀνύψωσε καὶ ὑπέφερε τὴν κακὴ συμπεριφορά τους»[29]. Αὐτὰ δὲ δὲν εἶναι ἐγκώμια ἐκείνων, ἀλλὰ τοῦ Θεοῦ. Ἐγκωμιάζει δὲ μόνο τὸν Δαυίδ, ἐπειδὴ ἀπ' αὐτὸν κατάγεται ὁ Χριστός. Ὁ δὲ Ἰωάννης, λέγοντας, «Πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ»[30], ὀνομάζει εἴσοδο τὴν σάρκωση τοῦ Χριστοῦ, τὴν ἔνσαρκη φανέρωση αὐτοῦ στὸν κόσμο. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Ἰωάννης, γράφοντας τὸ Εὐαγγέλιο, συνέχεια σ' αὐτὸν καταφεύγει· διότι τὸ ὄνομά του ἦταν μεγάλο σ' ὁλόκληρη τὴν οἰκουμένη. Καὶ πρόσεχε· δὲν τὸ λέγει αὐτὸ ἀπὸ μόνος του, ἀλλ' ἀναφέρει τὴ μαρτυρία ἐκείνου.

3. Εἶδες πῶς κατὰ τρόπο ἔξοχο ἔδειξε ὅτι τὸ πράγμα εἶναι ἔργο τῆς θείας οἰκονομίας; Ἀλλ' ἂς ἀκούσομε τί λέγοντας καὶ οἱ Ἀπόστολοι ἔπεισαν τοὺς ἀκροατές τους ὅτι σταυρώθηκε. Τί ὑπῆρχε περισσότερο ἀπίστευτο ἀπὸ αὐτό, τὸ ὅτι δηλαδὴ τάφηκε ἀπ' αὐτούς, στοὺς ὁποίους ὑποσχόταν ὅτι θὰ γίνει σωτηρία αὐτῶν, τὸ ὅτι αὐτὸς ποὺ τάφηκε συγχωρεῖ ἁμαρτήματα, καὶ ὅτι βρίσκεται ἀπὸ πάνω ἀπὸ τὸ νόμο; Γι' αὐτὸ καὶ δὲν εἶπε, 'Ἀπὸ ὅλα ἐκεῖνα ποὺ δὲν θελήσατε', ἀλλὰ «Ἀπὸ ὅλα ἐκεῖνα ποὺ δὲν μπορέσατε νὰ δικαιωθεῖτε μὲ τὸν Μωσαϊκὸ νόμο, δικαιώνεται μ' αὐτὸν ὁ καθένας ποὺ πιστεύει»[31], γιὰ νὰ δείξει τὴν ἀδυναμία τοῦ νόμου. Σωστὰ δὲ προστέθηκε καὶ τὸ «ὁ καθένας», γιὰ νὰ δείξει ὅτι δικαιώνεται, ὅποιος καὶ ἂν εἶναι αὐτὸς ποὺ πιστεύει. Διότι ἐκεῖνοι δὲν ἔχουν καμιὰ ὠφέλεια, ἂν δὲν ὑπάρχει κάποια εὐεργεσία. Γι' αὐτὸ μετὰ ἀναφέρει τὴν ἄφεση, βγάζοντας ἀπὸ ἐδῶ τὸ σπουδαιότερο συμπέρασμα, καὶ γιὰ νὰ δείξει ὅτι, ἐκεῖνο ποὺ ἀδυνατοῦσε νὰ κάνει ὁ νόμος, αὐτὸ γίνεται φανερὸ ὅτι τὸ ἐπέτυχε αὐτὸς ποὺ ἔπαθε μὲ τὸ θάνατό του. Ὥστε καλὰ ἔλεγε, «Οἱ ὁποῖοι εἶναι μάρτυρες αὐτοῦ πρὸς τὸ λαό»[32]·

τὸν ἀνελόντα, φησίν, οὐκ ἂν ὄντες, εἰ μὴ θείᾳ δυνάμει ἐβεβαιοῦντο· οὐκ ἂν γὰρ πρὸς ἀνθρώπους φονῶντας τοιαῦτα ἐμαρτύρησαν, οὐκ ἂν πρὸς αὐτοὺς τοὺς ἀνελόντας. Τὸ δὲ «ἐγὼ σήμερον γεγέννηκά σε» εἶπεν, ὡς τούτῳ λοιπὸν εἰδὼς ὅτι καὶ τὰ ἄλλα ἕπεται.

Καὶ διὰ τί μὴ ἐπήγαγε μαρτυρίαν, δι' ἧς ἔμελλον πείθεσθαι, ὅτι ἄφεσις ἁμαρτιῶν δι' αὐτοῦ γίνεται; Ὅτι τὸ σπουδαζόμενον τοῦτο ἦν, δεῖξαι τέως ὅτι ἀνέστη· τούτου δὲ ὡμολογουμένου, ἐκεῖνο ἀναμφισβήτητον ἦν διὰ τούτου, τὸ καὶ ὅτι ὑπ' αὐτοῦ ἄφεσις ἁμαρτιῶν γίνεται· ἄλλως δὲ ἐβούλετο εἰς πόθον αὐτοὺς ἀγαγεῖν τοῦ μεγάλου τούτου. Οὐκ ἄρα ἐγκατάλειψις ἦν ὁ θάνατος αὐτοῦ, ἀλλὰ προφητείας πλήρωσις. Ἀναμιμνήσκει ἱστοριῶν, ἃς ἀγνοήσαντες μυρία ἔπαθον δεινά. Καὶ τοῦτο αἰνίττεται διὰ τοῦ τέλους, λέγων· «Ἴδετε οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε». Καὶ ὅρα πῶς αὐτὸ τραχὺ ὂν ὑποτέμνεται. «Μὴ ἐπέλθῃ», φησίν, «ἐφ' ὑμᾶς τὸ πρὸς τοὺς ἄλλους εἰρημένον, ὅτι ἔργον ἐγὼ ἐργάζομαι, ᾧ οὐ μὴ πιστεύσετε, ἐάν τις ἐκδιηγῆται ὑμῖν». Μὴ θαυμάζετε ὅτι ἄπιστον δοκεῖ εἶναι· καὶ αὐτὸ προείρηται ἄνωθεν.

Τοῦτο καὶ πρὸς ἡμᾶς εἰκότως ἂν λεχθείη, «Βλέπετε οἱ καταφρονηταί», περὶ τῶν τῇ ἀναστάσει διαπιστούντων· καὶ γὰρ σφόδρα κακῶς τὰ τῆς Ἐκκλησίας διάκειται, καίτοι γε νομίζετε ἐν εἰρήνῃ εἶναι τὰ πράγματα· τὸ γὰρ δεινὸν τοῦτό ἐστιν, ὅτι, ἐν πολλοῖς ὄντες κακοῖς, οὐδ' ὅτι ἐσμὲν ἐν κακοῖς ἴσμεν.

33. Πράξ. 13, 40 - 41

πρὸς τὸ λαό, λέγει, ποὺ τὸν φόνευσε, δὲν θὰ ἦταν δυνατὸ νὰ γίνουν μάρτυρες, ἐὰν δὲν ἐπιβεβαίωναν αὐτὰ μὲ θεία δύναμη· διότι δὲν θὰ μποροῦσαν νὰ δώσουν τέτοιες μαρτυρίες πρὸς ἀνθρώπους φονιάδες, δὲν θὰ μποροῦσαν νὰ μαρτυρήσουν πρὸς αὐτοὺς ποὺ τὸν φόνευσαν. Τὸ δὲ «Ἐγὼ σήμερα σὲ ἔχω γεννήσει»[33], τὸ εἶπε διότι γνώριζε ὅτι αὐτὸ πλέον ἀκολουθοῦν καὶ τὰ ἄλλα.

Καὶ γιατί δὲν ἀνέφερε μαρτυρία, μὲ τὴν ὁποία ἐπρόκειτο νὰ πιστέψουν, ὅτι ἡ ἄφεση τῶν ἁμαρτιῶν ἐπιτυγχάνεται μὲ αὐτόν; Διότι ἡ ὅλη φροντίδα του σ' αὐτὸ συνίστατο, νὰ δείξει κατ' ἀρχὴ ὅτι ἀναστήθηκε· ἐφόσον αὐτὸ γινόταν ἀποδεκτό, ἐκεῖνο ἦταν ἀναμφισβήτητο μὲ αὐτό, τὸ ὅτι δηλαδὴ καὶ ἀπ' αὐτὸν παρέχεται ἡ ἄφεση τῶν ἁμαρτιῶν· ἄλλωστε δὲ ἤθελε νὰ ὁδηγήσει αὐτοὺς στὸ νὰ ποθήσουν αὐτὸ τὸ πολὺ σπουδαῖο. Ἐπομένως δὲν ἦταν ὁ θάνατος αὐτοῦ ἐγκατάλειψη, ἀλλὰ ἐκπλήρωση προφητείας. Ὑπενθυμίζει ἱστορίες, τὶς ὁποῖες, ἐπειδὴ ἀγνόησαν, ἔπαθαν ἀμέρητα κακά. Καὶ αὐτὸ τὸ ὑπαινίσσεται μὲ ἐκεῖνα ποὺ προσθέτει στὸ τέλος, λέγοντας· «Κοιτάξτε καλὰ σεῖς οἱ καταφρονητὲς καὶ προσέξτε». Καὶ πρόσεχε πῶς μετριάζει αὐτὸ ἐνῶ εἶναι σκληρό. «Μὴ τυχὸν πραγματοποιηθεῖ», λέγει, «σὲ σᾶς ἐκεῖνο ποὺ ἔχει λεχθεῖ πρὸς τοὺς ἄλλους, ὅτι δηλαδὴ ἐγὼ ἐπιτελῶ ἔργο, ποὺ δὲν θὰ τὸ πιστέψετε, ἐὰν κάποιος σᾶς τὸ διηγηθεῖ»[33]. Μὴ ἀπορεῖτε γιὰ τὸ ὅτι φαίνεται αὐτὸ ὅτι εἶναι ἀπίστευτο· καὶ αὐτὸ ἔχει προλεχθεῖ ἀπὸ πρίν.

Αὐτὸ πολὺ εὔλογα καὶ πρὸς ἐμᾶς θὰ μποροῦσε νὰ λεχθεῖ, «Προσέχετε σεῖς οἱ καταφρονητές», γιὰ ὅλους ἐκείνους ποὺ δὲν πιστεύουν στὴν ἀνάσταση· καθόσον τὰ πράγματα τῆς Ἐκκλησίας βρίσκονται σὲ πάρα πολὺ κακὴ κατάσταση, ἂν καὶ βέβαια νομίζετε ὅτι τὰ πράγματα αὐτῆς βρίσκονται σὲ εἰρηνικὴ κατάσταση· διότι τὸ φοβερό αὐτὸ εἶναι τὸ ὅτι δηλαδή, ἐνῶ βρισκόμαστε μέσα σὲ πολλὰ κακά, οὔτε κἂν γνωρίζομε ὅτι βρισκόμαστε μέσα σὲ

Τί λέγεις; τὰς Ἐκκλησίας κατέχομεν, τὰ κτήματα, τὰ ἄλλα πάντα, αἱ συνάξεις γίνονται, καθ' ἑκάστην ἡμέραν πρόσεισιν ὁ λαός, καὶ καταφρονοῦμεν; Ἀλλ' οὐκ ἀπὸ τούτου Ἐκκλησίαν ἄν τις δοκιμάσειεν. Ἀλλὰ πόθεν; φησίν. Εἰ εὐλάβειά ἐστιν, εἰ κερδαίνοντες ἀναχωροῦμεν οἴκαδε καθ' ἑκάστην ἡμέραν, εἰ καρπούμενοι μέγα τι ἢ μικρόν, εἰ μὴ νόμον ἁπλῶς πληροῦντες καὶ ἀφοσιούμενοι. Τίς βελτίων γέγονεν, ὁλοκλήρῳ μηνὶ συλλεγόμενος; Τοῦτό ἐστι τὸ ζητούμενον· ἐπεὶ καὶ αὐτὸ τοῦτο, ὃ δοκεῖ εὐπραγίας εἶναι, τοῦτο δυσπραγία ἐστίν, ὅταν, τούτων γινομένων, μηδὲν πλέον γίνηται. Εἴθε μὲν οὖν μηδὲν πλέον, νῦν δὲ καὶ ἐπὶ τὸ χεῖρον.

Τί καρποῦσθε ἀπὸ τῶν συνάξεων; Καίτοι, εἴ γέ τι ὄφελος ὑμῖν ἐγίνετο, πάλαι πάντας ἔδει τὸν τῆς φιλοσοφίας βίον ζῆν, τοσούτων μὲν προφητῶν, δεύτερον τῆς ἑβδομάδος ὑμῖν διαλεγομένων, τοσούτων δὲ Ἀποστόλων, Εὐαγγελιστῶν, πάντων τὰ σωτήρια δόγματα προτιθέντων, καὶ τὰ δυνάμενα ἦθος ῥυθμίσαι μετὰ πολλῆς ἀκριβείας παριστώντων ὑμῖν. Ὁ στρατιώτης, ἐπὶ τὸ γυμνάσιον ἰών, ἀκριβέστερος γίνεται περὶ τὰ τακτικά· ὁ ἀθλητής, εἰς παλαίστραν βαδίζων, ἐμπειρότερος γίνεται περὶ τὴν πάλην· ὁ ἰατρός, πρὸς τὸν διδάσκαλον ἐρχόμενος, ἀκριβέστερος γίνεται, καὶ πλείονα οἶδε, καὶ πλείονα μανθάνει· σὺ τί κεκέρδηκας; οὐ λέγω πρὸς τοὺς ἐνιαυτὸν ἔχοντας, ἀλλὰ πρὸς τοὺς ἐκ πρώτης ἡλικίας συναγομένους. Ἢ τοῦτο νομίζετε εὐλάβειαν εἶναι, τὸ συνεχῶς παρα-

κακά. Τί λές; ἔχομε τὶς Ἐκκλησίες, τὰ κτήματα, ὅλα τὰ ἄλλα, οἱ συνάξεις τῶν πιστῶν γίνονται, καθημερινὰ προσέρχεται ὁ λαός, καὶ εἴμαστε καταφρονητές; Καὶ ὅμως δὲν θὰ μπορούσαμε ἀπὸ αὐτὸ νὰ κρίνομε τὴν Ἐκκλησία. Ἀλλά, λέγει, ἀπὸ ποῦ; Ἂν ὑπάρχει εὐλάβεια, ἂν καθημερινὰ ἀναχωροῦμε ἀπὸ ἐδῶ γιὰ τὰ σπίτια μας ἀποκομίζοντας κέρδος, ἐὰν ἀποκομίζομε κάποια μικρὴ ἢ μεγάλη ὠφέλεια, ἐὰν δὲν ἐρχόμαστε ἐδῶ ἐκτελώντας τὰ καθήκοντά μας ποὺ ἀπορρέουν ἀπὸ τὸ νόμο καὶ ἐκπληρώνοντας τὴν ὑποχρέωση ποὺ ἔχομε ἀναλάβει· Ποιὸς ἔγινε καλύτερος, λαμβάνοντας μέρος ἐπὶ ἕνα ὁλόκληρο μήνα στὶς συγκεντρώσεις; Αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἐπιδιώκομε· καθόσον καὶ αὐτὸ ἀκριβῶς τὸ ἴδιο, ποὺ θεωρεῖται ὅτι εἶναι εὐτυχία, αὐτὸ εἶναι δυστυχία, ὅταν, ἐνῶ γίνονται αὐτά, δὲν γίνεται τίποτε τὸ καλύτερο. Καὶ μακάρι βέβαια νὰ μὴ γίνεται τίποτε τὸ καλύτερο, ἐνῶ τώρα πηγαίνομε καὶ πρὸς τὸ χειρότερο.

Τί ὠφέλεια ἀποκομίζετε ἀπὸ τὶς συγκεντρώσεις; Ἂν καὶ βέβαια, ἐφόσον ἀποκομίζατε κάποια ὠφέλεια, ἔπρεπε πρὶν ἀπὸ πολὺ χρόνο νὰ ζούσατε ὅλοι σας τὴν εὐσεβὴ ζωή, τὴ στιγμὴ ποὺ δυὸ φορὲς τὴν ἑβδομάδα τόσοι προφῆτες σᾶς μιλοῦν, τόσοι Ἀπόστολοι καὶ εὐαγγελιστές, καὶ ὅλοι σᾶς παρέχουν τὰ σωτήρια δόγματα, καὶ σᾶς προσφέρουν ἐκεῖνα ποὺ μποροῦν νὰ ρυθμίσουν μὲ μεγάλη ἀκρίβεια τὸν τρόπο ζωῆς σας. Ὁ στρατιώτης, ποὺ πηγαίνει στὶς ἀσκήσεις, γίνεται πιὸ κατάλληλος στὰ στρατιωτικὰ πράγματα· ὁ ἀθλητής, ποὺ πηγαίνει στὴν παλαίστρα, γίνεται πιὸ ἔμπειρος στὴν πάλη· ὁ γιατρός, ποὺ πηγαίνει στὸν δάσκαλο, γίνεται πιὸ εἰδικός, καὶ περισσότερα γνωρίζει καὶ περισσότερα μαθαίνει· σὺ τί ἔχεις κερδίσει; δὲν τὸ λέγω γι' αὐτοὺς ποὺ συγκεντρώνονται ἐδῶ ἐπὶ ἕνα χρόνο, ἀλλὰ γιὰ ἐκείνους ποὺ συγκεντρώνονται στὴν ἐκκλησία ἀπὸ τὴν πρώτη ἡλικία τους. Ἢ νομίζετε ὅτι αὐτὸ εἶναι εὐλάβεια, τὸ νὰ παραβρίσκεσθε πάντοτε στὴ

βάλλειν τῇ συνάξει; Τοῦτο οὐδέν ἐστιν, ἂν μή τι καρπωσώμεθα· ἂν μή τι συνάγωμεν, βέλτιον οἴκοι μένειν· καὶ γὰρ οἱ πρόγονοι τῆς Ἐκκλησίας ἡμῖν ᾠκοδόμησαν, οὐχ ἵνα, ἐκ τῶν ἰδίων οἴκων συναγαγόντες ἡμᾶς, ἀλλήλοις δεικνύωσι (τοῦτο γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν βαλανείοις, καὶ ἐν πομπῇ γένοιτο ἄν), ἀλλ' ἵνα, μαθητὰς ὁμοῦ καὶ διδασκάλους συναγαγόντες, βελτίους τούτους δι' ἐκείνων ἐργάσωνται.

Νόμος ἁπλῶς καὶ ἀφοσίωσις γέγονε τὰ ἡμέτερα· συνήθεια τὸ πρᾶγμα λοιπόν ἐστιν. Ἦλθε τὸ Πάσχα, πολὺς ὁ θόρυβος, πολλὴ ἡ ταραχή· οὐ γὰρ ἂν εἴποιμι πολλοὶ οἱ ἄνθρωποι· τοῦτο γὰρ οὐκ ἀνθρώπων. Ἀπῆλθεν ἡ ἑορτή, ὁ μὲν θόρυβος ὑποτέμνεται, ἡσυχία δὲ πάλιν ἄκαρπος. Παννυχίδες τόσαι καὶ ὑμνῳδίαι ἱεραί; Καὶ τί τὸ πλέον; Χεῖρον μὲν οὖν· πολλοὶ καὶ διὰ κενοδοξίαν τοῦτο ἐργάζονται. Πῶς, οἴεσθε, κόπτομαι τὰ σπλάγχνα, καθάπερ εἰς πόθον τετρημένον πάντα προχωροῦντα ὁρῶν;

Ἀλλὰ πάντως ἐρεῖτέ μοι, ὅτι τὰς Γραφὰς ἴσμεν. Καὶ τί τοῦτο; Ἂν διὰ τῶν ἔργων αὐτὰς ἐπιδεικνύητε, τοῦτό ἐστι τὸ κέρδος, αὕτη ἡ ὠφέλεια. Βαφεῖον ἡ Ἐκκλησία ἐστίν· ἂν διὰ παντὸς ἀπίητε, μηδεμίαν δεχόμενοι βαφήν, τί τὸ ὄφελος τοῦ συνεχῶς ἐνταῦθα ἰέναι; Μείζων μὲν γὰρ ἡ βλάβη. Τίς τοῖς νόμοις προσέθηκεν, οἷς ἀπὸ τῶν πατέρων ἐδέξατο; Οἷόν τι λέγω· ἔθος ὁ δεῖνα ἔχει ποιεῖν τὴν ἀνάμνησιν τῆς μητρός, ἢ τῆς γυναικός, ἢ τοῦ παιδίου, τοῦτο ποιεῖ, κἄν τε ἀκούῃ, κἄν τε μὴ ἀκούῃ παρ' ἡμῶν, ὑπὸ τῆς συνηθείας καὶ τοῦ συνειδότος ἑλκόμε-

συγκέντρωση; Αὐτὸ δὲν εἶναι τίποτε, ἂν δὲν ἀποκομίσομε κάποια ὠφέλεια· ἂν δὲν ἀποκομίζομε κάτι, εἶναι προτιμότερο νὰ μένομε στὸ σπίτι· καθόσον οἱ πρόγονοί μας ἔχτισαν τὶς ἐκκλησίες, ὄχι, συγκεντρώνοντάς μας ἀπὸ τὰ σπίτια μας ἐδῶ, γιὰ νά βλεπόμαστε ἀναμεταξύ μας (διότι αὐτὸ θὰ μποροῦσε νὰ γίνει καὶ στὴν ἀγορά, καὶ στὰ λουτρὰ καὶ στὰ πανηγύρια), ἀλλά, συγκεντρώνοντας μαζὶ μαθητὲς καὶ δασκάλους, νά κάνουν αὐτοὺς μέσω τῶν δασκάλων καλύτερους.

Κατάντησαν τά πράγματά μας ἁπλῶς νόμος καὶ ἐκπλήρωση ὑποχρεώσεων πού ἀναλάβαμε· κατάντησε πλέον τὸ πράγμα συνήθεια. Ἦρθε τὸ Πάσχα, πολὺς θόρυβος γίνεται, μεγάλη ἡ ταραχή· βέβαια δὲν θὰ μπορούσαμε νά ποῦμε ὅτι αὐτὸ γίνεται ἐπειδὴ εἶναι πολλοὶ οἱ ἄνθρωποι· διότι αὐτὸ δὲν εἶναι γνώρισμα τῶν ἀνθρώπων. Πέρασε ἡ ἑορτή, ὁ μὲν θόρυβος μειώνεται, ἐνῶ ἡ ἡσυχία πού ἐπικρατεῖ εἶναι πάλι ἄκαρπη. Πόσες ὁλονύκτιες προσευχὲς γίνονται καὶ πόσες ἱερὲς ὑμνωδίες; Καὶ ποιά εἶναι ἡ ἐπὶ πλέον ὠφέλεια; Ἀσφαλῶς τὸ ἀποτέλεσμα εἶναι χειρότερο· πολλοὶ δὲ τὸ κάνουν αὐτὸ καὶ ἀπὸ ματαιοδοξία. Πόσο, νομίζετε, ὅτι ὑποφέρουν τὰ σπλάχνα μου, βλέποντας ὅλα νὰ προχωροῦν σὰν μέσα σὲ τρυπημένο πιθάρι;

Ἀλλ' ὁπωσδήποτε θὰ μοῦ πεῖτε, ὅτι γνωρίζετε τὶς Γραφές. Καὶ ποιὸ τὸ ὄφελος ἀπ' αὐτό; Ἂν τὶς δείχνετε αὐτὲς μὲ τὰ ἔργα σας, αὐτὸ εἶναι τὸ κέρδος, αὐτὴ ἡ ὠφέλεια. Ἡ Ἐκκλησία εἶναι βαφεῖο· ἂν ἀναχωρεῖτε ἀπ' αὐτὴν πάντοτε χωρὶς νὰ λαμβάνετε καμιὰ βαφή, ποιὸ τὸ ὄφελος πού ἔρχεσθε συνέχεια ἐδῶ; Μεγαλύτερη ἀσφαλῶς γίνεται ἡ βλάβη. Ποιὸς πρόσθεσε κάτι στὶς συνήθειες πού ἔλαβε ἀπὸ τοὺς πατέρες του; Ἐννοῶ μὲ αὐτὸ πού λέγω τὸ ἑξῆς. Ὁ τάδε συνηθίζει νά τελεῖ τὸ μνημόσυνο τῆς μητέρας του, ἢ τῆς γυναίκας του, ἢ τοῦ παιδιοῦ του· αὐτὸ τὸ κάνει εἴτε ἀκούει κάτι ἀπὸ μᾶς εἴτε δὲν ἀκούει, παρασυρόμενος ἀπὸ τὴ συνήθεια καὶ τὴ συνείδησή του.

νος. Διὰ τοῦτο οὖν ἀγανακτεῖς; φησί. Μὴ γένοιτο! ἀλλὰ καὶ πάνυ χαίρω· ἐβουλόμην δὲ αὐτόν τι καὶ ἀπὸ τῆς ἡμετέρας καρπώσασθαι διαλέξεως, καί, ὅπερ ἡ συνήθεια ἐποίησε, τοῦτο καὶ ἐφ' ἡμῶν γενέσθαι, καὶ ἑτέραν ἐπεισαχθῆναι συνήθειαν· ἐπεὶ τί κόπτομαι εἰκῇ καὶ ληρῶ, εἰ μέλλοιτε ἐπὶ τῶν αὐτῶν μένειν, εἰ μηδὲν αἱ συνάξεις εἰς ὑμᾶς ἐργάζονται ἀγαθόν;

4. Ναί, φησίν, εὐχόμεθα. Καὶ τί τοῦτο, ἂν ᾖ χωρὶς ἔργων; Ἄκουε τοῦ Χριστοῦ λέγοντος· «Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου, τοῦ ἐν τοῖς οὐρανοῖς». Πολλάκις ἔγνων ἐγὼ σιγῆσαι, μηδεμίαν ἀπὸ τῶν ἡμετέρων λόγων προσθήκην ὑμῖν ἐγγινομένην ὁρῶν· ἢ τάχα γίνεται μέν, ἐγὼ δὲ ὑπὸ ἀπληστίας καὶ πολλῆς ἐπιθυμίας ταὐτὸν πάσχω τοῖς περὶ τὰ χρήματα μαινομένοις· καθάπερ γὰρ ἐκεῖνοι, ὅσα ἂν περιβάλωνται, οὐδὲν ἡγοῦνται ἔχειν, οὕτω καὶ αὐτός, ἐπειδὴ σφόδρα τῆς ὑμετέρας ἐφίεμαι σωτηρίας, ἕως ἂν ἴδω προκεκοφότας ὑμᾶς, οὐδὲν ἡγοῦμαι εἰργάσθαι διὰ τὸ σφόδρα ἐπιθυμεῖν πρὸς αὐτὴν τὴν κορυφὴν ὑμᾶς ἐλθεῖν. Βουλοίμην ἂν τοῦτο εἶναι, καὶ τοῦ ἐμοῦ πάθους εἶναι τοῦτο, ἀλλὰ μὴ τῆς ὑμετέρας ῥαθυμίας· δέδοικα δὲ μή ποτε καλῶς στοχάζωμαι. Πεπεῖσθαι γὰρ ὀφείλετε ὅτι, εἴ τις ἐγένετο ὠφέλεια ἐν τοσούτῳ χρόνῳ, παύσασθαι λοιπὸν ἡμᾶς λέγοντας ἔδει. Οὕτως οὐκ ἔδει ῥημάτων ὑμῖν, τῶν ἤδη λεχθέντων οὕτως ἱκανῶς εἰρημένων, ὡς καὶ ἄλλους δύνασθαι ῥυθμίζειν, εἴ γε

34. Ματθ. 7, 21

Γι' αὐτὸ λοιπόν, λέγει, ἀγανακτεῖς; Μακριὰ μιὰ τέτοια σκέψη! ἀντίθετα καὶ πάρα πολὺ χαίρομαι· θὰ ἤθελα ὅμως αὐτὸς καὶ ἀπὸ τὴ δική μου ὁμιλία ν' ἀποκομίσει κάποια ὠφέλεια, καί, ἐκεῖνο ποὺ ἡ συνήθεια ἔκανε, αὐτὸ καὶ ἀπὸ μᾶς νὰ γίνει, καὶ νὰ καθιερωθεῖ ἄλλη συνήθεια· διότι τί κοπιάζω ἄδικα καὶ ματαιολογῶ, ἂν πρόκειται νὰ μένετε στὰ ἴδια, ἂν οἱ συγκεντρώσεις δὲν σᾶς προσφέρουν κανένα ἀγαθό;

4. Ναί, λέγει, προσευχόμαστε. Καὶ τί σημασία ἔχει αὐτό, ἐφόσον ἡ προσευχὴ μένει χωρὶς ἔργα; Ἄκου τὸν Χριστὸ ποὺ λέγει· «Δὲν θὰ εἰσέλθει στὴ βασιλεία τῶν οὐρανῶν ὁ καθένας ποὺ μοῦ λέγει, Κύριε, Κύριε, ἀλλ' ἐκεῖνος ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Πατέρα μου ποὺ βρίσκεται στοὺς οὐρανούς»[34]. Πολλὲς φορὲς σκέφθηκα ἐγὼ νὰ σταματήσω νὰ ὁμιλῶ, βλέποντας νὰ μὴ προστίθεται σὲ σᾶς τίποτε ἀπὸ τοὺς λόγους μου· ἢ ἐνδεχομένως προστίθεται μὲν κάτι, ἀλλ' ἐγώ, ἐξ αἰτίας τῆς ἀπληστίας καὶ τῆς μεγάλης ἐπιθυμίας μου, παθαίνω τὸ ἴδιο μὲ ἐκείνους ποὺ εἶναι κυριευμένοι ἀπὸ τὴ μανία γιὰ τὰ χρήματα· διότι ὅπως ἀκριβῶς ἐκεῖνοι, ὅσα καὶ ἂν ἔχουν, νομίζουν ὅτι δὲν ἔχουν τίποτε, ἔτσι καὶ ἐγώ, ἐπειδὴ ποθῶ ὑπερβολικὰ τὴ σωτηρία σας, μέχρι ποὺ νὰ σᾶς δῶ νὰ σημειώσετε προκοπὴ πνευματική, νομίζω ὅτι τίποτε δὲν ἐπέτυχα, ἐπειδὴ ἐπιθυμῶ ὑπερβολικὰ ν' ἀνεβεῖτε σ' αὐτὴν τὴν κορυφὴ τῆς ἀρετῆς. Θὰ ἤθελα αὐτὸ νὰ συμβεῖ, καὶ αὐτὸ ἀποτελεῖ τὸν μεγάλο πόθο μου, ὄχι ὅμως καὶ τῆς δικῆς σας ἀδιαφορίας· ἀλλὰ φοβᾶμαι μήπως δὲν εἶναι σωστοὶ οἱ στοχασμοί μου. Διότι πρέπει νὰ εἶστε πεπεισμένοι ὅτι, ἐὰν πράγματι προέκυψε κάποια ὠφέλεια μέσα σὲ τόσο χρόνο, ἔπρεπε νὰ παύσω στὸ ἑξῆς νὰ σᾶς ὁμιλῶ. Τόσο πολὺ δὲν θὰ χρειαζόσαστε τὰ λόγια μου, ἀφοῦ αὐτὰ ποὺ ἤδη λέχθηκαν, ἔχουν λεχθεῖ μὲ τόση δύναμη, ὥστε νὰ μποροῦν καὶ τὴ ζωὴ ἄλλων νὰ ρυθμίζουν, ἐφόσον βέβαια, καὶ ἐνῶ ἀπουσίαζαν, προέκυπτε κάποια ὠφέλεια σὲ σᾶς.

ἀπόντων ὠφέλειά τις ὑμῖν προσεγίνετο. Τὸ δὲ ἀνάγκην ἡμᾶς ἔχειν συνεχοῦς διαλέξεως οὐδενὸς ἄλλου τεκμήριόν ἐστιν, ἢ τοῦ τὰ ὑμέτερα μὴ σφόδρα διακεῖσθαι ἀκριβῶς. Τί οὖν ἂν γένοιτο; οὐ γὰρ ἐγκαλεῖν δεῖ μόνον.

Παρακαλῶ καὶ δέομαι μὴ τοῦτο μόνον ὁρᾶν, ὅπως εἰς Ἐκκλησίαν ἐμβάλλητε, ἀλλ' ὅπως τι καὶ λαβόντες οἴκαδε ἀναχωρῆτε τῶν οἰκείων φάρμακον παθῶν, κἂν μὴ παρ' ἡμῶν, ἀλλὰ παρὰ τῶν Γραφῶν ἔχητε τὰ κατάλληλα φάρμακα. Οἷον, ἔστι τις θυμικός; Προσεχέτω ταῖς τῶν Γραφῶν ἀναγνώσεσι, καὶ πάντως εὑρήσει ἢ ἐν ἱστορίᾳ ἢ ἐν παραινέσει. Ἐν παραινέσει μέν, ὅταν λέγηται· «Ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ», καὶ «Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων», καὶ ὅσα τοιαῦτα· καὶ πάλιν, «Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται»· καὶ ὁ Χριστὸς πάλιν, «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ»· καὶ πάλιν ὁ Προφήτης, «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε»· καὶ «ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης»· ἐν δὲ ἱστορίαις, οἷον, ὅταν ἀκούῃς τὸν Φαραὼ πολλῆς ἐμπεπλησμένον ὀργῆς, καὶ τὸν Ἀσσύριον, καὶ διὰ τοῦτο ἀπολλυμένους.

Πάλιν ἔστι τις ἡττώμενος χρημάτων; ἀκουέτω ὅτι «φιλαργύρου οὐδὲν ἀνομώτερον· οὗτος γὰρ καὶ τὴν ψυχὴν αὐτοῦ ἔκπρακτον ποιεῖ», καὶ τοῦ Χριστοῦ λέγοντος, «Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ», καὶ τοῦ Ἀποστόλου, «Ὅτι ῥίζα πάντων τῶν κακῶν

------

35. Σοφ. Σειρὰχ 1, 22
36. Παροιμ. 11, 25
37. Ψαλμ. 139, 12
38. Ματθ. 5, 22
39. Ψαλμ. 4, 5
40. Γεν. 49, 7
41. Σοφ. Σειρὰχ 10, 9
42. Ματθ. 6, 24

Τὸ ὅτι ὅμως πρέπει συνέχεια νὰ σᾶς ὁμιλῶ, εἶναι ἀπόδειξη κανενὸς ἄλλου, παρὰ τοῦ ὅτι τὰ πνευματικά σας πράγματα δὲν βρίσκονται σὲ πάρα πολὺ καλὴ κατάσταση. Τί λοιπὸν θὰ μποροῦσε νὰ γίνει; διότι δὲν πρέπει μόνο νὰ κατηγοροῦμε.

Σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, νὰ μὴ φροντίζετε μόνο γι' αὐτό, τὸ πῶς δηλαδὴ νὰ εἰσέλθετε στὴν Ἐκκλησία, ἀλλὰ καὶ πῶς νὰ λάβετε, ἀναχωρώντας γιὰ τὸ σπίτι σας, κάποιο φάρμακο γιὰ τὰ πάθη σας, καὶ ἂν ὄχι ἀπὸ ἐμένα, ὁπωσδήποτε ὅμως μπορεῖτε νὰ λάβετε τὰ κατάλληλα φάρμακα ἀπὸ τὶς Γραφές. Γιὰ παράδειγμα· ὑπάρχει κάποιος ποὺ θυμώνει εὔκολα; Ἂς προσέχει τὶς ἀναγνώσεις τῶν Γραφῶν, καὶ ὁπωσδήποτε θὰ βρεῖ κάποιο φάρμακο ἢ μέσα στὴν ἱστορία ἢ στὴν παραίνεση. Στὴν παραίνεση μέν, ὅπως ὅταν λέγεται· «Ἡ ὁρμὴ τοῦ θυμοῦ αὐτοῦ ἀποτελεῖ γι' αὐτὸν πτώση καὶ καταδίκη»[35], καί, «Ἄνθρωπος ποὺ κυριεύεται ἀπὸ θυμὸ δὲν παρουσιάζει ὡραῖα ἐμφάνιση»[36], καὶ πολλὰ παρόμοια· καὶ πάλι, «Ἄνθρωπος ποὺ ἔχει συκοφαντικὴ γλώσσα δὲν θὰ εὐτυχήσει»[37]· καὶ ὁ Χριστὸς πάλι λέγει, «Ἐκεῖνος ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς λόγο»[38]· καὶ πάλι ὁ προφήτης λέγει· «Ὀργίζεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε»[39]· καὶ «Ἐπικατάρατος ἂς εἶναι ὁ θυμός τους, διότι εἶναι γεμάτος ἀπὸ θρασύτητα»[40]· στὶς δὲ ἱστορίες θὰ βρεῖ φάρμακα, ὅπως, ὅταν ἀκούει τὸν Φαραὼ νὰ εἶναι κυριευμένος ἀπὸ πολλὴ ὀργή, καθὼς καὶ τὸν Ἀσσύριο, καὶ γι' αὐτὸ νὰ καταστρέφονται.

Ὑπάρχει πάλι κάποιος ποὺ νικιέται ἀπὸ τὰ χρήματα; ἂς ἀκούει ὅτι «Τίποτε δὲν ὑπάρχει πιὸ παράνομο ἀπὸ τὸν φιλάργυρο· αὐτὸς καὶ τὴν ψυχή του καθιστᾶ ἄξια γιὰ καταδίκη»[41], καθὼς καὶ τὸν Χριστὸ ποὺ λέγει, «Δὲν μπορεῖτε νὰ δουλεύετε στὸν Θεὸ καὶ τὸν μαμωνά»[42], καὶ τὸν Ἀ-

ἐστιν ἡ φιλαργυρία», καὶ τοῦ Προφήτου, «Πλοῦτος ἐὰν ρέῃ, μὴ προστίθεσθε καρδίαν», καὶ πολλὰ ἕτερα τοιαῦτα. Καὶ ἀπὸ ἱστοριῶν τὸν Γιεζῆ, τὸν Ἰούδαν, τοὺς ἄρχοντας τῶν Γραμματέων, καὶ ὅτι «δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν».

Ἄλλος ἐστὶν ὑπερήφανος; Ἀκουέτω ὅτι «Ὑπερηφάνοις ἀντιτάσσεται ὁ Θεός», καὶ «Ἀρχὴ ὑπερηφανίας ἁμαρτία», καὶ «Πᾶς ὑψηλοκάρδιος ἀκάθαρτος παρὰ Κυρίῳ». Καὶ ἐν ἱστορίαις τὸν διάβολον, καὶ τοὺς ἄλλους ἅπαντας. Καὶ ὅλως (οὐ γὰρ ἔνι πάντα καταλέγειν), ἕκαστος τῶν οἰκείων τραυμάτων τὰ φάρμακα ἀπὸ τῶν θείων Γραφῶν ἐκλεγέτω· κἂν μὴ τὸ ὅλον, μέρος γοῦν τήμερον, καὶ μέρος αὔριον, εἶτα τὸ ὅλον ἀπονίψασθε.

Καὶ περὶ μετανοίας δέ, καὶ περὶ ἐξομολογήσεως, καὶ περὶ ἐλεημοσύνης, καὶ περὶ ἐπιεικείας, καὶ περὶ σωφροσύνης, καὶ περὶ πάντων εὑρήσει πολλὰ παραδείγματα· «Ταῦτα γὰρ πάντα ἐγράφη πρὸς νουθεσίαν ἡμῶν», φησίν. Εἰ τοίνυν πρὸς νουθεσίαν ἡμῶν περὶ πάντων διαλέγεται, προσέχωμεν ὡς δεῖ προσέχειν. Τί μάτην ἑαυτοὺς ἀπατῶμεν; Φοβοῦμαι μὴ καὶ περὶ ἡμῶν εἴπῃ τις ὅτι «Ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, καὶ τὰ ἔτη ἡμῶν μετὰ σπουδῆς». Τίς ἀκούων ἡμῶν ἀπέστη θεάτρων; τίς ἀπέστη πλεονεξίας; τίς προθυμότερος γέγονε περὶ ἐλεημοσύνην; Ἐβουλόμην μαθεῖν, οὐχὶ κενοδοξίας ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι προθυμότερος, λαμπρὸν ὄντα τὸν καρπὸν τῶν πόνων ὁρῶν. Νῦν δὲ πῶς ἅψομαι τῆς ἐργασίας, τοσούτους μὲν ὑετοὺς ὁρῶν καταφερομένους τῆς διδασκαλίας,

---

43. Α' Τιμ. 6, 10
44. Ψαλμ. 61, 11
45. Ἐξ. 23, 8 καὶ Δευτ. 16, 19
46. Παροιμ. 3, 34
47. Σοφ. Σειρ. 10, 13
48. Παροιμ. 16, 5
49. Ρωμ. 15, 4
50. Ψαλμ. 77, 33

πόστολο «Ότι ρίζα όλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία»[43], καὶ τὸν προφήτη «Ἂν ὁ πλοῦτος τρέχει σὰν ποτάμι, μὴ προσκολλᾶτε σ' αὐτὸν τὴν καρδιά σας»[44], καὶ πολλὰ ἄλλα παρόμοια· Καὶ ἀπὸ τὶς ἱστορίες τὶς σχετικὲς μὲ τὸν Γιεζῆ, τὸν Ἰούδα, τοὺς ἄρχοντες τῶν Γραμματέων, καὶ ὅτι «Τὰ δῶρα ἐκτυφλώνουν τοὺς ὀφθαλμοὺς τῶν σοφῶν»[45].

Ἄλλος εἶναι ὑπερήφανος; Ἂς ἀκούει ὅτι «Ὁ Θεὸς ἀντιτάσσεται στοὺς ὑπερήφανους»[46], καὶ «Ἀρχὴ τῆς ἁμαρτίας εἶναι ἡ ὑπερηφάνεια»[47], «Κάθε ὑπερήφανος εἶναι ἀκάθαρτος ἐνώπιον τοῦ Κυρίου»[48]. Καὶ στὶς ἱστορίες θὰ βρεῖς τὸν διάβολο καὶ ὅλους τοὺς ἄλλους. Καὶ γενικὰ (διότι δὲν εἶναι δυνατὸ ὅλα νὰ τὰ κατονομάσομε) ὁ καθένας ἂς ἐκλέγει τὰ φάρμακα τῶν τραυμάτων του ἀπὸ τὶς θεῖες Γραφές· καὶ ἂν δὲν ἀποπλύνετε ὁλόκληρο τὸ τραῦμα, ἕνα μέρος σήμερα, καὶ ἕνα μέρος αὔριο, καὶ ἔτσι θὰ καθαρίσετε ὁλόκληρο τὸ τραῦμα.

«Καὶ γιὰ τὴ μετάνοια δέ, καὶ γιὰ τὴν ἐξομολόγηση, καὶ γιὰ τὴν ἐλεημοσύνη, καὶ γιὰ τὴν ἐπιείκεια, καὶ γιὰ τὴ σωφροσύνη καὶ γιὰ ὅλα θὰ βρεῖ κανεὶς πολλὰ παραδείγματα· διότι, λέγει, «Ὅλα αὐτὰ γράφηκαν γιὰ τὴ νουθεσία μας»[49]. Ἐφόσον λοιπὸν γιὰ ὅλα ὁμιλεῖ μὲ σκοπὸ τὴ νουθεσία μας, ἂς προσέχομε ὅπως πρέπει νὰ προσέχομε. Γιατί στὰ χαμένα ἀπατοῦμε τοὺς ἑαυτούς μας; Φοβᾶμαι μήπως καὶ γιὰ μᾶς πεῖ κάποιος ὅτι «Πέρασαν ἄσκοπα οἱ ἡμέρες μας καὶ τὰ ἔτη μας ἔφυγαν μὲ ταχύτητα»[50]. Ποιὸς ἀκούοντάς με ἀπομακρύνθηκε ἀπὸ τὰ θέατρα; ποιὸς ἐγκατέλειψε τὴν πλεονεξία; ποιὸς ἔγινε προθυμότερος γιὰ ἐλεημοσύνη; Θὰ ἤθελα νὰ μάθω, ὄχι ἀπὸ ματαιοδοξία, ἀλλὰ γιὰ νὰ γίνω προθυμότερος, βλέποντας νὰ γίνεται λαμπρὸς ὁ καρπὸς τῶν κόπων μου. Τώρα ὅμως πῶς ν' ἀρχίσω τὴν ἐργασία μου, βλέποντας τόσες μὲν βροχὲς τῆς διδασκαλίας νὰ πέφτουν, τὰ δὲ σπαρτά μας

τὰ δὲ λήϊα ἡμῖν ἐπὶ τοῦ αὐτοῦ μέτρου μένοντα, καὶ οὐδὲν ὑψηλότερον τὰ γεννήματα γενόμενα;

Λοιπὸν ὁ τῆς ἅλω καιρὸς ἐφέστηκεν, ὁ τὸ πτύον ἔχων. Δέδοικα μὴ τὸ πᾶν χόρτος ᾖ· δέδοικα μὴ πρὸς τὴν κάμινον ἀπενεχθῶμεν ἅπαντες. Παρῆλθε θέρος, ἦλθε χειμών· καθήμεθα καὶ νέοι καὶ γέροντες, τοῖς οἰκείοις ἁλισκόμενοι πάθεσι. Μή μοι εἴπῃς ὅτι 'οὐ πορνεύω'· τί γὰρ ὄφελος, ἂν μὴ πορνεύῃς μέν, φιλοχρήματος δὲ ᾖς; Ὁ στρουθὸς κἂν μὴ ἐκ παντὸς μέρους, ἀλλ' ἀπὸ τοῦ ποδὸς κατέχηται μόνον, καὶ οὕτως ἀπόλωλε, καὶ ἐν τῇ παγίδι ἕστηκε, καὶ τῶν πτερῶν ὄφελος οὐδέν, τοῦ ποδὸς κατεχομένου. Οὕτω καὶ σὺ οὐχ ἑάλως διὰ πορνείας, ἀλλ' ἑάλως διὰ φιλαργυρίας· ἑάλως μέντοι· τὸ δὲ ζητούμενον, οὐ πῶς ἑάλως, ἀλλ' ὅτι ἑάλως. Μὴ λεγέτω ὁ νέος ὅτι 'οὐκ εἰμὶ φιλοχρήματος'· ἀλλ' ἴσως πορνεύεις. Καὶ τί τὸ ὄφελος πάλιν; οὐδὲ γὰρ δυνατὸν πάντα τὰ πάθη κατὰ μίαν ἡμῖν ἡλικίαν ἐπιστῆναι, ἀλλὰ διώρισται, καὶ τοῦτο διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὥστε μὴ ἀθρόως ἐπιτεθέντα ἀχείρωτα γενέσθαι, καὶ χαλεπωτέραν ἡμῖν τὴν πρὸς αὐτὰ πάλην καταστῆναι. Πόσης οὐκ ἂν εἴη νωθείας, μηδὲ διῃρημένων δύνασθαι κρατεῖν τῶν παθῶν, ἀλλὰ καθ' ἕκαστον ἡττᾶσθαι καιρόν, καὶ μέγα φρονεῖν ἐπὶ τούτοις τοῖς οὐκ ἐκ τῆς ἡμετέρας σπουδῆς, ἀλλ' ἐξ αὐτῆς τῆς ἡλικίας κοιμιζομένοις; Οὐ ὁρᾶτε τοὺς ἡνιόχους, πόσῃ ἀκριβείᾳ, καὶ γυμνασίᾳ, καὶ πόνοις κέχρηνται, καὶ σιτίοις, καὶ τοῖς ἄλλοις ἅπασιν, ὥστε μὴ καταβληθέντας ἀπὸ τῶν ἁρμάτων σύρεσθαι;

Ὅρα ὅσον ἐστὶ τέχνη· ἀνὴρ μὲν γὰρ ἀνδρεῖος οὐκ ἂν ἑνὸς ἵππου πολλάκις περιγένοιτο, μειρακίσκος δέ, τῇ τέχνῃ πολλάκις τοὺς δύο ἀναδεξάμενος, ἄγει εὐ-

νὰ παραμένουν στὸ ἴδιο μέγεθος καὶ νὰ μὴ γίνονται καθόλου ψηλότερα τὰ γεννήματα;

Λοιπὸν ὁ καιρὸς τοῦ ἀλωνίσματος ἔφθασε, ἐκεῖνος ποὺ κρατᾶ τὸ φτυάρι. Φοβᾶμαι μήπως τὸ πᾶν εἶναι χορτάρι· φοβᾶμαι μήπως ὅλοι μας ὁδηγηθοῦμε πρὸς τὴν κάμινο. Πέρασε τὸ θέρος, ἦρθε ὁ χειμώνας· καθόμαστε καὶ νέοι καὶ γέροι, κυριευμένοι ἀπὸ τὰ πάθη μας. Μὴ μοῦ πεῖς ὅτι 'δὲν πορνεύω'· διότι ποιό τὸ ὄφελος, ἂν δὲν πορνεύεις μέν, ἀλλ' εἶσαι φιλοχρήματος; Τὸ σπουργίτι καὶ ἂν ἀκόμα δὲν εἶναι πιασμένο ἀπὸ ὅλο τὸ σῶμα του, ἀλλὰ μόνο ἀπὸ τὸ πόδι του, καὶ ἔτσι ἔχει χαθεῖ, βρίσκεται μέσα στὴν παγίδα, καὶ δὲν ὠφελεῖται καθόλου ἀπὸ τὰ φτερά, ἀφοῦ τὸ πόδι του εἶναι πιασμένο. Ἔτσι καὶ σὺ δὲν συνελήφθηκες ἀπὸ τὴν πορνεία, ἀλλὰ συνελήφθηκες ἀπὸ τὴ φιλαργυρία· ὁπωσδήποτε ὅμως συνελήφθηκες· αὐτὸ δὲ ποὺ ζητεῖται εἶναι, ὄχι πῶς συνελήφθηκες, ἀλλ' ὅτι συνελήφθηκες. Ἂς μὴ λέγει ὁ νέος ὅτι 'δὲν εἶμαι φιλοχρήματος'· ἀλλ' ἴσως πορνεύεις· Καὶ ποιὸ τὸ ὄφελος πάλι; διότι δὲν εἶναι δυνατὸ ὅλα τὰ πάθη νὰ παρουσιασθοῦν σὲ μιὰ ἡλικία, ἀλλ' ἔχουν διαχωρισθεῖ, καὶ αὐτὸ ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ὥστε νὰ μὴ γίνουν ἀκατανίκητα, ἐπιτιθέμενα ὅλα μαζί, καὶ νὰ καταστεῖ ἔτσι φοβερότερη ἡ πάλη μας πρὸς αὐτά. Πόσης ἀδιαφορίας δὲν εἶναι δεῖγμα, τὸ νὰ μὴ μποροῦμε νὰ ὑπερισχύσομε τῶν παθῶν, μολονότι αὐτὰ εἶναι χωρισμένα, ἀλλὰ νὰ νικιέμαστε ἀπ' αὐτὰ ποὺ δὲν κατευνάζονται ἀπὸ τὴ δική μας προσπάθεια, ἀλλ' ἀπὸ τὴν ἴδια τὴν ἡλικία; Δὲν βλέπετε τοὺς ἡνιόχους, πόση προσεκτικότητα καὶ ἄσκηση καὶ κόπους χρησιμοποιοῦν, καθὼς καὶ τροφὲς καὶ ὅλα τὰ ἄλλα, ὥστε νὰ μὴ συμβεῖ νὰ καταβληθοῦν καὶ νὰ παρασυρθοῦν ἀπὸ τὰ ἅρματα;

Πρόσεχε πόσο σπουδαῖο πράγμα εἶναι ἡ τέχνη· διότι ἄνδρας μὲν ἀνδρεῖος πολλὲς φορὲς δὲν θὰ μποροῦσε οὔτε ἕναν ἵππο νὰ χαλιναγωγήσει, ἐνῶ ἕνας νεανίσκος, μὲ

κόλως καὶ φέρει. Καὶ ἐν Ἰνδοῖς δὲ τὸ μέγα θηρίον καὶ φοϐερὸν τῶν ἐλεφάντων λέγεται καὶ δεκαπενταέτει παιδὶ γεγονότι μετὰ πολλῆς εἴκειν τῆς προθυμίας. Τί δὴ ταῦτά μοι εἴρηται; Ὅτι, εἰ ἐλέφαντας καὶ ἵππους ἀγρίους ἄγχομεν σπουδάζοντες, πολλῷ μᾶλλον τὰ πάθη τὰ ἐν ἡμῖν. Πόθεν ἐκλυόμεθα διὰ παντὸς τοῦ ϐίου; Οὐδέποτε τὴν τέχνην ἐμελετήσαμεν ταύτην· οὐδέποτε ἐν καιρῷ σχολῆς οὐκ ὄντος τοῦ ἀγῶνος διελέχθημεν πρὸς ἑαυτούς τι τῶν χρησίμων. Τότε ἡμᾶς ἐπὶ τοῦ ἅρματος ἑστῶτας ἴδοι τις ἄν, ὅτε ὁ ἀγὼν παραγένηται. Διά τοι τοῦτο καταγέλαστοί ἐσμεν. Οὐκ εἶπον πολλάκις, γυμναζώμεθα πρὸς οὓς οἰκείους πρὸ τοῦ πειρασμοῦ; Πρὸς τοὺς παῖδας ἐπὶ τῆς οἰκίας πολλάκις παροξυνόμεθα, κατέχωμεν ἐκεῖ τὸν θυμόν, ἵνα εὐκόλως αὐτῷ ἐπὶ τῶν φίλων κεχρημένοι φαινώμεθα.

Καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων εἰ ἐγυμναζόμεθα οὐκ ἂν ἐν τοῖς ἀγῶσιν ἦμεν καταγέλαστοι. Νῦν δὲ ὅπλα μὲν τῶν ἄλλων καὶ γυμνάσια καὶ μελέται εἰσί, καὶ τεχνῶν καὶ παλαισμάτων, ἀρετῆς δὲ οὐδαμοῦ. Οὐκ ἂν τολμήσειεν ὁ γεωργὸς ἀμπέλου ἅψασθαι, μὴ πρότερον καλῶς γυμνασθεὶς τὰ γεωργικά· οὐδὲ ὁ κυϐερνήτης ἐπὶ τῶν οἰάκων καθίσαι, πρότερον ἐγγυμνασάμενος καλῶς· ἡμεῖς δέ, ἀμελέτητοι πάντῃ τυγχάνοντες, τὰ πρωτεῖα ἔχειν ϐουλόμεθα. Ἐχρῆν σιγᾶν, ἐχρῆν μηδενὶ κοινωνεῖν πραγμάτων μηδὲ ῥημάτων, ἕως ἂν ἠδυνήθημεν τὸ θηρίον ἡμερῶσαι τὸ ἐν ἡμῖν· ἢ οὐχὶ θη-

τῇ βοήθεια τῆς τέχνης, πολλὲς φορὲς ἀναλαμβάνοντας δύο ἵππους, τοὺς ὁδηγεῖ εὔκολα καὶ τοὺς διευθύνει. Καὶ σχετικὰ δὲ μὲ τοὺς Ἰνδοὺς λέγεται ὅτι τὸ μεγάλο καὶ φοβερὸ θηρίο τῶν ἐλεφάντων ὑπακούει μὲ μεγάλη προθυμία καὶ στὸ παιδὶ τῶν δεκαπέντε ἐτῶν. Γιὰ ποιὸ λόγο λοιπὸν τὰ ἔχω πεῖ αὐτά; Διότι, ἐὰν μὲ τὴν προσπάθεια καταπνίγομε ἐλέφαντες καὶ ἵππους ἄγριους, πολὺ περισσότερο μποροῦμε νὰ καταπνίξομε τὰ πάθη ποὺ βρίσκονται μέσα μας. Γιὰ ποιὸ λόγο σ' ὅλη μας τὴ ζωὴ βρισκόμαστε σὲ παραλυσία; Ποτὲ δὲν μελετήσαμε τὴν τέχνη αὐτή· ποτὲ κατὰ τὴν ὥρα τῆς ἀναπαύσεως καὶ ποὺ δὲν ὑπάρχει ἀγώνας συνομιλήσαμε μὲ τὸν ἑαυτό μας γιὰ κάτι ἀπὸ τὰ χρήσιμα. Τότε θὰ μποροῦσε κάποιος νὰ μᾶς δεῖ νὰ στεκόμαστε ἐπάνω στὸ ἅρμα, ὅταν φθάνει ἡ ὥρα τοῦ ἀγώνα. Γι' αὐτὸ βέβαια εἴμαστε ἄξιοι γιὰ γέλια. Δὲν εἶπα πολλὲς φορές, ἂς γυμναζόμαστε πρὸς τοὺς δικούς μας πρὶν ἀπὸ τὸν πειρασμό; Πολλὲς φορὲς ὀργιζόμαστε πρὸς τὰ παιδιά μας ἐνῶ βρισκόμαστε στὸ σπίτι· ἂς συγκρατοῦμε ἐκεῖ τὸ θυμό, ὥστε εὔκολα νὰ χρησιμοποιοῦμε αὐτὸ στὴν περίπτωση ποὺ θὰ ὀργισθοῦμε ἐναντίον τῶν φίλων.

Καὶ γιὰ ὅλα τὰ ἄλλα ἂν ἀσκούμασταν δὲν θὰ ἤμασταν στοὺς ἀγῶνες ἄξιοι γιὰ γέλια. Τώρα δὲ τῶν μὲν ἄλλων τεχνῶν καὶ τῶν παλαισμάτων ὑπάρχουν ὅπλα καὶ γίνονται ἀσκήσεις καὶ μελέτες, τῆς ἀρετῆς ὅμως δὲν ὑπάρχουν καθόλου· Δὲν θὰ τολμοῦσε ὁ γεωργὸς νὰ ἀγγίσει τὴν ἄμπελο, ἂν δὲν ἀσκηθεῖ προηγουμένως καλὰ στὰ γεωργικὰ πράγματα· οὔτε ὁ κυβερνήτης θὰ τολμοῦσε νὰ καθίσει στὸ πηδάλι τῶν πλοίων, ἂν δὲν ἔχει ἀσκηθεῖ προηγουμένως καλά· ἐμεῖς ὅμως, ἐνῶ εἴμαστε ἐξ ὁλοκλήρου ἀμελέτητοι, θέλομε νὰ ἔχομε τὰ πρωτεῖα. Ἔπρεπε νὰ σιωποῦμε, ἔπρεπε νὰ μὴ λαμβάνομε μέρος σὲ κανένα πράγμα, οὔτε καὶ σὲ λόγους, μέχρι ποὺ νὰ μπορέσομε νὰ ἐξημερώσομε τὸ θηρίο ποὺ ὑπάρχει μέσα μας· ἢ μήπως ὁ

ρίου παντὸς χαλεπώτερον ἐπιστρατεύεται ἡμῖν καὶ θυμὸς καὶ ἐπιθυμία; Μὴ ἐμβάλῃς εἰς ἀγορὰν μετὰ τούτων τῶν θηρίων, ἕως ἂν αὐτοῖς περιθῇς καλῶς τὸν χαλινόν, ἕως ἂν αὐτὰ τιθασσεύσῃς, καὶ χειροήθη κατασκευάσῃς. Οὐχ ὁρᾷς τούτους τοὺς περιάγοντας τοὺς ἡμέρους λέοντας ἐπὶ τῆς ἀγορᾶς, πῶς καὶ κερδαίνουσι καὶ θαυμάζονται, ὅτι ἐν τῷ ἀλόγῳ θηρίῳ τοιαύτην ἡμερότητα κατώρθωσαν; ἂν δὲ ἐξαίφνης ἀγριωθῇ ἐκεῖνος, πάντας σοβεῖ τοὺς ἐπὶ τῆς ἀγορᾶς, καὶ ἐκινδύνευσε λοιπὸν ὁ περιάγων αὐτὸν ἄνθρωπος, καὶ τῆς τῶν ἄλλων ἀπωλείας γέγονεν αἴτιος.

Καὶ σὺ τοίνυν τὸν λέοντα πρότερον ἡμέρωσον, καὶ τότε περίαγε, οὐχ ὥστε ἀργύριον λαβεῖν, ἀλλ' ὥστε κερδᾶναι κέρδος, οὗ μηδέν ἐστιν ἴσον· οὐδὲν γὰρ ἴσον ἐπιεικείας, ἣ καὶ τοῖς κεκτημένοις καὶ τοῖς χρωμένοις σφόδρα ἐστὶ χρησίμη. Ταύτην οὖν διώκωμεν, ἵνα δυνηθῶμεν, τῆς ἀρετῆς τὴν ὁδὸν μετὰ ἀκριβείας διανύσαντες, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θυμὸς καὶ ἡ ἐπιθυμία δὲν ἐκστρατεύουν ἐναντίον μας φοβερότερα ἀπὸ ὁποιοδήποτε θηρίο; Μὴ περιφέρεσαι μέσα στὴν ἀγορὰ μαζὶ μὲ τὰ θηρία αὐτά, μέχρι ποὺ νὰ χαλιναγωγήσεις καλὰ αὐτά, μέχρι ποὺ νὰ τὰ δαμάσεις καὶ νὰ τὰ ἐξημερώσεις. Δὲν βλέπεις αὐτοὺς ποὺ περιφέρουν μέσα στὴν ἀγορὰ τὰ ἥμερα λεοντάρια, πῶς καὶ κερδίζουν καὶ θαυμάζονται, ἐπειδὴ κατόρθωσαν τέτοια ἡμερότητα στὸ ἄλογο θηρίο; ἂν δὲ ξαφνικὰ ἐξαγριωθεῖ ἐκεῖνο, ὅλους τοὺς διώχνει ἀπὸ τὴν ἀγορά, καὶ διατρέχει τότε κίνδυνο ὁ ἄνθρωπος ἐκεῖνος ποὺ τὸν περιφέρει καὶ γίνεται αἴτιος τῆς καταστροφῆς τῶν ἄλλων.

Καὶ σὺ λοιπὸν πρῶτα ἐξημέρωσε τὸ λεοντάρι καὶ μετὰ νὰ τὸ περιφέρεις, ὄχι μὲ σκοπὸ νὰ λάβεις χρήματα, ἀλλὰ γιὰ ν' ἀποκομίσεις κέρδος, μὲ τὸ ὁποῖο τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ· διότι τίποτε δὲν εἶναι ἴσο μὲ τὴν ἐπιείκεια, ἡ ὁποία εἶναι πάρα πολὺ χρήσιμη καὶ σ' αὐτοὺς ποὺ τὴν ἔχουν καὶ σ' αὐτοὺς ποὺ τὴ χρησιμοποιοῦν. Αὐτὴν λοιπὸν ἂς ἐπιδιώκομε, γιὰ νὰ μπορέσομε, ἀφοῦ διανύσομε μὲ μεγάλη προσοχὴ τὴν ὁδὸ τῆς ἀρετῆς, νὰ ἐπιτύχομε τὰ αἰώνια ἀγαθὰ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Λ΄
(Πράξ. 13, 42 - 14, 13)

«Ἐξιόντων δὲ αὐτῶν ἐκ τῆς συναγωγῆς, παρεκάλουν εἰς τὸ μεταξὺ Σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα».

1. Εἶδες τοῦ Παύλου τὴν σύνεσιν; Οὐχὶ τότε ἐθαυμάσθη μόνον, ἀλλὰ καὶ ἐπιθυμίαν αὐτοῖς δευτέρας ἐνέβαλεν ἀκροάσεως εἰπών τινα σπέρματα, καὶ μὴ ἐπιλύσας, μηδὲ ἐπεξελθὼν τῷ λόγῳ, ὥστε αὐτοὺς ἀπαρτίσαι, καὶ οἰκειῶσαι ἑαυτῷ, καὶ μὴ χαυνοτέρους ἐργάσασθαι τῷ πάντα ἀθρόον εἰς τὰς ἐκείνων ῥῖψαι ψυχάς. Εἶπεν ὅτι «ἄφεσις ἁμαρτιῶν διὰ τούτου ὑμῖν καταγγέλλεται», τὸ δὲ πῶς, οὐκ ἐδήλωσε· μετὰ ταῦτα λοιπὸν αὐτὸς ἑαυτοῦ μνημονεύει πρώτου. Ὁρᾷς τὴν προθυμίαν ὅση· «Ἠκολούθουν» αὐτοῖς, φησί. Διὰ τί αὐτοὺς οὐκ ἐβάπτισεν εὐθέως; Οὐκ ἦν καιρός· πεῖσαι ἔδει ὥστε βεβαίως ἐμμένειν.

«Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ· οἵτινες, προσλαλοῦντες αὐτοῖς, ἔπειθον προσμένειν αὐτοὺς τῇ χάριτι τοῦ Θεοῦ. Τῷ τε ἐρχομένῳ Σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀν-

---
1. Πράξ. 13, 42
2. Πράξ. 13, 38

ΟΜΙΛΙΑ Λ΄
(Πράξ. 13, 42 - 14, 13)

«Ἐνῶ δὲ αὐτοὶ ἔβγαιναν ἀπὸ τὴ συναγωγὴ τῶν Ἰουδαίων, οἱ ἐθνικοὶ τοὺς παρακαλοῦσαν νὰ τοὺς κηρυχθοῦν τὰ λόγια αὐτὰ κατὰ τὸ ἑπόμενο Σάββατο»[1].

1. Εἶδες τὴ σύνεση τοῦ Παύλου; Δὲν θαυμάσθηκε μόνο τότε, ἀλλ' ἔβαλε μέσα τους καὶ ἐπιθυμία γιὰ δεύτερη ἀκρόαση, λέγοντας μερικὰ μόνο σπέρματα τῆς ἀληθείας καὶ μὴ ἐξηγώντας αὐτά, οὔτε καὶ ὁλοκληρώνοντας τὸ λόγο, ὥστε νὰ καταστήσει πλήρη σ' αὐτοὺς τὴ διδασκαλία καὶ νὰ τοὺς ἐξοικειώσει μὲ τὸν ἑαυτό του, καὶ χωρὶς νὰ τοὺς κάνει περισσότερο ἀδιάφορους ρίχνοντας μέσα στὶς ψυχές τους ὅλα μὲ τὴ μία φορά. Εἶπε ὅτι «Μὲ αὐτὸν κηρύσσεται σὲ σᾶς ἄφεση ἁμαρτιῶν»[2], τὸ πῶς ὅμως, δὲν τὸ φανέρωσε· στὴ συνέχεια μετὰ ἀπὸ αὐτὰ ὁμιλεῖ γιὰ τὸν ἑαυτό του πρῶτα. Βλέπεις πόσο μεγάλη εἶναι ἡ προθυμία τους· «Ἀκολουθοῦσαν», λέγει, αὐτούς. Γιατί δὲν τοὺς βάπτισε αὐτοὺς ἀμέσως; Δὲν ἦταν ἡ κατάλληλη στιγμή· ἔπρεπε νὰ τοὺς πείσει, ὥστε νὰ παραμένουν σταθεροὶ στὴν πίστη.

«Ὅταν διαλύθηκε ἡ συναγωγή, ἀκολούθησαν τὸν Παῦλο καὶ τὸν Βαρνάβα πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους καὶ τοὺς προσήλυτους στὸν Ἰουδαϊσμό, καὶ αὐτοί, μιλώντας τους, τοὺς ἔπειθαν νὰ μένουν σταθεροὶ στὴ χάρη τοῦ Θεοῦ. Τὸ ἑπόμενο Σάββατο σχεδὸν ὅλη ἡ πόλη μαζεύθηκε ν' ἀκούσει τὸ λόγο τοῦ Θεοῦ· Ὅταν ὅμως οἱ Ἰουδαῖοι εἶδαν τὰ πλήθη τοῦ λαοῦ, κυριεύθηκαν ἀπὸ φθόνο, καὶ πρόβαλ-

τέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ἀντιλέγοντες καὶ βλασφημοῦντες». Ὅρα τὴν κακίαν πληττομένην ἐν τῷ πλήττειν ἑτέρους. Τοῦτο μᾶλλον αὐτοὺς ἐποίει λαμπρούς, τὸ ἀντιλέγειν ἐκείνους. Τὸ μὲν οὖν πρῶτον αὐτόματοι παρεκάλεσαν. «Ἀντιλέγοντες», φησί, «καὶ βλασφημοῦντες». Ὢ τῆς ἰταμότητος! ἐφ' οἷς αὐτοὺς ἀποδέχεσθαι ἔδει, οἱ δὲ ἀντιλέγουσι.

«Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ, ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Ὁρᾷς πῶς φιλονεικήσαντες μᾶλλον ἐξέτειναν τὸ κήρυγμα, καὶ μᾶλλον ἔδωκαν ἑαυτοὺς εἰς τὰ ἔθνη, ἀπολογησάμενοι καὶ ἀνευθύνους ἑαυτοὺς ἐγκλημάτων ποιήσαντες παρὰ τοῖς οἰκείοις; Καὶ οὐκ εἶπεν, 'Ἀνάξιοί ἐστε', ἀλλ' «ἐκρίνατε ἑαυτοὺς ἀναξίους», ἀνεπαχθῆ τὸν λόγον ποιῶν.

«Ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς». Ἵνα γὰρ μὴ ἀκούοντα τὰ ἔθνη λυπῆται, ὡς ἐκ τῆς ἐκείνων σπουδῆς μὴ τυγχάνοντα τῶν ἀγαθῶν, ἐπάγει τὴν προφητείαν, λέγων· «Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς».

«Ἀκούοντα δὲ τὰ ἔθνη». Τοῦτο καὶ αὐτοὺς προθυμοτέρους ἐποίει, ὅτι, ὧν ἐκεῖνοι ὤφειλον ἀκούσαντες ἀπολαῦσαι, αὐτοὶ τούτων ἀπολαύουσι, κἀκείνους μᾶλλον ἔδακνεν.

«Ἀκούοντα δὲ τὰ ἔθνη», φησίν, «ἔχαιρον, καὶ

---

3. Πράξ. 13, 43 - 45
4. Πράξ. 13, 46
5. Πράξ. 13, 47. Ἠσ. 49, 6

λαν ἀντιρρήσεις σ' ὅσα ἔλεγε ὁ Παῦλος, ἀντιμιλώντας καὶ βρίζοντας αὐτόν»[3]. Πρόσεχε τὴν κακία ποὺ δέχεται πλήγματα τὴ στιγμὴ ἀκριβῶς ποὺ πλήττει ἄλλους. Αὐτὸ τοὺς ἔκαμνε περισσότερο λαμπρούς, τὸ ὅτι δηλαδὴ ἐκεῖνοι πρόβαλλαν ἀντιρρήσεις. Στὴν ἀρχὴ βέβαια μόνοι τους τὸν παρακάλεσαν νὰ ὁμιλήσει. «Προβάλλοντας», λέγει, «ἀντιρρήσεις καὶ βρίζοντάς τους». Πώ, πὼ μέγεθος ἀδιαντροπιᾶς! Ἐκεῖνα ἀπὸ τὰ ὁποῖα ἔπρεπε ν' ἀποδεχθοῦν αὐτούς, σ' αὐτὰ αὐτοὶ προβάλλουν ἀντιρρήσεις.

«Ὁ Παῦλος ὅμως καὶ ὁ Βαρνάβας γεμάτοι ἀπὸ θάρρος εἶπαν· Ἔπρεπε ὁ λόγος τοῦ Θεοῦ νὰ κηρυχθεῖ πρῶτα σὲ σᾶς, ἐπειδὴ ὅμως τὸν ἀποκρούετε καὶ δὲν θεωρεῖτε τοὺς ἑαυτούς σας ἄξιους τῆς αἰώνιας ζωῆς, νὰ στρεφόμαστε τώρα πρὸς τὰ ἔθνη»[4]. Βλέπεις πῶς μὲ τὸ ὅτι φιλονείκησαν περισσότερο συνετέλεσαν στὴ διάδοση τοῦ κηρύγματος καὶ περισσότερο παρέδωσαν τοὺς ἑαυτούς τους στὰ ἔθνη, ἀφοῦ ἀπολογήθηκαν καὶ παρουσίασαν τοὺς ἑαυτούς τους στοὺς δικούς τους ἀνεύθυνους τῶν κατηγοριῶν; Καὶ δὲν εἶπε, Εἶστε ἀνάξιοι', ἀλλὰ «κρίνατε τοὺς ἑαυτούς σας ἀνάξιους», κάμνοντας τὸ λόγο ὑποφερτό.

«Νά, στρεφόμαστε πρὸς τὰ ἔθνη· Διότι αὐτὴν τὴν ἐντολὴ μᾶς ἔδωσε ὁ Κύριος. Σὲ ἔχω τοποθετήσει νὰ εἶσαι φῶς στὰ ἔθνη καὶ σωτηρία μέχρι τὰ πέρατα τῆς γῆς»[5]. Διότι, γιὰ νὰ μὴ στενοχωροῦνται οἱ ἐθνικοὶ ἀκούοντας αὐτά, ὅτι δὲν κατορθώνουν νὰ ἐπιτύχουν τὰ ἀγαθὰ ἐξ αἰτίας τοῦ ζήλου ἐκείνων, ἀναφέρει τὴν προφητεία, λέγοντας· «Σὲ ἔχω τοποθετήσει φῶς στὰ ἔθνη, καὶ σωτήρα μέχρι τὰ πέρατα τῆς γῆς».

«Ἀκούοντας δὲ αὐτὰ οἱ ἐθνικοί». Αὐτὸ ἔκαμνε καὶ αὐτοὺς πιὸ πρόθυμους, διότι, ἐκεῖνα ποὺ ἔπρεπε ἐκεῖνοι, ἀφοῦ τὰ ἄκουσαν, νὰ τὰ ἀπολαύσουν, αὐτοὶ ἀπολαμβάνουν αὐτά, καὶ αὐτὸ περισσότερο καταπλήγωνε ἐκείνους.

«Ἀκούοντας αὐτά», λέγει, «οἱ ἐθνικοὶ χάρηκαν καὶ

ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου· καὶ ἐπίστευσαν ὅσοι ἦταν τεταγμένοι εἰς ζωὴν αἰώνιον»· τουτέστιν, ʽἀφωρισμένοι τῷ Θεῷʼ. Ὅρα πῶς δείκνυσι τὸ τάχος τῆς ὠφελείας.

«Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας»· τουτέστι, ʽδιεκομίζετοʼ. Ὡσεὶ ἔλεγεν· ʽΟὐκ ἔστησαν μέχρι τοῦ ζήλου, ἀλλὰ καὶ ἔργα προσέθηκανʼ. Ὅρα πάλιν πῶς διωκόμενοι ἕτερα κατασκευάζουσι μεγάλα διὰ τοῦ ζήλου (κατεσκεύασαν γὰρ τὸ παρρησιάσασθαι αὐτούς, καὶ εἰς τὰ ἔθνη ἐλθεῖν), καὶ ἄκουε πῶς.

«Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· ʽΥμῖν, φησίν, ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Ἄρα ἔμελλον λοιπὸν ἐξελθεῖν εἰς τὰ ἔθνη. Ἀλλ' ὅρα καὶ τὴν παρρησίαν μέτρῳ γινομένην. Καὶ εἰκότως· εἰ γὰρ Πέτρος ἀπελογεῖτο, πολλῷ μᾶλλον οὗτοι ἀπολογίας ἐδέοντο, οὐδενὸς αὐτοὺς καλέσαντος ἐκεῖ. Εἰπὼν δέ, «Πρῶτον», ἔδειξεν ὅτι κἀκείνοις ἔδει· καὶ εἰπών, «Ἀναγκαῖον», ἔδειξεν ὅτι κἀκείνοις ἀναγκαῖον. Ἐπειδὴ δὲ ἀποστρέφεσθε, οὐκ εἶπεν, ʽΟὐαὶ ὑμῖνʼ, καὶ ὅτι ʽκολάζεσθεʼ, ἀλλ' ὅτι «Στρεφόμεθα εἰς τὰ ἔθνη». Εἶδες πῶς πολλῆς ἐπιεικείας ἡ παρρησία γέμει;

«Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ Βαρνάβαν, καὶ ἐκβάλλουσιν αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν». Ὁρᾷς ὅσον ἤνυσαν οἱ ἐναντιούμενοι τῷ κηρύγματι; εἰς ὅσην ἀσχημοσύνην αὐτὰς ἤγαγον;

«Οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν ἀπὸ τῶν πο-

---

6. Πράξ. 13, 48
7. Πράξ. 13, 49
8. Πράξ. 13, 46
9. Πράξ. 4, 5 - 22
10. Πράξ. 13, 50

δέχθηκαν τὸ λόγο τοῦ Κυρίου, καὶ πίστεψαν ὅσοι εἶχαν ταχθεῖ γιὰ τὴν αἰώνια ζωή»[6]· δηλαδὴ 'ὅσοι ἦταν ξεχωρισμένοι γιὰ τὸ Θεό'. Πρόσεχε πῶς δείχνει τὴν ταχύτητα τῆς ὠφέλειας.

«Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου σ' ὅλη τὴ χώρα»[7]· δηλαδὴ 'διαδιδόταν'· Εἶναι σὰν νὰ ἔλεγε· 'Δὲν ἀρκέσθηκαν μόνο στὸ ζῆλο, ἀλλὰ πρόσθεσαν καὶ ἔργα'. Πρόσεχε πάλι πῶς, ἐνῶ καταδιώκονται, κατορθώνουν μὲ τὸ ζῆλο ἄλλα σπουδαῖα πράγματα (διότι συντέλεσαν στὸ νὰ λάβουν θάρρος καὶ νὰ ἔλθουν πρὸς τοὺς ἐθνικούς), καὶ ἄκου πῶς.

«Γεμάτοι ἀπὸ θάρρος ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπαν· Σὲ σᾶς πρῶτα ἔπρεπε νὰ κηρυχθεῖ ὁ λόγος τοῦ Θεοῦ, ἐπειδὴ ὅμως ἀπορρίψατε αὐτόν, νά, στρεφόμαστε πρὸς τὰ ἔθνη»[8]. Ἄρα ἐπρόκειτο νὰ μεταβοῦν πρὸς τοὺς ἐθνικούς. Πρόσεχε ὅμως καὶ τὸ θάρρος τους ποὺ ἐκδηλώνεται μὲ μέτρο. Καὶ πολὺ σωστά· διότι, ἂν ὁ Πέτρος ἀπολογοῦνταν τότε[9], πολὺ περισσότερο εἶχαν ἀνάγκη ἀπὸ ἀπολογία αὐτοί, ἐφόσον κανένας δὲν τοὺς κάλεσε ἐκεῖ. Λέγοντας δέ, «Πρῶτα», ἔδειξε ὅτι ἔπρεπε νὰ κηρυχθεῖ καὶ σ' ἐκείνους· καὶ λέγοντας, «Ἀναγκαῖον», ἔδειξε ὅτι ἦταν ἀνάγκη καὶ σ' ἐκείνους νὰ κηρυχθεῖ ὁ λόγος τοῦ Θεοῦ. Ἐπειδὴ ὅμως τὸν ἀποκρούετε, δὲν εἶπε, 'Ἀλλοίμονό σας', καὶ ὅτι 'θὰ τιμωρηθεῖτε', ἀλλ' ὅτι «Στρεφόμαστε πρὸς τὰ ἔθνη»· Εἶδες πῶς τὸ θάρρος τους εἶναι γεμάτο ἀπὸ πολλὴ ἐπιείκεια;

«Οἱ Ἰουδαῖοι ὅμως παρακίνησαν τὶς εὐσεβεῖς γυναῖκες καὶ τὶς γυναῖκες τῆς ἀνώτερης τάξεως καθὼς καὶ τοὺς πρώτους τῆς πόλεως καὶ ἤγειραν διωγμὸ ἐναντίον τοῦ Παύλου καὶ τοῦ Βαρνάβα καὶ τοὺς ἔδιωξαν ἔξω ἀπὸ τὰ σύνορά τους»[10]. Βλέπεις πόσο συνέβαλαν, ἐκεῖνοι ποὺ ἀντιτίθονταν στὸ κήρυγμα, στὴ διάδοσή του; σὲ πόση ἀπρέπεια ὁδήγησαν τὶς γυναῖκες;

«Αὐτοὶ δέ, ἀφοῦ τίναξαν πρὸς αὐτοὺς τὴ σκόνη τῶν

δῶν αὐτῶν ἐπ' αὐτούς, ἦλθον εἰς Ἰκόνιον». Ἐνταῦθα τὸ φοβερὸν ἐποίουν λοιπόν, ὃ προσέταξεν ὁ Χριστός, λέγων· «Καὶ ἐὰν μή τις ὑμᾶς δέξηται, ἐξερχόμενοι ἐκτινάξατε τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν». Αὐτοὶ δὲ οὐδὲ ἁπλῶς τοῦτο ἐποίησαν, ἀλλ' ἐπειδὴ ἀπηλάθησαν παρ' αὐτῶν. Πλὴν οὐδὲ τοῦτο τοὺς μαθητὰς ἔβλαψεν, ἀλλὰ μᾶλλον ἐπέμενον τῷ λόγῳ. Διὸ καὶ τοῦτο δηλῶν ἐπάγει· «Οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ Πνεύματος ἁγίου». Πάθος γὰρ διδασκάλου παρρησίαν οὐκ ἐγκόπτει, ἀλλὰ προθυμότερον ποιεῖ τὸν μαθητήν.

«Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πλῆθος πολύ». Πάλιν εἰς τὰς συναγωγὰς εἰσέρχονται. Ὅρα πῶς οὐκ ἐγένοντο δειλότεροι, εἰπόντες ὅτι «στρεφόμεθα εἰς τὰ ἔθνη». Ἐκ πολλῆς τῆς περιουσίας ὅμως ἀναιροῦσιν αὐτῶν τὴν ἀπολογίαν. «Ὥστε πιστεῦσαι», φησίν, «Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος»· εἰκὸς γὰρ αὐτοὺς ὡς καὶ πρὸς Ἕλληνας διαλέγεσθαι.

«Οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν». Κατὰ τὸ αὐτὸ λοιπὸν καὶ τὰ ἔθνη ἐπήγειραν, ὡς οὐκ ἀρκοῦντες αὐτοί. Τί οὖν ἐκεῖθεν οὐκ ἐξῆλθον; Οὐ γὰρ ἐδιώκοντο, ἀλλ' ἐπολεμοῦντο μόνον.

«Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν, παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, καὶ διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν». Τοῦτο ἐποίει τὴν παρρησίαν· μᾶλλον δὲ τὴν μὲν παρρησίαν ἐποίει ἡ αὐτῶν

---

11. Πράξ. 13, 51
12. Ματθ. 10, 14
13. Πράξ. 13, 52
14. Πράξ. 14, 1
15. Πράξ. 14, 2
16. Πράξ. 14, 3

ποδιῶν τους, ἦρθαν στὸ 'Ικόνιο»[11]. 'Εδῶ πλέον κάμνουν τὴ φοβερὴ ἐκείνη ἐνέργεια, ποὺ πρόσταξε ὁ Χριστός, λέγοντας· «Καὶ ἂν κάποιος δὲν σᾶς δειχθεῖ, φεύγοντας τινάξατε τὴ σκόνη ἀπὸ τὰ πόδια σας»[14]. Αὐτοὶ δὲ δὲν τὸ ἔκαναν αὐτὸ ἔτσι στὴν τύχη, ἀλλ' ἐπειδὴ διώχθηκαν ἀπ' αὐτούς. Πλὴν ὅμως οὔτε αὐτὸ ἔβλαψε τοὺς μαθητές, ἀλλ' ἐπέμεναν περισσότερο στὸ κήρυγμα τοῦ θείου λόγου. Γι' αὐτὸ καὶ γιὰ νὰ δηλώσει αὐτὸ προσθέτει· «Οἱ δὲ μαθητὲς ἦταν γεμάτοι ἀπὸ χαρὰ καὶ ἅγιο Πνεῦμα»[13]. Διότι τὸ κακοπάθημα δὲν ἐμποδίζει τὸ θάρρος τοῦ δασκάλου, ἀλλὰ κάμνει πιὸ πρόθυμο τὸν μαθητή.

«Συνέβηκε δὲ καὶ στὸ 'Ικόνιο τὸ ἴδιο, νὰ μποῦν δηλαδὴ στὴ συναγωγὴ τῶν 'Ιουδαίων καὶ νὰ μιλήσουν ἔτσι, ὥστε νὰ πιστέψει μεγάλο πλῆθος καὶ ἀπὸ τοὺς 'Ιουδαίους καὶ ἀπὸ τοὺς Ἕλληνες»[14]. Πάλι μπαίνουν μέσα στὶς συναγωγές. Πρόσεχε πῶς δὲν ἔγιναν πιὸ δειλοί, ὅταν εἶπαν ὅτι «Στρεφόμαστε πρὸς τὰ ἔθνη». Μὲ μεγάλη ὑπεροχὴ ὅμως ἀναιροῦν τὴν ἀπολογία αὐτῶν· «Ὥστε νὰ πιστέψει», λέγει, «μεγάλο πλῆθος καὶ ἀπὸ τοὺς 'Ιουδαίους καὶ ἀπὸ τοὺς Ἕλληνες»· διότι φυσικὸ ἦταν αὐτοὶ νὰ μιλοῦσαν καὶ πρὸς τοὺς Ἕλληνες·

«Οἱ 'Ιουδαῖοι ὅμως ποὺ δὲν πίστευαν, ξεσήκωσαν ἐναντίον τῶν ἀδελφῶν τοὺς ἐθνικοὺς καὶ καταπίκραναν τὶς ψυχές τους»[15]. Κατὰ τὸν ἴδιο τρόπο λοιπὸν ξεσήκωσαν ἐναντίον τους καὶ τοὺς ἐθνικούς, σὰν νὰ μὴ ἐπαρκοῦσαν οἱ ἴδιοι. Γιατί λοιπὸν δὲν ἔφυγαν ἀπὸ ἐκεῖ; Διότι δὲν καταδιώκονταν, ἀλλὰ μόνο πολεμοῦνταν.

«Ἔμειναν ἐκεῖ λοιπὸν ἀρκετὸ χρόνο, γεμάτοι μὲ θάρρος πρὸς τὸν Κύριο, ποὺ ἐπιβεβαίωνε τὸ λόγο τῆς χάριτός του παρέχοντας τὴ δυνατότητα νὰ γίνονται θαύματα καὶ παράξενα πράγματα μὲ τὰ χέρια αὐτῶν»[16]. Αὐτὸ δημιουργοῦσε τὸ θάρρος· ἢ καλύτερα τὸ μὲν θάρρος τὸ δημιουργοῦσε ἡ προθυμία αὐτῶν (διότι ἀκριβῶς γι' αὐτὸ

προθυμία (διὰ γὰρ τοῦτο μέχρι πολλοῦ οὐδαμῶς σημεῖα οὐ ποιοῦσι), τὸ δὲ πιστεῦσαι τοὺς ἀκούοντας, τῶν σημείων ἦν. Συνετέλει γοῦν τι καὶ ἡ παρρησία.

«Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς Ἀποστόλοις». Οὐ μικρὸν εἰς κατηγορίαν καὶ αὐτὸ τὸ σχισθῆναι. Τοῦτο ἦν, ὃ ἔλεγεν ὁ Χριστός· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν».

«Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς, συνιδότες κατέφυγον εἰς τὰς κύκλῳ πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον, κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι». Πάλιν ὥσπερ ἐπίτηδες ἐκτεῖναι βουλόμενοι τὸ κήρυγμα, μετὰ τὸ αὐξηθῆναι πάλιν αὐτοὺς ἐξάγουσιν. Ὅρα πανταχοῦ τοὺς διωγμοὺς μεγάλα ἐργαζομένους ἀγαθά, καὶ τοὺς μὲν διώκοντας ἡττωμένους, τοὺς δὲ διωκομένους λαμπροὺς ἀποφαίνοντας· ἐλθὼν γὰρ ἐν Λύστροις, ποιεῖται θαῦμα μέγα, τὸν χωλὸν ἀναστήσας, καὶ μεγάλῃ τῇ φωνῇ· καὶ πῶς, ἄκουε.

2. «Καί τις», φησίν, «ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιεπατήκει. Οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι, εἶπε μεγάλῃ τῇ φωνῇ· Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός. Καὶ ἥλλετο καὶ περιεπάτει». Διὰ τί μεγάλῃ τῇ φωνῇ; Ὥστε τοὺς ὄχλους πιστεῦσαι. Ὅρα δέ, προσεῖχεν ἀκριβῶς τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου· τοῦτο γάρ ἐστι τὸ «ἤ-

---

17. Πράξ. 14, 4
18. Ματθ. 10, 34
19. Πράξ. 14, 5 - 7
20. Πράξ. 14, 8 - 10

γιὰ πολὺ χρόνο δὲν κάμνουν καθόλου θαύματα), τὸ νὰ πιστέψουν ὅμως οἱ ἀκροατές τους ὀφειλόταν στὰ θαύματα. Συνέβαλλε βέβαια κατά τι σ' αὐτὸ καὶ τὸ θάρρος αὐτῶν.

«Διαιρέθηκε δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ ἄλλοι μὲν ἦταν μὲ τὸ μέρος τῶν Ἰουδαίων, ἄλλοι δὲ μὲ τὸ μέρος τῶν Ἀποστόλων»[17]. Δὲν ἦταν μικρὸ πράγμα καὶ αὐτὴ ἡ διαίρεση τοῦ πλήθους γιὰ νὰ κατηγορηθοῦν. Αὐτὸ ἦταν ἐκεῖνο ποὺ ἔλεγε ὁ Χριστός· «Δὲν ἦρθα νὰ βάλω εἰρήνη, ἀλλὰ μάχαιρα»[18].

«Ὅταν δὲ συνέβηκε νὰ ὁρμήσουν ἐναντίον τους οἱ ἐθνικοὶ καὶ οἱ Ἰουδαῖοι μαζὶ μὲ τοὺς ἄρχοντες γιὰ νὰ τοὺς κακοποιήσουν καὶ νὰ τοὺς λιθοβολήσουν, ἐπειδὴ τὸ ἀντιλήφθηκαν κατέφυγαν στὶς γύρω πόλεις τῆς Λυκαονίας, τὰ Λύστρα καὶ τὴ Δέρβη, καθὼς καὶ στὰ περίχωρα αὐτῆς, κηρύσσοντας καὶ ἐκεῖ τὸ εὐαγγέλιο»[19]. Πάλι σὰν νὰ ἤθελαν ἐξεπίτηδες νὰ διαδώσουν τὸ κήρυγμα τοῦ εὐαγγελίου, πάλι, μετὰ τὴν αὔξηση αὐτοῦ ἐκεῖ, τοὺς διώχνουν. Πρόσεχε παντοῦ τοὺς διωγμοὺς ποὺ ἐπιφέρουν μεγάλα ἀγαθά, καὶ ἀποδεικνύουν ἐκείνους μὲν ποὺ τοὺς καταδίωκαν νικημένους, ἐνῶ ἐκείνους ποὺ διώκονταν λαμπρούς· διότι, ἀφοῦ ἦρθε στὰ Λύστρα, κάμνει ἐκεῖ μεγάλο θαῦμα, ἀνασταίνοντας τὸ χωλὸ καὶ μὲ δυνατὴ φωνή· καὶ ἄκου πῶς ἔγινε αὐτό.

2. «Στὰ Λύστρα», λέγει, «ἔμενε κάποιος ἄνθρωπος μὲ ἀδύνατα πόδια, ποὺ ἦταν χωλὸς ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του καὶ δὲν εἶχε περπατήσει ποτέ. Αὐτὸς ἄκουσε τὸν Παῦλο ποὺ μιλοῦσε, ὁ δὲ Παῦλος, ἀφοῦ ἔρριξε τὸ βλέμμα του πρὸς αὐτὸν καὶ τὸν εἶδε μὲ προσοχὴ καὶ διαπίστωσε ὅτι ἔχει πίστη γιὰ νὰ σωθεῖ, εἶπε μὲ δυνατὴ φωνή· Σήκω ἐπάνω καὶ στάσου ὄρθιος στὰ πόδια σου. Καὶ τότε ἐκεῖνος πετάχτηκε ἐπάνω καὶ περπατοῦσε»[20]. Γιατί τὸ εἶπε μὲ μεγάλη φωνή; Μὲ σκοπὸ νὰ πιστέψουν τὰ πλήθη. Πρόσεχε δέ, ἄκουε τὰ λόγια τοῦ Παύλου ἔχοντας συγκεντρωμένη ὅλη τὴν προσοχή του σ' αὐτά·

κουσεν». Εἶδες φιλοσοφίαν; Οὐδὲν ὑπὸ τῆς χωλείας πρὸς τὴν σπουδὴν τῆς ἀκροάσεως παρεβλάβη. «Ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι». Ἤδη ᾠκείωτο τὴν προαίρεσιν, καίτοι ἐπὶ τῶν ἄλλων τοὐναντίον ἐγίνετο· πρότερον γὰρ ἰώμενοι τὰ σώματα, τότε τὰς ψυχὰς ἐθεραπεύοντο· οὗτος δὲ οὐχ οὕτως. Ἐμοὶ δοκεῖ εἰς τὴν ψυχὴν ἰδεῖν τὴν αὐτοῦ τὸν Παῦλον. «Καὶ ἥλλετο», φησί, «καὶ περιεπάτει». Τεκμήριον τῆς ὑγείας τῆς ἀκριβοῦς τὸ ἅλλεσθαι.

«Οἱ δὲ ὄχλοι, ἰδόντες ὃ ἐποίησε Παῦλος, ἐπῆραν αὐτῶν τὴν φωνήν, Λυκαονιστί λέγοντες· Οἱ θεοί, ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς. Ἐκάλουν δὲ τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. Ὁ δὲ ἱερεὺς τοῦ Διός, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε θύειν». Ἀλλ' οὐκ ἦν τοῦτο οὐδέπω δῆλον· τῇ γὰρ οἰκείᾳ φωνῇ ἐφθέγγοντο, λέγοντες ὅτι «οἱ θεοί, ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς»· διὰ τοῦτο οὐδὲν αὐτοῖς ἔλεγον. Ἐπειδὴ δὲ εἶδον τὰ στέμματα, τότε ἐξελθόντες διέρρηξαν τὰ ἱμάτια αὐτῶν.

«Ἀκούσαντες δὲ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες καὶ λέγοντες· Ἄνδρες, τί τοῦτο ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι». Ὅρα αὐτοὺς πανταχοῦ δόξης καθαρούς, οὐ μόνον οὐκ ἐφιεμένους, ἀλλὰ καὶ διδομένην διακρουομένους· ὥσπερ καὶ Πέτρος ἔλεγε· «Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ

21. Πράξ. 14, 11 - 13
22. Πράξ. 14, 14 - 15

διότι αὐτὸ σημαίνει τὸ «ἤκουσεν». Εἶδες πόθο γιὰ τὴν ἀλήθεια; Σὲ τίποτε δὲν βλάφθηκε ἡ προθυμία του ἀπὸ τὸ ὅτι ἦταν χωλός, στὸ ν᾽ ἀκούσει τὸ κήρυγμα τοῦ Παύλου. «Αὐτὸς ἀφοῦ τὸν κοίταξε προσεκτικὰ καὶ διαπίστωσε ὅτι ἔχει πίστη γιὰ νὰ σωθεῖ». Ἤδη ἡ προαίρεσή του εἶχε καταστεῖ εὐνοϊκὴ στὸ νὰ πιστέψει, ἂν καὶ βέβαια στοὺς ἄλλους συνέβαινε τὸ ἀντίθετο· διότι πρῶτα θεραπεύονταν τὰ σώματά τους, καὶ μετὰ θεραπευόταν ἡ ψυχή τους, αὐτὸς ὅμως ὄχι ἔτσι. Ἐγὼ νομίζω ὅτι ὁ Παῦλος πρόσεξε τὴν ψυχὴ αὐτοῦ· «Καὶ ἐκεῖνος», λέγει, «πετάχτηκε ἐπάνω καὶ περπατοῦσε». Τὸ πήδημα ἐπάνω ἦταν ἀπόδειξη τῆς πλήρους ὑγείας του.

«Τὰ δὲ πλήθη ὅταν εἶδαν ἐκεῖνο ποὺ ἔκανε ὁ Παῦλος, ὕψωσαν τὴ φωνή τους, μιλώντας στὴ γλώσσα τῆς Λυκαονίας· Οἱ θεοὶ κατέβηκαν σ᾽ ἐμᾶς μὲ μορφὴ ἀνθρώπων. Ὀνόμαζαν δὲ τὸν μὲν Βαρνάβα Δία, τὸν δὲ Παῦλο Ἑρμῆ, ἐπειδὴ αὐτὸς ἦταν ὁ κύριος ὁμιλητής. Ὁ δὲ ἱερέας τοῦ ναοῦ τοῦ Δία, ποὺ βρισκόταν πρὶν ἀπὸ τὴν εἴσοδο τῆς πόλεώς τους, ἀφοῦ ἔφερε ταύρους καὶ στεφάνια στὶς πύλες, ἤθελε μαζὶ μὲ τὸ πλῆθος νὰ προσφέρει θυσία»[21]. Ἀλλὰ δὲν ἦταν ἀκόμα αὐτὸ φανερό· διότι μιλοῦσαν στὴ δική τους γλώσσα, λέγοντας ὅτι «οἱ θεοὶ κατέβηκαν σ᾽ ἐμᾶς μὲ μορφὴ ἀνθρώπων· γι᾽ αὐτὸ δὲν ἔλεγαν τίποτε σ᾽ αὐτούς. Ὅταν ὅμως εἶδαν τὰ στεφάνια, τότε, ἀφοῦ βγῆκαν ἔξω, ξέσχισαν τὰ ἐνδύματά τους.

«Ὅταν τὸ ἄκουσαν αὐτὸ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, ἀφοῦ ξέσχισαν τὰ ἐνδύματά τους, ὅρμησαν μέσα στὸ πλῆθος, κραυγάζοντας καὶ λέγοντας· Ἄνδρες, τί εἶναι αὐτὸ ποὺ κάμνετε; καὶ ἐμεῖς εἴμαστε ἄνθρωποι ὁμοιοπαθεῖς μ᾽ ἐσᾶς»[22]. Πρόσεχε αὐτοὺς ποὺ παντοῦ εἶναι καθαροὶ ἀπὸ δόξα, ποὺ ὄχι μόνο δὲν τὴν ποθοῦν, ἀλλὰ καὶ τὴν ἀποκρούουν ὅταν τοὺς δίδεται, ὅπως ἀκριβῶς καὶ ὁ Πέτρος ἔλεγε· «Γιατί ἔχετε προσηλωμένο τὸ βλέμμα σας σ᾽ ἐμᾶς, σὰν νὰ ἔχομε κάνει αὐτὸν νὰ περ-

περιπατεῖν αὐτόν;». Καὶ οὗτοι τὸ αὐτό φασι. Καὶ Ἰωσὴφ δὲ ἔλεγεν ἐπὶ τῶν ἐνυπνίων· «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν;»· καὶ ὁ Δανιὴλ ὁμοίως· «Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ, τῇ οὔσῃ ἐν ἐμοί, ἀπεκαλύφθη». Καὶ Παῦλος πανταχοῦ τοῦτό φησιν, ὡς, ὅταν λέγῃ· «Καὶ πρὸς ταῦτα τίς ἱκανός;»· καὶ πάλιν· «Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ».

Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Οὐχ ἁπλῶς αὐτοῖς προσετέθησαν οἱ ὄχλοι, ἀλλὰ πῶς; Ἠξίουν λαληθῆναι αὐτοῖς τὰ αὐτὰ πάλιν, καὶ διὰ τῶν ἔργων ἐπεδείξαντο τὴν σπουδήν. Ὅρα πανταχοῦ παρακαλοῦντας, οὐκ ἀποδεχομένους ἁπλῶς, οὐδὲ κολακεύοντας. Διὰ τοῦτο ἔλεγεν· «Οἵτινες, προσλαλοῦντες αὐτοῖς, ἔπειθον προσμένειν τῇ χάριτι τοῦ Θεοῦ». Διὰ τί πρὸ τούτου μὴ ἀντέλεγον; Ὅτι τέως οἱ ἀναπείθοντες ἡσύχαζον. Ὁρᾷς ὅτι πανταχοῦ πάθει ἐκινοῦντο; Καὶ οὐκ ἀντέλεγον μόνον, ἀλλὰ καὶ ἐβλασφήμουν· καὶ γὰρ ἡ κακία οὐδαμοῦ ἵσταται. Ἀλλ' ὅρα παρρησίαν.

«Ὑμῖν ἦν», φησίν, «ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον· ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν». Οὐδὲν ὑβριστικόν. Ὃ δὴ καὶ ἐπὶ τῶν προφητῶν ἐποίουν. «Μὴ λαλεῖτε ἡμῖν», φησί, «λαλιᾷ». «Ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν», φησίν, οὐχ ἡμᾶς· οὐ γὰρ εἰς ἡμᾶς ἡ ὕβρις, ἡ παρ' ὑμῶν.

Ἵνα γὰρ μή τις εὐλαβείας εἶναι νομίσῃ τὸ «οὐκ ἀξίους κρίνετε ἑαυτούς», διὰ τοῦτο πρῶτον εἶπεν, «Ἀπωθεῖσθε αὐτόν», καὶ τότε· «Στρεφόμεθα εἰς τὰ ἔθνη». Πολλῆς ἐπιεικείας γέμει τὸ ῥῆμα. Οὐκ εἶπεν,

------

23. Πράξ. 3, 12
24. Γεν. 40, 8
25. Δαν. 2, 30
26. Β' Κορ. 2, 16
27. Β' Κορ. 3,5
28. Πράξ. 13, 43
29. Πράξ. 13, 46

πατεῖ μὲ τὴ δική μας δύναμη ἢ τὴν εὐσέβεια;»[23]. Καὶ αὐτοὶ τὸ ἴδιο λένε· Καὶ ὁ Ἰωσὴφ δὲ ἔλεγε γιὰ τὰ ὄνειρα «Δὲν ἐξηγοῦνται τὰ ὄνειρα μὲ τὴ βοήθεια τοῦ Θεοῦ;»[24]· καὶ ὁ Δανιὴλ ὅμοια ἔλεγε· «Καὶ σὲ μένα δὲ φανερώθηκε τὸ μυστήριο αὐτὸ ὄχι μὲ τὴ σοφία ποὺ ὑπάρχει σὲ μένα»[25]. Καὶ ὁ Παῦλος παντοῦ αὐτὸ λέγει, ὅπως ὅταν λέγει· «Καὶ ποιὸς εἶναι ἱκανὸς γι' αὐτά;»[26]· καὶ πάλι· «Ὄχι ὅτι εἴμαστε ἱκανοὶ οἱ ἴδιοι νὰ σκεφθοῦμε ὅτι προῆλθε κάτι ἀπὸ τὸν ἑαυτό μας, ἀλλ' ἡ ἱκανότητά μας προέρχεται ἀπὸ τὸ Θεό»[27].

Ἀλλ' ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ. Δὲν ἀποδέχθηκε τὸ πλῆθος τὸ κήρυγμά τους ἔτσι ἁπλά, ἀλλὰ πῶς; Ζητοῦσαν ἐπίμονα νὰ κηρυχθοῦν σ' αὐτοὺς πάλι τὰ ἴδια, καὶ μὲ τὰ ἔργα ἔδειξαν τὸ ἐνδιαφέρον τους. Πρόσεχε ὅτι παντοῦ τοὺς παρακαλοῦν καὶ δὲν ἀποδέχονται τὰ λόγια τους ἔτσι ἁπλά, οὔτε τοὺς κολακεύουν. Γι' αὐτὸ ἔλεγε· «Οἱ ὁποῖοι, ἀφοῦ τοὺς μιλοῦσαν, τοὺς ἔπειθαν νὰ παραμένουν σταθεροὶ στὴ χάρη τοῦ Θεοῦ»[28]. Γιατί πρὶν ἀπ' αὐτὸ δὲν πρόβαλλαν ἀντιρρήσεις; Διότι στὴν ἀρχὴ ἡσύχαζαν ἐκεῖνοι ποὺ τοὺς παρέσυραν. Βλέπεις ὅτι παντοῦ παρακινοῦνταν ἀπὸ τὸ πάθος τους; Καὶ ὄχι μόνο πρόβαλλαν ἀντιρρήσεις, ἀλλὰ καὶ βλασφημοῦσαν, καθόσον ἡ κακία πουθενὰ δὲν σταματᾶ. Ἀλλὰ πρόσεχε παρρησία.

«Ἔπρεπε», λέγει, «νὰ κηρυχθεῖ πρῶτα σὲ σᾶς ὁ λόγος τοῦ Θεοῦ· ἐπειδὴ ὅμως τὸν ἀποκρούετε»[29]. Τίποτε τὸ ὑβριστικό. Αὐτὸ βέβαια ἔκαμναν καὶ στὴν περίπτωση τῶν προφητῶν· «Μὴν ὁμιλεῖτε», λέγει, «πρὸς ἐμᾶς». «Ἐπειδὴ ὅμως ἀποκρούετε αὐτόν», λέγει, ὄχι ἐμᾶς· δὲν ἀπευθύνεται δηλαδὴ πρὸς ἐμᾶς ἡ περιφρόνησή σας.

Γιὰ νὰ μὴ νομίσει λοιπὸν κανεὶς ὅτι τὸ «ἐπειδὴ δὲν κρίνατε ἄξιους τοὺς ἑαυτούς σας», εἶναι δεῖγμα εὐλάβειας, γι' αὐτὸ πρῶτα εἶπε, «Ἐπειδὴ ἀποκρούετε αὐτόν», καὶ τότε εἶπε, «Στρεφόμαστε πρὸς τὰ ἔθνη». Ὁ λόγος

‘Ἐγκαταλιμπάνομεν ὑμᾶς’, δεικνὺς ὅτι δυνατὸν καὶ ἐνταῦθα πάλιν στραφῆναι· καὶ τοῦτο οὐκ ἀπὸ τῆς ὑμετέρας ὕβρεως γέγονεν· «οὕτω γὰρ ἐντέταλται ἡμῖν». Ἔδει μὲν οὖν ἀκοῦσαι τὰ ἔθνη, πλὴν τοῦτο οὐ παρ' ἡμῶν, παρ' ὑμῶν δὲ γέγονε τὸ πρὸ ὑμῶν ὀφεῖλον· «οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν»· τοὐτέστιν, ‘εἰς γνῶσιν τὴν ἐπὶ σωτηρίᾳ’· καὶ οὐχ ἁπλῶς ἐθνῶν, ἀλλὰ πάντων· τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν· «Ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον». Καὶ τοῦτο τεκμήριον τοῦ κατὰ Θεοῦ γνώμην αὐτοὺς προσλαβέσθαι. «Τεταγμένοι» δὲ εἶπεν, ἵνα δείξῃ ὡς οὐ κατ' ἀνάγκην· «οὓς γὰρ προέγνω», φησί, «καὶ προώρισεν». Οὐκ ἔτι ἐν τῇ πόλει διεσπάρησαν, ἀλλὰ καὶ ἐν τῇ χώρᾳ ἀκούσαντες γὰρ οἱ ἐξ ἐθνῶν, καὶ αὐτοὶ μετ' ὀλίγον προσήεσαν.

Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ ἐπήγειραν διωγμόν». Ὅρα, καὶ τῶν παρὰ τῶν γυναικῶν γινομένων αὐτοὶ λοιπὸν αἴτιοι καθίστανται.

«Καὶ ἐξέβαλον αὐτούς», φησίν, «ἀπὸ τῶν ὁρίων αὐτῶν»· οὐχὶ τῆς πόλεως μόνης, ἀλλὰ τῆς χώρας ἁπάσης. Εἶτα τὸ φοβερώτερον. «Οἱ δὲ μαθηταί», φησίν, «ἐπληροῦντο χαρᾶς καὶ Πνεύματος ἁγίου». Ἐδιώκοντο οἱ διδάσκαλοι, καὶ αὐτοὶ ἔχαιρον. Εἶδες φύσιν Εὐαγγελίου, δύναμιν ἔχοντος πολλήν;

3. «Ἐκάκωσαν», φησί, «τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν»· τουτέστι, διέβαλον τοὺς Ἀποστόλους, μυρία αὐτῶν κατηγόρησαν, ἀπλάστους ὄντας

---

30. Πράξ. 13, 47
31. Πράξ. 13, 48
32. Ρωμ. 8, 29
33. Πράξ. 13, 50
34. Πράξ. 13, 52
35. Πράξ. 14, 2

αὐτὸς εἶναι γεμάτος ἀπὸ πολλὴ ἐπιείκεια. Δὲν εἶπε, 'Σᾶς ἐγκαταλείπομε', γιὰ νὰ δείξει ὅτι εἶναι δυνατὸ καὶ πάλι νὰ ἐπιστρέψουν ἐδῶ˙ καὶ αὐτὸ δὲν ἔγινε ἐξ αἰτίας τῆς δικῆς μας περιφρονήσεως˙ «Διότι τέτοια ἐντολὴ ἔχομε λάβει ἐμεῖς»[30]. Ἔπρεπε βέβαια ν' ἀκούσουν οἱ ἐθνικοὶ τὸ λόγο τοῦ Θεοῦ, πλὴν ὅμως αὐτὸ δὲν ἔγινε ἀπὸ ἐμᾶς, ἀλλὰ ἀπὸ σᾶς ἔγινε ἐκεῖνο ποὺ ὀφείλαμε νὰ τὸ κάνομε πρὶν ἀπὸ σᾶς˙ «Διότι τέτοια ἐντολὴ ἔδωσε σ' ἐμᾶς ὁ Κύριος˙ Σὲ ἔχω τοποθετήσει νὰ εἶσαι φῶς στὰ ἔθνη, γιὰ νὰ εἶσαι σωτηρία αὐτῶν»[30]˙ δηλαδή, 'γιὰ νὰ γνωρίσουν τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὴ σωτηρία'˙ καὶ ὄχι ἁπλῶς τῶν ἐθνῶν, ἀλλ' ὅλων γενικά˙ διότι αὐτὸ φανερώνουν τὰ λόγια˙ «Ὅσοι εἶχαν ταχθεῖ γιὰ ζωὴ αἰώνια»[31]. Καὶ αὐτὸ εἶναι ἀπόδειξη τοῦ ὅτι καὶ αὐτοὶ ἔχουν γίνει ἀποδεκτοὶ σύμφωνα μὲ τὴν ἀπόφαση τοῦ Θεοῦ. Εἶπε δὲ ὅτι «Εἶχαν ταχθεῖ» γιὰ νὰ δείξει ὅτι αὐτὸ δὲν ἔγινε ἀναγκαστικά˙ διότι, λέγει, «Ἐκείνους ποὺ προγνώρισε, αὐτοὺς καὶ προόρισε»[32]. Δὲν διασκορπίσθηκαν μόνο μέσα στὴν πόλη, ἀλλὰ καὶ σ' ὅλη τὴ χώρα˙ ὅταν δὲ ἄκουσαν οἱ ἐθνικοί, καὶ αὐτοὶ προσέρχονταν μετὰ ἀπὸ λίγο καὶ ἀσπάζονταν τὸ κήρυγμά τους.

«Ἀλλ' οἱ Ἰουδαῖοι παρακίνησαν τὶς εὐσεβεῖς γυναῖκες καὶ ἤγειραν διωγμὸ ἐναντίον τους»[33]. Πρόσεχε ὅτι καὶ γιὰ τὰ ὅσα γίνονται ἀπὸ τὶς γυναῖκες αὐτοὶ γίνονται αἴτιοι.

«Καὶ τοὺς ἔδιωξαν», λέγει, «ἔξω ἀπὸ τὰ σύνορά τους»˙ ὄχι μόνο ἀπὸ τὴν πόλη τους, ἀλλ' ἀπὸ ὅλη τὴ χώρα. Ἔπειτα λέγει τὸ φοβερότερο. «Οἱ δὲ μαθητές», λέγει, «ἦταν γεμάτοι ἀπὸ χαρὰ καὶ ἅγιο Πνεῦμα»[34]. Διώκονταν οἱ δάσκαλοι, καὶ αὐτοὶ χαίρονταν. Εἶδες φύση εὐαγγελίου, ποὺ ἔχει δύναμη μεγάλη;

3. «Καὶ κακολόγησαν», λέγει, «αὐτοὺς στοὺς ἐθνικοὺς καὶ τοὺς ἔστρεψαν ἐναντίον τῶν ἀδελφῶν»[35]˙ δηλαδή, συκοφάντησαν τοὺς Ἀποστόλους, εἶπαν ἀμέτρητες κατηγορίες ἐναντίον τους, καὶ ἐνῶ ἦταν χωρὶς κακία ἐναντίον

κακούργως διέθηκαν. Καὶ ὅρα πῶς πανταχοῦ τῷ Θεῷ ἀνατίθησι τὸ πᾶν.

«Ἱκανὸν χρόνον», φησί, «διέτριψαν, παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ». Μὴ τοῦτο ἐλαττώσεως εἶναι νομίσῃς· ὅτε γὰρ ἔλεγον, «Τοῦ μαρτυρήσαντος», φησίν, «ἐπὶ Ποντίου Πιλάτου», τότε ἡ παρρησία ἐδείκνυτο· ἐνταῦθα δὲ περὶ τοῦ λαοῦ φησιν. Οὐ περιέμειναν τοίνυν, ἀλλ' εἶδον τὴν ὁρμήν.

«Καὶ κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον». Ἔνθα οὐδαμοῦ τὸν θυμὸν αὐτῶν ἐκκαίειν ἦν. Ὥστε καὶ ἐν ταῖς χώραις ἀπῄεσαν, οὐκ ἐν πόλεσι μόνον. Ὅρα καὶ τῶν ἐθνῶν τὴν ἀφέλειαν, καὶ τῶν Ἰουδαίων τὴν κακουργίαν. Δι' ἔργων ἐπεδείκνυντο ὅτι ἄξιοι ἦσαν ἀκούειν· οὕτως ἐτίμων αὐτοὺς ἀπὸ σημείων μόνον. Οἱ μὲν ὡς θεοὺς ἐτίμων, οἱ δὲ ὡς λυμεῶνας ἐδίωκον· καὶ οἱ μὲν οὐ μόνον οὐ προσέκοπτον τῷ κηρύγματι, ἀλλὰ καὶ ἔλεγον· «Οἱ θεοί, ἀνθρώποις ὁμοιωθέντες, κατέβησαν πρὸς ἡμᾶς», Ἰουδαῖοι δὲ ἐσκανδαλίζοντο.

«Ἐκάλουν τε», φησί, «τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν». Ἐμοὶ δοκεῖ καὶ ἀπὸ τῆς ὄψεως ἀξιοπρεπὴς εἶναι ὁ Βαρνάβας. Οὐ μικρὸς καὶ οὗτος πειρασμὸς ἐξ ἀμετρίας ἐφύη πολλῆς, ἀλλὰ καὶ ἐντεῦθεν τῶν Ἀποστόλων ἡ ἀρετὴ δείκνυται. Καὶ ὅρα πῶς πανταχοῦ πάντα ἀνατιθέασι τῷ Θεῷ.

Τούτους καὶ ἡμεῖς ζηλώσωμεν· μηδὲν ἡμέτερον εἶναι νομίζωμεν, ὅπου γε καὶ αὐτὴ ἡ πίστις οὐχ ἡμέτερον. Ὅτι δὲ οὐχ ἡμέτερον, ἀλλὰ τὸ πλέον τοῦ Θεοῦ, ἄκουε Παύλου λέγοντος· «Καὶ τοῦτο οὐκ ἐξ

---

36. Πράξ. 14, 3
37. Α' Τιμ. 6, 13
38. Πράξ. 14, 6
39. Πράξ. 14, 11
40. Πράξ. 14, 12

τους, τοὺς ἔκαναν νὰ φέρονται μὲ κακία πρὸς αὐτούς· Καὶ πρόσεχε πῶς παντοῦ ἀναθέτουν τὸ πᾶν στὸ Θεό.

«Ἔμειναν ἐκεῖ ἀρκετὸ χρόνο κηρύττοντας μὲ θάρρος καὶ ἔχοντας στηριγμένη τὴν ἐμπιστοσύνη τους στὸν Κύριο, ποὺ ἐπιβεβαίωνε τὸ κήρυγμά τους μὲ τὴ χάρη του»[36]. Μὴ θεωρήσεις αὐτὸ σὰν δεῖγμα μειώσεώς τους· διότι ὅταν ἔλεγαν, «Ὁ ὁποῖος ἔδωσε τὴ μαρτυρία ἐπὶ Ποντίου Πιλάτου»[37], τότε φανερωνόταν ἡ παρρησία· ἐδῶ ὅμως ὁμιλεῖ γιὰ τὸ λαό. Δὲν παρέμειναν δηλαδὴ ἐκεῖ, ἀλλ' ἀντιλήφθηκαν τὴν ὁρμή τους.

«Καὶ κατέφυγαν στὶς πόλεις τῆς Λυκαονίας, τὰ Λύστρα καὶ τὴ Δέρβη καὶ στὰ περίχωρα»[38]. Ἐκεῖ ὅπου δὲν ἦταν δυνατὸ νὰ ἐξαφθεῖ ὁ θυμὸς αὐτῶν. Ὥστε καὶ στὰ χωριὰ μετέβαιναν, καὶ ὄχι μόνο στὶς πόλεις. Πρόσεχε καὶ τὴν ἀφέλεια τῶν ἐθνικῶν, καὶ τὴν κακουργία τῶν Ἰουδαίων. Μὲ ἔργα ἔδειχναν ὅτι ἦταν ἄξιοι ν' ἀκοῦν τὸ κήρυγμά τους· τόσο πολὺ τοὺς τιμοῦσαν ἀπὸ τὰ θαύματα μόνο. Οἱ μὲν ἐθνικοὶ τοὺς τιμοῦσαν σὰν θεούς, οἱ δὲ Ἰουδαῖοι τοὺς καταδίωκαν σὰν καταστροφεῖς· καὶ οἱ μὲν ἐθνικοὶ ὄχι μόνο δὲν ἐμπόδιζαν τὸ κήρυγμα, ἀλλὰ καὶ ἔλεγαν· «Οἱ θεοὶ κατέβηκαν πρὸς ἐμᾶς μὲ μορφὴ ἀνθρώπων»[39]· οἱ δὲ Ἰουδαῖοι σκανδαλίζονταν.

«Ὀνόμαζαν», λέγει, «τὸν μὲν Βαρνάβα Δία, τὸν δὲ Παῦλο Ἑρμῆ»[40]. Ἐγὼ νομίζω ὅτι ὁ Βαρνάβας ἦταν ἀξιοπρεπὴς καὶ ἀπὸ τὴν ὅλη ἐμφάνισή του. Δὲν ἦταν μικρὸς καὶ ὁ πειρασμὸς αὐτὸς ποὺ προέκυψε ἀπὸ τὴν ὑπερβολικὴ γνώμη ποὺ διαμόρφωσαν γιὰ τοὺς Ἀποστόλους. Καὶ πρόσεχε πῶς παντοῦ ὅλα τὰ ἀποδίδουν στὸ Θεό.

Αὐτοὺς ἂς μιμηθοῦμε καὶ ἐμεῖς· τίποτε νὰ μὴ θεωροῦμε δικό μας κατόρθωμα, τὴ στιγμὴ βέβαια ποὺ οὔτε καὶ αὐτὴ ἡ πίστη μας ἀκόμα δὲν εἶναι δικό μας κατόρθωμα. Τὸ ὅτι δὲ δὲν εἶναι δικό μας, ἀλλὰ τὸ μεγαλύτερο μέρος εἶναι δῶρο τοῦ Θεοῦ, ἄκου τὸν Παῦλο ποὺ λέγει· «Καὶ αὐτὸ δὲν προέρχεται ἀπὸ σᾶς, ἀλλ' εἶναι δῶρο τοῦ

*ἡμῶν, Θεοῦ τὸ δῶρον». **Μὴ** τοίνυν μέγα φρονῶμεν, μηδὲ φυσιώμεθα, ἄνθρωποι, γῆ καὶ σποδὸς ὄντες, καπνὸς καὶ σκιά. **Εἰπὲ** γάρ μοι, διὰ τί μέγα φρονεῖς; Ἐλεημοσύνην ἔδωκας, καὶ τὰ χρήματα ἐκένωσας; **Καὶ** τί τοῦτο; Ἐννόησον, εἰ μὴ ἠθέλησέ σε ποιῆσαι ὁ Θεὸς πλούσιον· ἐννόησον τοὺς πενομένους, μᾶλλον δὲ ἐννόησον ὅσοι καὶ τὰ σώματα ἐπέδωκαν, καὶ μετὰ τὸ ἐπιδοῦναι μυρία ἑαυτοὺς ἐταλάνισαν. **Σὺ** διὰ σαυτὸν ἔδωκας, ὁ **Χριστὸς** διὰ σέ· σὺ ἀπέδωκας τὸ ὀφειλόμενον, ὁ **Χριστὸς** οὐκ ὤφειλέ σοι. Ὅρα τοῦ μέλλοντος τὸ ἄδηλον, καὶ μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ· μὴ ἐλαττώσῃς τὴν ἀρετὴν τῇ ἀλαζονείᾳ. **Βούλει** ὄντως μέγα τι ἐργάσασθαι; **Μηδέποτε** ὑποπτεύσῃς ὡς περὶ μεγάλων τῶν κατορθωμάτων.*

*Ἀλλὰ παρθένος εἶ; Ἀλλὰ κἀκεῖναι παρθένοι ἦσαν, ἀλλ' οὐδὲν ἀπώναντο τῆς παρθενίας διὰ τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν. Οὐδὲν ταπεινοφροσύνης ἴσον· αὕτη μήτηρ καὶ ῥίζα καὶ τροφὸς καὶ ὑπόθεσις καὶ σύνδεσμος τῶν ἀγαθῶν· ταύτης ἄνευ βδελυκτοὶ καὶ μιαροὶ καὶ ἀκάθαρτοί ἐσμεν. Ἔστω γάρ τις, εἰ βούλει, νεκροὺς ἀνιστῶν, καὶ χωλοὺς ἰώμενος, καὶ λεπροὺς καθαίρων μετὰ ἀπονοίας· οὐδὲν τούτου μιαρώτερον, οὐδὲν ἀσεβέστερον, οὐδὲν ἐναγέστερον. **Μηδὲν** εἶναι νομίσῃς σαυτοῦ. **Λόγον** ἔχεις καὶ διδασκαλικὴν χάριν; **Μὴ** διὰ τοῦτο νομίσῃς πλέον τι τῶν ἄλλων ἔχειν. **Διὰ** τοῦτο μάλιστα ταπεινοῦσθαι ὀφείλεις, ὅτι πλειόνων ἠξιώθης δωρεῶν· «ᾧ γὰρ πλεῖον ἀφέθη, πλεῖον ἀγαπήσει». Οὐκοῦν καὶ ταπεινοῦσθαι χρή, ὅτι, τοὺς ἄλλους παρελθών, εἰς σὲ ἐπέ-*

---

41. Ἐφεσ. 2, 8
42. Πρβλ. Λουκᾶ 7, 47

Θεοῦ»[41]. Ἂς μὴ μεγαλοφρονοῦμε λοιπόν, οὔτε νὰ ὑπερηφανευόμαστε, τὴ στιγμὴ ποὺ εἴμαστε ἄνθρωποι, χῶμα καὶ στάχτη, καπνὸς καὶ σκιά. Διότι πές μου, γιατί μεγαλοφρονεῖς; Ἐπειδὴ ἔδωσες ἐλεημοσύνη καὶ μοίρασες τὰ χρήματα; Καὶ τί εἶναι αὐτό; Σκέψου τοὺς φτωχούς, ἢ καλύτερα σκέψου πόσοι καὶ τὰ σώματά τους ἔδωσαν καί, ἀφοῦ τὰ ἔδωσαν, ταλάνισαν ἀμέτρητες φορὲς τὸν ἑαυτό τους. Σὺ τά ἔδωσες γιὰ τὸν ἑαυτό σου, ἐνῶ ὁ Χριστὸς γιὰ σένα· σὺ ἔδωσες ἐκεῖνο ποὺ ὄφειλες, ἐνῶ ὁ Χριστὸς δὲν ὄφειλε σὲ σένα. Σκέψου τὸ ἄγνωστο τοῦ μέλλοντος καὶ μὲ ὑψηλοφρονεῖς, ἀλλὰ νὰ φοβᾶσαι μὴ μειώσεις τὴν ἀρετή σου μὲ τὴν ἀλαζονεία σου. Θέλεις πραγματικὰ νὰ κάνεις κάτι τὸ μεγάλο; Ποτὲ μὴ σκεφθεῖς ὅτι εἶναι μεγάλα τὰ κατορθώματά σου.

Ἀλλ' εἶσαι παρθένος; Ἀλλὰ καὶ ἐκεῖνες παρθένες ἦταν, καὶ ὅμως σὲ τίποτε δὲν ὠφελήθηκαν ἀπὸ τὴν παρθενία ἐξ αἰτίας τῆς σκληρότητας καὶ τῆς ἀπανθρωπιᾶς τους· Τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μὲ τὴν ταπεινοφροσύνη· αὐτὴ εἶναι μητέρα καὶ ρίζα καὶ τροφὸς καὶ οὐσία καὶ σύνδεσμος τῶν ἀγαθῶν· χωρὶς αὐτὴν εἴμαστε βδελυροί, μιαροὶ καὶ ἀκάθαρτοι. Διότι, ἂν θέλεις, ἂς ὑποθέσομε ὅτι ὑπάρχει κάποιος ποὺ ἀνασταίνει νεκρούς, θεραπεύει χωλοὺς καὶ καθαρίζει λεπρούς, ἀλλὰ τὰ κάμνει αὐτὰ μὲ ἀλαζονεία· δὲν ὑπάρχει τίποτε πιὸ μιαρὸ ἀπ' αὐτόν, τίποτε πιὸ ἀσεβές, τίποτε πιὸ βδελυρό. Τίποτε νὰ μὴ θεωρήσεις ὅτι εἶναι δικό σου. Ἔχεις ὁμιλητικὴ ἱκανότητα καὶ διδασκαλικὴ χάρη; Μὴ νομίσεις ἐξ αἰτίας αὐτοῦ ὅτι ἔχεις κάτι περισσότερο ἀπὸ τοὺς ἄλλους. Γι' αὐτὸ πρὸ πάντων ὀφείλεις νὰ δείχνεις ταπεινοφροσύνη, διότι ἀξιώθηκες νὰ λάβεις περισσότερες δωρεές· «Διότι ἐκεῖνος ποὺ τοῦ συγχωρέθηκαν περισσότερα, περισσότερη ἀγάπη θὰ δείξει»[42]. Πρέπει λοιπὸν καὶ νὰ δείχνεις ταπεινοφροσύνη, διότι, ἐνῶ παρέβλεψε τοὺς ἄλλους, πρόσεξε ὁ Θεὸς ἐσένα. Νὰ φο-

νευσεν ὁ Θεός. Φοβοῦ διὰ τοῦτο· πολλάκις γάρ σοι καὶ ἀπωλείας τοῦτο γίνεται αἴτιον, ἂν μὴ νήφῃς.

Τί μέγα φρονεῖς; ὅτι διδάσκεις διὰ λόγων; Ἀλλ' εὔκολον τοῦτο τὸ φιλοσοφεῖν ἐν ῥήμασι· δίδαξόν με διὰ τοῦ βίου τοῦ σοῦ· αὕτη ἡ διδασκαλία ἀρίστη. Λέγεις ὅτι δεῖ μετριάζειν, καὶ μακρὸν ὑπὲρ τούτου λόγον ἀποτείνεις, καὶ ῥητορεύεις, ῥέων ἀκωλύτως; Ἀλλὰ σοῦ βελτίων ἐκεῖνος, φησίν, ὁ δι' ἔργων τοῦτο παιδεύων ἐμέ· οὐ γὰρ οὕτως εἴωθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ μαθήματα ἀπὸ ῥημάτων, ὡς ἀπὸ πραγμάτων· ἐπεί, ἐὰν μὴ τὸ ἔργον ἔχῃς, οὐ μόνον οὐκ ὠφέλησας εἰπών, ἀλλὰ καὶ μειζόνως ἔβλαψας. Βέλτιον σιγᾶν. Διὰ τί; Ὅτι ἀδύνατόν μοι τὸ πρᾶγμα καθιστᾷς. Ἐννοῶ γὰρ ὅτι, εἰ σύ, ὁ τοσαῦτα λέγων, οὐ κατορθοῖς, πολλῷ μᾶλλον ἐγὼ συγγνώμης ἄξιος, λέγων μηδένα. Διὰ τοῦτό φησιν ὁ Προφήτης· «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;». Μείζων γὰρ αὕτη ἡ βλάβη, ὅταν, καλῶς διδάσκων τις διὰ ῥημάτων, διὰ τῶν ἔργων πολεμῇ τῇ διδασκαλίᾳ.

Τοῦτο πολλῶν αἴτιον γέγονε κακῶν ἐν ταῖς Ἐκκλησίαις. Διὰ τοῦτο καὶ σύγγνωτε, παρακαλῶ, τοῦ λόγου χρονίζοντος ἡμῖν ἐν τούτῳ τῷ πάθει. Πολλὰ πολλοὶ πράττουσιν ὑπὲρ τοῦ, εἰς μέσον στάντες, μακρὸν ἀποτείνειν λόγον· κἂν μὲν κρότων τύχωσι τῶν ἀπὸ τοῦ πλήθους, γέγονεν αὐτοῖς τοῦτο βασιλείας ἴσον, ἂν δὲ μετὰ σιγῆς τὸν λόγον καταπαύσωσι, γεέννης δή που μᾶλλον αὐτοῖς χαλεπωτέρα κατέστη τῆς σιγῆς ἡ ἀθυμία. Τοῦτο τὰς Ἐκκλησίας ἀνέτρεψεν, ὅτι καὶ ὑμεῖς οὐ ζητεῖτε λόγον ἀκοῦσαι κατανυκτικόν, ἀλλὰ τέρψαι δυνάμενον καὶ τῷ ψόφῳ καὶ

---

43. Ψαλμ. 49, 16

βᾶσαι γι' αὐτό· διότι πολλὲς φορὲς αὐτὸ σοῦ γίνεται αἰτία καὶ καταστροφῆς σου, ἂν δὲν προσέχεις.

Γιατί μεγαλοφρονεῖς; Ἐπειδὴ διδάσκεις μὲ λόγια; Ἀλλ' εἶναι εὔκολη αὐτὴ ἡ φιλοσοφία μὲ λόγια· δίδαξέ με μὲ τὸν τρόπο τῆς ζωῆς σου· αὐτὴ εἶναι ἡ ἄριστη διδασκαλία. Λέγεις ὅτι πρέπει νὰ εἴμαστε μετριόφρονες καὶ ἀπευθύνεις μακρὸ λόγο γι' αὐτό, καὶ ρητορεύεις, καὶ τὰ λόγια σου τρέχουν ἀνεμπόδιστα; Ἀλλά, λέγει, ἐκεῖνος εἶναι καλύτερος ἀπὸ σένα, ἐκεῖνος ποὺ μὲ διδάσκει αὐτὸ μὲ ἔργα· διότι συνήθως δὲν ἐναποτίθενται μέσα στὴν ψυχὴ τόσο εὔκολα τὰ μαθήματα διδασκαλίας μὲ τὰ λόγια, ὅσο μὲ τὰ ἔργα· διότι, ἐὰν δὲν ἔχεις νὰ δείξεις τὸ ἔργο, ὄχι μόνο δὲν ὠφέλησες μὲ τὰ λόγια, ἀλλὰ καὶ προξένησες μεγαλύτερη βλάβη. Καλύτερα εἶναι νὰ σιωπᾶς. Γιατί; Διότι μοῦ καθιστᾶς ἀδύνατο τὸ πρᾶγμα· Ἐννοῶ δηλαδὴ ὅτι, ἐὰν σύ, ποὺ λὲς τόσα πολλά, δὲν κατορθώνεις νὰ τὰ πράξεις, πολὺ περισσότερο ἐγὼ εἶμαι ἄξιος συγγνώμης, ποὺ δὲν λέγω τίποτε. Γι' αὐτὸ λέγει ὁ προφήτης· «Στὸν δὲ ἁμαρτωλὸ εἶπε ὁ Θεός· Γιατί σὺ διδάσκεις τὶς ἐντολές μου;»[43]. Πράγματι αὐτὴ ἡ βλάβη εἶναι μεγαλύτερη, ὅταν, διδάσκοντας κανεὶς ὡραῖα μὲ τὰ λόγια, μὲ τὰ ἔργα του πολεμεῖ τὴ διδασκαλία του.

Αὐτὸ ἔχει γίνει αἰτία πολλῶν κακῶν στὶς ἐκκλησίες. Γι' αὐτὸ καὶ συγχωρέστε με, παρακαλῶ, ποὺ ὁ λόγος μου αὐτὸς πρὸς ἐσᾶς παρατείνεται ἐπὶ πολὺ χρόνο στὸ πάθος αὐτό. Πολλὰ πολλοὶ κάμνουν, στεκόμενοι ἀνάμεσα στὸ πλῆθος, γιὰ ν' ἀπευθύνουν μακρὸ λόγο· καὶ ἂν μὲν λάβουν χειροκροτήματα ἀπὸ τὸ πλῆθος, αὐτὸ ἔγινε γι' αὐτοὺς ἴσο μὲ βασιλεία, ἂν ὅμως τελειώσουν τὸ λόγο μὲ σιγή, τότε λοιπὸν ἡ λύπη ἐξ αἰτίας τῆς σιγῆς ἔγινε γι' αὐτοὺς πολὺ πιὸ χειρότερη ἀπὸ τὴ γέεννα. Αὐτὸ ἔκανε ἄνω κάτω τὶς ἐκκλησίες, ἐπειδὴ καὶ σεῖς δὲν ζητᾶτε ν' ἀκούσετε λόγο κατανυκτικό, ἀλλὰ λόγο ποὺ ἔχει τὴ δύναμη νὰ προξενήσει εὐχαρίστηση καὶ μὲ πομπώδεις ἐκφρά-

τῇ συνθέσει τῶν ῥημάτων, καθάπερ μελῳδῶν καὶ κιθαριστῶν ἀκούοντες· καὶ ἡμεῖς ψυχρῶς καὶ ταλαιπώρως ποιοῦντες, ὅτι ταῖς ὑμετέραις ἐπιθυμίαις ἑπόμεθα, δέον ἐκκόπτειν ταύτας. Καὶ ταὐτὸν γίνεται, οἷον ἄν, εἴ τις πατὴρ πέρα τοῦ δέοντος μαλθακοῦ παιδίου, καίτοι ἀρρωστοῦντος, πλακοῦντα ἐπιδῷ, καὶ ψυχρόν, καὶ ὅσα τέρπει μόνον, τῶν δὲ χρησίμων μηδεμίαν ἐπιμέλειαν ποιοῖτο, εἶτα, ἐγκαλούμενος παρὰ τῶν ἰατρῶν, ἀπολογοῖτο, λέγων· 'Τί πάθω; οὐκ ἀνέχομαι κλαῖον τὸ παιδίον ἰδεῖν'. Ἄθλιε, καὶ ταλαίπωρε, καὶ προδότα! (οὐ γὰρ ἂν πατέρα τὸν τοιοῦτον εἴποιμι)· καὶ πόσῳ βέλτιον ἐν βραχεῖ λυπήσαντα διὰ παντὸς ὑγείᾳ παραδοῦναι, ἢ τὴν πρόσκαιρον ταύτην χάριν διηνεκοῦς ἀθυμίας ὑπόθεσιν ποιήσασθαι;

4. Τοῦτο πάσχομεν καὶ ἡμεῖς, κάλλη λέξεων περιεργαζόμενοι καὶ συνθήκας καὶ ἁρμονίαν, ὅπως ἠσωμεν, οὐχ ὅπως ὠφελήσωμεν· ὅπως θαυμασθῶμεν, οὐχ ὅπως διδάξωμεν· ὅπως τέρψωμεν, οὐχ ὅπως κατανύξωμεν· ὅπως κροτηθῶμεν καὶ ἐπαίνου τυχόντες ἀπέλθωμεν, οὐχ ὅπως τὰ ἤθη ῥυθμίσωμεν. Πιστεύσατέ μοι, οὐκ ἄλλως λέγω, ἐπειδὰν λέγων κροτῶμαι, παρ' αὐτὸν μὲν τὸν καιρὸν ἀνθρώπινόν τι πάσχω (τί γὰρ οὐκ ἂν τις εἴποι τὸ ἀληθές;), καὶ γάννυμαι, καὶ διαχέομαι, ἐπειδὰν δέ, ἀπελθὼν οἴκαδε, ἐννοήσω τοὺς κροτήσαντας οὐδὲν ὠφεληθέντας, ἀλλά, εἴ τι καὶ ὠφεληθῆναι ἔδει, ὑπὸ τοῦ κρότου καὶ τῶν ἐπαίνων ἀπολωλεκότας, ὀδυνῶμαι, καὶ στένω, καὶ δακρύω, καί, ὡς εἰκῆ πάντα εἰρηκώς, οὕτω διάκειμαι, καὶ πρὸς ἐμαυτὸν λέγω, 'Τί μοι τὸ ὄφελος τῶν ἱδρώ-

σεις καὶ μὲ τὴν ὅλη σύνθεση τῶν λόγων, σὰν ἀκριβῶς ν' ἀκοῦτε τραγουδιστὲς καὶ κιθαριστές· καὶ ἐμεῖς ἐνεργώντας ψυχρὰ καὶ ταλαίπωρα, ἀκολουθοῦμε τὶς ἐπιθυμίες σας, ἐνῶ πρέπει νὰ ξερριζώνομε αὐτές. Καὶ γίνεται τὸ ἴδιο, ὅπως, ἂν κάποιος, πατέρας παιδιοῦ μαλθακοῦ πέρα ἀπὸ ὅ,τι πρέπει, ἐνῶ εἶναι ἄρρωστο, τοῦ δώσει γλύκισμα καὶ μάλιστα ψυχρὸ καὶ ὅσα ἄλλα μόνο εὐχαριστοῦν, ἐνῶ γιὰ τὰ χρήσιμα δὲν καταβάλλει καμιὰ φροντίδα, ἔπειτα, κατηγορούμενος ἀπὸ τοὺς γιατρούς, ἀπολογοῦνταν, λέγοντας· 'Τί νὰ κάνω; δὲν βαστῶ νὰ βλέπω τὸ παιδί μου νὰ κλαίει'. Ἄθλιε καὶ ταλαίπωρε καὶ προδότη! (διότι δὲν θὰ μπορούσαμε τὸν παρόμοιο νὰ τὸν ὀνομάσομε πατέρα)· καὶ πόσο προτιμότερο δὲν εἶναι, ἀφοῦ τὸ λυπήσεις γιὰ σύντομο χρόνο, νὰ τοῦ χαρίσεις γιὰ πάντα τὴν ὑγεία, παρὰ τὴν προσωρινὴ αὐτὴ χάρη νὰ τὴν καταστήσεις αἰτία παντοτινῆς λύπης;

4. Αὐτὸ παθαίνομε καὶ ἐμεῖς, ποὺ καταγινόμαστε μὲ ὡραῖες λέξεις καὶ συνθέσεις φράσεων καὶ ἁρμονία, μὲ σκοπὸ πῶς νὰ εὐχαριστήσομε, καὶ ὄχι πῶς νὰ ὠφελήσομε· πῶς νὰ θαυμασθοῦμε, καὶ ὄχι πῶς νὰ διδάξομε· πῶς νὰ προξενήσομε εὐχαρίστηση, καὶ ὄχι πῶς νὰ συγκινήσομε· πῶς νὰ χειροκροτηθοῦμε καὶ νὰ φύγομε ἀφοῦ λάβομε ἔπαινο, καὶ ὄχι πῶς νὰ διορθώσομε τὶς συνήθειες. Πιστέψτε με, δὲν ἐνεργῶ διαφορετικά, ὅταν μιλώντας χειροκροτοῦμαι, διότι παθαίνω κάτι τὸ ἀνθρώπινο κατὰ τὴ στιγμὴ ἐκείνη (διότι γιατί νὰ μὴ πεῖ κανεὶς τὴν ἀλήθεια;), καὶ χαίρομαι καὶ εὐχαριστοῦμαι, ὅταν ὅμως, ἀφοῦ μεταβῶ στὸ σπίτι μου, σκεφθῶ ὅτι δὲν ὠφελήθηκαν καθόλου ἐκεῖνοι ποὺ μὲ χειροκρότησαν, ἀλλ', ἐὰν ἔπρεπε καὶ νὰ ὠφεληθοῦν σὲ κάτι, ἐξ αἰτίας τῶν χειροκροτημάτων καὶ τῶν ἐπαίνων τὸ ἔχουν χάσει, ὑποφέρω πολὺ καὶ στενάζω καὶ δακρύζω, καί, ἐπειδὴ τὰ εἶπα ὅλα στὰ χαμένα, εἶναι τέτοια ἡ διάθεσή μου, καὶ λέγω πρὸς τὸν ἑαυτό μου, 'Ποιὰ ἡ ὠφέλειά μου ἀπὸ τοὺς ἱδρῶτες, ἀφοῦ οἱ ἀ-

των, τῶν ἀκουόντων οὐκ ἐθελόντων καρποῦσθαί τι παρὰ τῶν λόγων τῶν παρ' ἡμῶν;', καὶ πολλάκις ἐνενόησα θεῖναι νόμον τὸν κωλύοντα τοὺς κρότους, καὶ πείθοντα μετὰ σιγῆς ὑμᾶς ἀκροᾶσθαι καὶ τῆς προσηκούσης εὐταξίας.

'Αλλὰ ἀνάσχεσθε, παρακαλῶ, καὶ πείσθητέ μοι, εἰ δοκεῖ, τοῦτον κυρώσωμεν τὸν νόμον ἤδη, μηδενὶ τῶν ἀκουόντων ἐξεῖναι κροτεῖν μεταξὺ λέγοντός τινος, ἀλλ' εἰ ϐούλοιτο θαυμάζειν, θαυμαζέτω σιγῇ· οὐδεὶς ὁ κωλύων, πᾶσα δὲ ἡ σπουδὴ καὶ ἡ προθυμία περὶ τὸ δέχεσθαι τὰ λεγόμενα γινέσθω. Διὰ τί ἐκροτήσατε; Περὶ τούτου τὸν νόμον τίθημι, ὑμεῖς δὲ οὐδὲ ἀκοῦσαι ἀνέχεσθε. Πολλῶν τοῦτο ἀγαθῶν αἴτιον ἔσται, καὶ διδασκαλεῖον φιλοσοφίας. Καὶ οἱ τῶν ἔξω φιλόσοφοι διελέγοντο, καὶ οὐδεὶς οὐδαμοῦ κρότος αὐτοῖς εἵπετο· καὶ οἱ 'Απόστολοι ἐδημηγόρουν, καὶ οὐδαμοῦ τοῦτο πρόσκειται, ὅτι μεταξὺ λεγόντων ἐκείνων τοῖς κρότοις διέκοπτον οἱ ἀκούοντες τὸν λέγοντα. Μέγα τοῦτο κέρδος ἡμῖν.

'Αλλὰ κυρώσωμεν τοῦτο· μεθ' ἡσυχίας πάντες ἀκούωμεν, καὶ λέγωμεν ἅπαντα. Εἰ μὲν γὰρ μετὰ τοὺς κρότους ἀπῄειμεν ἔχοντες ἅπερ ἠκούσαμεν, μάλιστα μὲν οὐδὲ οὕτω χρήσιμος ὁ ἔπαινος (ἀλλ' οὐκ ἂν ἠκριϐολογησάμην μή μέ τις ἀγροικίας γραφέτω), ἐπειδὴ δὲ μηδὲν τὸ πλέον, ἀλλὰ καὶ ϐλάϐη, λύσωμεν τὸ κώλυμα, ἀνέλωμεν τὰ σκιρτήματα, ἐκκόψωμεν τὰ πηδήματα τῆς ψυχῆς. 'Ο Χριστὸς ἐδημηγόρησεν ἐπὶ τοῦ ὄρους· ἀλλ' οὐδεὶς οὐδὲν εἶπεν, ἕως ὅτε τὸν λόγον ἐτέλεσεν. Οὐκ ἀποστερῶ τοὺς ϐουλομένους κροτεῖσθαι, ἀλλὰ μᾶλλον θαυμάζεσθαι ποιῶ. Πολλῷ

κροατὲς δὲν θέλουν νὰ ὠφεληθοῦν σὲ κάτι ἀπὸ τοὺς λόγους μου;' καὶ πολλὲς φορὲς σκέφθηκα νὰ θέσω νόμο ποὺ ν' ἀπαγορεύει τὰ χειροκρατήματα καὶ νὰ σᾶς προτρέπει νὰ ἀκοῦτε μὲ ἡσυχία καὶ πρέπουσα εὐταξία.

Ἀλλὰ συγχωρέστε με, παρακαλῶ, καὶ πιστέψτε με καί, ἂν νομίζετε σωστό, ἂς ἐπικυρώσομε ἀπὸ αὐτὴ τὴ στιγμὴ τὸ νόμο αὐτό, νὰ μὴ ἐπιτρέπεται σὲ κανένα ἀπὸ τοὺς ἀκροατὲς νὰ χειροκροτεῖ ὅταν κάποιος ὁμιλεῖ, ἀλλ' ἐὰν θέλει νὰ θαυμάζει, ἂς θαυμάζει μὲ σιωπή· κανένας δὲν ἐμποδίζει, ἀλλ' ὅμως ὅλη ἡ φροντίδα καὶ ἡ προθυμία σας ἂς συγκεντρώνεται στὸ νὰ δέχεσθε τὰ λεγόμενα. Γιατί χειροκροτήσατε; Γι' αὐτὸ τὸ πρᾶγμα ὁρίζω τὸ νόμο, σεῖς ὅμως δὲν ἀνέχεσθε οὔτε ν' ἀκούσετε. Αὐτὸ θὰ γίνει αἰτία πολλῶν ἀγαθῶν καὶ διδασκαλεῖο φιλοσοφίας. Καὶ οἱ μὴ Χριστιανοὶ φιλόσοφοι μιλοῦσαν σὲ ἀκροατήριο καὶ πουθενὰ κανένα χειροκρότημα δὲν ἀκολουθοῦσε· καὶ οἱ Ἀπόστολοι μιλοῦσαν σὲ πλήθη λαοῦ καὶ πουθενὰ δὲν ἀναφέρεται αὐτό, ὅτι ἐνῶ μιλοῦσαν ἐκεῖνοι διέκοπταν οἱ ἀκροατὲς τὸν ὁμιλητὴ μὲ χειροκροτήματα. Αὐτὸ θὰ εἶναι μεγάλο κέρδος γιὰ μᾶς.

Ἂς τὸ ἐπικυρώσομε λοιπὸν αὐτό· μὲ ἡσυχία ὅλοι ν' ἀκοῦμε καὶ ὅλα νὰ τὰ λέμε ἐνῶ θὰ ἐπικρατεῖ ἡσυχία. Διότι, ἐὰν μὲν φεύγαμε μετὰ τοὺς κρότους ἔχοντας ἐκεῖνα ποὺ ἀκούσαμε, ὁπωσδήποτε καὶ οὔτε ἔτσι εἶναι χρήσιμος ὁ ἔπαινος (ἀλλὰ δὲν θὰ μποροῦσα ν' ἀκριβολογήσω· ἂς μὴ μὲ θεωρήσετε ἄξεστο), ἐπειδὴ ὅμως φεύγοντας δὲν ἔχομε τίποτε τὸ ἐπὶ πλέον, ἀντίθετα ἔχομε καὶ βλάβη, ἂς ἐξαλείψομε τὸ ἐμπόδιο, ἂς νικήσομε τὰ σκιρτήματα τῆς καρδιᾶς, ἂς σταματήσομε τὰ πηδήματα τῆς ψυχῆς. Ὁ Χριστὸς μίλησε στὰ πλήθη τοῦ λαοῦ ἐπάνω στὸ ὄρος, ἀλλὰ κανένας δὲν εἶπε τίποτε, μέχρι ποὺ τελείωσε τὸ λόγο. Δὲν ἀποστερῶ τὰ χειροκροτήματα ἀπὸ ἐκείνους ποὺ θέλουν νὰ χειροκροτοῦν, ἀλλὰ τοὺς κάμνω νὰ εἶναι περισσότερο ἄξιοι θαυμασμοῦ. Πολὺ προτιμότε-

βέλτιον μετὰ σιγῆς ἀκούσαντα, διὰ τῆς μνήμης ἐν παντὶ τῷ χρόνῳ κροτεῖν καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀγορᾷ, ἢ πάντα ἀποτελέσαντα ἀπέρχεσθαι οἴκαδε κενόν, οὐκ ἔχοντα τῶν κρότων τὴν ὑπόθεσιν· πῶς γὰρ οὐ καταγέλαστος ὁ ἀκροατής; πῶς οὐ κόλαξ καὶ εἴρων νομισθήσεται μᾶλλον, ὅτι μὲν καλῶς εἶπεν ὁ διδάσκαλος ἀποφαινόμενος, τί δὲ εἶπεν οὐκ ἔχων δεῖξαι; Τοῦτο κολακείας ἐστίν· ὁ μὲν γὰρ κιθαρῳδῶν ἀκούσας καὶ τραγῳδῶν, εἰκότως ἂν τοῦτο πάθοι, ἅτε οὐκ εἰδὼς ὁμοίως τὴν ῥῆσιν εἰπεῖν, ἔνθα δὲ οὐ μέλους ἐπίδειξίς ἐστιν, οὐδὲ φωνῆς, ἀλλὰ νοημάτων καὶ φιλοσοφίας δύναμις, καὶ παντὶ ῥᾴδιον εἰπεῖν καὶ ἀπαγγεῖλαι, πῶς οὐκ ἄξιος κατηγορίας ὁ μὴ δυνηθεὶς εἰπεῖν τὴν αἰτίαν, δι' ἣν ἐπῄνεσε τὸν λέγοντα; Οὐδὲν οὕτω πρέπον Ἐκκλησίᾳ ὡς σιγή, ὡς εὐταξία. Θεάτροις ἐπιτήδειος ὁ θόρυβος, καὶ βαλανείοις, καὶ πομπαῖς, καὶ ἀγοραῖς· ἔνθα δὲ περὶ τοιούτων δογμάτων ἡ διδασκαλία, γαλήνη, καὶ ἡσυχία, καὶ φιλοσοφία, καὶ πολὺς ὁ λιμὴν εἶναι ὀφείλει.

Ταῦτα δέομαι καὶ ἀντιβολῶ πάντας εἰδέναι· περίειμι γὰρ καὶ αὐτὸς τρόπους παντοίους ἐπιζητῶν, δι' ὧν ὠφελῆσαι δυνήσομαι τὰς ὑμετέρας ψυχάς. Οὐ μικρὸς καὶ οὗτος ὁ τρόπος εἶναί μοι δοκεῖ· οὐχ ὑμᾶς ὠφελήσει μόνους, ἀλλὰ καὶ ἡμᾶς. Οὐκ ἀφήσει ἐκτραχηλίζεσθαι, οὐδὲ ἐπαίνων καὶ δόξης ἐρᾶν, οὐδὲ τὰ τέρποντα λέγειν, ἀλλὰ τὰ ὠφελοῦντα· οὐδὲ περὶ συνθήκας καὶ κάλλη λέξεων, ἀλλὰ περὶ νοημάτων δύναμιν πᾶσαν ἀπασχολεῖν τοῦ καιροῦ τὴν ῥοπήν. Εἴσελθε εἰς ζωγραφεῖον, καὶ ὄψει πολλὴν ἐκεῖ τὴν σιγήν. Οὐκοῦν καὶ ἐνταῦθα· καὶ γὰρ καὶ ἐνταῦθα εἰ-

ρο εἶναι, ἀφοῦ κανεὶς ἀκούσει μὲ ἡσυχία, νὰ χειροκροτεῖ μὲ τὴν ἀνάμνησή του καθ' ὅλο τὸ χρόνο καὶ στὴν οἰκία του καὶ στὴν ἀγορά, παρά, ἀφοῦ τὰ κάνει ὅλα ἐδῶ νὰ ἀναχωρεῖ γιὰ τὸ σπίτι του τελείως ἄδειος, μὴ ἔχοντας μαζί του τὴν αἰτία τῶν χειροκροτημάτων. Πῶς λοιπὸν δὲν εἶναι ὁ ἀκροατὴς ἄξιος γιὰ γέλια; πῶς δὲν θὰ θεωρηθεῖ μᾶλλον κόλακας καὶ εἴρωνας, διότι δείχνει μὲν ὅτι ὁ δάσκαλος μίλησε πολὺ καλά, δὲν μπορεῖ ὅμως νὰ δείξει τί εἶπε; Αὐτὸ εἶναι δεῖγμα κολακείας· διότι ἐκεῖνος μὲν ποὺ ἄκουσε κιθαριστὲς καὶ τραγουδιστές, πολὺ εὔλογα θὰ μποροῦσε νὰ πάθει αὐτό, ἐπειδὴ ὁ ἴδιος δὲν γνωρίζει νὰ πεῖ τὰ λόγια, ὅπου ὅμως δὲν ὑπάρχει ἐπίδειξη μέλους, οὔτε φωνῆς, ἀλλὰ δύναμη νοημάτων καὶ φιλοσοφίας, καὶ στὸν καθένα εἶναι εὔκολο νὰ μιλήσει καὶ νὰ ἐκφωνήσει λόγο, πῶς δὲν εἶναι ἄξιος κατηγορίας ἐκεῖνος ποὺ δὲν μπόρεσε νὰ πεῖ τὴν αἰτία, γιὰ τὴν ὁποία ἐπαίνεσε τὸν ὁμιλητή; Τίποτε δὲν ταιριάζει τόσο πολὺ στὴν ἐκκλησία, ὅσο ἡ εὐταξία. Ὁ θόρυβος εἶναι κατάλληλος στὰ θέατρα, στὰ λουτρά, στὶς πομπὲς καὶ τὶς ἀγορές, ἐκεῖ ὅμως ποὺ ἡ διδασκαλία εἶναι γιὰ τέτοιες ἀλήθειες, πρέπει νὰ ἐπικρατεῖ γαλήνη, ἡσυχία, ἐγκαρτέρηση καὶ μεγάλη ἀσφάλεια.

Αὐτὰ σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω ὅλους νὰ τὰ γνωρίζετε· δὲν παύω βέβαια καὶ ἐγὼ ὁ ἴδιος ν' ἀναζητῶ παντὸς εἴδους τρόπους, μὲ τοὺς ὁποίους θὰ μπορέσω νὰ ὠφελήσω τὶς ψυχές σας. Δὲν εἶναι καὶ αὐτὸς νομίζω μικρὸς τρόπος· δὲν θὰ ὠφελήσει μόνο ἐσᾶς, ἀλλὰ καὶ ἐμένα· Δὲν θὰ μὲ ἀφήσει νὰ ἐκτραπῶ οὔτε νὰ ἐπιθυμῶ ἐπαίνους καὶ δόξα, οὔτε νὰ λέγω ἐκεῖνα ποὺ εὐχαριστοῦν, ἀλλ' ἐκεῖνα ποὺ ὠφελοῦν· οὔτε ν' ἀσχολοῦμαι ὅλες τὶς στιγμὲς τοῦ χρόνου μὲ ὡραῖες λέξεις καὶ τὴ σύνθεση αὐτῶν, ἀλλὰ ν' ἀφιερώνω ὅλη τὴ δύναμή μου μὲ τὴν ἀναζήτηση νοημάτων. Μπὲς σὲ ἐργαστήριο ζωγραφικῆς καὶ θὰ δεῖς νὰ ὑπάρχει ἐκεῖ μεγάλη ἡσυχία. Λοιπὸν καὶ ἐδῶ

κόνας γράφομεν βασιλικάς, καὶ οὐδεμίαν ἰδιωτικήν, διὰ τῶν χρωμάτων τῆς ἀρετῆς.

Τί τοῦτο; πάλιν κροτεῖτε; Οὐκ εὔκολον τὸ πρᾶγμα δοκεῖ, καὶ τοῦτο οὐ φύσει, ἀλλὰ τῷ συνηθείᾳ πολλῇ μήπω κατορθοῦν αὐτὸ μεμαθηκέναι. Γραφὶς τοίνυν ἐστὶν ἡμῖν γλῶττα, τεχνίτης δὲ τὸ Πνεῦμα τὸ ἅγιον. Εἰπέ μοι, ἐν τοῖς μυστηρίοις μή τις θόρυβος; μή τις ταραχή; Ὅταν βαπτιζώμεθα, ὅταν τὰ ἄλλα πάντα ποιῶμεν, οὐχ ἡσυχία καὶ σιγὴ τὰ πάντα κατέχει; Τοῦτο ἐν τῷ οὐρανῷ κατέσπαρται τὸ κάλλος. Διὰ τοῦτο διαβεβλήμεθα καὶ παρ' Ἕλλησιν, ὡς πρὸς ἐπίδειξιν πάντα ποιοῦντες καὶ πρὸς φιλοτιμίαν. Ἀλλ' ἐὰν τοῦτο κωλυθῇ, καὶ τῶν προεδριῶν ὁ ἔρως σβεσθήσεται. Ἀρκεῖ, εἴ τις ἐπαίνων ἐρᾷ, τὸ μετὰ τὴν ἀκρόασιν τούτων τυγχάνειν, ὅταν τοὺς καρποὺς συλλέγῃ.

Ναί, παρακαλῶ, κυρώσωμεν τοῦτον τὸν νόμον, ἵνα, πάντα κατὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὸ ἴδιο νὰ συμβαίνει· καθόσον καὶ ἐδῶ μὲ τὰ χρώματα τῆς ἀρετῆς ζωγραφίζομε βασιλικὲς εἰκόνες καὶ καμιὰ ἰδιωτική.

Γιατί αὐτό; πάλι χειροκροτεῖτε; Δὲν φαίνεται εὔκολο τὸ πράγμα, καὶ αὐτὸ δὲν συμβαίνει ἐκ φύσεως, ἀλλὰ λόγω τῆς μεγάλης συνήθειας δὲν συνηθίσατε νὰ τὸ κατορθώνετε αὐτό. Γραφίδα λοιπὸν σ' ἐμᾶς εἶναι ἡ γλώσσα, τεχνίτης δὲ τὸ ἅγιο Πνεῦμα. Πές μου, στὰ μυστήρια μήπως ὑπάρχει κάποιος θόρυβος; μήπως κάποια ταραχή; Ὅταν βαπτιζόμαστε, ὅταν ἐπιτελοῦμε ὅλα τὰ ἄλλα μυστήρια, δὲν ἐπικρατεῖ παντοῦ ἡσυχία καὶ σιωπή; Αὐτὸ τὸ κάλλος εἶναι κατασπαρμένο στὸν οὐρανό. Γι' αὐτὸ κατηγορούμαστε ἀπὸ τοὺς Ἕλληνες, ὅτι ὅλα τὰ κάμνομε ἀπὸ ἐπίδειξη καὶ φιλοδοξία. Ἀλλ' ἂν αὐτὸ ἐμποδισθεῖ, θὰ σβήσει καὶ ἡ ὑπερβολικὴ ἀγάπη γιὰ τὶς πρωτοκαθεδρίες. Εἶναι ἀρκετό, ἂν κάποιος ἀγαπᾶ τοὺς ἐπαίνους, τὸ νὰ ἀποσπᾶ αὐτοὺς μετὰ τὴν ἀκρόαση, ὅταν συλλέγει τοὺς καρπούς.

Ναὶ παρακαλῶ, ἂς ἐπικυρώσομε αὐτὸν τὸν νόμο, ὥστε, πράττοντας ὅλα ἐκεῖνα ποὺ εἶναι ἀρεστὰ στὸ Θεό, νὰ ἀξιωθοῦμε νὰ ἐπιτύχομε τὴν φιλανθρωπία αὐτοῦ μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ Μονογενῆ Υἱοῦ αὐτοῦ, τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν·

ΟΜΙΛΙΑ ΛΑ΄

(Πράξ. 14, 14 - 28)

«Ἀκούσαντες δὲ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, ἐξεπήδησαν εἰς τὸν ὄχλον κράζοντες καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε; ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς».

1. Ὅρα πάντα μετὰ σφοδρότητος τοὺς Ἀποστόλους ποιοῦντας. Διέρρηξαν τὰ ἱμάτια, ἐπήδησαν, ἔκραξαν, πάντα ἀπὸ διαθέσεως ψυχῆς, ἀποστρεφόμενοι τὰ γενόμενα, καὶ πένθους σημεῖα ποιοῦντες· πένθος γὰρ ἦν, ὄντως πένθος ἀπαραμύθητον, εἴ γε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρίαν εἰσάγειν, ἣν ἦλθον καταλύσοντες. Καὶ τοῦτο τοῦ διαβόλου ἦν κατασκεύασμα. Οἱ δὲ οὐχ ἡσυχάζουσιν, ἀλλὰ τί; «Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν», φασίν, «ἄνθρωποι». Εὐθέως ἐκ προοιμίων ἀνέτρεψαν τὸ κακόν. Οὐκ εἶπον ἁπλῶς, «Ἄνθρωποι», ἀλλὰ «καθ' ὑμᾶς». Εἶτα, ἵνα μὴ δόξωσι τιμᾶν τοὺς θεούς, ἄκουσον τί ἐπάγουσιν· «Εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς». Ὅρα οὐδαμοῦ τῶν προφη-

1. Πράξ. 14, 14 - 15
2. Ψαλμ. 145, 6

ΟΜΙΛΙΑ ΛΑ΄
(Πράξ. 14, 14 - 28)

«Όταν τὸ ἄκουσαν αὐτὸ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, ξέσχισαν τὰ ἐνδύματά τους καὶ ἔτρεξαν μέσα στὸ πλῆθος φωνάζοντας δυνατὰ καὶ λέγοντας· Ἄνδρες, γιατί τὰ κάμνετε αὐτά; καὶ ἐμεῖς εἴμαστε ἄνθρωποι ὁμοιοπαθεῖς μὲ σᾶς ποὺ κηρύττομε τὸ εὐαγγέλιο γιὰ νὰ ἐπιστρέψετε ἀπὸ τὰ μάταια αὐτὰ πράγματα στὸν Ζωντανὸ Θεό, ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτά»[1].

1. Πρόσεχε ποὺ ὅλα οἱ Ἀπόστολοι τὰ κάμνουν μὲ μεγάλη ψυχικὴ δύναμη. Ξέσχισαν τὰ ἐνδύματά τους, ἔτρεξαν πρὸς τὸ λαό, κάμνοντας ὅλα ἀπὸ ψυχικὴ διάθεση, νιώθοντας ἀποστροφὴ γιὰ ἐκεῖνα ποὺ ἔγιναν καὶ ἐνεργώντας μὲ ἐκδηλώσεις πένθους· διότι ἦταν πένθος, πραγματικὰ πένθος ἀπαρηγόρητο, ἐὰν ἐπρόκειτο νὰ θεωροῦνται θεοὶ καὶ νὰ εἰσάγουν εἰδωλολατρία, τὴν ὁποία ἦρθαν νὰ καταργήσουν. Καὶ αὐτὸ ἦταν ἐπινόημα τοῦ διαβόλου. Οἱ Ἀπόστολοι ὅμως δὲν ἡσυχάζουν, ἀλλὰ τί κάμνουν; «Καὶ ἐμεῖς», λέγει, «εἴμαστε ἄνθρωποι ὁμοιοπαθεῖς μὲ σᾶς». Ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴ ἀνέτρεψαν τὸ κακό. Δὲν εἶπαν ἁπλῶς, «Ἄνθρωποι», ἀλλὰ «σὰν καὶ σᾶς». Ἔπειτα, γιὰ νὰ μὴ φανοῦν ὅτι τιμοῦν τοὺς θεούς, ἄκουσε τί προσθέτουν· «Ποὺ κηρύττομε τὸ εὐαγγέλιο σὲ σᾶς γιὰ νὰ ἐπιστρέψετε ἀπὸ τὰ μάταια αὐτὰ πράγματα στὸν Ζωντανὸ Θεό, ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτά»[2]. Πρόσεχε

τῶν μνημονεύοντας αὐτούς, οὐδὲ λέγοντας τίνος ἕνεκεν, πάντων δημιουργὸς ὤν, τὰ ἔθνη ἀφῆκεν αὐτόνομα;

«Ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν». Ὅτι μὲν εἴασε λέγει, διὰ τί δὲ εἴασεν, οὐκ ἔτι· τέως πρὸς τὸ κατεπεῖγον ἵσταται, οὐδαμοῦ τοῦ Χριστοῦ τὸ ὄνομα τιθείς.

«Καίτοι γε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν, ἀγαθοποιῶν οὐρανόθεν, ὑμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν». Ὅρα, οὐ βούλεται τὴν κατηγορίαν αὐτῶν αὐξῆσαι, ἀλλὰ μᾶλλον ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἄγειν αὐτοὺς παιδεύει· ἔμαθον γὰρ ὅτι οὐχ οὕτω σπουδάζειν δεῖ ἄξιόν τι εἰπεῖν περὶ Θεοῦ, ὡς τὸ τοῖς ἀκούουσιν ὠφέλιμον. Ὅρα πῶς λανθανόντως τὴν κατηγορίαν τίθησι. Καὶ μήν, εἰ τοῦτο ἐποίει, ἔδει κολασθῆναι αὐτούς, τοσούτων ἀπολαύοντας ἀγαθῶν, καὶ μηδὲ ὡς τροφέα γνωρίσαντας· ἀλλ' οὐ λέγει φανερῶς, ἀλλ' αἰνίττεται, «οὐρανόθεν ὑμῖν», λέγων, «ὑετοὺς διδούς». Οὕτω καὶ ὁ Δαυὶδ ἔλεγεν· «Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν»· καὶ πολλαχοῦ, περὶ δημιουργίας διαλεγόμενος, ταῦτα τίθησιν εἰς μέσον. Καὶ ὁ Ἰερεμίας δὲ τὴν δημιουργίαν πρώτην, εἶτα τὴν πρόνοιαν, τὴν διὰ τῶν ὑετῶν φησιν· ὥστε ἐκεῖθεν πεπαιδευμένος διαλέγεται· «Ἐμπιπλῶν», φησί, «τροφῆς καὶ εὐφροσύνης». Μετὰ φιλοτιμίας ἡ τροφή, οὐ μόνον πρὸς αὐτάρκειαν, οὐδὲ πρὸς τὴν χρείαν.

«Καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄ-

---

3. Πράξ. 14, 16
4. Πράξ. 14, 17
5. Ψαλμ. 4, 8
6. Ἱερ. 5, 22 - 24

πού αὐτοὶ πουθενὰ δὲν κάμνουν λόγο γιὰ τοὺς προφῆτες, οὔτε λέγουν, γιὰ ποιὸ λόγο, ἐνῶ εἶναι δημιουργὸς ὅλων, ἄφησε τὰ ἔθνη αὐτόνομα;

«Ὁ ὁποῖος στὶς προηγούμενες γενεὲς ἄφησε ὅλα τὰ ἔθνη νὰ βαδίζουν τὸ δικό τους δρόμο»[3]. Τὸ ὅτι τὰ ἄφησε τὸ λέγει, γιατὶ ὅμως τὰ ἄφησε, δὲν τὸ λέγει ἀκόμα· στὴν ἀρχὴ σταματᾶ στὸ κατεπεῖγον, μὴ ἀναφέροντας πουθενὰ τὸ ὄνομα τοῦ Χριστοῦ.

«Στὴν πραγματικότητα βέβαια δὲν ἄφησε τὸν ἑαυτό του χωρὶς ν' ἀποκαλύπτεται στὸν κόσμο, στέλλοντας τὶς εὐεργεσίες του ψηλὰ ἀπὸ τὸν οὐρανό, δίνοντας σὲ σᾶς βροχὲς καὶ ἐποχὲς καρποφόρες, γεμίζοντας τὶς καρδιές σας μὲ τροφὲς καὶ χαρὰ»[4]. Πρόσεχε, ὅτι δὲν θέλει ν' αὐξήσει τὴν σὲ βάρος τους κατηγορία, ἀλλὰ τοὺς διδάσκει ἀποδίδοντας τὸ πᾶν στὸ Θεό· διότι ἔμαθαν ὅτι δὲν πρέπει τόσο πολὺ νὰ φροντίζουν νὰ ποῦν κάτι τὸ ἄξιο περὶ τοῦ Θεοῦ, ὅσο τὸ νὰ εἶναι αὐτὸ ὠφέλιμο γιὰ τοὺς ἀκροατές. Πρόσεχε πῶς, μὲ τρόπο ποὺ νὰ μὴ γίνεται ἀντιληπτό, διατυπώνει τὴν κατηγορία. Καὶ βέβαια, ἐὰν ἔκαμνε αὐτό, ἔπρεπε νὰ τιμωρηθοῦν αὐτοί, διότι, ἐνῶ ἀπόλαυσαν τόσα ἀγαθά, δὲν τὸν ἀναγνώρισαν οὔτε σὰν χορηγὸ τροφῆς· ὅμως δὲν τὸ λέγει φανερά, ἀλλὰ τὸ ὑπαινίσσεται, λέγοντας «δίνοντάς σας ψηλὰ ἀπὸ τὸν οὐρανὸ βροχές». Τὸ ἴδιο καὶ ὁ Δαυὶδ ἔλεγε· «Ἂν καὶ αὐτοὶ εἶναι γεμάτοι ἀπὸ καρπὸ σίτου, οἴνου καὶ ἐλαίου»[5]· καὶ σὲ πολλὲς περιπτώσεις, μιλώντας γιὰ τὴ δημιουργία, αὐτὰ ἀναφέρει. Καὶ ὁ Ἱερεμίας ὁμιλεῖ πρῶτα γιὰ τὴ δημιουργία καὶ ἔπειτα γιὰ τὴν πρόνοια τοῦ Θεοῦ ποὺ ἐκδηλώνεται μὲ τὶς βροχές[6]· ὥστε ὁμιλεῖ ἔτσι ἐπειδὴ εἶχε διδαχθεῖ ἀπὸ ἐκεῖνον· «Γεμίζοντάς τους», λέγει, «μὲ τροφὴ καὶ χαρά»· Μὲ γενναιοδωρία δίνεται ἡ τροφή, ὄχι μόνο γιὰ νὰ εἶναι ἐπαρκής, οὔτε μόνο γιὰ νὰ ἱκανοποιεῖ τὶς ἀνάγκες·

«Καὶ λέγοντας αὐτά, μόλις καὶ μετὰ δυσκολίας σταμάτησαν τὰ πλήθη γιὰ νὰ μὴ προσφέρουν θυσία σ' αὐ-

χλους τοῦ μὴ θύειν αὐτοῖς». Καὶ τούτῳ μάλιστα ἐθαυμάσθησαν. Ὁρᾷς ὅτι πρὸς τοῦτο ἵσταντο, ὥστε ἀνατρέψαι τὴν μανίαν ἐκείνην;

«Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυραν ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι». Ὄντως διαβόλου τέκνα! οὐκ ἐν ταῖς πόλεσιν αὐτῶν μόνον, ἀλλὰ καὶ ἔξω τούτων ταῦτα ποιοῦντες, καὶ τοσαύτην ποιούμενοι σπουδὴν καθελεῖν τὸ κήρυγμα, ὅσην οἱ Ἀπόστολοι στῆσαι ἐπειγόμενοι. «Καὶ πείσαντες, φησί, τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυραν ἔξω τῆς πόλεως». Ἐνταῦθα πληροῦται τὸ «Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Μεῖζον τοῦτο τοῦ τὸν χωλὸν ἐγεῖραι. Οἱ μὲν οὖν ἐθνικοὶ ὡς θεοὺς ἐνόμιζον, οὗτοι δὲ ἔσυρον, πείσαντες τοὺς ὄχλους· οὐδὲ γὰρ πάντας εἰκὸς ἦν θαυμάζειν αὐτούς. Καὶ ὅρα, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ οὕτως ἐθαυμάσθησαν, ἐν αὐτῇ τὰ δεινὰ πάσχουσι. Καὶ τοῦτο δὲ τοὺς ὁρῶντας ὠφέλει. Ὅτι δὲ καὶ διὰ τοῦτο συνεχωρεῖτο πάσχειν, ἄκουε τοῦτο αὐτὸ δηλοῦντος καὶ λέγοντος· «Ἵνα μὴ εἰς ἐμὲ λογίσηταί τις ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ».

«Κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτόν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν». Ὁρᾷς προθυμίαν; ὁρᾷς πόθον ζέοντα καὶ πεπυρωμένον; Εἰς αὐτὴν πάλιν τὴν πόλιν εἰσῆλθεν, ὥστε δειχθῆναι ὅτι εἴ που καὶ ὑπεχώρει διὰ τὸ τὸν λόγον βούλεσθαι σπεῖραι, καὶ διὰ τὸ μὴ δεῖν ἐκκαίειν αὐτῶν τὸν θυμόν. Ταῦτα τῶν σημείων οὐχ ἧττον καὶ λαμπροτέρους ἐποίει, καὶ μᾶλλον χαίρειν παρεσκεύαζεν. Οὐδαμοῦ δὲ λέγει ὅτι ὑπέστρεψαν χαίροντες, ὅτι σημεῖα ἐποίησαν, ἀλλ' ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι· καὶ τοῦτο γὰρ παρὰ τοῦ Χριστοῦ ἐδιδάχθησαν,

τούς»[7]. Καὶ γι' αὐτὸ θαυμάσθηκαν πάρα πολύ· Βλέπεις ὅτι ἡ ὅλη προσπάθειά τους σ' αὐτὸ ἀπέβλεπε, στὸ ν' ἀνατρέψει δηλαδὴ τὴ μανία ἐκείνη;

«Ἦρθαν ὅμως ἀπὸ τὴν Ἀντιόχεια καὶ τὸ Ἰκόνιο Ἰουδαῖοι, καί, ἀφοῦ ἔπεισαν τὰ πλήθη, λιθοβόλησαν τὸν Παῦλο καὶ τὸν ἔσυραν ἔξω ἀπὸ τὴν πόλη, νομίζοντας ὅτι εἶχε πεθάνει»[8]. Ἐδῶ βρίσκει ἐκπλήρωση τὸ «Σοῦ ἀρκεῖ ἡ χάρη μου· διότι ἡ δύναμή μου ἀποδεικνύεται τέλεια ἐκεῖ ὅπου ὑπάρχει ἀδυναμία»[9]. Αὐτὸ εἶναι σπουδαιότερο ἀπὸ τὸ νὰ κάνει τὸν χωλὸ νὰ περπατήσει. Οἱ μὲν λοιπὸν ἐθνικοὶ τοὺς θεωροῦσαν σὰν θεούς, ἐνῶ αὐτοὶ τοὺς ἔσυραν, ἀφοῦ ἔπεισαν τὰ πλήθη· διότι οὔτε ἦταν φυσικὸ νὰ τοὺς θαυμάζουν ὅλοι. Καὶ πρόσεχε, στὴν ἴδια τὴν πόλη, στὴν ὁποία τόσο πολὺ θαυμάσθηκαν, σ' αὐτὴν πάσχουν τὰ δεινά. Καὶ αὐτὸ δὲ ὠφελοῦσε ἐκείνους ποὺ τοὺς ἔβλεπαν. Τὸ ὅτι δὲ καὶ γιὰ τὸ λόγο αὐτὸ ἐπιτρεπόταν ἀπὸ τὸ Θεὸ νὰ πάσχουν, ἄκου καὶ αὐτὸ τὸ ἴδιο ποὺ τὸ δηλώνει μὲ τὰ ἑξῆς λόγια· «Γιὰ νὰ μὴ μὲ θεωρήσει κάποιος ἀνώτερον ἀπὸ αὐτὸ ποὺ βλέπει σ' ἐμένα ἢ ἀκούει ἀπὸ μένα»[10].

«Ὅταν ὅμως οἱ μαθητὲς τὸν περικύκλωσαν, σηκώθηκε καὶ μπῆκε στὴν πόλη»[11]. Βλέπεις προθυμία; βλέπεις πόθο θερμὸ καὶ φλογερό; Στὴν ἴδια πάλι πόλη μπῆκε, γιὰ νὰ γίνει φανερὸ, ὅτι καὶ ἂν κάποτε ἀπομακρυνόταν, τὸ ἔκαμνε ἐπειδὴ ἤθελε νὰ σπείρει τὸ λόγο τοῦ εὐαγγελίου καὶ γιὰ νὰ μὴ ἀνάβει τὸ θυμὸ αὐτῶν. Αὐτὰ τοὺς ἔκαμναν λαμπρότερους ἀπὸ ὅ,τι τὰ θαύματα, καὶ τοὺς προετοίμαζαν περισσότερο νὰ χαίρονται. Πουθενὰ δὲ δὲν λέγει ὅτι ἐπέστρεψαν γεμάτοι ἀπὸ χαρά, ἢ ὅτι ἔκαναν θαύματα, ἀλλ' ὅτι καταξιώθηκαν νὰ ἀτιμασθοῦν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ· διότι καὶ αὐτὸ τὸ διδάχθηκαν ἀπὸ τὸν Χριστό, ὁ ὁποῖος ἔλεγε· «Μὴ χαίρεσθε, γιὰ τὸ ὅτι τὰ δαιμό-

7. Πράξ. 14, 18
8. Πράξ. 14, 19
9. Β΄ Κορ. 12, 9
10. Β΄ Κορ. 12, 6

λέγοντος· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται»· ἡ γὰρ ὄντως χαρὰ καὶ εἰλικρινὴς αὕτη ἐστί, τὸ πάσχειν τι διὰ Χριστόν. Εἶτα τὰς πόλεις πάσας ἐπῄεσαν, ἐν αἷς ἐκινδύνευσαν.

«Καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην, εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανοὺς ὑπέστρεψαν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Τοῦτο ἔλεγον, τοῦτο ἐδείκνυον. «Ἐπιστηρίζοντες», φησί, «τὰς ψυχὰς τῶν μαθητῶν». Ὥστε ἐστηριγμένοι ἦσαν· μᾶλλον δὲ προσετίθεντο. Προὔλεγον τοίνυν, ἵνα μὴ σκανδαλισθῶσιν. Ὥσπερ ἐπίτηδες δὲ τὸ αὐτὸ γίνεται οὐ διὰ τῶν Ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν μαθητῶν, ἵνα μάθωσιν ἐκ προοιμίων εὐθέως καὶ τοῦ κηρύγματος τὴν δύναμιν, καὶ ὅτι καὶ αὐτοὺς δεῖ τοιαῦτα πάσχειν, καὶ ἵνα γενναίως στῶσι, μὴ μόνον πρὸς τὰ σημεῖα κεχηνότες, ἀλλὰ πολλῷ μᾶλλον πρὸς τοὺς πειρασμούς. Διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε· «Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ καὶ ἠκούσατε». Διωγμοὶ διωγμοὺς διεδέχοντο, πανταχοῦ πόλεμοι, μάχαι, λιθοβολίαι. Ποία προτροπή; πῶς ἔπειθον, ἐν προοιμίοις θλίψεις λέγοντες; Εἶτα καὶ ἄλλη παραμυθία.

2. «Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' Ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν». Εἶδες θερμότητα Παύλου; «Προσευξάμενοι», φησί, «μετὰ

------

11. Λουκᾶ 1, 20
12. Πράξ. 14, 20 - 22
13. Φιλιπ. 1, 30
14. Πράξ. 14, 23

νια ὑποτάσσονται σὲ σᾶς»[1]· διότι ἡ πραγματικὴ καὶ εἰλικρινὴς χαρὰ αὐτὴ εἶναι, τὸ νὰ πάσχουν κάτι γιὰ τὸ Χριστό. Στὴ συνέχεια ἐπισκέφθηκαν ὅλες τὶς πόλεις στὶς ὁποῖες κινδύνεψαν.

«Καὶ τὴν ἐπόμενη ἡμέρα ἀναχώρησε μαζὶ μὲ τὸν Βαρνάβα γιὰ τὴ Δέρβη, καὶ ἀφοῦ κήρυξαν τὸ εὐαγγέλιο σ' ἐκείνη τὴν πόλη καὶ ἔκαναν ἀρκετοὺς μαθητές, ἐπέστρεψαν στὰ Λύστρα, τὸ Ἰκόνιο καὶ τὴν Ἀντιόχεια, στηρίζοντας τὶς ψυχὲς τῶν μαθητῶν, προτρέποντάς τους νὰ μένουν σταθεροὶ στὴν πίστη, καὶ ὅτι πρέπει νὰ περάσομε μέσα ἀπὸ πολλὲς θλίψεις γιὰ νὰ μποῦμε στὴ βασιλεία τοῦ Θεοῦ»[12]. Αὐτὸ ποὺ ἔλεγαν αὐτὸ καὶ ἀποδείκνυαν ἔμπρακτα. «Στηρίζοντας», λέγει, «τὶς ψυχὲς τῶν μαθητῶν». Ὥστε ἦταν ψυχικὰ ἐνδυναμωμένοι, ἀλλ' ὅμως πρόσθεταν περισσότερη ἐνδυνάμωση. Πρόλεγαν τὶς θλίψεις, γιὰ νὰ μὴ σκανδαλισθοῦν· Ὅπως ἀκριβῶς ἐπίτηδες τὸ ἴδιο γίνεται ὄχι μόνο μὲ τοὺς Ἀποστόλους, ἀλλὰ καὶ μὲ τοὺς μαθητές, γιὰ νὰ μάθουν ἀμέσως ἀπὸ τὴν πρώτη στιγμὴ καὶ τοῦ κηρύγματος τὴ δύναμη, καὶ ὅτι καὶ αὐτοὶ θὰ χρειασθεῖ νὰ ὑποστοῦν παρόμοια, καὶ γιὰ νὰ παραμένουν μὲ γενναιότητα σταθεροὶ στὴν πίστη, ὄχι μόνο μένοντας κατάπληκτοι ἀπὸ τὰ θαύματα, ἀλλὰ πολὺ περισσότερο ἀντιμετωπίζοντας μὲ γενναιότητα τοὺς πειρασμούς. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Κάμνοντας τὸν ἴδιο ἀγώνα, ποὺ εἴδατε νὰ κάμνω ἐγὼ καὶ ἀκούσατε γι' αὐτόν»[13]. Οἱ διωγμοὶ διαδέχονταν διωγμούς, παντοῦ γίνονταν πόλεμοι, μάχες, λιθοβολισμοί. Ποιὰ ἦταν ἡ προτροπή τους; πῶς τοὺς ἔπειθαν, διακηρύσσοντας ἀπὸ τὴν ἀρχὴ ὅτι θὰ συναντήσουν θλίψεις; Στὴ συνέχεια δὲ καὶ ἄλλη παρηγοριά.

2. «Ἀφοῦ χειροτόνησαν πρεσβυτέρους σὲ κάθε ἐκκλησία, μὲ προσευχὴ καὶ νηστεῖες τοὺς ἀφιέρωσαν στὸν Κύριο στὸν ὁποῖο εἶχαν πιστέψει»[14]. Εἶδες τὴ θερμότητα τοῦ Παύλου; «Μὲ προσευχές», λέγει, «καὶ νηστεῖες ἀφιέ-

νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ». Ὅρα, μετὰ νηστειῶν αἱ χειροτονίαι. Πάλιν νηστεία, τὸ καθάρσιον τῶν ἡμετέρων ψυχῶν.

«Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν· καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατήντησαν εἰς Ἀττάλειαν». Ἵνα γὰρ μὴ καταπέσῃ τὰ φρονήματα τῶν μαθητῶν, ὅτι οἱ νομιζόμενοι θεοὶ τοιαῦτα πάσχουσιν, εἰσῆλθον πρὸς αὐτούς, καὶ διελέχθησαν. Καὶ ὅρα. Πρῶτον εἰς Δέρβην ἐξέρχεται, διδοὺς αὐτοῖς ἀναπνεῦσαι τοῦ θυμοῦ, καὶ τότε πάλιν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν, θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ ἐπιτιθέμενος. Ὁρᾷς ὅτι οὐ πάντα χάριτι, ἀλλὰ καὶ οἰκείᾳ σπουδῇ διώκουν;

«Κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον, ὃ ἐπλήρωσαν». Διά τί πάλιν ἔρχονται εἰς Ἀντιόχειαν; Ἵνα ἀπαγγείλωσι τὰ ἐκεῖ γενόμενα· ἄλλως δὲ καὶ οἰκονομεῖται μέγα πρᾶγμα ἐντεῦθεν· ἔδει γὰρ λοιπὸν μετὰ παρρησίας τοῖς ἔθνεσι κηρύττειν. Ἔρχονται οὖν ταῦτα ἀπαγγέλλοντες, ἵνα εἰδέναι ἔχωσι. Καὶ οἰκονομεῖται τότε κατελθεῖν τοὺς κωλύοντας τοῖς ἔθνεσιν ὁμιλεῖν, ἵνα λοιπὸν ἀπὸ Ἱεροσολύμων, πολλὴν λαβόντες ἄδειαν, μετὰ παρρησίας ἀπίωσιν· ἢ καὶ ἄλλως, δείκνυσιν αὐτῶν τὸ ἦθος οὐκ αὔθαδες. Ἔρχονται γὰρ τήν τε παρρησίαν ἐνδεικνύμενοι, ὅτι καὶ χωρὶς ἐκείνων τοῖς ἔθνεσιν ἐκήρυξαν, καὶ τὴν ὑπακοήν, ὅτι αὐτοῖς ἀναφέρουσιν· οὐ γὰρ ὡς τοσαῦτα κατωρθωκότες ἀπενοήθησαν.

---

15. Πράξ. 14, 24 - 25
16. Πράξ. 14, 26

ρωσαν αὐτοὺς στὸν Κύριο». Πρόσεχε, ὅτι οἱ χειροτονίες γίνονται μὲ νηστεῖες. Πάλι νηστεία, τὸ καθάρσιο αὐτὸ τῶν ψυχῶν μας.

«Καί, ἀφοῦ πέρασαν ἀπὸ τὴν Πισιδία, ἦρθαν στὴν Παμφυλία, καί, ἀφοῦ κήρυξαν τὸ λόγο τοῦ εὐαγγελίου στὴν Πέργη, κατέληξαν στὴν Ἀττάλεια»[15]. Γιὰ νὰ μὴ καταπέσει δηλαδὴ τὸ φρόνημα τῶν μαθητῶν, ὅτι αὐτοὶ ποὺ θεωροῦνται θεοὶ πάσχουν τέτοια, ἐπισκέφθηκαν αὐτοὺς καὶ συνομίλησαν μαζί τους· Καὶ πρόσεχε. Πρῶτα στὴ Δέρβη πηγαίνει, δίνοντάς τους χρόνο ὥστε νὰ περάσει ὁ θυμός τους, καὶ μετὰ πηγαίνει πάλι στὰ Λύστρα, τὸ Ἰκόνιο καὶ στὴν Ἀντιόχεια, καὶ ἔτσι ὅταν μὲν αὐτοὶ εἶναι ὀργισμένοι φεύγει, μόλις δὲ καταπαύσει ἡ ὀργή τους ὁρμᾶ πρὸς αὐτούς. Βλέπεις ὅτι δὲν τὰ ἔκαμναν ὅλα μὲ τὴ χάρη τοῦ Θεοῦ, ἀλλ᾽ ἐπιχειροῦν πολλὰ καὶ μὲ δική τους προθυμία.

«Καὶ ἀπὸ ἐκεῖ ἀπέπλευσαν γιὰ τὴν Ἀντιόχεια ἀπὸ ὅπου εἶχαν παραδοθεῖ στὴ χάρη τοῦ Θεοῦ γιὰ τὸ ἔργο ποὺ ἐκπλήρωσαν»[16]. Γιατί πάλι ἔρχονται στὴν Ἀντιόχεια; Γιὰ νὰ ἀναγγείλουν τὰ ὅσα συνέβηκαν ἐκεῖ· ἐξ ἄλλου δὲ ρυθμίζεται ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ νὰ προκύψει ἀπὸ ἐδῶ κάποιο σπουδαῖο πράγμα· ἔπρεπε δηλαδὴ νὰ κηρύττουν πλέον μὲ θάρρος στὰ ἔθνη. Ἔρχονται λοιπὸν ν᾽ ἀναγγείλουν αὐτά, γιὰ νὰ τὰ γνωρίζουν. Καὶ ρυθμίζεται ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ τότε νὰ κατεβοῦν μερικοὶ ποὺ ἀπαγόρευαν τὴν κήρυξη τοῦ εὐαγγελίου στοὺς ἐθνικούς, ὥστε στὴ συνέχεια, ἀφοῦ ἔλαβαν τὴν ἄδεια ἀπὸ τὰ Ἱεροσόλυμα, νὰ ἀναχωρήσουν ἀπὸ ἐκεῖ μὲ θάρρος πολύ, ἀλλὰ καὶ ἀκόμα αὐτὸ δείχνει ὅτι ἡ συμπεριφορά τους δὲν ἦταν αὐθάδης. Καθόσον ἔρχονται σ᾽ αὐτοὺς ἀποδεικνύοντας καὶ τὸ θάρρος τους, διότι κήρυξαν στὰ ἔθνη χωρὶς τὴν ἄδεια ἐκείνων, καὶ τὴν ὑπακοή τους, διότι ἀναφέρουν σ᾽ αὐτοὺς τὰ συμβάντα· δὲν κυριεύθηκαν δηλαδὴ ἀπὸ ἀλαζονεία ἐπειδὴ τόσα πολλὰ ἐπέτυχαν.

«Ὅθεν ἦσαν παραδεδομένοι», φησί, «τῇ χάριτι τοῦ Θεοῦ». Καὶ μὴν τὸ Πνεῦμα εἶπεν, ἀλλὰ τὰ τοῦ Πνεύματος οἶδεν ὄντα τοῦ Υἱοῦ· μία γὰρ ἐξουσία, ὥσπερ ἡ φύσις καὶ Υἱοῦ καὶ Πνεύματος μία.

«Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν Ἐκκλησίαν, ἀπήγγειλαν ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξεν ὁ Θεὸς τοῖς ἔθνεσι θύραν πίστεως. Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς». Εἰκότως· μεγάλη γὰρ οὖσα ἡ πόλις, ἐδεῖτο διδασκάλων. Ἴδωμεν λοιπὸν ἄνωθεν τὰ εἰρημένα.

Αὐτῇ τῇ ὄψει κατέπληξαν αὐτούς, διαρρήξαντες τὰ ἱμάτια. Τοῦτο καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίει ἐπὶ τῇ ἥττῃ τοῦ λαοῦ. Μὴ τοίνυν νομίσῃς ἀνάξιον αὐτῶν εἶναι τοῦτο, καὶ τῆς εὐσταθείας αὐτῶν· καὶ ἂν γὰρ ἄλλως ἐπέσχον τὴν τοσαύτην ὁρμήν, οὐκ ἂν ἄλλως τὴν πυρὰν ἔσβεσαν. Ὅταν οὖν τι δέῃ τῶν δεόντων γενέσθαι, μηδὲ ἡμεῖς παραιτώμεθα. Εἰ τοίνυν καὶ μετὰ ταῦτα μόλις ἔπεισαν, εἰ μὴ οὕτως εἰργάσαντο, τί οὐκ ἂν ἐγένετο; Εἰ γὰρ μὴ οὕτως ἐποίησαν, ἐνομίσθησαν ἄν πως ὑψηλοφρονεῖν, καὶ μᾶλλον ἐφίεσθαι τῆς τιμῆς.

Καὶ ὅρα τὸν λόγον μεμετρημένον ἐν τῇ ἐπιπλήξει, καὶ θαύματος ὁμοῦ γέμοντα καὶ ἐπιπλήξεως. Τοῦτο μάλιστα αὐτοὺς ἐκώλυσε, τὸ εἰπεῖν· «Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τῶν ματαίων τούτων ἐπιστρέφειν ἐπὶ τὸν Θεόν». Ὡσεὶ ἔλεγον· 'Ἄνθρωποι μέν ἐσμεν, φησί, τούτων δὲ μείζους· ταῦτα γὰρ νεκρά'. Ὅρα αὐτοὺς οὐκ ἀ-

---

17. Πράξ. 14, 27 - 28
18. Πράξ. 14, 15

«Ἀπὸ ὅπου εἶχαν παραδοθεῖ», λέγει, «στὴ χάρη τοῦ Θεοῦ». Καὶ βέβαια τὸ Πνεῦμα μίλησε, ἀλλὰ τὰ τοῦ Πνεύματος γνώριζε ὅτι εἶναι τοῦ Υἱοῦ· διότι μία εἶναι ἡ ἐξουσία, ὅπως ἀκριβῶς μία εἶναι καὶ ἡ φύση τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος.

«Ὅταν δὲ ἔφθασαν καὶ συγκέντρωσαν τὴν Ἐκκλησία ἀνάγγειλαν τὰ ὅσα ἔκανε ὁ Θεὸς μὲ αὐτοὺς καὶ ὅτι ὁ Θεὸς ἄνοιξε στοὺς ἐθνικοὺς τὴν πόρτα τῆς πίστεως. Ἔμειναν δὲ ἐκεῖ ἀρκετὸ χρόνο μαζὶ μὲ τοὺς μαθητές»[17]. Πολὺ σωστά· διότι ἡ πόλη, ἐπειδὴ ἦταν μεγάλη, εἶχε ἀνάγκη ἀπὸ δασκάλους. Ἂς δοῦμε λοιπὸν τὰ ὅσα λέχθηκαν ἀπὸ τὴν ἀρχή.

Μὲ τὴν ὅλη ἐμφάνισή τους κατέπληξαν αὐτούς, ἀφοῦ ξέσχισαν τὰ ἐνδύματά τους. Αὐτὸ ἔκανε καὶ ὁ Ἰησοῦς τοῦ Ναυῆ ὅταν νικήθηκε ὁ λαός του. Μὴ λοιπὸν νομίσεις ὅτι αὐτὸ εἶναι ἀνάξιο αὐτῶν καὶ τοῦ σταθεροῦ φρονήματος αὐτῶν· διότι δὲν θὰ μποροῦσαν μὲ ἄλλο τρόπο νὰ συγκρατήσουν τὴν τόσο μεγάλη ὁρμή τους, δὲν θὰ μποροῦσαν νὰ σβήσουν τὴ φωτιά. Ὅταν λοιπὸν πρέπει νὰ γίνει κάτι ἀπὸ τὰ πρέποντα, οὔτε ἐμεῖς νὰ μὴ παραιτούμαστε ἀπὸ τὴν προσπάθεια. Ἐὰν λοιπὸν καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ μόλις καὶ μετὰ δυσκολίας τοὺς ἔπεισαν, ἐὰν δὲν ἐνεργοῦσαν ἔτσι, τί θὰ ἦταν δυνατὸ νὰ μὴ συμβεῖ; Διότι, ἐὰν δὲν ἐνεργοῦσαν ἔτσι, θὰ νομίζονταν κατὰ κάποιο τρόπο ὅτι μεγαλοφρονοῦν, καὶ ὅτι ἐπιθυμοῦν πολὺ τὴν τιμή.

Καὶ πρόσεχε ὅτι τὰ λόγια εἶναι μετρημένα κατὰ τὴν ἐπίπληξη καὶ εἶναι συγχρόνως γεμάτα ἀπὸ θαυμασμὸ καὶ ἐπίπληξη. Αὐτὸ πρὸ πάντων ἐμπόδισε αὐτούς, τὸ ὅτι εἶπε, «καὶ ἐμεῖς εἴμαστε ἄνθρωποι ὁμοιοπαθεῖς μὲ σᾶς, κηρύττοντας σὲ σᾶς τὸ εὐαγγέλιο, ὥστε νὰ ἐπιστρέψετε ἀπὸ τὰ μάταια αὐτὰ στὸ Θεό»[18]. Εἶναι σὰν νὰ ἔλεγε· "Ἄνθρωποι μὲν εἴμαστε', λέγει, 'ἀλλ' ἀνώτεροι ἀπ' αὐτά· διότι αὐτὰ εἶναι νεκρά'. Πρόσεχε αὐτοὺς ποὺ δὲν ἀποκρούουν

νατρέποντας μόνον, ἀλλὰ καὶ διδάσκοντας, καὶ οὐδὲν περὶ ἀοράτων φθεγγομένους. «Ὃς ἐποίησε», φησί, «τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς». Μάρτυρας αὐτοὺς λέγει τοὺς ἐνιαυτούς. Ὢ τῆς μανίας τῆς ἰουδαϊκῆς! εἰς δῆμον οὕτω τιμήσαντα τοὺς Ἀποστόλους ἐτόλμησαν ἐμβῆναι καὶ λιθάσαι Παῦλον. Ἔξω δὲ τῆς πόλεως ἔσυραν τάχα δεδοικότες ἐκεῖνον.

«Καὶ προσευξάμενοι», φησί, «μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ». Καὶ νηστεύειν ἐδίδασκον ἐν τοῖς πειρασμοῖς. Οὐκ εἶπον ὅσα αὐτοὶ ἐποίησαν, ἀλλ' ὅσα ὁ Θεὸς μετ' αὐτῶν. Ἐμοὶ δοκοῦσι τοὺς πειρασμοὺς λέγειν. Οὐχ ἁπλῶς ἦλθον ἐνταῦθα, οὐδὲ διαναπαυσόμενοι, ἀλλ' οἰκονομικῶς ὑπὸ τοῦ Πνεύματος ὁδηγούμενοι, ὥστε τὸ κήρυγμα τῶν ἐθνῶν βεβαιωθῆναι. Καὶ διὰ τί, φησίν, ἐν Κύπρῳ οὐκ ἐποίησαν πρεσβυτέρους οὐδὲ ἐν Σαμαρείᾳ; Ὅτι ἐκείνη μὲν ἐγγὺς ἦν τῶν Ἀποστόλων, αὕτη δὲ τῆς Ἀντιοχείας, καὶ ὁ λόγος ἐκράτει· ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ μάλιστα οἱ ἐξ ἐθνῶν, ὀφείλοντες πολλὰ διδάσκεσθαι. Ἦλθον διδάσκοντες ὅτι εἰκότως ἐχειροτονήθησαν ὑπὸ τοῦ Πνεύματος. Καὶ ὅρα τὸ θερμὸν Παύλου. Οὐ πυνθάνεται εἰ δεῖ λαλῆσαι ἔθνεσιν, ἀλλ' εὐθέως λαλεῖ· διὰ τοῦτο ἔλεγεν· «Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι».

3. Μέγα ὄντως ἀγαθὸν ἡ θλῖψις, καὶ μεγάλης ψυχῆς ἐστι, καὶ γενναίας κατόρθωμα. Πόσοι μετὰ τοῦτο ἐπίστευσαν, καὶ οὐδεὶς οὕτως ἔλαμψεν; Οὕτω προθυμίας ἡμῖν δεῖ πανταχοῦ, πυρώσεως πολλῆς, ψυχῆς πρὸς θάνατον παρατεταγμένης· ἄλλως γὰρ

19. Πράξ. 14, 15
20. Πράξ. 14, 23
21. Γαλ. 1, 16

μόνο τὴ γνώμη αὐτῶν, ἀλλὰ καὶ τοὺς διδάσκουν, καὶ δὲν λέγουν τίποτε γιὰ τὰ ἀόρατα. «Ὁ ὁποῖος», λέγει, «δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτά»[19]. Μάρτυρες ἀναφέρει αὐτὲς τὶς ἴδιες τὶς ἐποχές. Πῶ πῶ μέγεθος ἰουδαϊκῆς μανίας! διότι τόλμησαν νὰ παρέμβουν σ ἕνα πλῆθος λαοῦ ποὺ τόσο πολὺ τίμησε τοὺς Ἀποστόλους καὶ νὰ λιθοβολήσουν τὸν Παῦλο. Τὸν ἔσυραν δὲ ἔξω ἀπὸ τὴν πόλη, ἴσως ἐπειδὴ φοβοῦνταν ἐκεῖνον.

«Καὶ μὲ προσευχές», λέγει, «καὶ νηστεῖες, ἀφιέρωσαν αὐτοὺς στὸν Κύριο»[20]. Δίδασκαν ὅτι πρέπει καὶ νὰ νηστεύομε στὶς στιγμὲς τῶν δοκιμασιῶν. Δὲν εἶπαν τὰ ὅσα ἔκαναν αὐτοί, ἀλλ' ὅσα ἔκανε ὁ Θεὸς μαζὶ μὲ αὐτούς· Ἐμένα μοῦ φαίνεται ἐννοεῖ τοὺς πειρασμούς. Δὲν ἦρθαν ἐδῶ τυχαῖα, οὔτε γιὰ νὰ ξεκουρασθοῦν, ἀλλ' ὁδηγούμενοι ἀπὸ τὸ Πνεῦμα κατόπιν θείας οἰκονομίας, ὥστε νὰ ἐπικυρωθεῖ τὸ κήρυγμά τους στὰ ἔθνη. Καὶ γιατί, λέγει, στὴν Κύπρο δὲν ὅρισαν πρεσβυτέρους, οὔτε καὶ στὴ Σαμάρεια; Διότι ἐκείνη μὲν βρισκόταν κοντὰ στοὺς Ἀποστόλους, ἐνῶ αὐτὴ κοντὰ στὴν Ἀντιόχεια, καὶ ὁ λόγος τοῦ εὐαγγελίου κυριαρχοῦσε ἐκεῖ, ἐνῶ ἐδῶ εἶχαν ἀνάγκη ἀπὸ πολλὴ παρηγοριά, καὶ πρὸ πάντων οἱ πιστοὶ ποὺ προέρχονταν ἀπὸ τοὺς ἐθνικούς, οἱ ὁποῖοι ἔπρεπε πολλὰ νὰ διδαχθοῦν. Ἦρθαν διδάσκοντας ὅτι πολὺ ὀρθὰ χειροτονήθηκαν ἀπὸ τὸ Πνεῦμα. Καὶ πρόσεχε τὴ θερμότητα τοῦ Παύλου. Δὲν ζητᾶ νὰ μάθει ἂν πρέπει νὰ κηρύξει στὰ ἔθνη, ἀλλ' ἀμέσως κηρύττει· γι' αὐτὸ ἔλεγε· «Δὲν ζήτησα τὴ συμβουλὴ ἀνθρώπων»[21].

3. Μεγάλο ἀγαθὸ πραγματικὰ εἶναι ἡ θλίψη, καὶ εἶναι κατόρθωμα μεγάλης καὶ γενναίας ψυχῆς. Πόσοι μετὰ ἀπ' αὐτὸ πίστεψαν καὶ κανένας δὲν ἔλαμψε τόσο πολύ; Τέτοια προθυμία πρέπει νὰ δείχνομε παντοῦ, πολλὴ θερμότητα καὶ ψυχὴ ἕτοιμη ν' ἀγωνισθεῖ καὶ πρὸς τὸν θάνατο· διότι ἀλλιῶς δὲν εἶναι δυνατὸ νὰ ἐπιτύχει κανεὶς τὴ βα-

οὐκ ἔνι τῆς βασιλείας τυχεῖν μὴ σταυρωθέντα. Μὴ ἀπατῶμεν ἑαυτοὺς εἰ γὰρ ἐν πολέμῳ σωθῆναι οὐ δυνατόν, τρυφῶντα καὶ χρηματιζόμενον καὶ καπηλεύοντα καὶ ῥαθυμοῦντα, πολλῷ μᾶλλον ἐν τῷ πολέμῳ τούτῳ. Ἢ οὐκ οἴεσθε πόλεμον εἶναι καὶ νῦν, πάντων πολέμων χαλεπώτατον; «Οὐκ ἔστιν ἡμῖν», φησίν, «ἡ πάλη πρὸς αἷμα καὶ σάρκα». Καὶ ἀριστῶσι καὶ βαδίζουσι καὶ λουομένοις πάρεστιν ὁ ἐχθρός· οὐ γὰρ οἶδε καιρὸν ἀνακωχῆς, εἰ μὴ τὸν τοῦ ὕπνου μόνον, πολλάκις δὲ καὶ τότε πολεμεῖ, καὶ λογισμοὺς ἐμβάλλων ἀκαθάρτους, καὶ ἀσελγεστέρους ἀπὸ τῶν ὀνειράτων ἐργαζόμενος.

Ἡμεῖς δέ, ὡς περὶ μικροῦ τοῦ πράγματος ὄντος, ὑπὲρ οὗ ἐκεῖνος πολεμεῖ, οὐ νήφομεν, οὐδὲ διανιστάμεθα, οὐδὲ βλέπομεν εἰς τὸ πλῆθος τῶν ἀντικειμένων ἡμῖν δυνάμεων· οὐκ ἐννοοῦμεν ὅτι τοῦτο αὐτὸ τῆς μεγίστης δυσπραγίας ἐστίν, ἀλλά, ὑπὸ τοσούτων κυκλούμενοι πολέμων, ὡς ἐν εἰρήνῃ τρυφῶμεν. Πιστεύσατέ μοι, ὧν Παῦλος ἔπαθε χαλεπώτερα ἔστι παθεῖν νῦν. Ἔβαλον αὐτὸν τότε λίθοις ἐκεῖνοι· ἔστι ῥήμασι βάλλεσθαι καὶ νῦν λίθων χαλεπωτέροις. Τί οὖν δεῖ ποιεῖν; Ὅπερ ἐκεῖνος ἐποίησε· τοὺς βάλλοντας γὰρ οὐκ ἐμίσησεν, ἀλλὰ συράντων αὐτόν, εἰσῆλθε πάλιν εἰς τὴν πόλιν, εὐεργετήσων τοὺς τὰ τοιαῦτα ἠδικηκότας. Ἂν ἐνέγκῃς καὶ σὺ τὸν ὑβριστὴν τὸν τραχύν, τὸν ἀδίκως σε ἐργασάμενον ταῦτα, ἐλιθάσθης καὶ σύ. Μὴ γὰρ εἴπῃς ὅτι 'οὐδὲν ἠδίκησα'. Τί

22. Παροιμ. 15, 1

σιλεία τῶν οὐρανῶν ἂν δὲν σταυρωθεῖ. Ἂς μὴ ἐξαπατοῦμε τοὺς ἑαυτούς μας· διότι, ἐὰν στὸν πόλεμο δὲν εἶναι δυνατὸ νὰ σωθεῖ κάποιος ποὺ κάμνει ἀπολαυστικὴ ζωή, ποὺ ἀσχολεῖται μὲ χρηματικὲς ὑποθέσεις, ποὺ συχνάζει στὰ καπηλεῖα καὶ εἶναι τελείως ἀδιάφορος, πολὺ περισσότερο ἀδύνατο εἶναι νὰ συμβεῖ αὐτὸ στὸν πόλεμο αὐτό. Ἢ νομίζετε ὅτι τώρα δὲν συμβαίνει πόλεμος, καὶ μάλιστα περισσότερο φοβερὸς ἀπὸ ὅλους τοὺς πολέμους; «Δὲν εἶναι», λέγει, «ἡ πάλη μας πρὸς αἷμα καὶ σάρκα»[38]. Ὁ ἐχθρὸς εἶναι παρὼν καὶ σ' ἐκείνους ποὺ γευματίζουν, καὶ σ' ἐκείνους ποὺ βαδίζουν καὶ σ' ἐκείνους ποὺ βρίσκονται στὸ λουτρό· διότι δὲν γνωρίζει καιρὸ ἀνακωχῆς, παρὰ μόνο τὸν καιρὸ τοῦ ὕπνου, πολλὲς φορὲς δὲ καὶ τότε πολεμεῖ, καὶ βάζοντας μέσα μας σκέψεις ἀκάθαρτες, καὶ κάμνοντάς μας πιὸ ἀσελγεῖς μὲ τὰ ὄνειρα.

Ἐμεῖς ὅμως, σὰν νὰ εἶναι ἀσήμαντο πράγμα ἐκεῖνο γιὰ τὸ ὁποῖο ἐκεῖνος πολεμεῖ, δὲν δείχνομε ἐπαγρύπνηση, οὔτε σηκωνόμαστε γιὰ νὰ τὸν ἀντιμετωπίσομε, οὔτε προσέχομε τὸ πλῆθος τῶν δυνάμεων ποὺ βρίσκεται ἀντιμέτωπό μας· δὲν σκεπτόμαστε ὅτι αὐτὸ ἀκριβῶς ἀποτελεῖ τὴν πιὸ μεγαλύτερη δυστυχία, ἀλλά, ἂν καὶ εἴμαστε κυκλωμένοι ἀπὸ τόσους πολέμους, κάμνομε ζωὴ γεμάτη ἀπὸ ὑλικὲς ἀπολαύσεις σὰν νὰ ζοῦμε σὲ καιρὸ εἰρήνης. Πιστέψτε με, ἀπὸ ἐκεῖνα ποὺ ἔπαθε ὁ Παῦλος εἶναι δυνατὸ νὰ πάθομε χειρότερα. Τὸν χτύπησαν τότε ἐκεῖνοι μὲ πέτρες· εἶναι δυνατὸ καὶ τώρα νὰ δεχθοῦμε χτυπήματα μὲ λόγια ποὺ εἶναι φοβερότερα ἀπὸ χτυπήματα ἀπὸ πέτρες. Τί λοιπὸν πρέπει νὰ κάμνομε; Ἐκεῖνο ἀκριβῶς ποὺ ἔκανε ἐκεῖνος· διότι ἐκείνους ποὺ τὸν χτυποῦσαν δὲν τοὺς μίσησε, ἀλλά, ἂν καὶ τὸν ἔσυραν ἔξω ἀπὸ τὴν πόλη, πάλι εἰσῆλθε μέσα στὴν πόλη, γιὰ νὰ εὐεργετήσει ἐκείνους ποὺ τοῦ προξένησαν τέτοιες ἀδικίες. Ἂν ὑποφέρεις καὶ σὺ τὸν σκληρὸ ὑβριστή, ἐκεῖνον ποὺ σοῦ τὰ προξένησε ὅλα αὐτὰ ἄδικα, τότε λιθοβολήθηκες καὶ σύ. Μὴ πεῖς βέ-

γὰρ Παῦλος ἠδίκησεν, ἵνα λιθασθῇ; Βασιλείαν κατήγγελλε, πλάνης ἀπῆγε, τῷ Θεῷ προσῆγε· ταῦτα στεφάνων ἄξια, ταῦτα ἀνακηρύξεως, ταῦτα μυρίων ἀγαθῶν, οὐ λίθων· ἀλλ' ὅμως τἀναντία ἔπασχεν. Αὕτη γὰρ ἡ λαμπρὰ νίκη.

«Καὶ ἔσυραν αὐτόν», φησί. Καὶ σὲ πολλάκις σύρουσιν· ἀλλὰ μὴ ὀργισθῇς, ἀλλὰ κήρυξον τὸν λόγον διὰ τῆς ἐπιεικείας. Ὕβρισέ σε; Σίγησον, καὶ εὐλόγησον εἰ δύνασαι, καὶ οὕτως ἐκήρυξας καὶ σὺ τὸν λόγον, ἐπαίδευσας ἐπιείκειαν, ἐπαίδευσας πραότητα. Οἶδα πολλοὺς οὐχ οὕτω τραύμασιν ἀλγοῦντας, ὡς πληγῇ τῇ διὰ ῥημάτων· τοῦτο μὲν γὰρ τὸ τραῦμα τὸ σῶμα δέχεται, ἐκεῖνο δὲ ἡ ψυχή. Ἀλλὰ μὴ ἀλγήσωμεν, μᾶλλον δὲ ἀλγήσαντες ἐνέγκωμεν. Οὐχ ὁρᾶτε τοὺς πυκτεύοντας, οἳ διατετρωμένοι τὰς κεφαλάς, τοὺς ὀδόντας ἐνδακόντες, οὕτως ἡμέρως φέρουσι τὰς ἀλγηδόνας; Ἐνταῦθα δὲ οὐ χρεία βρύξαι τοὺς ὀδόντας, οὐ χρεία δακεῖν. Ἀναμνήσθητι τοῦ Δεσπότου τοῦ σοῦ, καὶ τὸ φάρμακον εὐθέως ἐπέθηκας τῇ μνήμῃ, ἀναμνήσθητι Παύλου, ἐννόησον ὅτι σὺ ἐνίκησας ὁ πληττόμενος, ἐκεῖνος δὲ ἥττηται ὁ πλήξας, καὶ τὸ πᾶν ἴασω διὰ τούτου. Ῥοπή ἐστι, μὴ συναρπαγῇς, καὶ τὸ πᾶν κατώρθωσας εὐθέως, μὴ κινηθῇς, καὶ τὸ πᾶν ἔσβεσας. Μεγάλη παραμυθία τὸ διὰ Χριστόν τι παθεῖν· οὐ κηρύττεις τὸν λόγον τῆς πίστεως, ἀλλὰ κηρύττεις τὸν λόγον τῆς φιλοσοφίας.

Ἀλλ' ὅσῳ ἂν ἴδῃ τὴν ἐπιείκειαν, φησί, τοσούτῳ μᾶλλον ἐπιτίθεται. Διὰ τοῦτο οὖν ἀλγεῖς, ὅτι μᾶλλόν σοι τοὺς μισθοὺς αὔξει; Ἀλλ' ἄχρηστος γίνεται, φησί. Τοῦτο σκῆψις τῆς ἰδίας μικροψυχίας· ἑτέρως ἄχρηστος γίνεται, ἂν ἀμύνῃ. Εἰ ᾔδει ὁ Θεὸς ὅτι διὰ

βαια ὅτι 'δὲν ἔκανα καμιὰ ἀδικία'. Διότι ποιὰ ἀδικία ἔκανε ὁ Παῦλος γιὰ νὰ λιθοβοληθεῖ; Βασιλεία οὐράνια κήρυττε, τὴν πλάνη ἀπομάκρυνε, στὸ Θεὸ ὁδηγοῦσε· αὐτὰ ἦταν ἄξια γιὰ στεφάνια, αὐτὰ ἦταν ἄξια ἀπονομῆς τιμῶν, αὐτὰ ἦταν ἄξια ἀπείρων ἀγαθῶν καὶ ὄχι λίθων, ἀλλ' ὅμως τὰ ἀντίθετα ἔπασχε. Αὐτὴ λοιπὸν εἶναι ἡ λαμπρὴ νίκη.

«Καὶ ἔσυραν αὐτόν», λέγει· Καὶ σένα πολλὲς φορὲς θὰ σὲ σύρουν· ὅμως μὴ ὀργισθεῖς, ἀλλὰ κήρυξε τὸ λόγο τοῦ Θεοῦ μὲ τὴν καλωσύνη σου. Σ' ἔβρισε; Σιώπησε καὶ ἂν μπορεῖς ἐγκωμίασέ τον, καὶ ἔτσι κήρυξες καὶ σὺ τὸ λόγο τοῦ Θεοῦ, δίδαξες καλωσύνη, δίδαξες πραότητα. Γνωρίζω πολλοὺς ποὺ δὲν πονοῦν τόσο πολὺ γιὰ τὰ τραύματα, ὅσο γιὰ τὸ πλήγωμα μὲ λόγια· διότι αὐτὸ τὸ τραῦμα τὸ δέχεται τὸ σῶμα, ἐνῶ ἐκεῖνο ἡ ψυχή. 'Αλλ' ὅμως ἂς μὴ πονέσομε, ἢ καλύτερα ὅταν πονέσομε ἂς δείξομε ὑπομονή. Δὲν βλέπετε τοὺς πυγμάχους, οἱ ὁποῖοι, ἂν καὶ ἔχουν τραυματισμένα τὰ κεφάλια, καὶ πληγωμένα τὰ δόντια, ὑπομένουν μὲ ἀταραξία τοὺς φοβεροὺς πόνους; 'Εδῶ ὅμως δὲν χρειάζεται νὰ τρίξομε τὰ δόντια, δὲν χρειάζεται νὰ δαγκώσομε. Θυμήσου τὸν Κύριό σου καὶ ἀμέσως ἔθεσες τὸ φάρμακο στὴ μνήμη σου, θυμήσου τὸν Παῦλο, σκέψου ὅτι σὺ νίκησες ποὺ δέχθηκες τὸ χτύπημα, ἐνῶ ἐκεῖνος ποὺ χτύπησε νικήθηκε, καὶ τὸ πᾶν θεράπευσέ το μὲ αὐτό. Μιὰ κρίσιμη στιγμὴ εἶναι, μὴ παρασυρθεῖς, καὶ τὸ πᾶν κατόρθωσες ἀμέσως, μὴ κινηθεῖς, καὶ ἔσβησες τὸ πᾶν. Μεγάλη παρηγοριὰ εἶναι τὸ νὰ πάθει κανεὶς κάτι γιὰ τὸν Χριστό· δὲν κηρύττεις τὸ λόγο τῆς πίστεως, ἀλλὰ κηρύττεις τὸ λόγο τῆς ἐνάρετης ζωῆς.

'Αλλά, λέγει, ὅσο βλέπει τὴν καλωσύνη, τόσο περισσότερο ἐπιτίθεται. Γι' αὐτὸ λοιπὸν πονᾶς, ἐπειδὴ σοῦ αὐξάνει περισσότερο τοὺς μισθούς; 'Αλλὰ γίνεται, λέγει, ἄχρηστος. Αὐτὸ εἶναι πρόφαση τῆς ἰδίας μικροψυχίας· μὲ τὸν ἄλλο τρόπο γίνεται ἄχρηστος, ἂν προβάλλεις ἀντίσταση· "Αν γνώριζε ὁ Θεὸς ὅτι οἱ ἄδικοι θὰ γίνονταν ἄ-

τοῦ μὴ ἀμύνεσθαι ἄχρηστοι ἐγίνοντο οἱ ἄδικοι, οὐκ ἂν τοῦτο ἐπέταξεν, ἀλλ' εἶπεν ἄν· "Ἄμυνον σαυτῷ"· ἀλλ' οἶδεν ὅτι οὕτω μᾶλλον ὠφελεῖται. Μὴ ἀντινομοθέτει τῷ Θεῷ· ἐκείνῳ πείθου. Οὐκ εἶ σὺ ἀγαθώτερος τοῦ ποιήσαντος ἡμᾶς. Εἶπεν, "Ὑβριζόμενος φέρε"· σὺ λέγεις· "Ἀνθυβρίζω, ἵνα μὴ ἄχρηστος γένηται". Σὺ οὖν μᾶλλον αὐτοῦ φροντίζεις; Πάθους ταῦτα καὶ τραχύτητος τὰ ῥήματα καὶ ἀλαζονείας καὶ τοῦ ἀντινομοθετεῖν τῷ Θεῷ· εἰ γὰρ καὶ ἐβλάπτετο, οὐχὶ πείθεσθαι ἐχρῆν; Ὅταν ὁ Θεός τι προστάττῃ, μὴ ἀντινομοθετῶμεν ἡμεῖς. «Ἀπόκρισις», φησίν, «ὑποπίπτουσα ἀποστρέφει ὀργάς». Ἄρα τοῦτο ποιεῖ ὑποπίπτουσα, οὐκ ἐναντιουμένη. Εἴ σε ὠφελεῖ, κἀκεῖνον ὠφελεῖ· εἰ δέ σε βλάπτει, τὸν μέλλοντα διορθοῦσθαι ἐκεῖνον, πολλῷ μᾶλλον ἐκεῖνον. «Ἰατρέ, θεράπευσον σεαυτόν».

Εἶπε κακῶς; Ἐπαίνεσον σύ. Ἐλοιδόρησεν; Ἐγκωμίασον. Ἐπεβούλευσεν; Εὐεργέτησον, τοῖς ἐναντίοις αὐτὸν ἀμείβου, εἴ γε ὅλως τῆς ἐκείνου σωτηρίας προνοεῖς, καὶ μὴ σαυτοῦ τὸ πάθος ἐκδικεῖν θέλε. Καὶ μὴν πολλάκις, φησίν, ἀπολαύσας μακροθυμίας, χείρων γέγονε. Τοῦτο οὐ παρὰ σέ, ἀλλὰ παρ' αὐτόν. Βούλει μαθεῖν οἷα ἔπαθεν ὁ Θεός; Τὰ θυσιαστήρια αὐτοῦ κατέσκαψαν, τοὺς προφήτας ἀπέκτειναν, καὶ πάντα ἔφερεν. Οὐκ ἠδύνατο σκηπτὸν ἄνωθεν καταγαγεῖν; Ἀλλ' ὅτε τοὺς προφήτας ἀπέστειλε, καὶ ἀνεῖλον αὐτούς, τότε τὸν Υἱὸν ἔπεμψεν· ὅτε μείζονα ἠσέβησαν, τότε μειζόνως εὐηργέτησε.

Καὶ σύ, ἂν ἴδῃς τραχυνόμενον, τότε μειζόνως εἶξον· μείζονος γὰρ ἡ μανία αὕτη δεῖται παραμυθίας.

---

23. Λουκᾶ 4, 23

χρηστοι μὲ τὸ νὰ μὴ ἀμυνόμαστε, δὲν θά ἔδινε αὐτὴν τὴν ἐντολή, ἀλλὰ θὰ ἔλεγε· 'Προστάτεψε τὸν ἑαυτό σου'· ὅμως γνωρίζει ὅτι ἔτσι ὠφελεῖται περισσότερο. Μὴ νομοθετεῖς νόμους ἀντίθετους μὲ τὸ Θεό, ἀλλ' ὑπάκουε σ' ἐκεῖνον. Δὲν εἶσαι σὺ πιὸ ἀγαθὸς ἀπὸ ἐκεῖνον ποὺ μᾶς ἔπλασε. Εἶπε, '"Οταν βρίζεσαι δεῖξε ὑπομονή'· σὺ λέγεις· Τοῦ ἀνταποδίδω τὶς βρισιές, γιὰ νὰ μὴ γίνει ἄχρηστος». Σὺ λοιπὸν φροντίζεις περισσότερο ἀπ' αὐτόν; Αὐτὰ τὰ λόγια εἶναι ἀποτέλεσμα τοῦ πάθους, τῆς σκληρότητας, τῆς ἀλαζονείας καὶ τῆς προσπάθειας νὰ νομοθετεῖς ἀντίθετα μὲ τὸ Θεό· διότι καὶ ἂν ἀκόμα βλαπτόταν, δὲν ἔπρεπε νὰ ὑπακοῦμε; Ὅταν ὁ Θεὸς προστάζει κάτι, ἂς μὴ νομοθετοῦμε ἐμεῖς νόμους ἀντίθετους μὲ αὐτό. «Ἀπάντηση», λέγει, «μὲ καλωσύνη ἀναχαιτίζει τὴν ὀργή»[22]. Ἄρα αὐτὸ τὸ κατορθώνει ἡ ταπεινωμένη ἀπάντηση καὶ ὄχι ἐκείνη ποὺ ἀντιτίθεται· Ἐὰν ὠφελεῖ ἐσένα, ὠφελεῖ καὶ ἐκεῖνον· ἐὰν δὲ βλάπτει ἐσένα, ποὺ ὀφείλεις νὰ διορθώνεις ἐκεῖνον, πολὺ περισσότερο βλάπτει ἐκεῖνον. «Γιατρέ, θεράπευσε τὸν ἑαυτό σου»[23].

Σὲ κακολόγησε; σὺ παίνεψέ τον. Σὲ ἔβρισε; ἐγκωμίασέ τον. Σκέφθηκε κακὸ ἐναντίον σου; εὐεργέτησέ τον, ἄμειψέ τον μὲ τὰ ἀντίθετα, ἐὰν φυσικὰ φροντίζεις ὁπωσδήποτε γιὰ τὴ σωτηρία ἐκείνου, καὶ νὰ μὴ θέλεις νὰ ἱκανοποιήσεις τὸ πάθος σου παίρνοντας ἐκδίκηση. Καὶ ὅμως, λέγει, πολλὲς φορές, ποὺ ἀπόλαυσε μακροθυμία, ἔγινε χειρότερος. Αὐτὸ δὲν ὀφείλεται σὲ σένα, ἀλλὰ σ' αὐτόν. Θέλεις νὰ μάθεις ἐκεῖνα ποὺ ἔπαθε ὁ Θεός; Τὰ θυσιαστήριά του κατέσκαψαν, τοὺς προφῆτες του φόνευσαν, καὶ ὅλα τὰ ὑπόφερε. Δὲν μποροῦσε νὰ ρίξει κεραυνὸ ἀπὸ τὸν οὐρανό; Ἀλλ' ὅταν ἔστειλε τοὺς προφῆτες καὶ φόνευσαν αὐτούς, τότε ἔστειλε τὸν Υἱό του· ὅταν ἀσέβησαν περισσότερο, τότε τοὺς εὐεργέτησε περισσότερο.

Καὶ σύ, ἂν τὸν δεῖς νὰ δείχνει σκληρότητα, τότε ὑποχώρησε περισσότερο· διότι αὐτὴ ἡ μανία χρειάζεται περισ-

Ὅσῳ ἂν χαλεπώτερα ὑβρίζῃ, τοσούτῳ πλείονος ἐπιεικείας δεῖται· καὶ καθάπερ πυρετὸς ὅταν σφοδρὸν πνεύσῃ, τότε δεῖται τοῦ εἴκοντος, οὕτω καὶ ὁ θυμούμενος. Τὸ θηρίον, ὅταν μάλιστα ἀγριαίνῃ, τότε φεύγομεν ἅπαντες· οὕτω καὶ τὸν ὀργιζόμενον. Μὴ νομίσῃς τοῦτο τιμὴν εἶναι· ἐπεὶ καὶ τὸ θηρίον τιμῶμεν, καὶ τοὺς μαινομένους γοῦν τιμῶμεν, ὅταν ἐκκλίνωμεν; Οὐδαμῶς· ἀτιμία τοῦτό ἐστι καὶ ὕβρις, μᾶλλον δὲ οὐκ ἀτιμία καὶ ὕβρις, ἀλλ' ἔλεος καὶ φιλανθρωπία. Οὐχ ὁρᾷς τοὺς ναύτας, ὅταν σφοδρὸν ἐμπνεύσῃ τὸ πνεῦμα, καθαιροῦντας τὰ ἱστία, ὥστε μὴ καταδῦσαι τὸ σκάφος; τοὺς ἵππους, ὅταν συναρπάσωσι τὸν ἐπιβάτην, συνενδιδόντα, καὶ οὐ καθέλκοντα, ἵνα μὴ αὐτομάτως κενώσῃ τὴν δύναμιν;

4. Τοῦτο καὶ σὺ ποίησον. Πῦρ ἐστιν ὁ θυμός, φλόξ ἐστιν ὀξεῖα, δεομένη ὕλης· μὴ παράσχῃς τὴν τροφὴν τῷ πυρί, καὶ ταχέως ἔσβεσας τὸ κακόν. Οὐκ ἔχει καθ' ἑαυτὴν ἰσχὺν ἡ ὀργή, ἂν μὴ ἕτερος ὁ τρέφων αὐτὴν ᾖ. Οὐδεμία σοί ἐστιν ἀπολογία. Ἐκεῖνος κατέχεται τῇ μανίᾳ, καὶ οὐκ οἶδε τί ποιεῖ· σύ, θεωρῶν αὐτόν, ὅταν τοῖς αὐτοῖς περιπέσῃς, καὶ μηδὲ ἐξ ἐκείνου σωφρονισθῇς, ποία συγγνώμη; Εἰ, ἐν συμποσίῳ τις γενόμενος, τινὰ ἐν προθύροις ἴδοι μεθύοντα καὶ ἀσχημονοῦντα, εἶτα καὶ αὐτὸς τοῖς ὁμοίοις περιπέσῃ, οὐ πολλῷ μᾶλλον μετ' ἐκεῖνον μεθύων ἀσύγγνωστος ἂν εἴη; Οὕτω καὶ ἐνταῦθα· μὴ νομίζωμεν εἶναι ἀπολογίαν τὸ λέγειν ὅτι 'οὐκ ἐγὼ κατῆρξα'· τοῦτο καθ' ἡμῶν ἐστιν, ὅτι μηδὲ ἐκεῖνον ἰδόντες ἐσωφρονίσθημεν· ὥσπερ ἂν εἴποι τις· 'Οὐκ ἐγὼ ἐφόνευσα πρῶτος'. Διὰ γὰρ τοῦτο κολάσεως εἶ ἄξιος, ὅτι μηδὲ εἰς τὸ παράδειγμα ἰδὼν ἐπέσχες σαυτόν. Εἰ ἴδοις ἐμοῦντα τὸν μεθύοντα, διασπώμενον, διαρ-

σότερη παρηγοριά. Ὅσο χειρότερα σὲ κακολογεῖ, τόση περισσότερη ἐπιείκεια χρειάζεται· καὶ ὅπως ἀκριβῶς ὅταν συμβεῖ φοβερὸς πυρετός, τότε χρειάζεται ἡ ὑποχώρηση, ἔτσι καὶ ἐκεῖνος ποὺ ὀργίζεται. Τὸ θηρίο, ὅταν γίνεται περισσότερο ἄγριο, τότε τὸ ἀποφεύγομε ὅλοι· ἔτσι καὶ τὸν ὀργιζόμενο. Μὴ νομίσεις ὅτι αὐτὸ εἶναι τιμή· δηλαδὴ καὶ τὸ θηρίο τὸ τιμοῦμε καὶ τοὺς μανιακοὺς τιμοῦμε ὅταν τοὺς ἀποφεύγομε; Καθόλου· αὐτὸ εἶναι ἀτιμία καὶ ἀναίδεια, ἢ καλύτερα δὲν εἶναι ἀτιμία καὶ ἀναίδεια, ἀλλ' ἔλεος καὶ φιλανθρωπία. Δὲν βλέπεις τοὺς ναῦτες, ὅταν πνεύσει σφοδρὸς ἄνεμος, ποὺ κατεβάζουν τὰ πανιά, γιὰ νὰ μὴ βυθισθεῖ τὸ σκάφος; τοὺς ἵππους, ὅταν παρασύρουν τὸν ἐπιβάτη, ποὺ ὑποχωρεῖ καὶ δὲν τραβᾶ τὰ χαλινάρια, γιὰ νὰ μὴ χάσει ἀμέσως τὴν δύναμή του;

4. Αὐτὸ κάνε καὶ σύ. Φωτιὰ εἶναι ὁ θυμός, εἶναι φλόγα πολὺ καυστική, ποὺ χρειάζεται καύσιμη ὕλη· μὴ προσφέρεις τὴν τροφὴ στὴ φωτιά, καὶ ἀμέσως ἔσβησες τὸ κακό. Ἡ ὀργὴ δὲν ἔχει ἀπὸ μόνη της δύναμη, ἂν δὲν ὑπάρχει κάποιος ἄλλος ποὺ νὰ παρέχει τροφὴ σ' αὐτήν. Δὲν ὑπάρχει καμιὰ δικαιολογία γιὰ σένα. Ἐκεῖνος εἶναι κυριευμένος ἀπὸ τὴ μανία καὶ δὲν γνωρίζει τί κάνει· σύ, βλέποντας αὐτόν, ὅταν περιπέσεις στὰ ἴδια καὶ δὲν σωφρονισθεῖς οὔτε ἀπὸ ἐκεῖνον, ποιὰ συγγνώμη θὰ ἔχεις; Ἐὰν κάποιος, βρισκόμενος σὲ συμπόσιο, δεῖ κάποιον μεθυσμένο καὶ ν' ἀσχημονεῖ στὰ πρόθυρα, ἔπειτα ἂν καὶ αὐτὸς περιπέσει στὰ ἴδια, δὲν θὰ ἦταν περισσότερο ἀσυγχώρητος μεθώντας μετὰ ἀπὸ ἐκεῖνον; Ἔτσι καὶ ἐδῶ· ἂς μὴ νομίζομε ὅτι ἀποτελεῖ δικαιολογία τὸ νὰ λέμε ὅτι 'δὲν ἔκανα ἐγὼ τὴν ἀρχή'· αὐτὸ εἶναι ἐναντίον μας, διότι δὲν σωφρονισθήκαμε οὔτε καὶ ποὺ εἴδαμε ἐκεῖνον· ὅπως ἀκριβῶς θὰ μποροῦσε νὰ πεῖ κάποιος 'Δὲν φόνευσα ἐγὼ πρῶτος'. Γι' αὐτὸ εἶσαι ἄξιος τιμωρίας, διότι οὔτε, βλέποντας τὸ παράδειγμα, συγκράτησες τὸν ἑαυτό σου. Ἐὰν ἔβλεπες τὸν μεθυσμένο νὰ κάμνει ἐμετό, νὰ ξεσχίζεται, νὰ

ρηγνύμενον, τοὺς ὀφθαλμοὺς ἔχοντα διατεταμένους, ἀκαθαρσίας τὴν τράπεζαν πληροῦντα, πάντας αὐτὸν ἀποφεύγοντας, εἶτα τοῖς αὐτοῖς περιπέσῃς, οὐχὶ μᾶλλον ἔσῃ μισητός.

Τοιοῦτός ἐστι καὶ ὁ ὀργιζόμενος· μᾶλλον τοῦ ἐμοῦντος διατείνει τὰς φλέβας, πυροῖ τοὺς ὀφθαλμούς, διασπᾶται τὰ σπλάγχνα, ἐμεῖ πολλῷ ῥήματα τῆς τροφῆς ἐκείνης ἀκαθαρτότερα, ἀδιαμάσητα πάντα φθέγγεται, οὐδὲν κατειργασμένον, (οὐ γὰρ ἀφίησιν ὁ θυμός), ἀλλ', ὥσπερ ἐκεῖ πολλάκις ἀμετρία χυμῶν, διενοχλήσασα τὸν στόμαχον, πάντα ἐκένωσεν, οὕτω καὶ ἐνταῦθα ἀμετρία θερμότητος, διενοχλήσασα τὴν ψυχήν, οὐκ ἀφίησι στέγειν ἃ σιγᾶν καλόν, ἀλλὰ ῥητὰ καὶ ἄρρητα λέγει, οὐχὶ τοὺς ἀκούοντας, ἀλλ' ἑαυτὸν αἰσχύνων. Ὥσπερ οὖν ἀπὸ τῶν ἐμούντων φεύγομεν, οὕτω καὶ ἀπὸ τῶν ὀργιζομένων. Τί ποιοῦντες; Κόνιν ἐπιβάλωμεν αὐτῶν τῷ ἐμέτῳ, σιγῶντες τοὺς κύνας καλῶμεν, ὥστε αὐτὰ καταφαγεῖν τὰ ἐμεθέντα.

Οἶδα ὅτι ναυτιᾶτε ἀκούοντες· ἀλλά, ὅταν ὁρᾶτε ταῦτα γινόμενα, βούλομαι τοῦτο παθεῖν ὑμᾶς, ἀλλὰ μὴ ἥδεσθαι τῷ πράγματι. Ἀκαθαρτότερος ὁ ὑβριστὴς τοῦ κυνός, τοῦ ἐπιστρέφοντος ἐπὶ τὸν ἑαυτοῦ ἔμετον· εἰ μὲν γάρ, ἅπαξ ἐμέσας, ἐπαύετο, οὐκ ἦν κατ' ἐκεῖνον, εἰ δὲ πάλιν τὰ αὐτὰ ἐμεῖ, δῆλον ὅτι τὰ αὐτὰ φαγών. Τί οὖν βδελυκτότερον τοῦ τοιούτου; τί δὲ ἀκαθαρτότερον ἐκείνου τοῦ στόματος, τοῦ τοιαύτας διαμασωμένου τροφάς; καίτοι γε τοῦτο φύσεως ἔργον ἐστίν, ἐκεῖνο δὲ οὐχί· μᾶλλον δὲ καὶ τοῦτο παρὰ

καταστρέφει τὰ ἐνδύματά του, νὰ ἔχει τὰ μάτια του ἐξαγριωμένα, νὰ γεμίζει τὸ τραπέζι μὲ ἀκαθαρσίες, ὅλοι νὰ τὸν ἀποφεύγουν, ἔπειτα, ἐὰν περιπέσεις στὰ ἴδια χάλια, δὲν θὰ γίνεις περισσότερο μισητός;

Τέτοιος εἶναι καὶ ὁ ὀργιζόμενος· περισσότερο ἀπὸ ἐκεῖνον ποὺ κάνει ἐμετὸ τεντώνει τὶς φλέβες, ἀνάβουν σὰν φλόγες τὰ μάτια του, καταστρέφει τὰ σπλάχνα του, ξερνᾶ ἀκάθαρτα λόγια πολὺ περισσότερο ἀπὸ ἐκείνη τὴν τροφή, ὅλα τὰ βγάζει ἀπὸ τὸ στόμα του χωρὶς νὰ τὰ ἐλέγξει, τίποτε δὲν λέγει μελετημένο (διότι δὲν ἀφήνει ὁ θυμός), ἀλλ', ὅπως ἀκριβῶς ἐκεῖ πολλὲς φορὲς ὑγρὰ περισσότερα ἀπὸ τὰ κανονικά, ἐπειδὴ παρενόχλησαν τὸ στομάχι, ἔγιναν αἰτία ὅλα νὰ τὰ ἀποβάλει, ἔτσι καὶ ἐδῶ, θερμότητα περισσότερη ἀπὸ τὸ κανονικό, ἐπειδὴ παρενόχλησε τὴν ψυχή, δὲν ἀφήνει νὰ συγκρατεῖ ἐκεῖνα ποὺ εἶναι καλὸ ν' ἀποσιωπᾶ, ἀλλὰ λέγει καὶ ἐκεῖνα ποὺ ἐπιτρέπεται νὰ λέγονται καὶ ἐκεῖνα ποὺ εἶναι ἀπόρρητα, καταντροπιάζοντας ὄχι τοὺς ἀκροατές του, ἀλλὰ τόν ἑαυτό του. Ὅπως ἀκριβῶς λοιπὸν φεύγομε ἀπὸ ἐκείνους ποὺ κάνουν ἐμετό, ἔτσι καὶ ἀπὸ τοὺς ὀργιζόμενους. Τί κάμνομε; Ρίχνομε σκόνη ἐπάνω στὸν ἐμετό, κάμνοντας σιωπὴ καλοῦμε τὰ σκυλιά, γιὰ νὰ φάγουν τὰ ἐμετά.

Γνωρίζω ὅτι ἀκούοντας αὐτὰ κινδυνεύετε νὰ κάνετε ἐμετό, ὅμως θέλω νὰ τὸ πάθετε αὐτὸ ὅταν βλέπετε νὰ γίνονται αὐτά, καὶ ὄχι νὰ εὐχαριστεῖσθε μὲ τὸ πράγμα αὐτό. Εἶναι περισσότερο ἀκάθαρτος ὁ ὑβριστὴς ἀπὸ τὸν σκύλο ποὺ ἐπιστρέφει στὸν ἐμετό του· διότι, ἐὰν μέν, κάμνοντας μιὰ φορὰ ἐμετό, δὲν ξαναέκανε, δὲν θὰ ἦταν αὐτὸ ἐναντίον του, ἐφόσον ὅμως τὰ ἴδια κάνει ἐμετό, εἶναι φανερὸ ὅτι τὰ ἴδια ἔφαγε. Τί λοιπὸν ὑπάρχει πιὸ σιχαμερὸ ἀπὸ τὸν ἄνθρωπο αὐτοῦ τοῦ εἴδους; τί δὲ πιὸ ἀκάθαρτο ἀπὸ τό στόμα ἐκεῖνο, ποὺ μασᾶ τέτοιες τροφές; ἂν καὶ βέβαια αὐτὸ εἶναι ἔργο τῆς φύσεως, ἐνῶ ἐκεῖνο ὄχι, ἢ καλύτερα καὶ αὐτὸ εἶναι παρὰ φύση ἔργο καὶ ἐ-

φύσιν κἀκεῖνο. Πῶς; Οὐ γὰρ κατὰ φύσιν τὸ ὑϐρίζειν εἰκῇ, ἀλλὰ παρὰ φύσιν· οὐδὲν γοῦν ὡς ἄνθρωπος φθέγγεται, ἀλλὰ τὰ μὲν ὡς θηρίον, τὰ δὲ ὡς μαινόμενος. Ὥσπερ οὖν ἡ τῶν σωμάτων νόσος παρὰ φύσιν, οὕτω καὶ τοῦτο. Καὶ ὅτι παρὰ φύσιν ἐστίν, εἰ ἐγχρονίσει ἐν αὐτῷ, ἀπολεῖται κατὰ μικρόν· ἐν δὲ τῷ κατὰ φύσιν ἐγχρονίζων, οὐκ ἀπολεῖται. Ἑλοίμην ἂν ἀνθρώπῳ, ϐόρϐορον σιτουμένῳ, κοινωνῆσαι τραπέζης, ἢ φθεγγομένῳ τοιαῦτα.

Οὐχ ὁρᾶτε τοὺς χοίρους κόπρον διαμασωμένους; Οὕτω καὶ οὗτοι· τί γὰρ δυσωδέστερον τῶν ῥημάτων, ὧν οἱ ὑϐρισταὶ φθέγγονται; Σπουδὴ τούτοις ἐστὶ μηδὲν εἰπεῖν ὑγιές, μηδὲν καθαρόν, ἀλλ' εἴ τι αἰσχρὸν, εἴ τι ἄσχημον, τοῦτο καὶ ποιῆσαι καὶ φθέγξασθαι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι, ἑαυτοὺς μᾶλλον αἰσχύνοντες, ἑτέρους αἰσχύνειν οἴονται· ὅτι γὰρ ἑαυτοὺς αἰσχύνουσι δῆλον ἐκεῖθεν. Μὴ γάρ μοι τοὺς ψευδῆ λέγοντας εἴπῃς, ἀλλὰ ἔστω τις πόρνη περιφανής, ἢ καὶ ἀπὸ τῆς σκηνῆς ἕτερος, καὶ ποιείτω μετά τινος μάχην, εἶτα καὶ ἐκεῖνος αὐτῷ ταῦτα προφερέτω, κἀκεῖνος πάλιν ὁμοίως, τίς μᾶλλόν ἐστιν ὁ ὑϐρισθεὶς τοῖς ῥήμασιν; Ἐκεῖνος μὲν γάρ, ἅπερ εἶχεν, ἤκουσεν, οὗτος δέ, ἅπερ οὐκ εἶχεν· ὥστε ἐκείνῳ μὲν οὐδὲν πλέον γέγονεν εἰς αἰσχύνης λόγον, τούτῳ δὲ πολλὴ τῆς ἀσχημοσύνης ἡ προσθήκη.

Ἀλλ' ἔστω τινὰ πάλιν εἰργασμένα πράγματα, καὶ μόνος ὁ ὑϐρίζων αὐτὰ γινωσκέτω, εἶτα, πρὸ τούτου σιγῶν, ἐκπομπευέτω τὴν ὕϐριν, καὶ οὕτως οὗτος ὑ-

κεῖνο. Πῶς; Διότι δὲν εἶναι φυσικὴ ἐνέργεια τὸ νὰ βρίζει στὰ καλὰ καθούμενα, ἀλλὰ παρὰ φύση· τίποτε δηλαδὴ δὲν λέγει σὰν ἄνθρωπος, ἀλλ' ἄλλα μὲν τὰ λέγει σὰν θηρίο, ἄλλα δὲ σὰν μανιακός. Ὅπως ἀκριβῶς λοιπὸν ἡ σωματικὴ ἀσθένεια εἶναι κάτι τὸ παρὰ φύση, ἔτσι καὶ αὐτό. Καὶ τὸ ὅτι εἶναι κάτι τὸ παρὰ φύση, ἂν συνεχίσει νὰ παραμένει γιὰ πολὺ χρόνο σ' αὐτό, σιγὰ - σιγὰ θὰ καταστραφεῖ, ἐνῶ συνεχίζοντας ἐπὶ πολὺ χρόνο κάτι ποὺ εἶναι φυσικό, δὲν καταστρέφεται· Θὰ προτιμοῦσα νὰ φάγω στὸ ἴδιο τραπέζι μὲ ἄνθρωπο ποὺ τρώγει ἀκαθαρσίες, παρὰ μὲ κάποιον ποὺ λέγει τέτοια λόγια.

Δὲν βλέπετε τοὺς χοίρους ποὺ τρῶνε τὴν κοπριά; Ἔτσι καὶ αὐτοί· διότι τί ὑπάρχει πιὸ βρωμερὸ ἀπὸ τὰ λόγια ἐκεῖνα ποὺ ἐκστομίζουν οἱ ὑβριστές; Ἡ φροντίδα αὐτῶν εἶναι νὰ μὴ ποῦν τίποτε τὸ ὑγιὲς οὔτε τὸ καθαρό, ἀλλ' ἂν ὑπάρχει κάτι αἰσχρό, ἐὰν ὑπάρχει κάτι τὸ ἄσχημο, αὐτὸ καὶ νὰ κάνουν καὶ νὰ ποῦν· καὶ τὸ φοβερότερο βέβαια εἶναι, ὅτι, ἐνῶ κατεντροπιάζουν πολὺ περισσότερο τοὺς ἑαυτούς τους, νομίζουν ὅτι ντροπιάζουν τοὺς ἄλλους· τὸ ὅτι δὲ κατεντροπιάζουν τοὺς ἑαυτούς τους γίνεται φανερὸ ἀπὸ ἐκεῖ. Μὴ μοῦ πεῖς βέβαια ἐκείνους ποὺ λένε ψέματα, ἀλλ' ἂς ὑποθέσομε ὅτι ὑπάρχει κάποια πόρνη πολὺ ξακουστή, ἢ καὶ κάποιος ἄλλος ἀπὸ τὸ χῶρο τοῦ θεάτρου, καὶ αὐτὸς λογομαχεῖ μὲ κάποιον, καὶ στὴ συνέχεια ἐκεῖνος λέγει σ' αὐτὸν αὐτὰ τὰ λόγια, καὶ ἐκεῖνος πάλι ἀπαντᾶ μὲ τὰ ἴδια, ποιὸς εἶναι ἐκεῖνος ποὺ βρίσθηκε περισσότερο μὲ τὰ λόγια; Διότι ἐκεῖνος μὲν ἄκουσε ἐκεῖνα ποὺ εἶχε, ἐνῶ αὐτὸς ἐκεῖνα ποὺ δὲν εἶχε· ὥστε σ' ἐκεῖνον μὲν τίποτε περισσότερο δὲν συνέβηκε σχετικὰ μὲ τὴν ντροπή, ἐνῶ σ' αὐτὸν προστέθηκε μεγάλη ἀσχημοσύνη.

Ἀλλ' ἂς ὑποθέσομε πάλι ὅτι ὑπάρχουν κάποια πράγματα ἐπιτελεσμένα, καὶ αὐτὰ τὰ γνωρίζει μόνο ὁ ὑβριστής, στὴ συνέχεια, ἐνῶ ἀποσιωπᾶ αὐτὰ μπροστά του, δια-

βρισται μᾶλλον. Πῶς; Κῆρυξ γενόμενος κακίας, ἀσυνειδησίας ἀπίστου δόξαν λαβών· καὶ πάντας εὐθέως ἐγκαλοῦντας ὄψει, καὶ τοιαῦτα πανταχοῦ λέγοντας· εἰ γὰρ δὴ φόνον συνήδει, φησί, πάντα κενῶσαι ἐχρῆν· καὶ τὸν μὲν ὡς οὐδὲ ἄνθρωπον ὄντα ἀποστρέφονται, μισοῦσι, θηρίον εἶναί φασιν ὠμὸν καὶ ἀπηνές, τούτῳ δὲ συγγινώσκουσι μᾶλλον ἢ ἐκείνῳ· οὐχ οὕτω γὰρ τοὺς τραύματα ἔχοντας μισοῦμεν, ὡς τοὺς ἐκκαλύπτειν αὐτὰ βιαζομένους καὶ δεικνύναι. Οὕτω καὶ οὗτος ὕβρισεν οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ ἑαυτόν, καὶ τοὺς ἀκούοντας, καὶ τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων· ἔπληξε τὸν ἀκροατήν, οὐδὲν ἀγαθὸν εἰργάσατο. Διὰ τοῦτό φησιν ὁ Παῦλος· «Εἴ τις ἀγαθὸς λόγος πρὸς οἰκοδομήν, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν».

Εὔφημον κτησώμεθα γλῶτταν, ἵνα ὦμεν ποθεινοὶ καὶ ἐπέραστοι· ἀλλὰ γὰρ εἰς τοῦτο προῆλθε κακίας ἅπαντα, ὥστε, ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐπὶ τούτοις πολλοὺς γαυριᾶν· ἃ γὰρ ἀπειλοῦσιν οἱ πολλοί, τοιαῦτά ἐστιν· 'Οὐ δύναται ἐνεγκεῖν τὴν γλῶσσάν μου', φησί. Γυναικὸς τὰ ῥήματα, γραὸς μεθυούσης, ἀσχημονούσης, τῶν ἐπ' ἀγορᾶς συρομένων, προαγωγοῦ. Οὐδὲν αἰσχρότερον τούτων τῶν ῥημάτων, οὐδὲν ἀνανδρότερον, οὐδὲν γυναικωδέστερον, ἐν τῇ γλώττῃ τὴν ἰσχὺν ἔχειν, ἐπὶ τῷ λοιδορεῖν μέγα φρονεῖν, καθάπερ οἱ ἐν πομπαῖς, καθάπερ οἱ μῖμοι, καὶ παράσιτοι, καὶ κόλακες. Χοῖροι μᾶλλόν εἰσιν ἢ ἄνθρωποι, ὅσοι ἐπὶ τούτῳ σεμνύνονται. Δέον κατορύξαι

------

24. Ἐφ. 4, 29

λαλεῖ τὴν ὕβρη, καὶ ἔτσι αὐτὸς κακολογεῖται περισσότερο. Πῶς; Μὲ τὸ ὅτι ἔγινε κήρυκας τῆς κακίας, καὶ ἀπέκτησε φήμη ἀσυνειδησίας ἀπίστου· καὶ ἀμέσως θὰ δεῖς ὅλους νὰ τὸν κατηγοροῦν καὶ νὰ λένε παντοῦ τέτοια περίπου· ἐὰν δηλαδή, λέγει, γνώριζε κάποιο φόνο, ἔπρεπε ὅλα νὰ τὰ καταστήσει γνωστά· καὶ ἐκεῖνον μὲν τὸν ἀποστρέφονται σὰν νὰ μὴ εἶναι ἄνθρωπος, τὸν μισοῦν, καὶ λένε ὅτι εἶναι θηρίο ἄγριο καὶ σκληρό, ἐνῶ αὐτὸν τὸν συγχωροῦν πολὺ περισσότερο, παρὰ ἐκεῖνον· διότι δὲν μισοῦμε τόσο πολὺ ἐκείνους ποὺ ἔχουν τραύματα, ὅσο ἐκείνους ποὺ βιάζονται ν' ἀποκαλύπτουν αὐτὰ καὶ νὰ τὰ φανερώνουν. Ἔτσι καὶ αὐτὸς ἔβρισε ὄχι μόνο ἐκεῖνον, ἀλλὰ καὶ τὸν ἑαυτό του, καὶ ἐκείνους ποὺ τὸν ἀκοῦν καὶ τὴν κοινὴ ἀνθρώπινη φύση· πλήγωσε τὸν ἀκροατή, δὲν τοῦ πρόσφερε κανένα ἀγαθό. Γι' αὐτὸ ὁ Παῦλος λέγει· «Μόνο καλὸς λόγος νὰ βγαίνει ἀπὸ τὸ στόμα σας, γιὰ νὰ οἰκοδομεῖ καὶ νὰ ὠφελήσει ἐκείνους ποὺ τὸν ἀκοῦν»[24].

Ἂς ἀποκτήσομε γλώσσα ἐπαινετική, γιὰ νὰ εἴμαστε ποθητοὶ καὶ ἀξιαγάπητοι. Ἀλλ' ὅμως ἀπὸ αὐτὸ προῆλθαν ὅλα τὰ τῆς κακίας, διότι, ἐκεῖνα γιὰ τὰ ὁποῖα ἔπρεπε νὰ καλύπτουν τὸ πρόσωπό τους ἀπὸ ντροπή, γι' αὐτὰ πολλοὶ ὑπερηφανεύονται· διότι τὶς ἀπειλὲς ποὺ ἐκστομίζουν οἱ πολλοὶ εἶναι τέτοιες περίπου· Δὲν μπορεῖ νὰ ὑποφέρει τὴ γλώσσα μου', λέγει. Αὐτὰ εἶναι λόγια γυναίκας, γριᾶς μεθυσμένης, ποὺ ἀσχημονεῖ, ἐκείνων ποὺ κυκλοφοροῦν στὴν ἀγορά, ἐκείνου ποὺ ὁδηγεῖ στὴν πορνεία. Τίποτε δὲν ὑπάρχει αἰσχρότερο ἀπὸ τὰ λόγια αὐτά, τίποτε πιὸ ἄνανδρο, τίποτε πιὸ γυναικῶδες, τὸ νὰ ἔχει κανεὶς τὴ δύναμη στὴ γλώσσα, τὸ νὰ μεγαλοφρονεῖ γιὰ τὰ κακόλογά του, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ κακολογοῦν στὶς πομπές, ὅπως ἀκριβῶς οἱ μίμοι, ἐκεῖνοι ποὺ ζοῦν κοντὰ σ' ἄλλους σὰν παράσιτα, καὶ οἱ κόλακες. Ὅσοι ὑπερηφανεύονται γι' αὐτὸ εἶναι χοῖροι μᾶλλον, παρὰ ἄνθρωποι. Ἔπρεπε νὰ καταθάψεις τὸν ἑαυτό σου, ἔπρεπε, καὶ ἂν ἀκόμα κάποιος

σαυτόν, δέον, εἰ καί τις ἕτερός σοι ταῦτα ἐμαρτύρει, φεύγειν τὴν μαρτυρίαν ὡς ἐχθρὰν καὶ ἄνανδρον, σὺ δὲ κῆρυξ ὕβρεων γέγονας· ἀλλ' οὐδὲν τὸν κακῶς ἀκούοντα βλάψαι δυνήσῃ.

Διό, παρακαλῶ, ἐννοήσαντες ὅση ἡ κακία, ὅτι καὶ ἐγκαυχῶνται πολλοί, ἀνανήψωμεν, διορθωσώμεθα τοὺς οὕτω μαινομένους, ἀνέλωμεν ταῦτα ἐκ τῆς πόλεως τὰ συνέδρια, καλλωπίσωμεν ἡμῶν τὴν γλῶτταν, πάσης κακηγορίας ἀπαλλάξωμεν, ἵνα δυνηθῶμεν, καθαρεύοντες τῶν ἁμαρτημάτων, τὴν ἄνωθεν εὔνοιαν ἐπισπάσασθαι, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῆναι χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἄλλος σοῦ ἐπιβεβαίνωνε αὐτά, ν' ἀποφύγεις τὴ μαρτυρία σὰν ἐχθρικὴ καὶ ἄνανδρη, σὺ ὅμως ἔγινες κήρυκας ὕβρεων· ἀλλ' ὅμως σὲ τίποτε δὲν θὰ βλάψεις ἐκεῖνον ποὺ κακολογεῖς.

Γι' αὐτό, παρακαλῶ, ἀφοῦ σκεφθοῦμε πόσο μεγάλη εἶναι ἡ κακία, τὸ ὅτι καὶ καυχιένται πολλοὶ γι' αὐτήν, ἂς συνέλθομε, ἂς διορθώσομε αὐτοὺς ποὺ εἶναι κυριευμένοι ἀπὸ τόση μανία, ἂς ἀπομακρύνομε ἀπὸ τὴν πόλη αὐτὰ τὰ συνέδρια, ἂς κοσμίσομε τὴ γλώσσα μας, ἂς τὴν ἀπαλλάξομε ἀπὸ κάθε κακὸ λόγο, γιὰ νὰ μπορέσομε, ἀφοῦ καθαρισθοῦμε ἀπὸ τὰ ἁμαρτήματά μας, νὰ ἀποσπάσομε τὴν οὐράνια εὔνοια καὶ ν' ἀξιωθοῦμε νὰ ἐπιτύχομε τὴ φιλανθρωπία τοῦ Θεοῦ, μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ Μονογενῆ Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΒ΄

(Πράξ. 14, 28 - 15, 11)

«*Διέτριβον δὲ ἐκεῖ*», *φησί*, «*χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. Καί τινες, κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφοὺς ὅτι, ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι*».

1. Ὅρα πανταχοῦ τῆς εἰς τὰ ἔθνη μεταβάσεως ἀναγκαίαν τὴν ἀρχὴν ἀπ' αὐτῶν εἰσαγομένην. Πρὸ τούτου ἐγκαλούμενος ἀπελογήσατο, καὶ ἐν τάξει ἀπολογίας τὸ πᾶν εἶπεν, ὅπερ εὐπαράδεκτον τὸν λόγον ἐποίει, ἔπειτα, τῶν Ἰουδαίων ἀποστραφέντων, οὕτως ἦλθεν εἰς τὰ ἔθνη. Ἐνταῦθα πάλιν ἄλλην ἀμετρίαν ὁρῶν φερομένην, οὕτως ἵστησι τὸν νόμον. Ἐπειδὴ γάρ, ἅτε παρὰ τοῦ Θεοῦ διδαχθέντες, ἀδιαφόρως διελέγοντο πᾶσι, τοῦτο εἰς ζῆλον ἤγαγε τοὺς ἀπὸ Ἰουδαίων. Καὶ οὐκ ἐδίδασκον ἁπλῶς περιτομήν, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δύνασθε. Οὗ τοὐναντίον εὔκαιρον ἦν λέγειν ὅτι περιτεμνόμενοι σωθῆναι οὐ δύνασθε. Ὁρᾷς συνεχεῖς τοὺς πειρασμοὺς ἔνδοθεν, ἔξωθεν; Καλῶς δὲ οἰκονομεῖται τοῦτο, Παύλου παρόντος, ἵνα ἀντείπῃ. Καὶ οὐκ εἶπεν ὁ Παῦλος, 'Τί γάρ; οὐκ εἰμὶ ἀξιόπιστος ἀπὸ τοσούτων σημείων;' ἀλλ' ἐπείσθη δι' ἐκείνους. Καὶ ὅρα, μανθάνουσι λοιπὸν πάντες τὰ εἰς τὰ ἔθνη γεγενημένα καὶ Σαμαρεῖται, καὶ ἔχαιρον.

---

1. Πράξ. 14, 28 - 15, 1

ΟΜΙΛΙΑ ΛΒ
(Πράξ. 14, 28 - 15, 11)

«Διέμεναν δὲ ἐκεῖ», λέγει, «μαζὶ μὲ τοὺς μαθητὲς γιὰ πολὺ χρόνο. Μερικοὶ δέ, ποὺ κατέβηκαν ἀπὸ τὴν Ἰουδαία, δίδασκαν στοὺς ἀδελφούς, ὅτι, ἐὰν δὲν περιτέμνεσθε σύμφωνα μὲ τὸ νόμο τοῦ Μωυσῆ, δὲν μπορεῖτε νὰ σωθεῖτε»[1].

1. Πρόσεχε ποὺ παντοῦ προβάλλεται ἀπ' αὐτοὺς ἀναγκαία ἡ ἀρχὴ τῆς μεταβάσεως στὰ ἔθνη. Πρὶν ἀπ' αὐτό, ὅταν κατηγοροῦνταν, ἀπολογήθηκε καὶ ὑπὸ μορφὴ ἀπολογίας εἶπε τὸ κάθε τι, ποὺ ἔκαμνε τὸ λόγο ἀποδεκτό, ἔπειτα, ἐπειδὴ οἱ Ἰουδαῖοι τὸν ἀποστρέφονταν, μετέβη στὰ ἔθνη. Ἐδῶ πάλι βλέποντας ἄλλη ἀμετρία νὰ προβάλλει, μὲ τὸ ἴδιο πνεῦμα ρυθμίζει τὴν ἰσχὺ τοῦ νόμου. Ἐπειδὴ δηλαδὴ μιλοῦσαν χωρὶς διάκριση πρὸς ὅλους, καθόσον τὸ διδάχθηκαν αὐτὸ ἀπὸ τὸν Θεό, αὐτὸ ὁδήγησε σὲ ζηλοτυπία πολλοὺς ἀπὸ τοὺς ἐξ Ἰουδαίων πιστούς. Καὶ δὲν δίδασκαν ἁπλῶς περιτομή, ἀλλ' ὅτι δὲν μπορεῖτε οὔτε νὰ σωθεῖτε. Τὸ σωστὸ θὰ ἦταν νὰ ἔλεγαν τὸ ἀντίθετο ἀπ αὐτό, ὅτι δηλαδὴ ἂν κάμνετε περιτομὴ δὲν μπορεῖτε νὰ σωθεῖτε. Βλέπεις ὅτι οἱ πειρασμοὶ εἶναι συνεχεῖς καὶ μέσα ἀπὸ τὴν ἐκκλησία τῶν πιστῶν καὶ ἔξω ἀπ' αὐτήν; Πολὺ καλὰ δὲ ρυθμίζεται αὐτό, ἐνῶ εἶναι παρὼν ὁ Παῦλος, γιὰ νὰ προβάλει ἀντίρρηση. Καὶ δὲν εἶπε ὁ Παῦλος, 'Τί λοιπόν; δὲν εἶμαι ἀξιόπιστος ἀπὸ τὰ τόσα θαύματα;', ἀλλὰ πείσθηκε γιὰ χάρη ἐκείνων. Καὶ πρόσεχε, μαθαίνουν πλέον ὅλοι τὰ ὅσα συνέβηκαν στὰ ἔθνη καθὼς καὶ οἱ Σαμαρεῖτες καὶ χαίρονται.

«Γενομένης οὖν στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν τὸν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς 'Αποστόλους καὶ πρεσβυτέρους εἰς 'Ιερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου. Οἱ μὲν οὖν, προπεμφέντες ὑπὸ τῆς 'Εκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. Παραγενόμενοι δὲ εἰς 'Ιερουσαλήμ, ἀπεδέχθησαν ὑπὸ τῆς 'Εκκλησίας καὶ τῶν 'Αποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν». Ὅρα πόση οἰκονομία γίνεται.

«'Εξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως. Συνήχθησαν δὲ οἱ 'Απόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. Πολλῆς δὲ συζητήσεως γενομένης ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ Εὐαγγελίου, καὶ πιστεῦσαι». Ὅρα τὸν Πέτρον ἄνωθεν κεχωρισμένον τοῦ πράγματος, καὶ μέχρι τοῦ νῦν ἰουδαΐζοντα. «Ὑμεῖς ἐπίστασθε», φησί. Παρῆσαν ἴσως καὶ οἱ ἐγκαλέσαντες αὐτῷ ἐπὶ Κορνηλίου πάλαι, καὶ εἰσελθόντες μετ' αὐτοῦ· διὰ τοῦτο αὐτοὺς παράγει μάρτυρας. «'Αφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ὁ Θεὸς ἐξελέξατο». Τί ἐστιν, «'Εν ὑμῖν»; Ἤτοι ἐν Παλαιστίνῃ, φησίν, ἢ παρόντων ὑμῶν. «Διὰ τοῦ στόματός μου».

------

2. Πράξ. 15, 2 - 4
3. Πράξ. 15, 5 - 7

«Ἐπειδὴ λοιπὸν φιλονείκησαν ὁ Παῦλος καὶ ὁ Βαρνάβας μαζὶ μ' αὐτοὺς καὶ εἶχαν συζήτηση γιὰ πολλὴ ὥρα ἀποφάσισαν ν' ἀνεβοῦν ὁ Παῦλος καὶ ὁ Βαρνάβας καὶ μερικοὶ ἄλλοι ἀπ' αὐτοὺς πρὸς τοὺς Ἀποστόλους καὶ πρεσβυτέρους ποὺ βρίσκονταν στὴν Ἱερουσαλὴμ γιὰ νὰ ρυθμίσουν τὸ ζήτημα αὐτό. Αὐτοὶ λοιπόν, μετὰ τὴν κατευόδωση ὑπὸ τῆς ἐκκλησίας, διέρχονταν ἀνάμεσα ἀπὸ τὴν Φοινίκη καὶ τὴν Σαμάρεια καὶ διηγοῦνταν τὴν ἐπιστροφὴ τῶν ἐθνικῶν, προξενώντας μὲ αὐτὸ μεγάλη χαρὰ σ' ὅλους τοὺς ἀδελφούς. Ἀφοῦ δὲ ἔφθασαν στὴν Ἱερουσαλὴμ τοὺς ὑποδέχθηκαν ἡ Ἐκκλησία καὶ οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι, καὶ γνωστοποίησαν τὰ ὅσα ἔκανε ὁ Θεὸς μὲ αὐτούς»[2]. Πρόσεχε πόση θεία πρόνοια ἐκδηλώνεται.

«Ξεσηκώθηκαν ὅμως μερικοὶ ποὺ εἶχαν πιστέψει, προερχόμενοι ἀπὸ τὴν αἵρεση τῶν Φαρισαίων, λέγοντας ὅτι πρέπει νὰ περιτέμνουν αὐτοὺς καὶ νὰ τοὺς παραγγέλλουν νὰ τηροῦν τὸν Μωσαϊκὸ νόμο. Συγκεντρώθηκαν τότε οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι γιὰ νὰ ἐξετάσουν τὸ ζήτημα αὐτό. Ἀφοῦ δὲ ἔγινε μεγάλη συζήτηση, σηκώθηκε ὁ Πέτρος καὶ εἶπε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, γνωρίζετε σεῖς ὅτι ἀπὸ τὶς πρῶτες ἡμέρες ὁ Θεὸς διάλεξε ἀπὸ ἀνάμεσά μας ἐμένα, γιὰ νὰ ἀκούσουν οἱ ἐθνικοὶ ἀπὸ τὸ στόμα μου τὸ λόγο τοῦ εὐαγγελίου καὶ νὰ πιστέψουν»[3]. Πρόσεχε τὸν Πέτρο ποὺ ἀπὸ τὴν ἀρχὴ ἔχει διαχωρίσει τὸν ἑαυτό του ἀπὸ τὸ ὅλο θέμα καὶ ἰουδαΐζει μέχρι καὶ τώρα. «Σεῖς γνωρίζετε», λέγει. Ἴσως παραβρίσκονταν καὶ ἐκεῖνοι ποὺ παλιὰ στὴν περίπτωση τοῦ Κορνηλίου τὸν κατηγόρησαν, καὶ εἶχαν εἰσέλθει μαζὶ μὲ αὐτόν· γι' αὐτὸ προβάλλει αὐτοὺς σὰν μάρτυρες. «Ἀπὸ τὶς πρῶτες ἡμέρες ὁ Θεὸς διάλεξε ἐμένα ἀπὸ ἀνάμεσά σας». Τί σημαίνει, «Ἐν ὑμῖν»; Ἢ ἐννοεῖ στὴν Παλαιστίνη, ἢ ἐνῶ ἦσαστον παρόντες ἐσεῖς. «Μέσω τοῦ στόματός μου». Πρόσε-

Ὅρα πῶς δείκνυσι τὸν Θεὸν δι' αὐτοῦ φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον.

«Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς» (ἐπὶ τὴν πνευματικὴν ἀνάγει μαρτυρίαν αὐτούς), «δοὺς αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν». Ὅρα πῶς πανταχοῦ ἐξισοῖ τὰ ἔθνη. «Καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν». Ἀπὸ τῆς πίστεως μόνης, φησί, τῶν αὐτῶν ἔτυχον. Κἀκείνων ταῦτα ἐντρεπτικά· μᾶλλον δὲ καὶ ἐκείνους διδάξαι δύναται ὅτι πίστεως δεῖ μόνης, καὶ οὐκ ἔργων, οὐδὲ περιτομῆς· οὐ γὰρ δή, ὑπὲρ τῶν ἐθνῶν ἀπολογούμενοι, ταῦτα λέγουσι μόνον, ἀλλὰ κἀκείνους παιδεύοντες ἀποστῆναι τοῦ νόμου· ἀλλὰ τέως οὔπω λέγουσι τοῦτο.

«Νῦν οὖν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; Ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι». Τί ἐστι, «Πειράζετε τὸν Θεόν»; 'Τί ἀπιστεῖτε, φησί, τῷ Θεῷ; τί πειράζετε αὐτὸν ὡς οὐκ ἰσχύοντα σῶσαι τῇ πίστει;'. Ἄρα ἀπιστίας ἐστὶ τὸ τὸν νόμον εἰσφέρειν. Εἶτα δείκνυσι καὶ αὐτοὺς οὐδὲν ὠφελουμένους, καὶ τὸ πᾶν ἐπὶ τὸν νόμον στρέφει, οὐκ ἐπ' αὐτούς, καὶ τὴν κατηγορίαν ὑποτέμνεται.

«Ὃν οὐκ ἰσχύσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν», φησί, «βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι». Πόσης δυνάμεως γέμει ταῦτα τὰ ῥήματα! Ἅπερ ὁ Παῦλος διὰ πολλῶν ἐν τῇ πρὸς Ρωμαίους εἶπε, ταῦτα καὶ οὗτος. «Εἰ γὰρ Ἀβραάμ», φησίν, «ἐξ ἔρ-

------

4. Πράξ. 15, 8
5. Πράξ. 15, 9
6. Πράξ. 15, 10 - 11

χε πῶς δείχνει τὸ Θεὸ νὰ ὁμιλεῖ μέσω αὐτοῦ, καὶ τίποτε τὸ ἀνθρώπινο δὲν λέγει.

«Καὶ ὁ καρδιογνώστης Θεὸς ἔδωσε μαρτυρία γι' αὐτούς» (μεταφέρει αὐτοὺς στὴν πνευματικὴ μαρτυρία), «δίνοντας σ' αὐτοὺς τὸ ἅγιο Πνεῦμα, ὅπως ἀκριβῶς καὶ σ' ἐμᾶς»[4]. Πρόσεχε πῶς παντοῦ ἐξισώνει τοὺς ἐθνικούς. «Καὶ δὲν ἔκανε καμιὰ διάκριση ἀνάμεσα σ' ἐμᾶς καὶ σ' αὐτούς, καθαρίζοντας μὲ τὴν πίστη τὶς καρδιὲς αὐτῶν»[5]. Ἀπὸ τὴν πίστη, λέγει, μόνο, ἔλαβαν τὰ ἴδια. Αὐτὰ εἶναι ἱκανὰ καὶ ἐκείνους νὰ ἐλέγξουν καὶ νὰ τοὺς κάνουν νὰ νοιώσουν ντροπή· ἢ καλύτερα μποροῦν καὶ ἐκείνους νὰ διδάξουν ὅτι πίστη μόνο χρειάζεται καὶ ὄχι ἔργα οὔτε περιτομή· δὲν τὰ λένε δηλαδὴ αὐτὰ ἀπολογούμενοι μόνο ὑπὲρ τῶν ἐθνικῶν, ἀλλὰ διδάσκοντας καὶ ἐκείνους ν' ἀπομακρυνθοῦν ἀπὸ τὸ νόμο· ὅμως στὴν ἀρχὴ αὐτὸ δὲν τὸ λένε.

«Τώρα λοιπὸν γιατί πειράζετε τὸ Θεὸ βάζοντας ζυγὸ στὸν τράχηλο τῶν μαθητῶν, τὸν ὁποῖο δὲν μπόρεσαν νὰ βαστάξουν οὔτε οἱ πατέρες μας, οὔτε ἐμεῖς; Ἀλλὰ πιστεύομε ὅτι μὲ τὴ χάρη τοῦ Κυρίου Ἰησοῦ θὰ σωθοῦμε, ὅπως ἀκριβῶς καὶ ἐκεῖνοι»[6]. Τί σημαίνει, «Πειράζετε τὸ Θεό»; Γιατί, λέγει, ἀπιστεῖτε στὸ Θεό; γιατί πειράζετε αὐτὸν ὅτι τάχα δὲν μπορεῖ νὰ σώσει μὲ τὴν πίστη;'. Ἐπομένως εἶναι δεῖγμα ἀπιστίας τὸ νὰ προβάλλουν ἀναγκαῖο τὸ νόμο. Ἔπειτα δείχνει ὅτι καὶ αὐτοὶ δὲν ἔχουν καμιὰ ὠφέλεια, καὶ τὸ πᾶν στρέφει πρὸς τὸ νόμο καὶ ὄχι πρὸς αὐτούς, μετριάζοντας ἔτσι τὴν κατηγορία.

«Τὸν ὁποῖο δὲν μπόρεσαν νὰ βαστάξουν», λέγει, «οἱ πατέρες μας· ἀλλὰ πιστεύομε ὅτι θὰ σωθοῦμε μὲ τὴ χάρη τοῦ Κυρίου Ἰησοῦ, ὅπως ἀκριβῶς καὶ ἐκεῖνοι». Ἀπὸ πόση δύναμη εἶναι γεμάτα τὰ λόγια αὐτά! Ἐκεῖνα ἀκριβῶς ποὺ ὁ Παῦλος εἶπε μὲ μακροὺς λόγους στὴν ἐπιστολή του πρὸς Ρωμαίους, αὐτὰ λέγει καὶ αὐτός· «Διότι, ἐὰν ὁ Ἀβραάμ», λέγει, δικαιώθηκε ἀπὸ τὰ ἔργα του, μπορεῖ νὰ

γων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν». Ὁρᾷς ὅτι τούτων μᾶλλόν ἐστι τοῦτο παιδευτικόν, ἢ ἀπολογία ὑπὲρ ἐθνῶν; Ἀλλά, εἰ μὲν χωρὶς προφάσεως ταῦτα ἔλεγεν, ἴσως οὐδαμῶς ὕποπτος ἦν, ἀρχῆς δὲ λαϐόμενος ἐντεῦθεν, λοιπὸν ἀδεῶς φθέγγεται. Καὶ ὅρα πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν μετ' αὐτῶν γινόμενα· εἰ μὴ γὰρ ἐκίνησαν ἐκεῖνοι, οὐκ ἂν ταῦτα ἐλέχθη, οὐδ' ἂν τὰ μετὰ ταῦτα. Ἐντεῦθεν μανθάνουσιν ὅτι, εἰ καὶ μὴ προσάγεσθαι ἤθελον τὰ ἔθνη, οὐ δεῖ αὐτοὺς παρορᾶν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Ἐν ὑμῖν», φησίν, «ἐξελέξατο, καὶ ἀφ' ἡμερῶν ἀρχαίων». Τοῦτο εἶπε, δεικνὺς ὅτι πάλαι, οὐ νῦν. Οὐ μικρὸν δὲ τὸ καὶ Ἰουδαίων πιστευόντων τοῦτο ἀποστραφῆναι. Δύο τούτοις ὃ λέγει πιστοῦται, τῷ καιρῷ καὶ τῷ τόπῳ. Καὶ τὸ «ἐξελέξατο», καλῶς· ὥσπερ ἐπ' αὐτῶν οὐκ εἶπεν, 'Ἠθέλησεν', ἀλλ' «ἐξελέξατο». Πόθεν τοῦτο δῆλον; Ἀπὸ τοῦ Πνεύματος, φησίν. Εἶτα δείκνυσιν οὐχὶ χάριτος ἁπλῶς, ἀλλ' ἀρετῆς μαρτύριον αὐτοῖς τοῦτο γινόμενον, καὶ οὐδὲν ἔλαττον αὐτοῖς παρασχόν· οὐδὲν γάρ, φησί, διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. Ἄρα καρδίας δεῖ πανταχοῦ ζητεῖν.

Καὶ εὐκαίρως εἶπεν, «Ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς», ὡς καὶ ἐκεῖ· «Σύ, Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον». Ὅτι γὰρ τοῦτο ϐούλεται, ὅρα τί ἐπάγει· ὅτι «οὐδὲν διέκρινε μεταξύ ἡμῶν τε καὶ αὐτῶν». Ὅτε εἶπεν αὐτῶν τὴν μαρτυρίαν, τότε τὸ μέγα τοῦτο ἐφθέγξατο, ὅπερ Παῦλός φησιν· «Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροϐυστία», καί,

---

7. Ρωμ. 4, 2
8. Πράξ. 15, 7
9. Πράξ. 15, 8
10. Πράξ. 1, 24
11. Πράξ. 15, 9

καυχιέται, ὄχι ὅμως ἐνώπιον τοῦ Θεοῦ»[7]. Βλέπεις ὅτι αὐτὸ εἶναι περισσότερο διδασκαλία αὐτῶν, παρὰ ἀπολογία ὑπὲρ τῶν ἐθνῶν; Ἀλλ' ἂν μὲν τὰ ἔλεγε αὐτὰ χωρὶς αἰτία, ἴσως νὰ μὴ ἦταν καθόλου ὕποπτος, ὅμως παίρνοντας ἀρχὴ ἀπὸ ἐδῶ, ὁμιλεῖ στὴ συνέχεια χωρὶς φόβο. Καὶ πρόσεχε παντοῦ ὅτι τὰ ὅσα γίνονται ἀπὸ τοὺς ἐχθροὺς ἔχουν σχέση μὲ αὐτά· διότι, ἐὰν ἐκεῖνοι δὲν ἔδιναν ἀφορμή, δὲν θὰ μποροῦσαν νὰ λεχθοῦν αὐτά, οὔτε τὰ ὅσα λέχθηκαν στὴ συνέχεια. Ἀπὸ ἐδῶ μαθαίνομε, ὅτι, καὶ ἂν ἀκόμα ἤθελαν νὰ μὴ ὁδηγηθοῦν στὴν πίστη οἱ ἐθνικοί, δὲν ἔπρεπε αὐτοὶ ν' ἀδιαφοροῦν γι' αὐτούς. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν·

«Ἀνάμεσα ἀπὸ σᾶς», λέγει, «διάλεξε ἐμένα καὶ μάλιστα ἀπὸ τὶς πρῶτες ἡμέρες»[8]. Αὐτὸ τὸ εἶπε, γιὰ νὰ δείξει ὅτι αὐτὸ συνέβηκε παλαιότερα, ὄχι τώρα. Δὲν εἶναι δὲ μικρὸ πράγμα τὸ ν' ἀποστραφεῖ αὐτὸ τὴ στιγμὴ ποὺ καὶ Ἰουδαῖοι τὸ πιστεύουν. Δύο πράγματα ἐπιβεβαιώνει μὲ αὐτὸ ποὺ λέγει, τὸν καιρὸ καὶ τὸν τόπο. Καὶ τὸ «διάλεξε ἐμένα», σωστὰ τὸ εἶπε· ὅπως ἀκριβῶς σχετικὰ μ' αὐτοὺς δὲν εἶπε, 'Θέλησε', ἀλλὰ «Διάλεξε ἐμένα». Ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; Ἀπὸ τὸ Πνεῦμα, λέγει. Ἔπειτα δείχνει ὅτι αὐτὸ γίνεται σ' αὐτοὺς ὄχι ἁπλῶς ἐπιβεβαίωση τῆς χάριτος, ἀλλὰ καὶ τῆς ἀρετῆς, καὶ ὅτι δώρησε σ' αὐτοὺς ὄχι λιγότερα· διότι, λέγει, καμιὰ διάκριση δὲν ἔκανε ἀνάμεσα σ' ἐμᾶς καὶ σ' αὐτούς. Ἑπομένως πρέπει παντοῦ νὰ ζητοῦμε καρδιές·

Καὶ πολὺ σωστὰ εἶπα, «Ὁ καρδιογνώστης Θεὸς ἔδωσε μαρτυρία σ' αὐτούς»[9], ὅπως καὶ ἐκεῖ λέγει· «Σύ, Κύριε, ποὺ εἶσαι καρδιογνώστης ὅλων, φανέρωσε»[10]. Διότι, τὸ ὅτι αὐτὸ θέλει, πρόσεχε τί προσθέτει· ὅτι «Δὲν ἔκανε καμιὰ διάκριση ἀνάμεσα σ' ἐμᾶς καὶ αὐτούς»[11]. Ὅταν ἀνέφερε τὴ μαρτυρία αὐτῶν, τότε εἶπε αὐτὸ τὸ πάρα πολὺ σπουδαῖο, τὸ ὁποῖο λέγει ὁ Παῦλος· «Οὔτε ἡ περιτομὴ ἔχει

«Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ». Πάντων τούτων τὰ σπέρματα ἐν τῇ Πέτρου δημηγορίᾳ κεῖται. Καὶ οὐκ εἶπε, 'Τῶν ἐκ περιτομῆς', ἀλλὰ «μεταξὺ ἡμῶν», τουτέστι, τῶν Ἀποστόλων. Εἶτα, ἵνα μὴ δόξῃ ὕβρις εἶναι τὸ «οὐδέν», ἐπάγει· «Πίστει καθαρίσας τὰς καρδίας αὐτῶν»· καὶ ἀναιρεῖ τὴν ὑπόνοιαν διὰ τούτου. Ἐξεκαθάρισε πρότερον τὸν λόγον, καὶ τότε δείκνυσιν οὐχὶ πονηρὸν τόν νόμον, ἀλλ' αὐτοὺς ἀσθενεῖς.

2. Ὅρα πῶς εἰς φοβερὸν κατέληξεν. Οὐδὲν ἀπὸ τῶν προφητῶν αὐτοῖς διαλέγεται, ἀλλ' ἀπὸ τῶν παρόντων πραγμάτων, ὧν αὐτοὶ μάρτυρες ἦσαν. Εἰκότως καὶ αὐτοὶ λοιπὸν ἐπιμαρτυροῦσι, καὶ τὸν λόγον ἰσχυρότερον ποιοῦσι τοῖς ἤδη γενομένοις. Καὶ ὅρα, ἐν τῇ Ἐκκλησίᾳ συγχωρεῖ πρῶτον ζήτησιν γενέσθαι, καὶ τότε λέγει. Ἐπεὶ οὖν οὐκ εἶπε, 'Τῶν ἐκ περιτομῆς', ἀλλὰ «τῶν ἐθνῶν», (τοῦτο γάρ, κατὰ μικρὸν ἐπαγόμενον, ἐγίνετο ἰσχυρότερον, ἐκεῖνο δὲ ἦν πειράζοντος, εἰ δύναται καὶ μετὰ νόμον σῶσαι), ὅρα τί ποιεῖ. Δείκνυσιν αὐτοὺς ἐν κινδύνῳ, εἴ γε, ὅπερ οὐκ ἴσχυσεν ὁ νόμος, ἴσχυσεν ἡ πίστις· ταύτης δὲ ἐκπιπτούσης, ἀνάγκη αὐτοὺς ἐν ἀπωλείᾳ εἶναι. Καὶ οὐκ εἶπεν, 'Ἀπιστεῖτε', ὅπερ ἦν φορτικώτερον, καὶ ταῦτα ἐληλεγμένου τοῦ πράγματος. Ἐν μὲν οὖν τοῖς Ἱεροσολύμοις οὐκ ἦσαν ἐξ ἐθνῶν τινες, ἐν δὲ Ἀντιοχείᾳ εἰκὸς εἶναι. Διὰ τοῦτο καὶ ἀπέρχονται, καὶ διατρίβουσι χρόνον οὐκ ὀλίγον ἐκεῖ.

Ἐξανέστησαν δέ τινες τῶν Φαρισαίων, ἔτι νοσοῦντες τὴν φιλαρχίαν, καὶ βουλόμενοι πρὸς αὐτοὺς ἔχειν τοὺς ἐξ ἐθνῶν· (Καίτοι καὶ Παῦλος νομομαθὴς

------

12. Α' Κορ. 7, 19
13. Ἐφ. 2, 15

κάποια ἰσχύ, οὔτε ἡ ἀκροβυστία»[12], καί, «Γιὰ νὰ δημιουργήσει στὸν ἑαυτό του ἀπὸ τὰ δυὸ μέρη»[13]. Τὰ σπέρματα ὅλων αὐτῶν τῶν λόγων βρίσκονται μέσα στὴν ὁμιλία τοῦ Πέτρου. Καὶ δὲν εἶπε, 'Απ' αὐτοὺς ποὺ περιτμήθηκαν', ἀλλὰ «'Ανάμεσα σ' ἐμᾶς», δηλαδὴ τοὺς 'Αποστόλους. Ἔπειτα, γιὰ νὰ μὴ θεωρηθεῖ σὰν ὕβρη τὸ «τίποτε», προσθέτει· «Καθαρίζοντας μὲ τὴν πίστη τὶς καρδιὲς αὐτῶν», πράγμα μὲ τὸ ὁποῖο διώχνει τὴν ὑπόνοια. Πρῶτα ξεκαθάρισε τὸ λόγο, καὶ τότε δείχνει ὅτι δὲν εἶναι κακὸς ὁ νόμος, ἀλλ' αὐτοὶ εἶναι ἀσθενεῖς.

2. Πρόσεχε πῶς τελείωσε τὸ λόγο μὲ κάτι τὸ φοβερό. Τίποτε δὲ λέγει σ' αὐτοὺς ἀπὸ τοὺς προφῆτες, ἀλλὰ ἀπὸ τὰ παρόντα πράγματα, γιὰ τὰ ὁποῖα αὐτοὶ ἦταν μάρτυρες. Εὔλογα λοιπὸν καὶ αὐτοὶ δίνουν τὴ μαρτυρία τους καὶ κάμνουν τὸ λόγο ἰσχυρότερο μὲ τὰ ὅσα ἤδη ἔγιναν. Καὶ πρόσεχε, πρῶτα ἐπιτρέπει νὰ γίνει συζήτηση στὴν 'Εκκλησία, καὶ μετὰ ὁμιλεῖ. 'Επειδὴ λοιπὸν δὲν εἶπε, 'Αὐτοὶ ποὺ δέχθηκαν τὴν περιτομή', ἀλλὰ «Οἱ ἐθνικοὶ» (διότι αὐτὸ λεγόμενο σιγὰ - σιγὰ γινόταν ἰσχυρότερο, ἐνῶ ἐκεῖνο ἔδειχνε τὴ διάθεση κάποιου ποὺ θέλει νὰ πειράξει, τὸ ἐὰν δηλαδὴ μπορεῖ ὁ νόμος νὰ σώσει καὶ μετά), πρόσεχε τί κάμνει. Δείχνει ὅτι αὐτοὶ βρίσκονται σὲ κίνδυνο, ἐφόσον βέβαια, ἐκεῖνο ποὺ δὲν κατόρθωσε ὁ νόμος, τὸ κατόρθωσε ἡ πίστη· ἐὰν αὐτὴ χαθεῖ κατ' ἀνάγκη αὐτοὶ θὰ ὁδηγηθοῦν στὴν ἀπώλεια. Καὶ δὲν εἶπε, 'Απιστεῖτε', πράγμα ποὺ ἦταν περισσότερο βαρὺ, καὶ ὅλα αὐτὰ ἐνῶ εἶχε ληφθεῖ ἀπόφαση γιὰ τὸ πράγμα αὐτό. Στὰ μὲν λοιπὸν 'Ιεροσόλυμα δὲν ὑπῆρχαν καθόλου πιστοὶ προερχόμενοι ἀπὸ τοὺς ἐθνικούς, ἐνῶ στὴν 'Αντιόχεια φυσικὸ ἦταν νὰ ὑπῆρχαν. Γι' αὐτὸ καὶ ἀναχωροῦν καὶ διαμένουν ἐκεῖ ἀρκετὸ χρόνο·

Διαμαρτυρήθηκαν ὅμως μερικοὶ ἀπὸ τοὺς Φαρισαίους, ποὺ ἀκόμα ὑπόφεραν ἀπὸ τὴ φιλαρχία, καὶ ἤθελαν ἡ ἐξουσία τους νὰ ἐπεκτείνεται καὶ πρὸς τοὺς πιστοὺς ἐξ

ἦν, ἀλλ' οὐκ ἔπασχε τοῦτο· ἐπειδὴ δὲ ἐκεῖθεν ἦλθε, καὶ τὸ δόγμα ἀκριβέστερον ἐγένετο)· εἰ γὰρ οἱ ἐν Ἱεροσολύμοις ὄντες οὐδὲν τοιοῦτον ἐπιτάττουσι, πολλῷ μᾶλλον οὗτοι. Ὁρᾷς ὅσοι μὴ φιλαρχοῦσι, χαίρουσιν ἐν τῇ πίστει; Οὐ φιλοτιμίας τοίνυν τὰ διηγήματα, οὐδὲ ἐπιδείξεως ἦν, ἀλλὰ ἀπολογίας τοῦ εἰς τὰ ἔθνη κηρύγματος· διὸ καὶ οὐδὲν λέγουσι τῶν εἰς τοὺς Ἰουδαίους συμβεβηκότων. Πολλὴ ἡ ἐπιτριβὴ τῶν Φαρισαίων, καὶ μετὰ τὴν πίστιν ἔτι νομοθετούντων, καὶ οὐ πειθομένων τοῖς Ἀποστόλοις. Ἀλλ' ὅρα ἐκείνους πῶς ἐπιεικῶς καὶ οὐ μετὰ αὐθεντίας διαλέγονται· τὰ γὰρ τοιαῦτα ἐπιθυμητά, καὶ πέπηγε μᾶλλον.

Ὁρᾷς οὐδαμοῦ λόγων ἐπίδειξιν, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων, τὴν διὰ τοῦ Πνεύματος; Ἀλλ' ὅμως καὶ τοιαῦτα ἔχοντες τεκμήρια, ἔτι ἐπιεικῶς διαλέγονται. Καὶ ὅρα. Οὐκ ἀπέρχονται, διαβάλλοντες τοὺς ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐκεῖθεν πάλιν λαμβάνουσιν ἀφορμήν· οὕτως ἐμελέτων τὸ φιλαρχεῖν, οἳ καὶ οὐκ εἰδότων τῶν Ἀποστόλων ἐμέμφθησαν. Ἀλλ' ὅμως οὐδὲν τούτων οὗτοι προήνεγκαν, ἀλλά, ὅτε ἀπέδειξαν, τότε σφοδρότερον γράφουσι. Μέγα γὰρ ἡ ἐπιείκεια πανταχοῦ καλόν. Ἐπιείκεια, λέγω, οὐ ψυχρότης· ἐπιείκεια, οὐ κολακεία· πολὺ γὰρ ταῦτα διέστηκεν ἀπ' ἀλλήλων. Οὐδὲν ἐτράχυνε Παῦλον, οὐδὲν Πέτρον. Ὅταν ἔχῃς ἀποδείξεις, τί ὀργίζῃ; ἤ, ἵνα καὶ ταύτας ἀκύρους ποιήσῃς; Οὐκ ἔστι τὸν ὀργιζόμενον πεῖσαί ποτε. Καὶ χθὲς περὶ ὀργῆς διελέχθημεν, οὐδὲν δὲ κωλύει καὶ τήμερον· ἡ γὰρ συνέχεια ἴσως ἐργά-

ἐθνῶν (ἄν καὶ βέβαια καὶ ὁ Παῦλος ἦταν νομομαθής, ἀλλά δέν ἔπασχε ἀπό τήν ἀσθένεια αὐτή τῆς φιλαρχίας· ἐπειδή ὅμως ἦρθε ἀπό ἐκεῖ καὶ τό δόγμα ἔγινε ὀρθότερο)· διότι, ἐάν οἱ βρισκόμενοι στά Ἱεροσόλυμα Ἀπόστολοι δέν δίνουν καμιά τέτοια ἐντολή, πολύ περισσότερο αὐτοί. Βλέπεις, ὅτι ὅσοι δέν πάσχουν ἀπό φιλαρχία, χαίρονται γιά τήν πίστη; Δέν ἦταν λοιπόν τά λόγια αὐτά ἀποτέλεσμα φιλοδοξίας, οὔτε ἐπιδείξεως, ἀλλά ἀπολογίας τοῦ κηρύγματος στούς ἐθνικούς· γι' αὐτό καὶ δέν λένε τίποτε ἀπό ἐκεῖνα πού εἶχαν συμβεῖ στούς Ἰουδαίους. Μεγάλη ἡ ἀντίδραση τῶν Φαρισαίων, οἱ ὁποῖοι καὶ μετά τήν πίστη νομοθετοῦν ἀκόμα καὶ δέν ὑπακούουν στούς Ἀποστόλους. Ἀλλά πρόσεχε τούς Ἀποστόλους πῶς μιλοῦν μέ ἐπιείκεια καὶ ὄχι μέ ἐξουσία· διότι οἱ ἐπιθυμίες τους αὐτές γίνονται περισσότερο σταθερές.

Βλέπεις ὅτι πουθενά οἱ λόγοι τους δέν λέγονται γιά ἐπίδειξη, ἀλλά παρουσιάζουν αὐτά τά ἴδια τά πράγματα, καθώς καὶ τή χάρη τοῦ Πνεύματος; Ἀλλ' ὅμως, ἄν καὶ ἔχουν τέτοιου εἴδους ἀποδείξεις, ἐξακολουθοῦν νά ὁμιλοῦν μέ ἐπιείκεια. Καὶ πρόσεχε. Δέν ἀναχωροῦν ἀπό ἐκεῖ, κατηγορώντας τούς πιστούς τῆς Ἀντιόχειας, ἀλλ' ἀπό ἐκεῖ πάλι παίρνουν τήν ἀφορμή· τόσο πολύ φρόντιζαν γιά τή φιλαρχία, οἱ ὁποῖοι καὶ κατηγορήθηκαν χωρίς νά τό γνωρίζουν οἱ Ἀπόστολοι. Ἀλλ' ὅμως τίποτε ἀπό αὐτά δέν εἶπαν, ἀλλά, ὅταν παρουσίασαν ἀποδείξεις, τότε γράφουν μέ σφοδρότητα. Διότι παντοῦ εἶναι μεγάλο καλό ἡ ἐπιείκεια. Ἡ ἐπιείκεια λέγω, ὄχι ἡ ψυχρότητα· ἡ ἐπιείκεια, ὄχι ἡ κολακεία· διότι ὑπάρχει μεγάλη διαφορά μεταξύ αὐτῶν. Τίποτε δέν σκλήραινε τόν Παῦλο, τίποτε τόν Πέτρο. Ὅταν ἔχεις ἀποδείξεις, γιατί ὀργίζεσαι; ἤ μήπως γιά νά καταστήσεις αὐτές ἄκυρες; Δέν εἶναι δυνατό ποτέ νά πείσει ἐκεῖνος πού ὀργίζεται. Καὶ χθές μιλήσαμε γιά τήν ὀργή, τίποτε δέ δέν μᾶς ἐμποδίζει νά μιλήσομε καὶ

σεταί τι· καὶ γὰρ φάρμακον, τὸ δύναμιν ἔχον ἀφανίσαι τραῦμα, ἂν μὴ συνεχῶς ἐπιτεθῇ, τὸ πᾶν ἀπώλεσε.

Μὴ δὴ νομίζετε κατάγνωσιν ὑμῶν εἶναι τὸ συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεσθαι· εἰ γὰρ κατεγνώκειμεν, οὐκ ἂν διελέχθημεν· νῦν δέ, ἐλπίζοντες μεγάλα ὑμᾶς κερδαίνειν, ταῦτα φθεγγόμεθα. Εἴθε γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ἐλέγομεν! εἴθε μηδὲ ἦν ἄλλη τις λόγων ὑπόθεσις ἢ φροντίς, ἀλλ' ὅπως τῶν παθῶν κρατήσωμεν τῶν ἡμετέρων! Πῶς γὰρ οὐκ ἄτοπον, βασιλεῦσι μέν, ἐν τρυφῇ ζῶσι καὶ τοσαύτῃ τιμῇ, μηδένα εἶναι λόγον μήτε ἐπὶ τραπέζης, μηδὲ ἐν ἄλλῳ μηδενὶ καιρῷ, ἀλλὰ πῶς μόνον τῶν πολεμίων κρατῆσαι δεῖ, καὶ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συλλόγους ποιεῖν, καὶ στρατηγοὺς καὶ στρατιώτας καταλέγειν, καὶ φόρους ἀπαιτεῖν, καὶ τῶν πολιτικῶν πραγμάτων ταύτας δύο αἰτίας ἀναγκαίας εἶναι ἡγεῖσθαι, ὅπως καὶ τῶν πολεμούντων κρατήσωσι, καὶ τοὺς οἰκείους ἐν εἰρήνῃ καταστήσωσιν, ἡμᾶς δὲ μηδὲ ὄναρ θέλειν τὰ τοιαῦτα διαλέγεσθαι, ἀλλ' ὅπως μὲν ἀγρὸν ὠνησώμεθα, καὶ ὅπως ἀνδράποδα, καὶ ὅπως πλείω τὴν οὐσίαν ποιήσωμεν, καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι οὐ λαμβάνομεν κόρον, περὶ δὲ τῶν ἐν ἡμῖν πραγμάτων καὶ τῶν ὄντως ἡμῶν οὔτε αὐτοὶ λέγειν βουλόμεθα, οὐδὲ ἑτέρων λεγόντων ἀνεχόμεθα ἀκούειν;

Περὶ τίνος οὖν, εἰπέ μοι, διαλέγεσθαι βούλει; περὶ ἀρίστου; 'Αλλὰ ταῦτα μαγείρων τὰ ῥήματα. 'Αλλὰ περὶ χρημάτων; 'Αλλὰ ταῦτα καπήλων καὶ ἐμπόρων. 'Αλλὰ περὶ κτισμάτων; 'Αλλὰ ταῦτα τεκτόνων καὶ οἰκοδόμων. 'Αλλὰ περὶ γῆς; 'Αλλὰ ταῦτα γεωργῶν. 'Ημῶν δὲ οὐδὲν ἕτερόν ἐστιν ἔργον, ἀλλ' ἢ πῶς

σήμερα· διότι ή συνέχεια ἴσως ἐπιτύχει κάτι· καθόσον φάρμακο, πού ἔχει τή δύναμη νά θεραπεύσει τραῦμα, ἄν δέν τοποθετηθεῖ συνέχεια στό τραῦμα, τό πᾶν κατέστρεψε.

Μή λοιπόν θτωρεῖτε σάν περιφρόνηση πρός σᾶς τό ὅτι συνέχεια σᾶς ὁμιλοῦμε γιά τά ἴδια· διότι ἄν σᾶς περιφρονούσαμε, δέν θά σᾶς μιλούσαμε, ἐνῶ τώρα σᾶς τά λέμε αὐτά, ἐλπίζοντας ὅτι θ' ἀποκομίσετε μεγάλο κέρδος. Μακάρι βέβαια νά σᾶς μιλούσαμε συνέχεια γιά τά ἴδια! μακάρι νά μή ὑπῆρχε καμιά ἄλλη ἀφορμή γιά τούς λόγους μας ἤ φροντίδα, ἀλλά πῶς νά νικήσομε τά πάθη μας! Διότι πῶς δέν εἶναι παράλογο, οἱ μέν βασιλεῖς, πού ζοῦν μέσα στήν ἀπόλαυση καί τήν τόση τιμή, νά μή μιλοῦν γιά τίποτε ἄλλο οὔτε στήν ὥρα τοῦ φαγητοῦ, οὔτε καμιά ἄλλη στιγμή, παρά μόνο πῶς θά μπορέσουν νά ὑπερισχύσουν τῶν ἐχθρῶν, καί γι' αὐτό καθημερινά νά κάνουν συσκέψεις, νά συγκεντρώνουν στρατηγούς καί στρατιῶτες, νά ἀπαιτοῦν φόρους, καί νά θεωροῦν γιά τά πολεμικά πράγματα αὐτές σάν τίς δύο ἀναγκαῖες αἰτίες, τό πῶς δηλαδή καί τούς ἐχθρούς τους θά νικήσουν, καί στούς δικούς τους θά ἐξασφαλίσουν εἰρήνη, ἐμεῖς δέ νά μή θέλομε νά μιλοῦμε γι' αὐτά οὔτε στό ὄνειρό μας, ἀλλά πῶς μέν θ' ἀγοράσομε ἀγρό, πῶς δέ δούλους καί πῶς θ' αὐξήσομε τήν περιουσία, ἐνῶ καθημερινά μιλοῦμε δέν χορταίνομε, γιά τά δικά μας ὅμως πράγματα καί τά πραγματικά δικά μας οὔτε οἱ ἴδιοι θέλομε νά μιλοῦμε, οὔτε ἀνεχόμαστε ν' ἀκοῦμε ὅταν ἄλλοι ὁμιλοῦν;

Πές μου λοιπόν, γιά ποιό πράγμα θέλεις νά συζητᾶς; γιά τό φαγητό; 'Αλλ' αὐτές οἱ συζητήσεις εἶναι τῶν μαγείρων. Μήπως γιά τά χρήματα; 'Αλλ' αὐτές εἶναι τῶν μικροπωλητῶν καί τῶν ἐμπόρων. Μήπως γιά οἰκοδομήματα; 'Αλλ' αὐτές εἶναι τῶν τεχνιτῶν καί τῶν οἰκοδόμων. Μήπως γιά τή γῆ; 'Αλλ' αὐτές εἶναι τῶν γεωργῶν· Δικό μας ἔργο κανένα ἄλλο δέν εἶναι, παρά πῶς ν' ἀποκτήσο-

πλοῦτον περιποιησόμεθα τῇ ψυχῇ. Μὴ τοίνυν προσκορὴς ὁ λόγος γινέσθω. Διὰ τί γὰρ μηδεὶς ἐγκαλεῖ τῷ ἰατρῷ, περὶ ἰατρικῆς ἀεὶ διαλεγομένῳ, μηδὲ τοῖς ἄλλοις τοῖς δημιουργοῖς, περὶ τῶν οἰκείων τεχνῶν λέγουσιν; Εἰ μὲν γὰρ οὕτως ἡμῖν ἦν κατωρθωμένα τὰ τῶν παθῶν, ὡς μὴ δεῖσθαι ὑπομνήσεως, εἰκότως ἄν τις ἡμῖν ἐνεκάλεσε φιλοτιμίαν καὶ ἐπίδειξιν, μᾶλλον δὲ οὐδὲ οὕτως· εἰ γὰρ καὶ κατώρθωτο, καὶ οὕτως ἐχρῆν διαλέγεσθαι, ὥστε μὴ ἀναπεσεῖν· ἐπεὶ καὶ ἰατροὶ οὐχὶ νοσοῦσιν, ἀλλὰ καὶ ὑγιαίνουσι διαλέγονται, καὶ ἔστιν αὐτοῖς βιβλία τοιαύτης πραγματείας, τοῖς μέν, ἵνα τῆς νόσου ἀπαλλάττωσι, τοῖς δέ, ἵνα τὴν ὑγείαν διαφυλάττωσιν. Ὥστε, εἰ καὶ ὑγιαίνομεν, οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν, ἀλλὰ πάντα ποιεῖν, ὥστε διατηρηθῆναι τὴν ὑγείαν ἡμῖν. Ὅταν δὲ καὶ νοσῶμεν, διπλῆ τῶν λόγων ἡ ἀνάγκη· μία μέν, ἀπαλλαγῆναι τῆς νόσου, δευτέρα δέ, ἀπαλλαγέντας μὴ περιπεσεῖν πάλιν. Οὐκοῦν θεραπευτικῇ μεθόδῳ διαλεγόμεθα νῦν, οὐχ ὑγιεινῇ πραγματείᾳ. Πῶς οὖν ἄν τις τὸ κακὸν τοῦτο ἐκκόψειε πάθος; πῶς τὸν σφοδρὸν ὑποστείλειε πυρετόν; Ἴδωμεν πόθεν ἐτέχθη, καὶ τὴν αἰτίαν ἀνέλωμεν.

3. Πόθεν τίκτεσθαι εἴωθεν; Ἐξ ἀλαζονείας καὶ ἀπονοίας πολλῆς. Ταύτην οὖν ἀνέλωμεν τὴν αἰτίαν, καὶ συνανῄρηται καὶ τὸ νόσημα. Τί δὲ ἡ ἀλαζονεία; πόθεν τίκτεται; (τάχα γὰρ πάλιν ἐφ' ἑτέραν ἀρχὴν κιν-

με πλοῦτο γιὰ τὴν ψυχή μας. Ἂς μὴ γίνει λοιπὸν ὁ λόγος βαρετός. Πράγματι γιατί κανένας δὲν κατηγορεῖ τὸ γιατρό, ποὺ ὁμιλεῖ συνέχεια γιὰ τὴν ἰατρική, οὔτε τοὺς ἄλλους τεχνίτες, ποὺ ὁμιλοῦν γιὰ τὶς δικές τους τέχνες; Διότι, ἐὰν μὲν τόση μεγάλη ἐπιτυχία εἴχαμε σημειώσει στὰ θέματα τὰ σχετικὰ μὲ τὰ πάθη μας, ὥστε νὰ μὴ χρειάζεται ἡ ὑπενθύμιση, πολὺ σωστὰ θὰ μποροῦσε κάποιος νὰ μᾶς κατηγορήσει γιὰ φιλοδοξία καὶ ἐπίδειξη, ἢ καλύτερα οὔτε καὶ τότε· διότι καὶ ἂν ἀκόμα εἴχαμε σημειώσει μεγάλη ἐπιτυχία στὸ θέμα αὐτό, καὶ πάλι ἔπρεπε νὰ μιλᾶμε γι' αὐτά, γιὰ νὰ μὴ πέσομε καὶ πάλι σ' αὐτά· καθόσον καὶ οἱ γιατροὶ δὲν συνομιλοῦν μόνο μὲ ἀσθενεῖς, ἀλλὰ καὶ μὲ ὑγιεῖς, καὶ ὑπάρχουν βιβλία σ' αὐτοὺς μὲ παρόμοιο περιεχόμενο, ὥστε τοὺς μὲν ἀσθενεῖς νὰ τοὺς ἀπαλλάσσουν ἀπὸ τὴν ἀσθένεια, τοὺς δὲ ὑγιεῖς γιὰ νὰ τοὺς διαφυλάσσουν ὑγιεῖς. Ἑπομένως, καὶ ἂν ἀκόμα εἴμαστε ὑγιεῖς, οὔτε ἔτσι ἔπρεπε νὰ σταματοῦμε τὴν προσπάθεια, ἀλλὰ νὰ κάμνομε τὰ πάντα γιὰ νὰ διατηροῦμε τὴν ὑγεία μας. Ὅταν δὲ συμβαίνει καὶ νὰ εἴμαστε ἀσθενεῖς, τότε εἶναι διπλὴ ἡ ἀνάγκη τῶν λόγων· ἡ μὲν πρώτη γιὰ ν' ἀπαλλαγοῦμε ἀπὸ τὴν ἀσθένεια, ἡ δὲ δεύτερη, ἀφοῦ ἀπαλλαγοῦμε ἀπ' αὐτήν, νὰ μὴ ὑποπέσομε στὴν ἴδια ἀσθένεια. Ὥστε λοιπὸν τώρα συζητοῦμε ἐφαρμόζοντας τὴ θεραπευτικὴ μέθοδο, καὶ δὲν ἐπιχειροῦμε τὴν ἀνάπτυξη πραγματείας περὶ ὑγείας. Πῶς λοιπὸν θὰ μποροῦσε κάποιος ν' ἀποκόψει τὸ κακὸ αὐτὸ πάθος; πῶς θὰ περιόριζε τὸν σφοδρὸ πυρετό; Ἂς δοῦμε ἀπὸ ποῦ προῆλθε καὶ ἂς ἐξαλείψομε τὴν αἰτία.

3. Ἀπὸ ποῦ προέρχεται συνήθως; Ἀπὸ τὴν ἀλαζονεία καὶ τὴν μεγάλη ἀπερισκεψία· Ἂς ἐξαλείψομε λοιπὸν αὐτὴν τὴν αἰτία καὶ ἐξαλείφθηκε μαζὶ μὲ αὐτὴν καὶ ἡ ἀσθένεια. Τί ὅμως εἶναι ἡ ἀλαζονεία; ἀπὸ ποῦ προέρχεται; (ἐνδεχομένως δηλαδὴ κινδυνεύομε νὰ μεταβοῦμε σὲ ἄλ-

δυνεύομεν ἀνελθεῖν. Οὐκοῦν, ἣν ἂν ὁ λόγος ὑφηγήσηται, ταύτην βαδίζωμεν, ὅπως κάτωθεν καὶ πρόρριζον ἀνασπασθῇ τὸ κακόν). Πόθεν οὖν ἡ ἀλαζονεία; Ἐκ τοῦ μὴ ἐπισκέπτεσθαι τὰ ἡμέτερα, ἀλλ' ὑπὲρ μὲν φύσεως γῆς, καίτοι οὐκ ὄντας γεωργούς, πολυπραγμονεῖν, καὶ ὑπὲρ φύσεως φυτῶν, καὶ ὑπὲρ φύσεως χρυσοῦ, καίτοι οὐκ ὄντας ἐμπόρους, καὶ ὑπὲρ ἱματίων, καὶ ὑπὲρ πάντων, ὑπὲρ δὲ ἡμῶν καὶ τῆς ἡμετέρας φύσεως μηδέποτε ἀνέχεσθαι τοῦτο ποιεῖν.

Καὶ τίς ἀγνοεῖ, φησί, τὴν οἰκείαν φύσιν; Πολλοί· τάχα δὲ πάντες πλὴν ὀλίγων· καί, εἰ βούλεσθε, ἐντεῦθεν ποιήσω τὸν ἔλεγχον. Εἰπὲ γάρ μοι, τί ποτέ ἐστιν ἄνθρωπος. Εἴ τις ἐρωτηθείη, 'Τίνι τῶν ἀλόγων διέστηκε, πῶς συγγενής ἐστι τῶν ἐν οὐρανῷ, τί δύναται ἐξ ἀνθρώπου γενέσθαι;', μὴ δυνήσεται ἐξ εὐθείας ἀποκριθῆναι; Οὐκ ἔγωγε οἶμαι· καθάπερ γὰρ ἐπὶ ὕλης τινός, οὕτω καὶ ἐπὶ ἀνθρώπου τὸ μὲν ὑποκείμενον ἄνθρωπος, δύναται δὲ γενέσθαι καὶ ἄγγελος καὶ θηρίον. Ἆρα οὐ δοκεῖ ξένος εἶναι ὁ λόγος οὗτος; Καίτοι πολλάκις αὐτὸν ἐν ταῖς Γραφαῖς ἠκούσατε. Περὶ μὲν γάρ τινων ἀνθρώπων ἐλέγετο ὅτι «Ἄγγελος Κυρίου ἐστί· καὶ ἐκ χειλέων», φησίν, «αὐτοῦ, ζητήσουσι κρίσιν», καὶ πάλιν, «Ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου», περί δέ τινων· «Ὄφεις, γεννήματα ἐχιδνῶν».

Λοιπὸν δὴ παρὰ τοὺς χρωμένους τὸ πᾶν δύναται γενέσθαι καὶ ἄγγελος, καὶ ἄνθρωπος. Τί λέγω ἄγγελος; Καὶ Θεοῦ τέκνον· «Ἐγὼ γὰρ εἶπα», φησί, «Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες». Καὶ τὸ δὴ μεῖ-

------

14. Μαλαχ. 2, 7
15. Μαλαχ. 3, 1
16. Ματθ. 23, 33
17. Ψαλμ. 81, 6

λη ἀρχή. Λοιπόν, ἐκείνην ποὺ ὁ λόγος θὰ περιγράψει, αὐτὴν ἂς βαδίζομε, ὥστε νὰ ξερριζωθεῖ ἀπὸ τὴ βάση του καὶ ἀπὸ τὴ ρίζα τὸ κακό). Ἀπὸ ποῦ λοιπὸν προέρχεται ἡ ἀλαζονεία; Ἀπὸ τὸ ὅτι δὲν ἐξετάζομε μὲ προσοχὴ αὐτὰ ποὺ μᾶς ἀφοροῦν, ἀλλὰ μὲ τὴν μὲν φύση τῆς γῆς, ἂν καὶ βέβαια δὲ εἴμαστε γεωργοί, ἀσχολούμαστε, καὶ μὲ τὴ φύση τῶν φυτῶν, καὶ μὲ τὴ φύση τοῦ χρυσοῦ, ἂν καὶ δὲν εἴμαστε ἔμποροι, καὶ μὲ τὰ ἐνδύματα καὶ μὲ ὅλα γενικά, μὲ τὸν ἑαυτό μας ὅμως καὶ τὴ φύση μας ποτὲ δὲν ἀνεχόμαστε νὰ ἀσχοληθοῦμε.

Καὶ ποιός, λέγει, ἀγνοεῖ τὴ φύση του; Πολλοί· ἴσως δὲ ἐκτὸς ἀπὸ λίγους ὅλοι, καὶ ἂν θέλετε ἀπὸ ἐδῶ θὰ ἐξετάσω τὸ πράγμα. Διότι πές μου, τί τέλος πάντων εἶναι ὁ ἄνθρωπος; Ἂν κάποιος ἐρωτηθεῖ, 'Σὲ τί διαφέρει ἀπὸ τὰ ἄλογα ζῶα, πῶς εἶναι συγγενὴς τῶν ὄντων τοῦ οὐρανοῦ, τί μπορεῖ νὰ προέλθει ἀπὸ τὸν ἄνθρωπο;', μήπως θὰ μπορέσει νὰ δώσει ἀπ' εὐθείας ἀπάντηση; Ἐγὼ τουλάχιστο νομίζω ὄχι· διότι ὅπως ἀκριβῶς συμβαίνει μὲ κάποια ὕλη, ἔτσι καὶ στὴν περίπτωση τοῦ ἀνθρώπου, ἡ μὲν οὐσία του εἶναι ἄνθρωπος, μπορεῖ ὅμως νὰ γίνει καὶ ἄγγελος καὶ θηρίο. Ἄραγε δὲν φαίνεται παράξενος ὁ λόγος αὐτός; Ἂν καὶ βέβαια πολλὲς φορὲς τὸν ἀκούσατε ἀπὸ τὶς Γραφές. Πράγματι γιὰ μερικοὺς ἀνθρώπους λέγει ἡ Γραφή, ὅτι «Ὁ ἱερεὺς εἶναι ἄγγελος τοῦ Κυρίου, καὶ ἀπὸ τὰ χείλη αὐτοῦ», λέγει, «θὰ ἀναζητήσουν οἱ ἄνθρωποι δίκαια ἀπόφαση»[14], καὶ πάλι, «Θ' ἀποστείλω τὸν ἄγγελό μου πρὶν ἀπὸ ἐμένα»[15], ἐνῶ γιὰ μερικοὺς ἄλλους, λέγει· «Φίδια, γεννήματα τῶν ἐχιδνῶν»[16].

Ὥστε λοιπὸν ἀπὸ τοὺς ἴδιους τοὺς ἀνθρώπους ἐξαρτᾶται τὸ πᾶν, τὸ νὰ γίνει δηλαδὴ κανεὶς καὶ ἄγγελος καὶ ἄνθρωπος. Γιατί λέγω ἄγγελος; Καὶ τέκνο ἀκόμα τοῦ Θεοῦ· διότι λέγει, «Ἐγὼ εἶπα· ὅλοι εἶστε θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[17]. Καὶ τὸ σπουδαιότερο βέβαια, ὅτι ὁ ἴδιος ὁ

ζον, ὅτι τοῦ γενέσθαι καὶ θεὸς καὶ ἄγγελος καὶ Θεοῦ τέκνον τὴν ἐξουσίαν αὐτὸς ἐγκεχείρισται. Καὶ ἔστιν ἄνθρωπος ἀγγέλου δημιουργός. Τάχα ὑμᾶς ἐθορύβησε τὸ ῥῆμα; Ἀλλ' ἀκούετε τοῦ Χριστοῦ λέγοντος· «Ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι»· καὶ πάλιν· «Ὁ δυνάμενος χωρεῖν χωρείτω». Ὅλως δὲ ἡ ἀρετὴ ἀγγέλους ποιεῖ, ταύτης δὲ ἡμεῖς κύριοι, ἄρα ἀγγέλους δυνάμεθα δημιουργεῖν, κἂν μὴ τῇ φύσει, ἀλλὰ τῇ προαιρέσει· ταύτης μὲν γὰρ ἀπούσης, οὐδὲν ὄφελος ἄγγελον εἶναι τὴν φύσιν (καὶ δηλοῖ ὁ διάβολος τοῦτο, ὢν πρὸ τούτου), ταύτης δὲ παρούσης, οὐδὲν βλάβος ἄνθρωπον εἶναι τὴν φύσιν· καὶ δηλοῖ Ἰωάννης, ἄνθρωπος ὤν, καὶ Ἠλίας, εἰς τὸν οὐρανὸν ἀνελθών, καὶ πάντες οἱ μέλλοντες ἀπιέναι ἐκεῖ· οὗτοι μὲν γὰρ μετὰ σώματος οὐκ ἐκωλύθησαν τὸν οὐρανὸν οἰκεῖν, ἐκεῖνοι δέ, ἀσώματοι ὄντες, οὐκ ἠδυνήθησαν μεῖναι ἐν οὐρανῷ.

Μηδεὶς τοίνυν ἀλγείτω μηδὲ ἀγανακτείτω πρὸς τὴν φύσιν ὡς ἐμποδίζουσαν, ἀλλὰ πρὸς τὴν προαίρεσιν. Λέων ἐκεῖνος ἐγένετο ἐξ ἀσωμάτου (ἰδοὺ γάρ, φησίν, «ὁ ἐχθρὸς ἡμῶν, ὡς λέων ὠρυόμενος περιέρχεται, ζητῶν τίνα καταπίῃ), ἡμεῖς ἄγγελοι ἀπὸ σωμάτων. Καθάπερ γὰρ εἴ τις, ὕλην εὑρὼν πολύτιμον, οὐκ ὢν τεχνίτης, ἂν καταφρονήσῃ ταύτης, μεγάλως ζημιωθήσεται (οἷον ἢ μαργαρίτας, ἢ κόχλον, ἢ ἕτερόν τι τοιοῦτον), οὕτω δὴ καὶ ἡμεῖς, ἐὰν ἀγνοήσωμεν τὴν ἡμετέραν φύσιν, σφόδρα αὐτῆς καταφρονήσομεν, ἂν δὲ γνῶμεν, πολλὴν ἐπιδειξόμεθα σπουδήν,

------

18. Ματθ. 22, 30
19. Ματθ. 19, 12
20. Α΄ Πετρ. 5, 8
21. Κόχλος· θαλάσσιο ὀστρακόδερμο ἀπὸ τὸ ὁποῖο ἐξαγόταν ἡ πορφύρα.

ἄνθρωπος ἔχει στὰ χέρια του τὴν ἐξουσία νὰ γίνει καὶ θεός, καὶ ἄγγελος, καὶ τέκνο τοῦ Θεοῦ. Καὶ μπορεῖ ὁ ἄνθρωπος νὰ γίνει δημιουργὸς ἀγγέλου. Μήπως σᾶς θορύβησε ὁ λόγος αὐτός; Ἀλλ' ἀκούσατε τὸν Χριστὸ ποὺ λέγει· «Κατὰ τὴν ἀνάσταση οὔτε νυμφεύονται οὔτε παντρεύονται, ἀλλ' εἶναι σὰν ἄγγελοι»[18]· καὶ πάλι· «Ὅποιος μπορεῖ νὰ τὸ κάνει αὐτὸ ἂς τὸ κάνει»[19]. Ἡ ἀρετὴ ἐξ ὁλοκλήρου δημιουργεῖ ἀγγέλους, αὐτῆς δὲ κύριοι εἴμαστε ἐμεῖς, ἑπομένως μποροῦμε νὰ δημιουργοῦμε ἀγγέλους, ἂν ὄχι ὡς πρὸς τὴ φύση, ἀλλὰ ὡς πρὸς τὴν προαίρεση· διότι, ὅταν αὐτὴ ἀπουσιάζει, δὲν ὑπάρχει κανένα ὄφελος νὰ εἶναι κανεὶς ἄγγελος ὡς πρὸς τὴ φύση (καὶ τὸ φανερώνει αὐτὸ ὁ διάβολος, ποὺ ἦταν ἄγγελος πρὶν γίνει διάβολος), ἐνῶ ὅταν ὑπάρχει ἡ ἀρετή, δὲν προξενεῖται καμιὰ βλάβη τὸ νὰ εἶναι κανεὶς ἄνθρωπος ὡς πρὸς τὴ φύση· καὶ τὸ φανερώνει ὁ Ἰωάννης, ποὺ ἦταν ἄνθρωπος, καὶ ὁ Ἠλίας, ποὺ ἀνέβηκε στὸν οὐρανό, καὶ ὅλοι ἐκεῖνοι ποὺ πρόκειται νὰ μεταβοῦν ἐκεῖ· διότι αὐτοὶ μὲ τὸ σῶμα δὲν ἐμποδίσθηκαν νὰ κατοικοῦν στὸν οὐρανό, ἐνῶ οἱ διάβολοι, ἐνῶ ἦταν ἀσώματοι, δὲν μπόρεσαν νὰ παραμείνουν στὸν οὐρανό.

Κανένας λοιπὸν νὰ μὴ στενοχωρεῖται οὔτε ν' ἀγανακτεῖ ἐναντίον τῆς φύσεως, ὅτι τάχα ἐμποδίζει, ἀλλὰ νὰ τὸ κάνει αὐτὸ ἐναντίον τῆς προαιρέσεως. Λεοντάρι ἔγινε ἐκεῖνος ἀπὸ ἀσώματος ποὺ ἦταν (διότι, λέγει, «Ὁ ἐχθρός μας σὰν λεοντάρι περιτριγυρίζει, ζητώντας ποιὸν νὰ καταπιεῖ»[20], ἐμεῖς δὲ ἄγγελοι ἀπὸ σωματικοὶ ποὺ εἴμαστε. Ὅπως ἀκριβῶς δηλαδή, ἐὰν κάποιος, ποὺ δὲν εἶναι τεχνίτης, βρίσκοντας πολύτιμη ὕλη, περιφρονήσει αὐτὴν θὰ ὑποστεῖ μεγάλη ζημιὰ (ὅπως ἂν βρεῖ ἢ μαργαριτάρια, ἢ κόχλο[21], ἢ κάτι ἄλλο παρόμοιο), ἔτσι λοιπὸν καὶ ἐμεῖς, ἐὰν ἀγνοήσομε τὴ φύση μας, θὰ τὴν περιφρονήσομε πάρα πολύ, ἂν ὅμως τὴ γνωρίσομε, θὰ δείξομε μεγάλη φροντίδα

καὶ τὰ μέγιστα καρπωσόμεθα· ἀπὸ γὰρ ταύτης ἱμάτιον γίνεται βασιλικόν, ἀπὸ ταύτης οἰκία γίνεται βασιλική, ἀπὸ ταύτης μέλη γίνεται βασιλικά· πάντα βασιλικά.

Μὴ δὴ καταχρησώμεθα εἰς βλάβην τῇ οἰκείᾳ φύσει. «Βραχύ τι παρ' ἀγγέλους ἡμᾶς ἠλάττωσε», τῷ θανάτῳ, λέγω· ἀλλὰ καὶ τοῦτο ἀπειλήφαμεν τὸ βραχύ. Οὐδὲν οὖν τὸ κωλύον ἡμᾶς ἀγγέλων γενέσθαι ἐγγύς, ἂν θέλωμεν. Θελήσωμεν τοίνυν, θελήσωμεν, καί, ἐξασκήσαντες ἑαυτούς, δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γι' αὐτὴν καὶ θ' ἀποκομίσομε τὶς πιὸ μεγαλύτερες ὠφέλειες· διότι ἀπ' αὐτὴν γίνεται ἔνδυμα βασιλικὸ, ἀπὸ αὐτὴ γίνεται οἰκία βασιλική, ἀπὸ αὐτὴ γίνονται μέλη βασιλικά· ὅλα εἶναι βασιλικά.

Ἂς μὴ χρησιμοποιοῦμε λοιπὸν πρὸς βλάβη μας τὴ φύση μας. «Μᾶς ἔκανε λίγο πιὸ κατώτερους ἀπὸ τοὺς ἀγγέλους»[22], ἐννοῶ ὡς πρὸς τὸ θάνατο, ἀλλὰ καὶ αὐτὸ τὸ λίγο τὸ ἐξαλείψαμε. Τίποτε λοιπὸν δὲν μᾶς ἐμποδίζει, ἂν θέλομε, νὰ γίνομε ἄγγελοι. Ἂς θελήσομε λοιπόν, ἂς θελήσομε, ὥστε, ἀφοῦ ἐξασκήσομε τοὺς ἑαυτούς μας στὴν ἀρετή, νὰ ἀναπέμψομε δόξα στὸν Πατέρα καὶ στὸν Υἱὸ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων Ἀμήν.

ΟΜΙΛΙΑ ΛΓ΄

(Πράξ. 15, 13 - 33)

«Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη Ἰάκωβος, λέγων· Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ. Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν.

1. Ἐπίσκοπος ἦν τῆς ἐν Ἰεροσολύμοις Ἐκκλησίας οὗτος, διὸ καὶ ὕστερος λέγει, καὶ τὸ «Ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα», ἐνταῦθα πληροῦται. Ὅρα δὲ καὶ τούτου τὴν σύνεσιν, ἀπό τε νέων, ἀπό τε παλαιῶν βεβαιουμένου τῶν προφητῶν τὸν λόγον· οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι, καθάπερ Πέτρος, καθάπερ Παῦλος. Καὶ καλῶς οἰκονομεῖται δι' ἐκείνων ταῦτα γενέσθαι, τῶν οὐ μελλόντων ἐπιχωριάζειν τοῖς Ἰεροσολύμοις, τοῦτόν τε τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπεύθυνον, μηδὲ μὴν ἀπεσχίσθαι τῆς γνώμης. Καὶ τί φησιν; «Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο». Τινὲς τοῦτον εἶναί φασι τὸν ὑπὸ τοῦ Λουκᾶ εἰρημένον, ἄλλοι δὲ ἕτερον ὁμώνυμον τούτῳ. Εἴτε δὲ οὗτος, εἴτε ἐκεῖνός ἐστιν, οὐκ ἀκριβολογεῖσθαι χρή, ἀλλὰ μόνον ὡς ἀναγκαῖα δέχεσθαι, ἃ ἐξηγήσατο.

---

1. Πράξ. 15, 13 - 15
2. Λευτ. 19, 15 καὶ Ματθ. 18, 16

ΟΜΙΛΙΑ ΛΓ
(Πράξ. 15, 13 - 33)

«Όταν αὐτοὶ σταμάτησαν νά μιλοῦν πῆρε τὸ λόγο ὁ Ἰάκωβος καὶ εἶπε· Ἄνδρες ἀδελφοί, ἀκοῦστε με. Ὁ Συμεὼν ἐξήγησε πῶς ὁ Θεὸς στὴν ἀρχὴ φρόντισε ν' ἀποκτήσει ἀπὸ τοὺς ἐθνικοὺς ἕνα λαὸ ποὺ νὰ φέρει τὸ ὄνομά του· Καὶ ὡς πρὸς αὐτὸ συμφωνοῦν τὰ λόγια τῶν προφητῶν»[1].

1. Αὐτὸς ἦταν ἐπίσκοπος τῆς ἐκκλησίας Ἱεροσολύμων, γι' αὐτὸ καὶ ὁμιλεῖ τελευταῖος, καὶ ἔτσι πραγματοποιεῖται ἐδῶ τὸ «Μὲ τὴ μαρτυρία δύο ἢ τριῶν μαρτύρων θὰ ἐπιβεβαιωθεῖ ἡ ἀλήθεια κάθε λόγου»[2]. Πρόσεχε δὲ καὶ τὴ σύνεση αὐτοῦ, ποὺ ἐπιβεβαιώνει τὸ λόγο του ἀπὸ τὰ λεγόμενα καὶ τῶν νέων καὶ τῶν παλαιῶν προφητῶν· διότι δὲν εἶχε νὰ παρουσιάσει κάτι πρὸς ἐπιβεβαίωση, ὅπως ἀκριβῶς ὁ Πέτρος καὶ ὅπως ὁ Παῦλος. Καὶ πολὺ σωστὰ ρυθμίζεται ἀπὸ τὴ θεία πρόνοια νὰ γίνουν αὐτὰ ἀπὸ ἐκείνους ποὺ δὲν ἐπρόκειτο νὰ τοὺς συναναστρέφονται στὸ μέλλον, ὥστε αὐτὸς ποὺ ἦταν ὁ δάσκαλός τους νὰ μὴ εἶναι ὑπεύθυνος, οὔτε βέβαια ν' ἀπορρίψει τὴν ἀπόφαση. Καὶ τί λέγει; «Ἄνδρες ἀδελφοί, ἀκοῦστε με. Ὁ Συμεὼν σᾶς ἐξήγησε». Μερικοὶ λένε ὅτι αὐτὸς εἶναι ἐκεῖνος γιὰ τὸν ὁποῖο ὁμιλεῖ ὁ Λουκᾶς, ἄλλοι δὲ λένε ὅτι πρόκειται γιὰ κάποιον ἄλλο συνώνυμο μ' αὐτόν. Εἴτε ὅμως εἶναι αὐτός, εἴτε ἐκεῖνος, δὲν πρέπει ν' ἀκριβολογοῦμε, ἀλλὰ μόνο νὰ δεχόμαστε σὰν ἐπαρκῆ ἐκεῖνα ποὺ ἐξήγησε αὐτός.

«Ἄνδρες», φησίν, «ἀδελφοί». Πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρός, καὶ τελειοτέρα αὕτη ἡ δημηγορία, ὅπου γε καὶ τέλος ἐπιτίθησι τοῖς πράγμασι.

«Καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ. Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν». Ἐπειδὴ ἐκεῖνος ἀπὸ μὲν τοῦ χρόνου δῆλος ἦν, τὸ δὲ ἀξιόπιστον οὐκ εἶχε διὰ τὸ μὴ παλαιὸς εἶναι, ἐπάγει καὶ παλαιὰν προφητείαν, λέγων· «Καθὼς γέγραπται· Μετὰ ταῦτα ἀναστρέψω, καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν, ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει Κύριος, ὁ ποιῶν ταῦτα πάντα». Τί οὖν; ἠγέρθη τὰ Ἱεροσόλυμα, ἀλλ' οὐχὶ κατεσκάφη μᾶλλον; Ἀλλ' οὐ περὶ τούτων αὐτῷ εἴρηται ταῦτα. Καὶ ποίαν, φησί, λέγει ἔγερσιν; Τὴν μετὰ Βαβυλῶνα.

«Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ». Εἶτα τὸ ἀξιόπιστον τοῦ λόγου, ὅτι οὐδὲν καινόν, ἀλλ' ἐξ ἀρχῆς ταῦτα προτετύπωτο. Καὶ τὸ ἀξίωμα πάλιν. «Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἀποστρέφουσιν ἐπὶ τὸν Θεόν, ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος· Μωϋσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν Σάββατον ἀναγινωσκόμενος». Ἐπειδὴ οὐκ ἦσαν ἀκηκοότες τοῦ νόμου, εἰκότως ταῦτα ἐπιτάττει ἀπὸ τοῦ νόμου, ἵνα μὴ δόξῃ ἀκυροῦν αὐτόν. Καὶ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς ἀπὸ τοῦ νόμου ταῦτα ἀκούειν, ἀλλὰ παρ' ἑαυτοῦ, εἰ-

3. Ἀμώς 9, 11 - 12 4. Πράξ. 15, 18
5. Πράξ. 15, 19 - 21

«Ἄνδρες ἀδελφοί», λέγει· Μεγάλη ἡ ἐπιείκεια τοῦ ἄνδρα καὶ εἶναι τελειότερη αὐτὴ ἡ ὁμιλία, τὴ στιγμὴ βέβαια ποὺ θέτει τέρμα στὰ πράγματα.

«Πῶς ὁ Θεὸς φρόντισε στὴν ἀρχὴ ν' ἀποκτήσει ἀπὸ τοὺς ἐθνικοὺς ἕνα λαὸ ποὺ νὰ φέρει τὸ ὄνομά του. Καὶ ὡς πρὸς αὐτὸ συμφωνοῦν τὰ λόγια τῶν προφητῶν». Ἐπειδὴ ἐκεῖνος ἀπὸ μὲν τὸ χρόνο ἦταν φανερός, δὲν εἶχε ὅμως τὸ ἀξιόπιστο ἐπειδὴ δὲν ἦταν παλαιός, προσθέτει καὶ παλαιὰ προφητεία, λέγοντας· «Ὅπως ἔχει γραφεῖ· Μετὰ ἀπὸ ὅλα αὐτὰ θὰ ἐπιστρέψω καὶ θὰ οἰκοδομήσω καὶ πάλι τὴν πεσμένη σκηνὴ τοῦ Δαυΐδ· θὰ οἰκοδομήσω καὶ πάλι τὰ ἐρείπιά της καὶ θὰ τὴν ἀνορθώσω, ὥστε οἱ ὑπόλοιποι ἄνθρωποι νὰ ζητήσουν τὸν Κύριο καθὼς καὶ ὅλοι οἱ ἐθνικοί, ποὺ θὰ ἐπικαλοῦνται τὸ ὄνομά μου, λέγει ὁ Κύριος, ποὺ πραγματοποιεῖ ὅλα αὐτά»[3]. Τί λοιπόν; ἀνοικοδομήθηκαν τὰ Ἱεροσόλυμα; δὲν καταστράφηκαν ἀκόμα περισσότερο; Αὐτὰ δὲν λέχθηκαν ἀπ' αὐτὸν γι' αὐτά. Καὶ ποιά, λέγει, ἀνοικοδόμηση ἐννοεῖ; Τὴν ἀνοικοδόμηση μετὰ ἀπὸ τὴν ἐπιστροφή τους ἀπὸ τὴ Βαβυλώνα.

«Ἀπὸ τὴν ἀρχὴ τοῦ χρόνου εἶναι γνωστὰ στὸ Θεὸ τὰ ἔργα του»[4]. Στὴ συνέχεια ἀναφέρει αὐτὸ ποὺ καθιστᾶ ἀξιόπιστο τὸ λόγο του, ὅτι δηλαδὴ τίποτε δὲν εἶναι καινούργιο, ἀλλ' ἀπὸ τὴν ἀρχὴ αὐτὰ προλέχθηκαν. Καὶ πάλι προβάλλει τὸ ἀξίωμα. «Γι' αὐτὸ ἐγὼ ἔχω τὴ γνώμη νὰ μὴ φέρομε δυσκολίες σ' ἐκείνους ἀπὸ τοὺς ἐθνικοὺς ποὺ ἐπιστρέφουν στὸ Θεό, ἀλλὰ νὰ τοὺς παραγγείλομε νὰ ἀπέχουν ἀπὸ τὰ μολυσμένα εἴδωλα, τὴν πορνεία καὶ τὴ βρώση κρεάτων πνιγμένων ζώων καὶ τὴν πόση τοῦ αἵματος αὐτῶν. Διότι ὁ Μωυσῆς, ἀπὸ τοὺς ἀρχαίους χρόνους ἔχει σὲ κάθε πόλη ἐκείνους ποὺ τὸν κηρύττουν, ἀφοῦ διαβάζεται κάθε Σάββατο στὶς συναγωγές»[5]. Ἐπειδὴ δὲν εἶχαν ἀκούσει τὸ νόμο, πολὺ εὔλογα δίνει αὐτὴ τὴν ἐντολή, γιὰ νὰ μὴ φανεῖ ὅτι καταργεῖ αὐτόν. Καὶ πρόσεχε πῶς δὲν ἀφήνει αὐτοὺς νὰ ἀκούσουν αὐτὰ ἀπὸ τὸ νόμο, ἀλλ'

πών· «Κρίνω ἐγώ», τουτέστιν, ἐξ ἐμαυτοῦ, οὐχὶ παρὰ τοῦ νόμου ἀκούσας. Εἶτα λοιπὸν κοινὸν τὸ δόγμα γίνεται.

«Τότε ἔδοξε τοῖς Ἀποστόλοις καὶ πρεσβυτέροις σὺν ὅλῃ τῇ Ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν, τὸν ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε». Ὅρα αὐτοὺς οὐχ ἁπλῶς ταῦτα νομοθετοῦντας· ὥστε δὲ ἀξιόπιστον γενέσθαι τὸ δόγμα, πέμπουσι τοὺς παρ' αὐτῶν, καὶ ἵνα ἀνύποπτοι ὦσιν οἱ περὶ Παῦλον λοιπόν. Καὶ ὅρα πῶς φορτικῶς ἐκείνους διαβάλλοντες ἐπιστέλλουσιν.

«Οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τῆς κατὰ Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς, λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνειν αὐτοὺς τὰ τέκνα, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλάμεθα». Ἀρκοῦσα αὕτη κατηγορία τῆς ἐκείνων προπετείας, καὶ ἀξία τῆς τῶν Ἀποστόλων ἐπιεικείας, οὐδὲν μακρότερον εἰρηκότων.

«Ἔδοξεν ἡμῖν, γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνδράσι παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ὥστε δεῖξαι ὅτι οὐ τυραννικῶς, ὅτι πᾶσι ταῦτα δοκεῖ, ὅτι μετὰ ἐπισκέψεως ταῦτα γράφουσιν. Ἐκλεξάμενοι, εἶπεν, ἄνδρας ἐξ ἡμῶν.

---

6. Πράξ. 15, 22
7. Πράξ. 15, 23 - 24
8. Πράξ. 15, 25 - 26

ἀπ' αὐτὸν τὸν ἴδιο, λέγοντας· «Κρίνω ἐγώ», δηλαδὴ ἀπὸ μόνος μου, καὶ ὄχι ὅτι τὸ ἄκουσα αὐτὸ ἀπὸ τὸ νόμο. Στὴ συνέχεια πλέον ἡ ἀπόφαση γίνεται κοινή.

«Τότε ἀποφάσισαν οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι μαζὶ μὲ ὅλη τὴν ἐκκλησία νὰ διαλέξουν ἄνδρες ἀπὸ τὸν κύκλο τους καὶ νὰ τοὺς στείλουν στὴν Ἀντιόχεια μαζὶ μὲ τὸν Παῦλο, τὸν Βαρνάβα, τὸν Ἰούδα, ποὺ ἐπονομαζόταν Βαρνάβας, καὶ τὸν Σίλα, ποὺ εἶχαν ἡγετικὴ θέση μεταξὺ τῶν ἀδελφῶν, καὶ ἔγραψαν ἐπιστολὴ ποὺ τὴν ἔστειλαν μὲ αὐτοὺς μὲ τὸ ἑξῆς περιεχόμενο»[6]. Πρόσεχε αὐτοὺς ποὺ δὲν νομοθετοῦν αὐτὰ ἔτσι στὴ τύχη. Μὲ σκοπὸ νὰ γίνει ἀξιόπιστη ἡ ἀπόφαση, στέλνουν ἀνθρώπους ἀπὸ τὸν κύκλο τους καὶ γιὰ νὰ μὴ ὑπάρχουν πλέον ὑπόνοιες στοὺς ἀνθρώπους γύρω ἀπὸ τὸν Παῦλο. Καὶ πρόσεχε πῶς, γράφοντας τὴν ἐπιστολὴ σ' αὐτούς, τοὺς προσάπτουν καὶ βαρειὰ κατηγορία.

«Οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ χαιρετοῦμε τοὺς ἀδελφοὺς τῆς Ἀντιόχειας, τῆς Συρίας καὶ τῆς Κιλικίας ποὺ προέρχονται ἀπὸ τοὺς ἐθνικούς. Ἐπειδὴ ἀκούσαμε ὅτι μερικοὶ ἀπὸ μᾶς ποὺ ἦρθαν σᾶς διατάραξαν καὶ ἀναστάτωσαν τὶς ψυχές σας, λέγοντας ὅτι πρέπει νὰ περιτέμνετε τὰ τέκνα σας καὶ νὰ τηρεῖτε τὸ νόμο, ἐνῶ ἐμεῖς δὲν δώσαμε τέτοια ἐντολή»[7]. Εἶναι ἀρκετὴ αὐτὴ ἡ κατηγορία γιὰ τὴ θρασύτητα ἐκείνων, καὶ ἄξια τῆς ἐπιείκειας τῶν Ἀποστόλων, καθόσον τίποτε περισσότερο δὲν εἶπαν ἐναντίον ἐκείνων.

«Ἀποφασίσαμε ὅλοι μαζὶ νὰ διαλέξομε ἄνδρες καὶ νὰ τοὺς στείλομε σὲ σᾶς, μαζὶ μὲ τοὺς ἀγαπητούς τὸν Βαρνάβα καὶ τὸν Παῦλο, οἱ ὁποῖοι εἶναι ἄνθρωποι ποὺ ἀφιέρωσαν τὴ ζωή τους στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[8]. Αὐτὰ τὰ γράφουν γιὰ νὰ δείξουν ὅτι δὲν τὰ γράφουν μὲ ἐξουσιαστικὸ τρόπο, ὅτι ὅλοι ἔχουν τὴν ἴδια γνώμη, καὶ ὅτι τὰ γράφουν μετὰ ἀπὸ προσεκτικὴ ἐξέταση τοῦ θέματος. Ἀφοῦ διαλέξαμε, εἶπε, ἄνδρες ἀπὸ ἐμᾶς.

Εἶτα, ἵνα μὴ δόξῃ διαβολὴ εἶναι Παύλου καὶ Βαρνάβα τὸ ἐκείνους ἀποσταλῆναι, ὅρα τὰ ἐγκώμια αὐτῶν. «Ἀνθρώποις», φησί, «παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. Ἔδοξε γὰρ τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν» (ἄρα οὐδὲν ἀνθρώπινον, εἰ Πνεύματι ταῦτα δοκεῖ), «μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος» (πάλιν βάρος τὸν νόμον καλεῖ· εἶτα καὶ ὑπὲρ αὐτῶν τούτων ἀπολογεῖται), «πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων καὶ πνικτοῦ καὶ πορνείας καὶ αἵματος, ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ πράξετε». Ταῦτα ἡ Καινὴ οὐ διετάττετο (οὐδαμοῦ γὰρ περὶ τούτων διελέχθη ὁ Χριστός), ἀλλ' ἀπὸ τοῦ νόμου ταῦτα λαμβάνουσι. «Καὶ πνικτοῦ», φησίν. Ἐνταῦθα τὸν φόνον ἀνείργει.

«Οἱ μὲν οὖν ἀπολυθέντες ἦλθον εἰς Ἀντιόχειαν, καί, συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν. Ἀναγνόντες δέ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει».

Εἶτα, δηλῶν ὅτι κἀκεῖνοι αὐτοὺς παρεκάλεσαν, ἐπήγαγεν· «Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς, καὶ ἐπεστήριξαν. Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ὑπὸ τῶν ἀδελφῶν πρὸς τοὺς Ἀποστόλους». Οὐκέτι στάσεις καὶ μάχαι· διὸ καὶ βεβαιώσαντες αὐτοὺς ἀπῆλθον μετ' εἰρήνης· πρὸς γὰρ Παῦλον φιλονεικότερον διέκειντο· καὶ λοιπὸν Παῦ-

------

9. Πράξ. 15, 26 - 29
10. Πράξ. 15, 30 - 31
11. Πράξ. 15, 32 - 33

Στὴ συνέχεια, γιὰ νὰ μὴ φανεῖ σὰν κατηγορία ἐναντίον τοῦ Παύλου καὶ τοῦ Βαρνάβα τὸ ὅτι στέλλονται ἐκεῖνοι, πρόσεχε τὰ ἐγκώμια αὐτῶν. «Ἄνθρωποι», λέγει, «ποὺ ἀφιέρωσαν τὴ ζωή τους στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Στείλαμε λοιπὸν τὸν Ἰούδα καὶ τὸν Σίλα, οἱ ὁποῖοι καὶ προφορικὰ θὰ σᾶς ποῦν τὰ ἴδια. Ἀποφασίσθηκε δηλαδὴ ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ ἐμᾶς» (ἑπομένως δὲν εἶναι τίποτε ἀνθρώπινο ἐφόσον αὐτὰ ἀποφασίζονται ἀπὸ τὸ ἅγιο Πνεῦμα), «νὰ μὴ σᾶς ἐπιβάλλεται κανένα ἐπὶ πλέον βάρος» (πάλι ὀνομάζει τὸ νόμο βάρος καὶ στὴ συνέχεια ἀπολογεῖται καὶ γι' αὐτοὺς τοὺς ἰδίους), «ἐκτὸς ἀπὸ αὐτὰ τὰ ἀναγκαῖα, τὸ ν' ἀπέχετε δηλαδὴ ἀπὸ τὰ εἰδωλόθυτα, ἀπὸ τὸ κρέας καὶ τὸ αἷμα τῶν πνικτῶν ζώων, καὶ τὴν πορνεία, ἀπὸ τὰ ὁποῖα ἂν θὰ προφυλάξετε τοὺς ἑαυτούς σας θὰ ἐνεργήσετε πολὺ σωστά»[9]. Αὐτὲς τὶς ἐντολὲς δὲν τὶς ἔδωσε ἡ Καινὴ Διαθήκη (διότι πουθενὰ ὁ Χριστὸς δὲν μίλησε γι' αὐτά), ἀλλὰ τὰ παίρνουν ἀπὸ τὸ νόμο. «Καὶ ἀπὸ πνικτό», λέγει. Μὲ αὐτὰ ἔθετε ἐμπόδιο στὸ φόνο.

«Αὐτοὶ λοιπὸν ἀφοῦ ἔφυγαν ἦρθαν στὴν Ἀντιόχεια, καί, ἀφοῦ συγκέντρωσαν τὸ πλῆθος τῶν ἀδελφῶν, τοὺς παρέδωσαν τὴν ἐπιστολή. Ὅταν τὴν διάβασαν, χάρηκαν ἐξ αἰτίας τῶν ἐνθαρρυντικῶν λόγων της»[10].

Ἔπειτα, γιὰ νὰ δείξει ὅτι καὶ ἐκεῖνοι τοὺς παρηγόρησαν, πρόσθεσε· «Ὁ Ἰούδας καὶ ὁ Σίλας, ποὺ ἦταν καὶ αὐτοὶ προφῆτες, μὲ μακροὺς λόγους τους τοὺς ἐνθάρρυναν καὶ τοὺς στήριξαν στὴν πίστη. Ἀφοῦ δὲ ἔμειναν ἐκεῖ γιὰ ἕνα ὁρισμένο διάστημα, ἔφυγαν, συνοδευόμενοι ἀπὸ τὶς εὐχὲς τῶν ἀδελφῶν, γιὰ νὰ ἐπιστρέψουν στοὺς Ἀποστόλους»[11]. Δὲν συμβαίνουν πλέον ἀντιρρήσεις καὶ φιλονεικίες, καί, ἀφοῦ τοὺς σταθεροποίησαν στὴν πίστη, ἀναχώρησαν μὲ εἰρήνη· διότι πρὸς τὸν Παῦλο ἡ συμπεριφορά τους ἦταν περισσότερο φιλόνεικη. Ἔτσι ὁ Παῦ-

λος διδάσκει. Οὕτως οὐδεὶς τῦφος ἦν ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ πολλὴ ἡ εὐταξία. Καὶ ὅρα, μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει· Ἰάκωβος ἀνέχεται, καὶ οὐκ ἀποπηδᾷ· ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος. Οὐδὲν Ἰωάννης ἐνταῦθα, οὐδὲν οἱ ἄλλοι Ἀπόστολοι φθέγγονται, ἀλλὰ σιγῶσι, καὶ οὐκ ἀγανακτοῦσιν· οὕτω καθαρὰ δόξης ἦν αὐτῶν ἡ ψυχή. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

2. «Μετὰ δὲ τὸ σιγῆσαι αὐτούς», φησίν, «ἀπεκρίθη Ἰάκωβος, λέγων· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ἐπεσκέψατο ὁ Θεός»· ἐξ ἀρχῆς σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο, οὗτος δὲ ἡμερώτερον. Οὕτως ἀεὶ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ ποιεῖν, τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν, αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων διαλέγεσθαι. Καλῶς εἶπεν, «Συμεὼν ἐξηγήσατο», ὡς κἀκεῖνον ἑτέρων λέγειν γνώμην. Ὅρα πῶς δείκνυσι παλαιὸν ὂν τοῦτο. «Λαβεῖν ἐξ ἐθνῶν λαόν», φησί, «τῷ ὀνόματι αὐτοῦ». Οὐχ ἁπλῶς 'ἐξελέξατο', ἀλλὰ «τῷ ὀνόματι αὐτοῦ»· τουτέστι, 'τῇ δόξῃ αὐτοῦ'. Οὐκ αἰσχύνεται τὸ ὄνομα αὐτοῦ τῇ προλήψει τῶν ἐθνῶν δόξαν καλῶν· τοῦτο γὰρ μείζων δόξα. Ἐνταῦθά τι καὶ μέγα αἰνίττεται. Ποῖον τοῦτο; Ὅτι, φησί, πρὸ πάντων οὗτοι.

«Μετὰ ταῦτα ἀναστρέψω, καὶ ἀνοικοδομήσω», φησί, «τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν». Εἴ τις ἀκριβῶς σκοποίη, νῦν τὴν βασιλείαν ἱσταμένην τοῦ Δαυὶδ εὕροι· τοῦ ἐκγόνου γὰρ αὐτοῦ βασιλεύοντος, πανταχοῦ ἕστηκεν αὕτη. Τί γὰρ ὄφελος τῶν οἰκη-

------

12. Πράξ. 15, 13 - 14
13. Πράξ. 15, 16

λος συνεχίζει πλέον τή διδασκαλία. Καμιά άλαζονεία δέν ύπῆρχε στήν Ἐκκλησία, ἀλλ' ἦταν μεγάλη ἡ εὐταξία. Καί πρόσεχε ὅτι μετά τόν Πέτρο ὁμιλεῖ ὁ Παῦλος καί κανένας δέν προβάλλει ἀντίρρηση· ὁ Ἰάκωβος δείχνει ἀνοχή καί δέν διαφωνεῖ· διότι σ' ἐκεῖνον εἶχε ἀνατεθεῖ ἡ ἐξουσία. Τίποτε δέν λέγει ἐδῶ ὁ Ἰωάννης, τίποτε οἱ ἄλλοι Ἀπόστολοι, ἀλλά σιωποῦν καί δέν ἀγανακτοῦν· τόσο πολύ καθαρή ἦταν ἡ ψυχή τους ἀπό φιλοδοξία. Ἀλλ' ἄς ἐξετάσομε ἀπό τήν ἀρχή τά ὅσα ἔχουν λεχθεῖ.

2. «Ὅταν αὐτοί», λέγει, «σταμάτησαν νά ὁμιλοῦν ἔλαβε τό λόγο ὁ Ἰάκωβος καί εἶπε· Ὁ Συμεών ἐξήγησε πῶς ὁ Θεός στήν ἀρχή θέλησε»[12]· στήν ἀρχή ὁ μέν Πέτρος μιλοῦσε περισσότερο αὐστηρά, ἐνῶ αὐτός πιό ἤπια. Ἔτσι πρέπει νά ἐνεργεῖ ἐκεῖνος πού κατέχει μεγάλη ἐξουσία, τά μέν βαριά καί δυσάρεστα σέ ἄλλους νά τά παραχωρεῖ, ὁ ἴδιος δέ νά ὁμιλεῖ μέ μεγαλύτερη ἠπιότητα. Σωστά εἶπε, «Ὁ Συμεών ἐξήγησε», σάν δηλαδή καί ἐκεῖνος νά διατύπωνε τή γνώμη ἄλλων. Πρόσεχε πῶς δείχνει ὅτι αὐτή ἡ ἀπόφαση εἶναι παλαιά. «Νά ἀποκτήσει», λέγει, «ἀπό τούς ἐθνικούς ἕναν λαό πού νά φέρει τό ὄνομά του». Δέν τούς διάλεξε ἁπλῶς, ἀλλά μέ σκοπό «Νά φέρουν τό ὄνομά του»· δηλαδή 'γιά νά τόν δοξάζουν'. Δέν ντρέπεται δηλαδή τό ὄνομά του, λόγω τῆς παρόμοιας ἀντιλήψεως τῶν ἐθνικῶν, νά τό ὀνομάζει δόξα· διότι αὐτό εἶναι μεγαλύτερη δόξα. Ἐδῶ ὑπαινίσσεται καί κάτι τό σπουδαῖο. Ποιό εἶναι αὐτό; Ὅτι δηλαδή, λέγει, αὐτοί πρό πάντων εἶναι ἐκεῖνοι πού θά τόν δοξάσουν.

«Μετά ἀπό ὅλα αὐτά θά ἐπιστρέψω», λέγει, «καί θ' ἀνοικοδομήσω τήν πεσμένη σκηνή τοῦ Δαυίδ»[13]. Ἐάν κάποιος ἤθελε ἐξετάσει μέ προσοχή, θά βρεῖ νά εἶναι ἐγκαθιδρυμένη τώρα ἡ βασιλεία τοῦ Δαυίδ· διότι αὐτή εἶναι παντοῦ ἐγκαθιδρυμένη, ἐφόσον βασιλεύει ὁ ἀπόγονος αὐτοῦ. Διότι ποιό τό ὄφελος ἀπό τά οἰκοδομήματα καί τήν

μάτων καὶ τῆς πόλεως, τῶν ὑπακουόντων οὐκ ὄντων; ποῖον δὲ βλάβος ἐκ τῆς καθαιρέσεως τῆς πόλεως, πάντων καὶ τὰς ψυχὰς βουλομένων ἐπιδοῦναι; Ὥστε οὐ μόνον ἕστηκεν, ἀλλὰ καὶ λαμπροτέρα πάντων γέγονε· πανταχοῦ γὰρ νῦν τῆς οἰκουμένης ᾄδεται. Ἐκεῖνο ἐξέβη· οὐκοῦν καὶ τοῦτο ἐκβῆναι δεῖ. Εἰπὼν δέ, «Καὶ ἀνοικοδομήσω», ἐπάγει καὶ τὴν αἰτίαν τοῦ διὰ τί, λέγων· «Ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον». Εἰ τοίνυν διὰ τοῦτο ἐξανέστη ἡ πόλις διὰ τὸν ἐξ αὐτῶν, δῆλον ὅτι τῆς οἰκοδομῆς τῆς πόλεως αἴτιον γέγονε τὸ τὰ ἔθνη κληθῆναι. Τίνες εἰσὶν «οἱ κατάλοιποι»; Οἱ ὑπολειπόμενοι τότε. Ἀλλ' ὅρα αὐτὸν καὶ τὴν τάξιν φυλάττοντα, καὶ δευτέρους αὐτοὺς εἰσάγοντα.

«Λέγει Κύριος, ὁ ποιῶν», φησί, «ταῦτα πάντα». Οὐ λέγει μόνον, ἀλλὰ καὶ ποιεῖ· ἄρα Θεοῦ ἔργον ἡ κλῆσις τῶν ἐθνῶν. Ἄλλο ἦν τὸ ζητούμενον, ὅπερ σαφέστερον καὶ Πέτρος ἔλεγεν· οὐ δεῖ αὐτοὺς περιτέμνεσθε. Τί τοίνυν ταῦτα δημηγορεῖς; Οὐ γὰρ δὴ τοῦτο ἔλεγον, ὅτι οὐ δεῖ αὐτοὺς δέχεσθαι πιστεύοντας, ἀλλ' ὅτι μετὰ νόμου. Καὶ τοῦτο ὁ Πέτρος καλῶς ἐδημηγόρησεν· ἀλλά, ἐπειδὴ τοῦτο ἐθορύβει μάλιστα πάντων τοὺς ἀκροατάς, καὶ τοῦτο θεραπεύει πάλιν. Καὶ ὅρα, ὅπερ ἐχρῆν νομοθετηθῆναι, ὅτι οὐ δεῖ φυλάττειν τὸν νόμον, ὁ Πέτρος εἰσήγαγε· τὸ δὲ ἡμέτερον, καὶ πάλαι παραδεχθέν, τοῦτο οὗτός φησι, καὶ ἐνδιατρίβει ἐκείνῳ, ὑπὲρ οὗ οὐδὲν γέγραπται, ἵνα, αὐτῶν θεραπεύσας τὴν διάνοιαν τῷ συγκεχωρημένῳ, εὐκαίρως εἰσαγάγῃ καὶ τοῦτο.

------

14. Πράξ. 15, 17

πόλη, ὅταν δὲν ὑπάρχουν οἱ ὑπήκοοι; ποιὰ δὲ ἡ βλάβη ἀπὸ τὴν καταστροφὴ τῆς πόλεως, ὅταν ὅλοι θέλουν καὶ τὶς ψυχές τους νὰ δώσουν; Ἄρα λοιπὸν ὄχι μόνο εἶναι ἐγκαθιδρυμένη, ἀλλὰ καὶ ἔχει γίνει λαμπρότερη ἀπὸ ὅλες˙ διότι σήμερα ἐγκωμιάζεται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Ἐκεῖνο ἐκπληρώθηκε˙ συνεπῶς πρέπει καὶ αὐτὸ νὰ ἐκπληρωθεῖ. Ἀφοῦ δὲ εἶπε, «Καὶ θ' ἀνοικοδομήσω αὐτήν», προσθέτει καὶ τὴν αἰτία γιὰ τὴν ὁποία θὰ τὸ κάνει αὐτό, λέγοντας, «Ὥστε καὶ οἱ ὑπόλοιποι ἄνθρωποι νὰ ζητήσουν τὸν Κύριο»[14]. Ἐὰν λοιπὸν γι' αὐτὸ ἡ πόλη ἀνοικοδομήθηκε, γι' αὐτὸν ποὺ προῆλθε ἀπ' αὐτούς, εἶναι φανερὸ ὅτι αἰτία τῆς πόλεως ὑπῆρξε τὸ νὰ κληθοῦν οἱ ἐθνικοὶ νὰ συμμετάσχουν σ' αὐτήν. Ποιοὶ εἶναι «οἱ κατάλοιποι»; Ἐκεῖνοι ποὺ εἶχαν ἀπομείνει τότε. Ἀλλὰ πρόσεχε αὐτὸν ποὺ καὶ τὴν τάξη φυλάσσει καὶ παρουσιάζει αὐτοὺς δεύτερους.

«Λέγει ὁ Κύριος, ποὺ πραγματοποιεῖ», λέγει, «ὅλα αὐτά»[14]· Δὲν λέγει μόνο, ἀλλὰ καὶ πραγματοποιεῖ αὐτά. Ἐπομένως ἔργο τοῦ Θεοῦ εἶναι ἡ κλήση τῶν ἐθνῶν. Ὅμως ἄλλο ἦταν τὸ ἐπιδιωκόμενο, γιὰ τὸ ὁποῖο ἀκριβῶς ἔλεγε σαφέστερα καὶ ὁ Πέτρος· ὅτι δηλαδὴ δὲν πρέπει αὐτοὶ νὰ περιτέμνονται. Γιατί λοιπὸν τὰ λέγει αὐτά; Δὲν ἔλεγαν βέβαια αὐτό, ὅτι δὲν πρέπει νὰ δέχονται τοὺς ἐθνικοὺς ποὺ πιστεύουν, ἀλλὰ νὰ τοὺς δέχονται ἀφοῦ κάνουν ἐκεῖνα ποὺ πρόσταζε ὁ νόμος. Καὶ αὐτὸ ὁ Πέτρος τὸ διακήρυξε πολὺ σωστά˙ ἀλλ' ἐπειδὴ αὐτὸ ἔβαλε σὲ ἀνησυχία τοὺς ἀκροατὲς περισσότερο ἀπὸ ὅλα, καὶ αὐτὸ τὸ θεραπεύει πάλι. Καὶ πρόσεχε, ἐκεῖνο ἀκριβῶς ποὺ ἔπρεπε νὰ νομοθετηθεῖ, τὸ ὅτι δηλαδὴ δὲν πρέπει τὰ φυλάττουν τὸ νόμο, αὐτὸ τὸ διακήρυξε ὁ Πέτρος˙ τὸ δὲ δικό μας, ποὺ εἶχε γίνει ἀποδεκτὸ καὶ παλαιότερα, αὐτὸ λέγει καὶ αὐτός, καὶ ἐπιμένει σ' ἐκεῖνο, γιὰ τὸ ὁποῖο τίποτε δὲν ἔχει γραφεῖ, ὥστε, ἀφοῦ θεραπεύσει τὴ σκέψη αὐτῶν μὲ ἐκεῖνο ποὺ εἶχε γίνει ἀποδεκτό, νὰ καθιερώσει μὲ τρόπο κατάλληλο καὶ αὐτό.

«Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι»· τουτέστι, 'μὴ ἀνατρέπειν'· εἰ γὰρ ὁ Θεὸς ἐκάλεσεν, αὗται δὲ αἱ παρατηρήσεις ἀνατρέπουσι, τῷ Θεῷ πολεμοῦμεν. Καὶ καλῶς εἶπε, «Τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι», δηλῶν καὶ τοῦ Θεοῦ τὴν ἄνωθεν περὶ αὐτοὺς οἰκονομίαν, καὶ τὸ τούτων καταπειθὲς καὶ ἕτοιμον εἰς τὴν κλῆσιν. Τί ἐστι, «Κρίνω ἐγώ»; 'Αντὶ τοῦ 'μετ' ἐξουσίας λέγω τοῦτο εἶναι'.

«'Αλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι», φησίν, «ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος»· αὗται γὰρ εἰ καὶ σωματικαί, ἀλλ' ἀναγκαῖαι φυλάττεσθαι, ἐπειδὴ μεγάλα εἰργάζοντο κακά. Καὶ ἵνα μή τις ἀνθυπενέγκῃ, 'Διὰ τί μὴ καὶ 'Ιουδαίοις τὰ αὐτὰ ἐπιστέλλομεν'; ἐπήγαγε, λέγων· «Μωϋσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει»· τουτέστι, Μωϋσῆς αὐτοῖς διαλέγεται συνεχῶς'· τοῦτο γάρ ἐστι τὸ «κατὰ πᾶν Σάββατον ἀναγινωσκόμενος»· "Ορα πόση ἡ συγκατάβασις. "Ενθα οὐδὲν ἔβλαπτεν, ἐπέστησεν αὐτοῖς διδάσκαλον, καὶ ἐχαρίσατο χάριν, οὐδὲν ἐμποδίζουσα, ἐπιτρέψας 'Ιουδαίοις ἀκούειν αὐτοῦ κατὰ πάντα, καὶ ἀπάγων τοὺς ἐξ ἐθνῶν· εἶτα δι' ὧν ἔδοξεν αὐτὸν τιμᾶν, καὶ ἐφιστάναι τοῖς ἑαυτοῦ, διὰ τούτων ἀπήγαγε τὰ ἔθνη ἐξ αὐτοῦ. Διὰ τί οὖν μὴ παρ' αὐτοῦ μανθάνουσι; Διὰ τὴν οἰκείαν ἀπείθειαν. 'Εντεῦθεν δείκνυσιν ὅτι καὶ τούτους οὐδὲν πλέον δεῖ φυλάττειν. Εἰ δὲ οὐκ ἐπιστέλλομεν,

---

15. Πράξ. 15, 19
16. Πράξ. 15, 20
17. Πράξ. 15, 21

«Γι' αὐτὸ ἔχω τὴ γνώμη νὰ μὴ προβάλλομε δυσκολίες σ' ἐκείνους ἀπὸ τοὺς ἐθνικοὺς ποὺ ἐπιστρέφουν στὸ Θεό»[15]· δηλαδὴ νὰ μὴ προβάλλομε ἐμπόδια· διότι, ἐὰν ὁ Θεὸς τοὺς κάλεσε, αὐτὲς δὲ οἱ ἀντιρρήσεις ἐμποδίζουν τὴν κλήση, τότε πολεμοῦμε τὸ Θεό. Καὶ καλὰ εἶπε, «ἐκείνους ἀπὸ τοὺς Ἐθνικοὺς ποὺ ἐπιστρέψουν στὸ Θεό», γιὰ νὰ δείξει καὶ τοῦ Θεοῦ τὴν οὐράνια πρὸς αὐτοὺς πρόνοιά του, καὶ τὴν πλήρη πίστη καὶ προθυμία αὐτῶν στὴν κλήση. Τί σημαίνει, «κρίνω ἐγώ»; Λέγεται ἀντὶ τοῦ 'Ἔχω τὴ γνώμη ὅτι αὐτὸ εἶναι κάτι ποὺ γίνεται μὲ ἐξουσία'.

«Ἀλλὰ νὰ τοὺς στείλομε», λέγει, «ἐπιστολὴ γράφοντάς τους ν' ἀπέχουν ἀπὸ τὸ μολυσμὸ τῶν εἰδώλων, τὴν πορνεία καὶ ἀπὸ τὸ κρέας καὶ τὸ αἷμα τῶν πνιγμένων ζώων»[16]· διότι αὐτὰ τὰ ἁμαρτήματα, ἂν καὶ ἦταν σωματικά, ὅμως ἔπρεπε νὰ προφυλάγονται, ἐπειδὴ προξενοῦσαν μεγάλα κακά. Καὶ γιὰ νὰ μὴ προβάλει κάποιος τὸ ἐρώτημα, 'Γιατί δὲν γράφομε τὰ ἴδια καὶ στοὺς Ἰουδαίους;' πρόσθεσε καὶ εἶπε· «Διότι ὁ Μωϋσῆς ἀπὸ τοὺς ἀρχαίους χρόνους ἔχει σὲ κάθε πόλη ἐκείνους ποὺ τὸν κηρύττουν»[17]· δηλαδὴ 'ὁ Μωυσῆς ὁμιλεῖ συνέχεια σ' αὐτούς'· διότι αὐτὸ σημαίνει τὸ «Ἀφοῦ κάθε Σάββατο διαβάζεται στὶς συναγωγές»[17]. Πρόσεχε πόση εἶναι ἡ συγκατάβαση ποὺ δείχνει. Ἐκεῖ ποὺ δὲν ὑπῆρχε καμία βλάβη, παρουσίασε σ' αὐτοὺς δάσκαλο καὶ τοὺς ἔκανε τὸ χατῆρι μὲ κάτι ποὺ δὲν ἐμπόδιζε καθόλου, καθόσον ἐπέτρεψε στοὺς Ἰουδαίους ν' ἀκοῦν αὐτὸν ἐξ ὁλοκλήρου, καὶ ἀπομάκρυνε ἀπ' αὐτὸν τοὺς πιστοὺς καὶ προέρχονταν ἀπὸ τοὺς Ἐθνικούς· ἔπειτα, μὲ ἐκεῖνα ποὺ φάνηκε ὅτι τιμᾷ αὐτὸν καὶ ἐπιβάλλει στοὺς δικούς του, μὲ αὐτὰ ἀπομάκρυνε τοὺς ἐξ ἐθνῶν πιστοὺς ἀπ' αὐτόν. Καὶ γιατί λοιπὸν νὰ μὴ διδάσκονται ἀπ' αὐτόν; Ἐξ αἰτίας τῆς ἀνυπακοῆς τους. Ἀπὸ ἐδῶ δείχνει ὅτι καὶ αὐτοὶ τίποτε περισσότερο δὲν πρέπει νὰ φυλάσσουν. Ἐὰν δὲ δὲν γράφομε πρὸς αὐτούς, τὸ κάνομε ὄχι ἐπειδὴ αὐτοὶ

οὐχ ὡς ὀφειλόντων αὐτῶν πλέον τι φυλάττειν, ἀλλ' ὡς ἐχόντων τὸν λέγοντα.

Καὶ οὐκ εἶπε, 'Μὴ σκανδαλίζειν αὐτοὺς μηδὲ καταστρέφειν', ὅπερ Παῦλος λέγει Γαλάταις, ἀλλὰ «μὴ παρενοχλεῖν», ὅπερ οὐδὲν δείκνυσιν ὂν τὸ κατόρθωμα, ἀλλ' ἢ μόνον ἐνόχλησιν. Οὕτως ἐξέλυσε τὸ πᾶν. Καὶ δοκεῖ μὲν καὶ τὸν νόμον τηρεῖν τῷ ἐξ αὐτοῦ ταῦτα λαβεῖν, ἔλυσε δὲ αὐτὸν τῷ μόνα λαβεῖν. Καίτοι γε πολλάκις αὐτοῖς ὑπὲρ τούτων διελέχθη, ἀλλά, ἵνα δόξῃ, καὶ τὸν νόμον τιμᾶν, καὶ ταῦτα οὐχ ὡς ἀπὸ Μωϋσέως λέγων, ἀλλ' ὡς ἀπὸ τῶν Ἀποστόλων, καὶ ἵνα πολλὰς ποιήσῃ τὰς ἐντολάς, τὴν μίαν διεῖλε. Τοῦτο μάλιστα αὐτοὺς ἀνέπαυσεν. Οἰκονομικῶς δὲ γέγονε καὶ ἡ ἀντιλογία, ἵνα μετὰ τὴν ἀντιλογίαν βεβαιότερον ᾖ τὸ δόγμα.

3. «Τότε ἔδοξε τοῖς Ἀποστόλοις», φησίν, «ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς πέμψαι». Οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς ἡγουμένους πέμπουσιν ἐκλεξάμενοι. «Τοῖς κατὰ Ἀντιόχειαν», φησί, «καὶ Συρίαν καὶ Κιλικίαν», ἔνθα τὸ νόσημα ἐτέχθη. Ὅρα μηδὲν φορτικὸν κατ' ἐκείνων λέγοντας, ἀλλ' εἰς ἓν ὁρῶντας μόνον, ὥστε ἀνατρέψαι τὸ γεγενημένον· τοῦτο γὰρ καὶ τοὺς ἐκεῖ στασιάζοντας ὁμολογῆσαι ἐποίει. Οὐκ εἶπον ὅτι οἱ ἀπατεῶνες, οἱ λυμεῶνες, καὶ ὅσα τοιαῦτα· καίτοι, ἔνθα ἐχρῆν, ποιεῖ αὐτὸ Παῦλος, ὡς, ὅταν λέγῃ· «Ὦ πλήρης παντὸς δόλου»· ἐνταῦθα δὲ κατορθωθέντος, οὐκ ἔτι χρεία ἦν.

Καὶ ὅρα, οὐ τιθέασιν ὅτι τινὲς ἐξ ἡμῶν ἐκέλευ-

------

18. Πρβλ. Γαλ. 4,17
19. Πράξ. 15, 22 - 23
20. Πράξ. 13, 10

ὀφείλουν νὰ φυλάσσουν κάτι τὸ ἐπὶ πλέον, ἀλλ' ἐπειδὴ ἔχουν τὸ δάσκαλο.

Καὶ δὲν εἶπε 'Νὰ μὴ σκανδαλίζομε αὐτούς, οὔτε νὰ τοὺς βλάπτομε', πράγμα ποὺ λέγει ὁ Παῦλος στοὺς Γαλάτες[18], ἀλλὰ «Νὰ μὴ προβάλλομε σ' αὐτοὺς δυσκολίες», πράγμα ποὺ δείχνει ὅτι δὲν εἶναι τίποτε σπουδαῖο τὸ κατόρθωμα, παρὰ μόνο ἐνόχλησις. Μὲ τὸν τρόπο αὐτὸ τακτοποίησε τὸ πᾶν. Καὶ φαίνεται μὲν ὅτι καὶ τὸ νόμο τηρεῖ, μὲ τὸ ὅτι ἔλαβε αὐτὰ ἀπ' αὐτόν, κατάργησε ὅμως αὐτὸν μὲ τὸ ὅτι ἔλαβε μόνο αὐτά. Ἂν καὶ βέβαια πολλὲς φορὲς μίλησε σ' αὐτοὺς γι' αὐτά, ὅμως, γιὰ νὰ μὴ φανεῖ ὅτι καὶ τὸ νόμο τιμᾶ, καὶ ὅτι αὐτὰ τὰ λέγει, ὄχι ἀπὸ τὸν Μωυσῆ, ἀλλ' ἀπὸ τοὺς Ἀποστόλους, καὶ ἀκόμα γιὰ νὰ κάνει πολλὲς τὶς ἐντολές, διαίρεσε τὴ μία. Αὐτὸ πρὸ πάντων καθησύχασε αὐτούς· Καὶ ἡ ἀντιλογία δὲν συνέβηκε κατ' οἰκονομία, ὥστε, μετὰ τὴν ἀντιλογία, νὰ γίνει σταθερότερο τὸ δόγμα.

3. «Τότε ἀποφάσισαν», λέγει, «οἱ Ἀπόστολοι νὰ στείλουν ἄνδρες ποὺ κατεῖχαν ἡγετικὴ θέση μεταξὺ τῶν ἀδελφῶν»[19]. Ὄχι τοὺς τυχόντες, ἀλλὰ στέλνουν, ἀφοῦ διάλεξαν, ἐκείνους ποὺ κατεῖχαν ἡγετικὴ θέση. «Στοὺς ἀδελφούς», λέγει, τῆς Ἀντιόχειας, τῆς Συρίας καὶ τῆς Κιλικίας»[19], ὅπου πρωτοεμφανίσθηκε τὸ νόσημα. Πρόσεχε ποὺ δὲν λένε τίποτε τὸ δυσάρεστο ἐναντίον ἐκείνων, ἀλλὰ σ' ἕνα μόνο ἀποβλέπουν, ὥστε νὰ ἐξαλείψουν αὐτὸ ποὺ συνέβηκε, διότι αὐτὸ ἔκαμνε καὶ ἐκείνους ποὺ διαφωνοῦσαν ἐκεῖ νὰ τὸ ἀποδεχθοῦν. Δὲν εἶπε ὅτι οἱ ἀπατεῶνες, οἱ καταστροφεῖς, καὶ ὅλα τὰ παρόμοια· ἂν καὶ βέβαια ἐκεῖ ποὺ ἔπρεπε, τὸ κάμνει αὐτὸ ὁ Παῦλος, ὅπως ὅταν λέγει· «Σὺ ποὺ εἶσαι γεμάτος ἀπὸ κάθε δολιότητα»[20]· ἐδῶ ὅμως ἐπειδὴ κατορθώθηκε ἡ ἐξομάλυνση τῆς καταστάσεως, δὲν χρειαζόταν πλέον αὐτό.

Καὶ πρόσεχε, δὲν λένε στὴν ἐπιστολὴ ὅτι μερικοὶ ἀπὸ

σαν ὑμᾶς τὸν νόμον τηρεῖν, ἀλλ' «ἐτάραξαν ὑμᾶς, λόγοις ἀνασκευάζοντες». Οὐδὲν κυριώτερον τῆς λέξεως· οὐδεὶς οὕτως εἶπε. Τὰς ἤδη βεβαιωθείσας ψυχάς, φησίν, ἀνασκευάζοντες, καθάπερ ἐπὶ οἰκοδομῆς τὰ ὑπ' ἐκείνων γεγενημένα τιθέντες.

«Οἷς», φησίν, «οὐ διεστειλάμεθα». Ἔδοξεν οὖν ἡμῖν, γενομένοις ὁμοθυμαδὸν σὺν τοῖς ἀγαπητοῖς». Εἰ ἀγαπητοί, οὐ καταφρονήσουσιν αὐτῶν· εἰ παρέδωκαν τὰς ψυχάς, καὶ αὐτοὶ ἀξιόπιστοί εἰσιν.

«Ἀπεστάλκαμεν οὖν», φησίν, «Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά». Ἔδει γὰρ μὴ τὴν ἐπιστολὴν παρεῖναι μόνον, ἵνα μὴ λέγωσιν ὅτι συνήρπασαν, ὅτι ἄλλα ἀντ' ἄλλων εἶπαν. Τὸ ἐγκώμιον τὸ περὶ Παῦλον ἐνέφραξεν αὐτῶν τὰ στόματα· διὰ γὰρ τοῦτο οὔτε Παῦλος ἔρχεται μόνον, οὔτε Βαρνάβας, ἀλλὰ καὶ ἄλλοι ἀπὸ τῆς Ἐκκλησίας, ἵνα μὴ ὕποπτος ᾖ, ἐπειδὴ αὐτὸς ἀντελαμβάνετο τοῦ δόγματος, οὔτε οἱ ἀπὸ Ἱεροσολύμων μόνοι. Δείκνυσι πῶς ἀξιόπιστοί εἰσιν· οὐκ ἐξισοῦντες ἑαυτούς, φησίν· οὐχ οὕτω μαίνονται. Διά τοι τοῦτο καὶ τὸ «ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» προσέθηκε.

Καὶ τίνος ἕνεκεν εἶπεν, «Ἔδοξε τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν», καίτοι ἤρκει εἰπεῖν, «Τῷ ἁγίῳ Πνεύματι»; Τὸ μὲν «τῷ ἁγίῳ Πνεύματι», ἵνα μὴ νομίσωσιν ἀνθρώπινον εἶναι, τὸ δὲ «ἡμῖν», ἵνα διδαχθῶσιν

------

21. Πράξ. 15, 24
22. Πράξ. 15, 25
23. Πράξ. 15, 27
24. Πράξ. 15, 26
25. Πράξ. 15, 28

ἐμᾶς σᾶς ἔδωσαν ἐντολὴ νὰ τηρεῖτε τὸ νόμο, ἀλλὰ «Σᾶς ἀνησύχησαν καὶ σᾶς ἀναστάτωσαν μὲ τὰ λόγια τους»[21]. Τίποτε ἄλλο δὲν ὑπάρχει ἀπὸ τὰ λόγια αὐτὰ ποὺ ν' ἀποδίδει τόσο πολὺ τὴν πραγματικότητα· κανένας δὲν μίλησε ἔτσι. Τὶς ψυχές, λέγει, ποὺ ἤδη στερεώθηκαν στὴν πίστη, τὶς κλονίζουν, παρουσιάζοντας τὰ ὅσα ἔχουν γίνει ἀπὸ ἐκείνους σὰν κάτι παρόμοιο ποὺ συμβαίνει στὴν οἰκοδομή.

«Στοὺς ὁποίους», λέγει, «ἐμεῖς δὲν δώσαμε τέτοια ἐντολή. Ἀποφασίσαμε λοιπὸν ἐμεῖς ὅλοι μαζὶ νὰ στείλομε σ' ἐσᾶς ἄνδρες μαζὶ μὲ τοὺς ἀγαπητούς»[22]. Ἐφόσον εἶναι ἀγαπητοί, δὲν θὰ τοὺς περιφρονήσουν· ἐφόσον ἀφιέρωσαν τὴ ζωή τους στὸ ὄνομα τοῦ Κυρίου, καὶ αὐτοὶ εἶναι ἀξιόπιστοι.

«Στείλαμε λοιπόν», λέγει, «τὸν Ἰούδα καὶ τὸν Σίλα, οἱ ὁποῖοι καὶ προφορικὰ θὰ σᾶς ποῦν τὰ ἴδια»[23]. Ἔπρεπε δηλαδὴ νὰ μὴ λάβουν μόνο τὴν ἐπιστολή, γιὰ νὰ μὴ λένε ὅτι τοὺς ξεγέλασαν, ὅτι ἄλλα τοὺς εἶπαν ἀντὶ ἄλλων. Τὸ ἐγκώμιο τὸ σχετικὸ μὲ τὸν Παῦλο ἔκλεισε τὰ στόματα αὐτῶν· γι' αὐτὸ βέβαια δὲν ἔρχεται μόνο ὁ Παῦλος, οὔτε ὁ Βαρνάβας, ἀλλὰ καὶ ἄλλοι ἀπὸ τὴν Ἐκκλησία, γιὰ νὰ μὴ θεωρηθεῖ ὕποπτος, ἐπειδὴ αὐτὸς ὑποστήριζε τὴν ἀπόφαση αὐτή, οὔτε ἔρχονται μόνοι αὐτοὶ ποὺ προέρχονταν ἀπὸ τὴν ἐκκλησία τῶν Ἱεροσολύμων. Δείχνει πῶς εἶναι ἀξιόπιστοι· δὲν ἐξισώνουν, λέγει, τοὺς ἑαυτούς τους· δὲν διακατέχονται ἀπὸ τόση μανία. Γι' αὐτὸ βέβαια πρόσθεσε καὶ τὸ «Ποὺ εἶναι ἄνθρωποι ποὺ ἀφιέρωσαν τὴ ζωή τους στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[24].

Καὶ γιὰ ποιὸ λόγο εἶπε, «Ἀποφασίσθηκε ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ ἀπὸ ἐμᾶς»[25], ἂν καὶ βέβαια ἦταν ἀρκετὸ τὸ νὰ πεῖ, «Ἀπὸ τὸ ἅγιο Πνεῦμα»; Τὸ μὲν «Ἀπὸ τὸ ἅγιο Πνεῦμα», τὸ εἶπε γιὰ νὰ μὴ νομίσουν ὅτι εἶναι ἀνθρώπινη ἡ ἀπόφαση, τὸ δὲ «καὶ ἀπὸ ἐμᾶς», γιὰ νὰ διδαχθοῦν ὅτι

ὅτι καὶ αὐτοὶ καὶ ἀποδέχονται, καὶ ἐν περιτομῇ ὄντες.

«Μηδὲν πλέον», φησίν, «ἐπιτίθεσθαι βάρος ὑμῖν». Ταῦτα λέγουσιν, ἐπειδὴ πρὸς ἀνθρώπους ἀσθενεῖς ἔτι ὁ λόγος ἦν, καὶ πεφοβημένους αὐτούς· διὰ τοῦτο καὶ τοῦτο πρόσκειται. Δείκνυσι δὲ οὐχὶ συγκαταβάσεως ὄντα τὸν λόγον, οὐδὲ ἐπειδὴ ἐφείδοντο αὐτῶν, οὐδὲ ὡς ἀσθενῶν, ἀλλὰ τοὐναντίον· πολλὴ γὰρ καὶ τῶν διδασκάλων αἰδὼς ἦν· ἐκεῖνο γὰρ περιττὸν βάρος ἦν. Ὅρα βραχεῖαν ἐπιστολὴν οὐδὲν πλέον ἔχουσαν, οὐδὲ κατασκευάς, οὐδὲ συλλογισμούς, ἀλλ' ἐπίταγμα· Πνεύματος γὰρ ἦν νομοθεσία. Ἄνω καὶ κάτω βάρος καλοῦσι.

Καὶ πάλιν «συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν». Μετὰ τὴν ἐπιστολὴν καὶ αὐτοὶ παρακαλοῦσι τῷ λόγῳ· ἔδει γὰρ καὶ τοῦτο, ὥστε πάσης ὑποψίας ἀπαλλαγῆναι. «Καὶ αὐτοί», φησί, «προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς». Τὸ ἀξιόπιστον ἐνταῦθα δείκνυσιν· ἐδύνατο μὲν γὰρ καὶ Παῦλος, ἀλλὰ τούτους ἔδει.

«Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης». Οὐκ ἔτι στάσις, οὐκ ἔτι ἀποστροφή. Ἐνταῦθά μοι δοκεῖ τὴν δεξιὰν αὐτοὺς εἰληφέναι, καθὼς αὐτός φησι· «Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας». Εἶτα λέγει ὅτι «οὐδέν μοι προσανέθεντο»· τὴν γὰρ αὐτοῦ γνώμην ἐκύρωσαν, ἐπῄνεσαν αὐτήν, καὶ ἐθαύμασαν. Δείκνυσιν ὅτι καὶ ἀπὸ ἀνθρωπίνων λογισμῶν τοῦτο δυνατὸν συνιδεῖν, μήτι γε ἀπὸ Πνεύμα-

26. Πράξ. 15, 28
27. Πράξ. 15, 30
28. Πράξ. 15, 32
29. Πράξ. 15, 33
30. Γαλ. 2, 9
31. Γαλ. 2, 7

καὶ αὐτοὶ καὶ ἀποδέχονται τὴν ἀπόφαση, καὶ ἔχουν λάβει τὴν περιτομή.

«Νὰ μὴ σᾶς προστεθεῖ», λέγει, «κανένα βάρος»[26]. Αὐτὰ τὰ λένε, ἐπειδὴ τὰ λόγια αὐτὰ ἀπευθύνονταν πρὸς ἀνθρώπους ποὺ ἦταν ἀκόμα πνευματικὰ ἀδύνατοι, καὶ φοβοῦνταν αὐτούς· γι' αὐτὸ καὶ προστίθεται αὐτό. Δείχνει δὲ ὅτι τὰ λόγια αὐτὰ δὲν λέγονται ἀπὸ συγκατάβαση, οὔτε ἐπειδὴ ἤθελαν νὰ δείξουν εὐσπλαχνία πρὸς αὐτούς, οὔτε ἐπειδὴ ἦταν πνευματικὰ ἀδύνατοι, ἀλλὰ τὸ ἀντίθετο· διότι ἦταν μεγάλος ὁ σεβασμὸς καὶ τῶν δασκάλων· καθόσον ἐκεῖνο ἦταν περιττὸ βάρος. Πρόσεχε σύντομη ἐπιστολή, ποὺ δὲν ἔχει τίποτε τὸ ἐπὶ πλέον, οὔτε δόλιες ὑπονοήσεις, οὔτε συλλογισμούς, ἀλλὰ προσταγή· διότι ἡ νομοθεσία ἦταν τοῦ Πνεύματος. Συνέχεια βάρος τὸ ὀνομάζουν.

Καὶ στὴ συνέχεια «Ἀφοῦ συγκέντρωσαν τὸ πλῆθος τῶν πιστῶν, παρέδωσαν τὴν ἐπιστολή»[27]. Μετὰ ἀπὸ τὴν ἐπιστολὴ καὶ οἱ ἴδιοι τοὺς ἐνθαρρύνουν μὲ τὰ λόγια τους· διότι χρειαζόταν καὶ αὐτό, ὥστε ν' ἀπαλλαγοῦν ἀπὸ κάθε ὑποψία. Διότι, λέγει, «Καὶ αὐτοὶ ποὺ ἦταν προφῆτες ἐνθάρρυναν τοὺς ἀδελφοὺς μὲ πολλὰ λόγια ποὺ τοὺς εἶπαν»[28]. Ἐδῶ δείχνει τὴν ἀξιοπιστία· διότι μποροῦσε μὲν καὶ ὁ Παῦλος νὰ τὸ κάνει αὐτό, ἀλλ' ἔπρεπε αὐτοί.

«Ἀφοῦ δὲ ἔμειναν ἐκεῖ ἕνα χρονικὸ διάστημα, ἀναχώρησαν μὲ εἰρήνη»[29]· Δὲν ὑπάρχει πλέον διαφωνία, δὲν ὑπάρχει πλέον ἀποστροφή. Ἐδῶ μοῦ φαίνεται ὅτι αὐτοὶ ἔπιασαν τὸ δεξί τους χέρι, καθὼς καὶ ὁ Παῦλος λέγει· «Ἔδωσαν σὲ μένα καὶ τὸν Βαρνάβα τὸ δεξί τους χέρι σὰν δεῖγμα συμφωνίας»[30]. Ἔπειτα λέγει ὅτι «Τίποτε δὲν μοῦ πρόσθεσαν»[31]· διότι ἐπικύρωσαν τὴ γνώμη αὐτοῦ, ἐπαίνεσαν αὐτὴν καὶ τὴν θαύμασαν. Δείχνει ὅτι αὐτὸ εἶναι δυνατὸ νὰ γίνει κατανοητὸ καὶ ἀπὸ τὴν ἀνθρώπινη σκέψη

τος μόνον, ὅτι ἥμαρτον ἁμαρτίαν οὐκ εὔκολον διορθωθῆναι· τὰ γὰρ τοιαῦτα οὐ Πνεύματος δεῖται. Δείκνυσιν ὅτι τὰ ἄλλα οὐκ ἀναγκαῖα, ἀλλὰ περιττά, εἴ γε ταῦτα ἀναγκαῖα.

«Ἐξ ὧν διατηροῦντες ἑαυτούς», φησίν, «εὖ πράξετε». Δείκνυσιν ὅτι οὐδὲν αὐτοῖς λείπει, ἀλλ' ἀρκεῖ τοῦτο· ἠδύνατο μὲν γὰρ καὶ χωρὶς γραμμάτων, ἀλλά, ὥστε νόμον εἶναι ἔγγραφον, ἐπιστέλλουσι. Καὶ πάλιν, ὥστε πεισθῆναι τῷ νόμῳ, καὶ ἐκείνοις ἔλεγον, καὶ ἐκεῖνοι τοῦτο ἐποίουν, καὶ «μετ' εἰρήνης».

Μὴ δὴ σκανδαλιζώμεθα ἐπὶ τοῖς αἱρετικοῖς· ὅρα γὰρ ἐν προοιμίοις τοῦ κηρύγματος πόσα σκάνδαλα· οὐ λέγω τὰ παρὰ τῶν ἔξωθεν (ταῦτα γὰρ οὐδὲ ἦν), ἀλλὰ τὰ ἔνδον· οἷον, πρῶτον ὁ Ἀνανίας, ἔπειτα ὁ γογγυσμός, ἔπειτα ὁ Σίμων ὁ Μάγος, ἔπειτα οἱ ἐγκαλοῦντες Πέτρῳ διὰ Κορνήλιον, ἔπειτα ὁ λιμός, ἔπειτα αὐτὸ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν· οὐδὲ γὰρ ἔνι καλοῦ τινος γινομένου μὴ συνυφεστάναι καὶ πονηρόν. Μὴ δὴ θορυβώμεθα, εἴ τινες σκανδαλίζονται, ἀλλὰ καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι εὐδοκιμωτέρους ἡμᾶς ποιεῖ· οὐ γὰρ δὴ αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ πειρασμοὶ λαμπροτέρους ἡμᾶς ἐργάζονται· ὁ μὲν γάρ, μηδενὸς ὄντος τοῦ πλανῶντος, τῆς ἀληθείας ἐχόμενος, οὐκ ἂν εἴη σφοδρὸς ἐραστὴς

---

32. Πράξ. 5, 1 - 11
33. Πράξ. 6, 1 ἑ.
34. Πράξ. 8, 9 - 25
35. Πράξ. κεφ. 10
36. Πράξ. 11, 28 - 30
38. Ἰω. 17, 21
37. Ὅπως ἔλεγαν καὶ οἱ ἀρχαῖοι Ἕλληνες· «Οὐδὲν καλὸν ἀμιγὲς

καὶ ὄχι μόνο ἀπὸ τὸ Πνεῦμα, ὅτι δηλαδὴ διέπραξαν ἁμαρτία καὶ δὲν εἶναι εὔκολο νὰ διορθωθεῖ· διότι γιὰ τὰ παρόμοια πράγματα δὲν χρειάζεται τὸ Πνεῦμα. Δείχνει ὅτι τὰ ἄλλα δὲν εἶναι ἀναγκαῖα, ἀλλὰ περιττά, ἐφόσον βέβαια αὐτὰ εἶναι ἀναγκαῖα.

«Ἀπὸ τὰ ὁποῖα», λέγει, «ἂν διαφυλάξετε τοὺς ἑαυτούς σας, θὰ εὐδοκιμήσετε πνευματικά». Δείχνει ὅτι τίποτε δὲν λείπει ἀπ' αὐτούς, ἀλλ' εἶναι ἀρκετὸ αὐτό· μποροῦσαν βέβαια νὰ τοὺς τὰ ποῦν αὐτὰ καὶ χωρὶς νὰ τοὺς στείλουν ἐπιστολή, ἀλλὰ στέλνουν τὴν ἐπιστολὴ γιὰ νὰ ὑπάρχει σ' αὐτοὺς γραπτὸς νόμος. Καὶ ἐπίσης, γιὰ νὰ δείξουν ὑπακοὴ στὴν ἐντολὴ αὐτή, καὶ σ' ἐκείνους ἔλεγαν νὰ τὸ κάμνουν αὐτό, καὶ ἐκεῖνοι τὸ ἔκαμναν αὐτό, καὶ «μὲ εἰρήνη».

Ἂς μὴ σκανδαλιζόμαστε ἀπὸ τὰ ὅσα λένε οἱ αἱρετικοί· διότι πρόσεχε στὴν ἀρχὴ τοῦ κηρύγματος πόσα σκάνδαλα ὑπῆρχαν· δὲν ἐννοῶ ἐκεῖνα ποὺ προέρχονταν ἀπὸ τοὺς μὴ Χριστιανοὺς (διότι αὐτὰ δὲν ἦταν τίποτε), ἀλλ' ἐκεῖνα ποὺ προέρχονταν μέσα ἀπὸ τὴν Ἐκκλησία· ὅπως, στὴν ἀρχὴ ὁ Ἀνανίας[32], ἔπειτα ὁ γογγυσμός[33], ἔπειτα ὁ Σίμων ὁ Μάγος[34], ἔπειτα ἐκεῖνοι ποὺ κατηγοροῦσαν τὸν Πέτρο ἐξ αἰτίας τοῦ Κορνήλιου[35], ἔπειτα ἡ πνείνα ἡ μεγάλη[36], καὶ ἔπειτα αὐτὸ τὸ ἀποκορύφωμα τῶν κακῶν· διότι δὲν εἶναι δυνατὸ νὰ συμβεῖ κάποιο καλὸ καὶ νὰ μὴ συνυπάρχει καὶ τὸ κακό[37]. Ἂς μὴ ἀνησυχοῦμε λοιπὸν ἂν μερικοὶ σκανδαλίζονται, ἀλλὰ καὶ γι' αὐτοὺς νὰ εὐχαριστοῦμε τὸ Θεό, διότι αὐτὸ μᾶς κάνει νὰ εὐδοκιμήσομε περισσότερο στὴν ἀρετή· διότι βέβαια ὄχι μόνο οἱ θλίψεις, ἀλλὰ καὶ οἱ ἴδιοι οἱ πειρασμοὶ μᾶς καθιστοῦν λαμπρότερους· διότι ὁ μὲν ἕνας, ποὺ δὲν ἔχει κανένα νὰ τὸν ὁδηγήσει στὴν πλάνη, κρατώντας σταθερὰ τὴν ἀλήθεια, δὲν θὰ μποροῦσε νὰ γίνει μεγάλος ἐραστὴς τῆς ἀλή-

τῆς ἀληθείας, ὁ δέ, πολλῶν ἀφελκότων, οὗτος εὐδόκιμος.

Τί οὖν; διὰ τοῦτο γίνεται τὰ σκάνδαλα; Οὐ λέγω, ὡς τοῦ Θεοῦ ταῦτα ποιοῦντος, μὴ γένοιτο! ἀλλὰ καὶ ὡς ἀπὸ τῆς ἐκείνων πονηρίας εὐεργετοῦντος ἡμᾶς· ἐπεὶ αὐτὸς οὐδέποτε ἐβούλετο γενέσθαι· «Δὸς αὐτοῖς», φησίν, «ἵνα ἓν ὦσιν», ἐπειδὴ δὲ γίνεται τὰ σκάνδαλα, οὐδὲν τούτους βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. Ὥσπερ οὖν καὶ τοὺς μάρτυρας ἄκοντες ὠφελοῦσιν οἱ ἐπὶ τὸ μαρτύριον ἕλκοντες, οὐ μὴν ὑπὸ τοῦ Θεοῦ ὠθοῦνται πρὸς τοῦτο, οὕτω δὴ καὶ ἐνταῦθα μὴ ἴδωμεν ὅτι σκανδαλίζονται. Τοῦτο αὐτὸ τεκμήριον τοῦ σπουδαῖον εἶναι τὸ δόγμα, τὸ πολλοὺς ὑποκρίνεσθαι καὶ μιμεῖσθαι· οὐ γὰρ ἄν, εἰ μὴ καλὸν ἦν, ὑπεκρίνοντο. Καὶ τοῦτο ἤδη ποιήσω ὑμῖν φανερόν.

4. Τὰ μύρα τὰ εὐώδη ταῦτα ἔχει τοὺς νοθεύοντας αὐτά, οἷον φύλλον ἄμωμον· ἐπειδὴ γὰρ σπάνιά ἐστι καὶ ἀναγκαῖα, πολλὰ καὶ νόθα γίνεται. Οὐδεὶς οὖν ἂν ἕλοιτο ἄλλο τι τῶν εὐτελῶν νοθεῦσαι. Ὁ βίος ὁ καθαρὸς πολλοὺς ἔχει τοὺς νοθεύοντας· οὐδεὶς δὲ ἂν ἕλοιτο ὑποκρίνεσθαι τὸν ἐν φαυλότητι, ἀλλὰ τὸν ἐν μοναδικῷ βίῳ. Τί οὖν ἂν εἴποιμεν πρὸς τοὺς Ἕλληνας; Ἔρχεται Ἕλλην καὶ λέγει ὅτι 'βούλομαι γενέσθαι Χριστιανός, ἀλλ' οὐκ οἶδα τίνι προσθῶμαι· μάχη παρ' ὑμῖν πολλὴ καὶ στάσις, πολὺς θόρυβος· ποῖον ἕλωμαι δόγμα; τί αἱρήσομαι; Ἕκαστος λέγει ὅτι ἐγὼ ἀληθεύω· τίνι πεισθῶ, μηδὲν ὅλως εἰδὼς ἐν ταῖς Γραφαῖς;'. Κἀκεῖνοι τὸ αὐτὸ προβάλλονται. Πάνυ γε τοῦτο ὑπὲρ ἡμῶν· εἰ μὲν γὰρ λογισμοῖς ἐλέγομεν πεί-

------

κακοῦ» καὶ τὸ ἀντίθετο.

39. Ἄμωμον' εἶναι τὸ ἀρωματικὸ φυτὸ κισσὸς ὁ ἀμπελῖνος

θειας, ἐνῶ ἐκεῖνος πού ἔχει πολλούς πού τὸν ἀποσποῦν ἀπ' αὐτήν, αὐτὸς εὐδοκιμεῖ στὴν ἀρετή.

Τί λοιπόν; γι' αὐτὸ συμβαίνουν τὰ σκάνδαλα; Δὲν λέγω αὐτό, ὅτι ὁ Θεὸς δημιουργεῖ αὐτά, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλ' ὅτι εὐεργετεῖ ἐμᾶς καὶ ἀπὸ τὴν κακία ἐκείνων· διότι ὁ Θεὸς ποτὲ δὲν θὰ ἤθελε νὰ γίνει τὸ σκάνδαλο· «Κάνε αὐτούς», λέγει, «νὰ εἶναι ἕνα»[38], ἐπειδὴ ὅμως συμβαίνουν τὰ σκάνδαλα, σὲ τίποτε δὲν βλάπτουν αὐτούς, ἀλλὰ καὶ τοὺς ὠφελοῦν. Ὅπως ἀκριβῶς καὶ τοὺς μάρτυρες χωρὶς νὰ τὸ θέλουν τούς ὠφελοῦν ἐκεῖνοι πού τοὺς σύρουν στὸ μαρτύριο, χωρὶς βέβαια νὰ ὠθοῦνται ἀπὸ τὸ Θεὸ σ' αὐτό, ἔτσι λοιπὸν καὶ ἐδῶ ἄς μὴ λάβομε ὑπ' ὄψη μας ὅτι σκανδαλίζονται. Αὐτὸ ἀκριβῶς εἶναι ἀπόδειξη ὅτι τὸ δόγμα εἶναι σπουδαῖο, τὸ ὅτι πολλοὶ ὑποκρίνονται καὶ μᾶς μιμοῦνται· διότι δὲν θὰ ὑποκρίνονταν ἐὰν δὲν ἦταν καλό. Καὶ αὐτὸ θὰ σᾶς τὸ κάνω φανερό ἀμέσως.

4. Τὰ εὐώδη μύρα καὶ αὐτὰ ἔχουν ἐκείνους πού τὰ νοθεύουν, ὅπως τὸ φύλλο τὸ ἄμωμο[39]· ἐπειδὴ δηλαδὴ εἶναι σπάνια καὶ ἀναγκαῖα, γι' αὐτὸ καὶ γίνονται πολλὰ νόθα. Κανένας φυσικὰ δὲν θὰ ἤθελε νὰ νοθεύσει κάτι ἄλλο ἀπὸ τὰ εὐτελῆ. Ὁ βίος ὁ καθαρὸς ἔχει πολλούς ἐκείνους πού τὸν νοθεύουν· κανένας δὲν θὰ ἤθελε νὰ ὑποκριθεῖ ἐκεῖνον πού κάμνει φαύλη ζωή, ἀλλ' ἐκεῖνον πού κάμνει ἄμεμπτη ζωή. Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε πρὸς τοὺς Ἕλληνες; Ἔρχεται ὁ Ἕλληνας καὶ λέγει Ἰθέλω νὰ γίνω Χριστιανός, ἀλλὰ δὲν ξέρω σὲ ποιὸν νὰ προσκολληθῶ, διότι ὑπάρχει σὲ σᾶς πολλὴ διαμάχη καὶ διαφωνία, πολὺς θόρυβος· ποιὸ δόγμα νὰ προτιμήσω; ποιὸ νὰ διαλέξω; Ὁ καθένας λέγει ὅτι ἐγὼ ἔχω τὴν ἀλήθεια· σὲ ποιὸν νὰ πιστέψω, τὴ στιγμὴ πού δὲν γνωρίζω τίποτε ἀπὸ τὶς Γραφές;'. Καὶ ἐκεῖνοι προβάλλουν αὐτό· αὐτὸ εἶναι πάρα πολὺ πρὸς ὄφελός μας· διότι, ἐὰν μὲν λέγαμε νὰ

θεσθαι, εἰκότως ἐθορύβουν, εἰ δὲ ταῖς Γραφαῖς λέγομεν πιστεύειν, αὗται δὲ ἁπλαῖ καὶ ἀληθεῖς, εὔκολόν σοι τὸ κρινόμενον. Εἴ τις ἐκείναις συμφωνεῖ, οὗτος Χριστιανός· εἴ τις μάχεται, οὗτος πόρρω τοῦ κανόνος τούτου.

Τί οὖν, ἂν ἐκεῖνος ἐλθὼν εἴπῃ, τοῦτο ἔχειν τὴν Γραφήν, σὺ δὲ ἕτερον λέγῃς, καὶ ἄλλως παρεξηγῆσθε τὰς Γραφάς, τὰς διανοίας αὐτῶν ἕλκοντες; Σὺ οὖν, εἰπέ μοι, νοῦν οὐκ ἔχεις οὐδὲ κρίσιν; Καὶ πῶς ἂν δυναίμην, φησί, μηδὲ εἰδὼς κρίνειν τὰ ὑμέτερα; μαθητὴς βούλομαι γενέσθαι, σὺ δέ με ἤδη διδάσκαλον ποιεῖς. Ἂν ταῦτα λέγῃ, τί, φησίν, ἀποκρινώμεθα; πῶς αὐτὸν πείσομεν; Ἐρωτήσωμεν, εἰ μὴ σκῆψις ταῦτα καὶ πρόφασις· ἐρωτήσωμεν, εἰ κατέγνω τῶν Ἑλλήνων. Πάντως τί ἐρεῖ· οὐ γὰρ δὴ μὴ καταγνοὺς ἐπὶ τὰ ἡμέτερα ἥξει. Ἐρωτήσωμεν τὰς αἰτίας, δι' ἃς κατέγνω· οὐ γὰρ δὴ ἁπλῶς κατέγνω. Εὔδηλον ὅτι ἐρεῖ διὰ τὸ κτίσματα εἶναι καὶ μὴ εἶναι ἄκτιστον Θεόν. Καλῶς. Ἂν οὖν τοῦτο μὲν εὕρῃ παρὰ ταῖς ἄλλαις αἱρέσεσι, τὸ δὲ ἐναντίον παρ' ἡμῖν, ποίου λόγου χρεία; Πάντες ὁμολογοῦμεν ὅτι ὁ Χριστὸς Θεός. Ἀλλ' ἴδωμεν τίνες μάχονται, καὶ τίνες οὐ μάχονται.

Ἡμεῖς, λέγοντες Θεόν, ἄξια Θεοῦ καὶ φθεγγόμεθα, ὅτι ἐξουσίαν ἔχει, ὅτι οὐκ ἔστι δοῦλος, ὅτι ἐλεύθερος, ὅτι ἀφ' ἑαυτοῦ πάντα ποιεῖ· ἐκεῖνος δὲ τοὐναντίον. Πάλιν ἐρωτῶ, εἰ ἰατρὸς μέλλοις μανθάνειν, ἆρα ἁπλῶς καὶ ὡς ἔτυχεν, εἰπέ μοι, τὰ λεγόμενα κα-

πιστέψεις στὶς σκέψεις μας, πολὺ σωστὰ θ' ἀνησυχοῦσες, ἐὰν ὅμως λέμε νὰ πιστεύεις στὶς Γραφές, αὐτὲς δὲ εἶναι ἁπλὲς καὶ ἀληθινές, εὔκολο σοῦ εἶναι νὰ κρίνεις ποὺ ὑπάρχει ἡ ἀλήθεια. Ἐὰν κάποιος συμφωνεῖ μὲ ἐκεῖνες, αὐτὸς εἶναι Χριστιανός· ἐὰν κάποιος μάχεται ἐκεῖνες, αὐτὸς βρίσκεται πολὺ μακριὰ ἀπὸ τὸν κανόνα αὐτό.

Τί λοιπόν, ἂν ἐκεῖνος ἔλθει καὶ σοῦ πεῖ, αὐτὸ λέγεται στὴ Γραφή, ἐνῶ σὺ ἄλλο λές, καὶ ἑρμηνεύετε διαφορετικὰ τὶς Γραφές, παρασύροντας τὶς σκέψεις αὐτῶν; Σὺ λοιπὸν πές μου δὲν ἔχεις νοῦ οὔτε κρίση; Καὶ πῶς, λέγει, θὰ μποροῦσα, τὴ στιγμὴ ποὺ δὲν γνωρίζω νὰ κρίνω τὰ δικά σας; ἐγὼ θέλω νὰ γίνω μαθητής, ἐνῶ σὺ μὲ κάμνεις ἀπὸ τώρα δάσκαλο. Ἂν λέγει αὐτὰ τί ἀπάντηση, λέγει, νὰ τοῦ δώσομε; πῶς θὰ τὸν πείσομε; Ἂς τὸν ἐρωτήσομε, ἐὰν αὐτὰ δὲν εἶναι δικαιολογία καὶ πρόφαση· ἂς τὸν ἐρωτήσομε, ἂν περιφρόνησε τοὺς Ἕλληνες. Ὁπωσδήποτε κάτι θὰ πεῖ· διότι βέβαια δὲν θὰ ἔλθει πρὸς τὰ δικά μας ἂν δὲν περιφρόνησε αὐτούς. Ἂς τὸν ἐρωτήσομε γιὰ τὶς αἰτίες γιὰ τὶς ὁποῖες τοὺς περιφρόνησε· διότι βέβαια δὲν τοὺς περιφρόνησε ἔτσι τυχαῖα. Εἶναι ὁλοφάνερο ὅτι θὰ πεῖ τοὺς περιφρόνησε ἐπειδὴ εἶναι κτίσματα οἱ θεοί τους καὶ δὲν εἶναι ἄκτιστος ὁ Θεός τους. Πολὺ καλά· Ἂν λοιπὸν αὐτὸ μὲν τὸ βρεῖ στὶς ἄλλες αἱρέσεις, τὸ δὲ ἀντίθετο σ' ἐμᾶς, τί πρέπει νὰ τοῦ ποῦμε; Ὅλοι ὁμολογοῦμε ὅτι ὁ Χριστὸς εἶναι Θεός. Ἂς δοῦμε ὅμως ποιοὶ τὸν πολεμοῦν καὶ ποιοὶ δὲν τὸν πολεμοῦν.

Ἐμεῖς, λέγοντας Θεό, λέμε καὶ πράγματα ἄξια γιὰ τὸ Θεό, ὅτι δηλαδὴ ἔχει ἐξουσία, ὅτι δὲν εἶναι δοῦλος, ὅτι εἶναι ἐλεύθερος, ὅτι ἀπὸ μόνος του τὰ κάμνει ὅλα, ἐνῶ ἐκεῖνος ποὺ τὸν μάχεται λέγει τὸ ἀντίθετο. Πάλι κάμνω τὴν ἐρώτηση, ἐὰν πρόκειται νὰ σπουδάσεις γιατρός, πές μου, ἄραγε ἀποδέχεσαι τὰ λεγόμενα ἔτσι στὴν τύχη καὶ χωρὶς νὰ τὰ ἐξετάσεις; ἂν καὶ βέβαια ὑπάρχουν

ταδέχῃ; καίτοι πολλὰ παρ' ἐκείνοις δόγματα. Εἰ μὲν οὖν ἁπλῶς, ἅπερ ἂν ἀκούσῃς, καταδέχῃ, οὐκ ἔστι τοῦτο ἀνδρός, εἰ δὲ κρίσιν ἔχεις καὶ νοῦν, πάντως εἴσῃ τὸ καλόν. Υἱὸν λέγομεν ἡμεῖς, ἐπαληθεύομεν ὃ λέγομεν· ἐκεῖνοι δὲ λέγουσι μέν, οὐχ ὁμολογοῦσι δέ. Ἵνα δὲ καὶ σαφέστερον εἴπω, ἐκεῖνοι ἔχουσί τινας, ἀφ' ὧν καλοῦνται, αὐτοῦ τοῦ αἱρεσιάρχου δηλονότι τὸ ὄνομα, καὶ ἑκάστη αἵρεσις ὁμοίως· παρ' ἡμῖν ἀνὴρ μὲν οὐδεὶς ἔδωκεν ἡμῖν ὄνομα, ἡ δὲ πίστις αὐτή.

Ἀλλὰ σκῆψις τοῦτο καὶ πρόφασις. Διὰ τί γάρ, εἰπέ μοι, ἂν μὲν ἱμάτιον μέλλῃς πρίασθαι, καίτοι γε ὑφαντικῆς ἄπειρος ὢν τέχνης, οὐ λέγεις ταῦτα τὰ ῥήματα, ὅτι 'οὐκ οἶδα ἀγοράσαι, ἐμπαίζουσί μοι', ἀλλὰ πάντα ποιεῖς ὥστε μαθεῖν; Κἂν ἄλλο ὁ,τιοῦν βουληθῇς ὠνήσασθαι, πάντα ποιεῖς πολυπραγμονῶν, ἐνταῦθα δὲ ταῦτα λέγεις. Ὥστε ἐπὶ τῷ λόγῳ τούτῳ οὐδὲν ὅλως καταδέξῃ. Ἔστω γάρ τις, μηδὲν ὅλως δόγμα ἔχων, ἂν κἀκεῖνος λέγῃ, ὃ περὶ τῶν Χριστιανῶν σύ, 'Τοσοῦτον πλῆθος ἀνθρώπων ἐστί, καὶ δόγματα ἔχουσι διάφορα· ὁ μὲν Ἕλλην ἐστίν, ὁ δὲ Ἰουδαῖος, ὁ δὲ Χριστιανός, οὐδὲ ἓν δεῖ δόγμα καταδέξασθαι (ἀλλήλοις γὰρ πολεμοῦσιν), ἐγὼ δὲ μαθητής εἰμι, καὶ κριτὴς οὐ βούλομαι εἶναι, οὐδὲ ἔξω καταγινώσκειν ἑνὸς δόγματος', οὐκέτι σοι αὕτη λοιπὸν ἡ πρόφασις χώραν ἔχει· καθάπερ γὰρ ἴσχυσας τὸ νόθον ἐκβαλεῖν, οὕτως ἰσχύσεις καὶ ἐνταῦθα ἐλθὼν δοκιμάσαι τὸ λυσιτελές· ὁ μὲν γάρ, μηδενὸς ὅλως δόγματος καταγνούς, εὐκόλως ταῦτα ἐρεῖ, ὁ δὲ καταγνούς, κἂν μηδὲν ᾑρημένος ᾖ, ὁδῷ προβαίνων, δυνήσεται συνιδεῖν τὸ δέον.

πολλὰ δόγματα σ' ἐκείνους. Ἐὰν λοιπὸν ἀποδέχεσαι ἔτσι στὴν τύχη ἐκεῖνα ποὺ θ' ἀκούσεις, δὲν εἶναι αὐτὸ γνώρισμα ἀνδρός, ἐὰν ὅμως ἔχεις κρίση καὶ νοῦ, ὁπωσδήποτε θ' ἀντιληφθεῖς τὸ σωστό. Ἐμεῖς λέμε Υἱὸ καὶ ἐπαληθεύομε αὐτὸ ποὺ λέμε, ἐνῶ ἐκεῖνοι λένε μέν, δὲν τὸ ὁμολογοῦν ὅμως. Καὶ γιὰ νὰ μιλήσω σαφέστερα, ἐκεῖνοι ἔχουν ὁρισμένους, ἀπὸ τοὺς ὁποίους ὀνομάζονται, τὸ ὄνομα δηλαδὴ τοῦ ἴδιου τοῦ αἱρεσιάρχη, καὶ τὸ ἴδιο συμβαίνει μὲ κάθε αἵρεση· σ' ἐμᾶς ὅμως κανένας ἄνδρας δὲν μᾶς ἔδωσε τὸ ὄνομα, ἀλλ' ἡ ἴδια ἡ πίστη μας.

Ἀλλ' αὐτὸ εἶναι δικαιολογία καὶ πρόφαση. Διότι πές μου, γιατί, ἂν μὲν πρόκειται ν' ἀγοράσεις ἔνδυμα, ἂν καὶ βέβαια εἶσαι ἄπειρος τῆς ὑφαντικῆς τέχνης, δὲν λέγεις αὐτὰ τὰ λόγια, ὅτι δηλαδὴ 'δὲν γνωρίζω ν' ἀγοράσω, μὲ ἐμπαίζουν', ἀλλὰ κάνεις τὰ πάντα γιὰ νὰ μάθεις; Καὶ ἂν ἀκόμα θελήσεις ν' ἀγοράσεις ὁ,τιδήποτε, κάνεις τὰ πάντα ἐξετάζοντάς τα μὲ λεπτομέρεια, ἐνῶ ἐδῶ λὲς αὐτά· Ὥστε λοιπὸν σύμφωνα μὲ τὰ λόγια σου αὐτὰ τίποτε γενικὰ δὲν θ' ἀποδεχθεῖς. Διότι ἂς ὑποθέσομε ὅτι ὑπάρχει κάποιος, ποὺ δὲν ἔχει καθόλου δόγμα, ἂν καὶ ἐκεῖνος λέγει, αὐτὸ ποὺ λὲς σὺ γιὰ τοὺς Χριστιανούς. Ὑπάρχει τόσο πλῆθος ἀνθρώπων καὶ ἔχουν δόγματα διάφορα· ὁ μὲν ἕνας εἶναι Ἕλληνας, ὁ ἄλλος Ἰουδαῖος καὶ ὁ ἄλλος Χριστιανός, πρέπει κατ' ἀνάγκη νὰ μὴ ἀποδεχθῶ κανένα δόγμα (διότι πολεμοῦν ὁ ἕνας τὸν ἄλλο), ἐνῶ ἐγὼ εἶμαι μαθητὴς καὶ δὲν θέλω νὰ γίνω κριτής, οὔτε νὰ κατηγορῶ ἔξω κάποιο ἀπὸ τὰ δόγματα αὐτά, ὁπωσδήποτε αὐτή ἡ πρόφασή σου δὲν εὐσταθεῖ καθόλου· διότι ὅπως ἀκριβῶς κατόρθωσες νὰ ἀπορρίψεις τὸ νόθο, ἔτσι θὰ μπορέσεις καὶ ἐδῶ νὰ ἐξετάσεις καὶ νὰ βρεῖς τὸ ὠφέλιμο· διότι, ἐκεῖνος μὲν ποὺ δὲν κατηγόρησε γενικὰ κανένα δόγμα, εὔκολα θὰ τὰ πεῖ αὐτά, ἐνῶ ἐκεῖνος ποὺ κατηγόρησε, καὶ ἂν ἀκόμα δὲν ἔχει ἀποδεχθεῖ κανένα, προχωρώντας σιγά - σιγὰ θὰ μπορέσει ν' ἀντιληφθεῖ τὸ σωστό.

Μὴ δὴ σκηπτώμεθα, μηδὲ προφασιζώμεθα· πάντα γὰρ ῥάδια. Βούλει σοι δείξω ὅτι πρόφασίς ἐστι ταῦτα; Τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα οἶδας; διὰ τί οὖν τὰ πρακτέα μὴ πράττεις, ἀλλὰ τὰ μὴ πρακτέα; Πρᾶξον ἐκεῖνα, καὶ ὀρθῷ λογισμῷ ζήτησον παρὰ τοῦ Θεοῦ, καὶ αὐτός σοι πάντως ἀποκαλύψει. «Οὐκ ἔστι προσωπολήπτης», φησίν, «ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν». Οὐκ ἔστι τὸν χωρὶς προλήψεως ἀκούοντα μὴ πείθεσθαι. Ὥσπερ γάρ, εἰ κανών τις ἦν, πρὸς ὃν πάντα ἀπευθύνεσθαι ἐχρῆν, οὐ πολλῆς ἔδει σκέψεως, ἀλλὰ τὸν παραμετροῦντα εὔκολον ἦν λαβεῖν, οὕτω καὶ νῦν. Πῶς οὖν οὐ συνορῶσι; Πολλὰ ποιεῖ καὶ πρόληψις καὶ ἀνθρώπιναι αἰτίαι.

Τοῦτο καὶ περὶ ἡμῶν, φησί, καὶ ἐκεῖνοι λέγουσι. Πῶς; Μὴ γὰρ ἀπεσχίσμεθα τῆς Ἐκκλησίας; μὴ γὰρ αἱρεσιάρχας ἔχομεν; μὴ γὰρ ἀπ' ἀνθρώπων καλούμεθα; μὴ γὰρ προηγούμενος ἡμῶν τίς ἐστιν, ὥσπερ τῷ μὲν Μαρκίων, τῷ δὲ Μανιχαῖος, τῷ δὲ Ἄρειος, τῷ δὲ ἄλλος τις αἱρέσεως ἀρχηγός; Εἰ δὲ καὶ ἡμεῖς προσηγορίαν τινὸς ἔχομεν, ἀλλ' οὐ τοὺς τῆς αἱρέσεως ἄρξαντας, ἀλλὰ τοὺς προστάντας ἡμῶν καὶ κυβερνήσαντας τὴν Ἐκκλησίαν. Οὐκ ἔχομεν διδασκάλους ἐπὶ τῆς γῆς, μὴ γένοιτο! ἕνα ἔχομεν τὸν ἐν τοῖς οὐρανοῖς.

Κἀκεῖνοι, φησί, τὰ αὐτὰ προβάλλονται. Ἀλλ' ἐφέστηκε τὸ ὄνομα κατηγοροῦν αὐτῶν, καὶ ἐμφράττον τὰ στόματα. Πολλοὶ γεγόνασιν Ἕλληνες, καὶ οὐδεὶς ταῦτα ἠρώτησε, καὶ παρὰ φιλοσόφοις ἦν ταῦτα,

40. Πράξ. 10, 34 - 35

Ἂς μὴ προβάλλομε λοιπὸν δικαιολογίες, οὔτε καὶ προφάσεις· διότι ὅλα εἶναι εὔκολα. Θέλεις νὰ σοῦ δείξω ὅτι αὐτὰ εἶναι πρόφαση; Γνωρίζεις ἐκεῖνα ποὺ πρέπει νὰ πράττεις καὶ ἐκεῖνα ποὺ δὲν πρέπει νὰ πράττεις; Γιατί λοιπὸν δὲν πράττεις ἐκεῖνα ποὺ πρέπει νὰ πράττεις, ἀλλὰ πράττεις ἐκεῖνα ποὺ δὲν πρέπει; Πράξε ἐκεῖνα καὶ μὲ ὀρθὴ σκέψη ζήτησε ἀπὸ τὸ Θεό, καὶ αὐτὸς ὁπωσδήποτε θὰ σοῦ ἀποκαλύψει ἐκεῖνο ποὺ πρέπει. «Ὁ Θεός», λέγει, «δὲν εἶναι προσωπολήπτης, ἀλλὰ σὲ κάθε ἔθνος ἐκεῖνος ποὺ τὸν φοβᾶται καὶ ἐκτελεῖ τὸ ὀρθὸ εἶναι δεκτὸς ἀπ' αὐτόν»[40]. Δὲν εἶναι δυνατὸ νὰ μὴ πεισθεῖ ἐκεῖνος ποὺ ἀκούει χωρὶς προκατάληψη. Διότι, ὅπως ἀκριβῶς, ἐὰν ὑπῆρχε κάποιος κανόνας, πρὸς τὸν ὁποῖο ἔπρεπε ὁ καθένας νὰ συμμορφώνεται, δὲν χρειαζόταν καὶ πολλὴ σκέψη, ἀλλὰ θὰ ἦταν εὔκολο ν' ἀντιληφθεῖ κανεὶς ἐκεῖνον ποὺ τὸν παραβαίνει, ἔτσι καὶ τώρα. Πῶς λοιπὸν δὲν ἀντιλαμβάνονται τὸ ὀρθό; Πολλὰ τὰ κάμνει καὶ ἡ προκατάληψη καὶ οἱ ἀνθρώπινες αἰτίες.

Αὐτό, λέγει, καὶ ἐκεῖνοι λένε γιὰ ἐμᾶς· Πῶς; Μήπως δηλαδὴ ἀποσχισθήκαμε ἀπὸ τὴν Ἐκκλησία; μήπως ἔχομε αἱρεσιάρχες; μήπως ἔχομε τὸ ὄνομά μας ἀπὸ ἀνθρώπους; μήπως ὑπάρχει κάποιος ἀπὸ ἐμᾶς ποὺ προέχει, ὅπως ἀκριβῶς σ' ἄλλους μὲν εἶναι ὁ Μαρκίων, σ' ἄλλους ὁ Μανιχαῖος, σ' ἄλλους δὲ ὁ Ἄρειος, καὶ σ' ἄλλους κάποιος ἄλλος ἀρχηγὸς αἱρέσεως; Ἐὰν δὲ καὶ ἐμεῖς φέρομε τὸ ὄνομα κάποιου, ὅμως ὄχι ἐκείνων ποὺ ἔγιναν ἀρχὴ τῆς αἱρέσεως, ἀλλ' ἐκείνων ποὺ ὑπῆρξαν προϊστάμενοί μας καὶ κυβέρνησαν τὴν Ἐκκλησία. Δὲν ἔχομε δασκάλους ἐπάνω στὴ γῆ, μὴ γένοιτο! ἕνα δάσκαλο ἔχομε, ἐκεῖνον ποὺ βρίσκεται στοὺς οὐρανούς.

Καὶ ἐκεῖνοι, λέγει, τὰ ἴδια προβάλλουν. Ἀλλ' ὅμως ὑπάρχει τὸ ὄνομα ποὺ κατηγορεῖ αὐτοὺς καὶ κλείνει τὰ στόματά τους. Πολλοὶ Ἕλληνες ἔγιναν Χριστιανοὶ καὶ κανένας δὲν ἐρώτησε αὐτά, ἀλλὰ καὶ στοὺς φιλοσόφους

καὶ οὐδεὶς ἐκωλύθη τῶν τὴν ὀρθὴν αἵρεσιν ἐχόντων. Διὰ τί μὴ εἶπον, ὅτε ταῦτα ἐκείνουν, ὅτι καὶ οὗτοι κἀκεῖνοι Ἰουδαῖοι, τίνι δεῖ ἡμᾶς πείθεσθαι; Ἀλλ' ἐπείσθησαν, ὡς ἔδει.

Οὐκοῦν καὶ ἡμεῖς πειθώμεθα τοῖς τοῦ Θεοῦ νόμοις, καὶ πάντα πράττωμεν κατὰ τὸ αὐτῷ δοκοῦν, καὶ κατὰ τὴν αὐτοῦ βούλησιν πολιτευσώμεθα, ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ, ἵνα, μετὰ ἀρετῆς τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνησώμεθα, καὶ σὺν τοῖς εὐαρεστήσασιν αὐτῷ τιμῆς ἀξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Υἱοῦ αὐτοῦ, καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, τῆς μιᾶς καὶ ἀληθοῦς θεότητος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὑπῆρχαν αὐτὰ καὶ κανένας δὲν ἐμποδίσθηκε ἀπὸ ἐκείνους ποὺ μποροῦσαν νὰ κάνουν ὀρθὴ ἐκλογή. Γιατί δὲν εἶπαν, ὅταν συζητοῦσαν αὐτά, ὅτι καὶ αὐτοὶ καὶ ἐκεῖνοι Ἰουδαῖοι εἶναι, σὲ ποιὸν πρέπει ἐμεῖς νὰ πιστέψομε; Ἀλλὰ πίστεψαν, ὅπως ἔπρεπε.

Λοιπὸν καὶ ἐμεῖς ἂς πιστεύομε στοὺς νόμους τοῦ Θεοῦ καὶ ὅλα νὰ τὰ κάμνομε ὅπως ἀρέσουν σ' αὐτόν, καὶ ἂς ρυθμίσομε τὴ ζωή μας ὅπως θέλει αὐτός, ὅσο ἀκόμα βρισκόμαστε στὴν παρούσα ζωή, ὥστε, ἀφοῦ διανύσομε ἐνάρετα τὸν ὑπόλοιπο χρόνο τῆς ζωῆς μας, νὰ μπορέσομε νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν, καὶ μαζὶ μὲ ἐκείνους ποὺ ὑπῆρξαν ἀρεστοὶ σ' αὐτὸν ν' ἀξιωθοῦμε νὰ τιμηθοῦμε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενῆ Υἱοῦ αὐτοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, τῆς μιᾶς ἀληθινῆς θεότητας, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΔ΄

(Πράξ. 15, 35-16, 12)

«Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ Κυρίου. Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσιν».

1. Ὅρα πάλιν αὐτῶν τὸ ταπεινὸν πῶς καὶ ἑτέροις μεταδιδόασι τοῦ λόγου. Καὶ ἤδη μὲν τῶν Ἀποστόλων τῶν λοιπῶν τὸ ἦθος ἀνέγραψεν ἡμῖν ὁ Λουκᾶς, δεικνὺς ὅτι ὁ μὲν ἁπαλώτερος ἦν καὶ μᾶλλον συγγνωμονικός, οὗτος δὲ ἀκριβέστερος καὶ αὐστηρότερος (διάφορα γάρ ἐστι τὰ χαρίσματα)· ὅτι δὲ καὶ τοῦτο χάρισμα, δῆλον. Ἀλλ' ἐκεῖνο μὲν ἑτέροις ἤθεσιν ἀνθρώπων ἁρμόζει, τοῦτο δὲ ἑτέροις· κἂν μετασκευάσωνται, γέγονεν ἄχρηστον λοιπόν. Καὶ δοκεῖ μὲν εἶναί τις παροξυσμός, τὸ δὲ πᾶν οἰκονομία ἐστίν· ὥστε γὰρ τοὺς προσήκοντας ἕκαστον τόπους ἀπολαβεῖν, τοῦτο γίνεται. Ἄλλως δὲ καὶ ἔδει πάντας οὐχ ὁμοτίμους εἶναι, ἀλλὰ τὸν μὲν ἄρχειν, τὸν δὲ ἄρχεσθαι· καὶ τοῦτο οἰκονομικόν· Κύπριοι μὲν γὰρ οὐδὲν τοιοῦτον ἐπεδείξαντο, οἷον οἱ ἐν Ἀντιοχείᾳ καὶ οἱ

------

1. Πράξ. 15, 35-36

ΟΜΙΛΙΑ ΛΔ΄
(Πράξ. 15, 35 - 16, 12)

«Ὁ δὲ Παῦλος καὶ ὁ Βαρνάβας ἐξακολουθοῦσαν νὰ παραμένουν στὴν Ἀντιόχεια καὶ μὲ ἄλλους πολλοὺς δίδασκαν καὶ κήρυτταν τὸ λόγο τοῦ Κυ-Κυρίου. Μετὰ δὲ ἀπὸ μερικὲς ἡμέρες εἶπε ὁ Παῦλος πρὸς τὸν Βαρνάβα· Ἂς ἐπιστρέψομε λοιπὸν ὥστε νὰ ἐπισκεφθοῦμε τοὺς ἀδελφοὺς σὲ ὅλες τὶς πόλεις, στὶς ὁποῖες κηρύξαμε τὸ λόγο τοῦ Κυρίου καὶ νὰ δοῦμε πῶς εἶναι»[1]·

1. Πρόσεχε πάλι τὴν ταπεινοφροσύνη αὐτῶν, πῶς καὶ σ' ἄλλους κηρύττουν τὸ λόγο τοῦ Κυρίου. Καὶ ἤδη ὁ Λουκᾶς μᾶς περιέγραψε τὸ ἦθος τῶν ὑπόλοιπων Ἀποστόλων, δείχνοντάς μας ὅτι ὁ μὲν ἕνας ἦταν πιὸ ἀκριβὴς καὶ περισσότερο αὐστηρὸς (διότι εἶναι διάφορα τὰ χαρίσματα)· τὸ ὅτι δὲ καὶ αὐτὸ εἶναι χάρισμα εἶναι φανερό. Ἀλλ' ἐκεῖνο μὲν τὸ χάρισμα ταιριάζει σὲ ἄλλο χαρακτῆρα ἀνθρώπων, ἐνῶ αὐτὸ σὲ ἄλλους· ἐὰν δὲ ἀλλάξομε τὴ μορφή τους, τότε πιὰ ἔγινε τὸ καθένα ἀπ' αὐτὰ ἄχρηστο. Καὶ φαίνεται μὲν ὅτι ὑπάρχει κάποια ὀξεία διαφωνία, τὸ πᾶν ὅμως ἀποτελεῖ πρόνοια τοῦ Θεοῦ· αὐτὸ λοιπὸν γίνεται γιὰ ν' ἀναλάβει ὁ καθένας τοὺς τόπους ποὺ τοῦ ταίριαζαν· ἐξ ἄλλου δὲ ἔπρεπε νὰ μὴ εἶναι ὅλοι ἰσότιμοι, ἀλλ' ὁ μὲν ἕνας νὰ ἄρχει, οἱ δὲ ἄλλοι νὰ ἄρχονται· καὶ αὐτὸ εἶναι ἔργο τῆς πρόνοιας τοῦ Θεοῦ· διότι οἱ μὲν Κύπριοι τίποτε παρόμοιο δὲν παρουσίασαν μὲ ἐκεῖνο ποὺ παρουσίασαν οἱ πιστοὶ τῆς Ἀντιόχειας καὶ οἱ

λοιποί· καὶ ἐκεῖνοι μᾶλλον ἐδέοντο τοῦ ἤθους τοῦ ἁπαλωτέρου, οὗτοι δὲ τούτου.

«Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν καὶ Ἰωάννην, τὸν καλούμενον Μᾶρκον, Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. Ἐγένετο οὖν παροξυσμός, ὥστε χωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μᾶρκον, ἐκπλεῦσαι εἰς Κύπρον· Παῦλος δέ, ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε, παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν». Οὕτω καὶ ἐν τοῖς προφήταις εὑρίσκομεν διαφόρους γνώμας καὶ διάφορα ἤθη· οἷον, ὁ Ἠλίας αὐστηρός, ὁ Μωϋσῆς πρᾶος. Καὶ ἐνταῦθα τοίνυν σφοδρότερός ἐστιν ὁ Παῦλος.

Ἀλλ' ὅρα καὶ οὕτω τὸ ἐπιεικὲς αὐτοῦ. «Ἠξίου», φησί, «τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας μὴ συμπαραλαβεῖν». Καθάπερ γάρ τις στρατηγὸς οὐκ ἂν ἕλοιτο τὸν σκευοφόρον ἔχειν ἀεὶ βάναυσον, οὕτως οὐδὲ ὁ Ἀπόστολος. Τοῦτο καὶ τοὺς ἄλλους ἐπαίδευε, καὶ αὐτὸν ἐρρύθμιζεν ἐκεῖνον. Οὐκοῦν, φησί, κακὸς ὁ Βαρνάβας; Οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα ἄτοπον τὸ νομίζειν τοῦτο. Πῶς δὲ οὐκ ἄτοπον ὑπὲρ οὕτω πράγματος μικροῦ τοῦτον λέγειν γενέσθαι κακόν; Ἀλλ' ὅρα ὅτι πρῶτον μὲν κακὸν οὐδὲν γέγονεν, εἰ, ὁλοκλήροις ἔθνεσιν ἀρκοῦντες, ἀπεσχίσθησαν ἀπ' ἀλλήλων, ἀλλὰ καὶ μέγα ἀγαθόν· ἔπειτα ὅτι, εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν εἵλοντο εὐκόλως ἀφεῖναι ἀλλήλους.

Σὺ δέ μοι θαύμασον τοῦτον μηδὲ τοῦτο κρύψαντα. Ἀλλ' εἰ καὶ χωρισθῆναι ἔδει, φησί, χωρὶς παρο-

2. Πράξ. 15, 37 - 40

ὑπόλοιποι· καὶ ἐκεῖνοι μὲν εἶχαν ἀνάγκη περισσότερο ἀπὸ ἠπιότερο χαρακτήρα, ἐνῶ αὐτοὶ ἀπὸ αὐτόν.

«Ὁ Βαρνάβας θέλησε νὰ πάρει μαζί του καὶ τὸν Ἰωάννη, ποὺ ὀνομαζόταν Μάρκος, ἀλλ' ὁ Παῦλος εἶχε τὴν ἀξίωση νὰ μὴ πάρουν μαζί τους ἐκεῖνον ποὺ τοὺς εἶχε ἐγκαταλείψει στὴν Παμφυλία καὶ δὲν πῆγε μαζί τους στὸ ἔργο τους. Δημιουργήθηκε λοιπὸν κάποια ὀξεία διαφωνία, μὲ ἀποτέλεσμα ν' ἀποχωρισθοῦν ὁ ἕνας ἀπὸ τὸν ἄλλο, καὶ ὁ Βαρνάβας, ἀφοῦ παρέλαβε τὸν Μάρκο, ἀπέπλευσε γιὰ τὴν Κύπρο· ὁ δὲ Παῦλος διάλεξε τὸν Σίλα καὶ ἔφυγε, ἀφοῦ παραδόθηκε ἀπὸ τοὺς ἀδελφοὺς στὴ χάρη τοῦ Θεοῦ»[2]. Ἄρα λοιπὸν καὶ στοὺς προφῆτες βρίσκομε νὰ ὑπάρχουν διάφορες γνῶμες καὶ διάφοροι χαρακτῆρες· ὅπως, ὁ Ἠλίας ἦταν αὐστηρός, ὁ Μωυσῆς πράος. Καὶ ἐδῶ λοιπὸν ὁ Παῦλος εἶναι αὐστηρότερος.

Ἀλλὰ πρόσεχε καὶ τὴν ἐπιείκεια αὐτοῦ. «Εἶχε τὴν ἀξίωση», λέγει, «νὰ μὴ πάρουν μαζί τους ἐκεῖνον ποὺ τοὺς ἐγκατέλειψε στὴν Παμφυλία». Ὅπως ἀκριβῶς δηλαδὴ κάποιος στρατηγὸς δὲν θὰ προτιμοῦσε νὰ ἔχει πάντοτε τὸν σκευοφόρο σκληρό, ἔτσι οὔτε ὁ Ἀπόστολος. Αὐτὸ καὶ τοὺς ἄλλους δίδασκε καὶ ἐκεῖνον τὸν ἴδιο τὸν ἔκαμνε νὰ ἐνεργεῖ σωστά. Ὁ Βαρνάβας λοιπόν, λέγει, ἦταν κακός; Καθόλου, ἀλλ' εἶναι καὶ πάρα πολὺ μεγάλη ἀπρέπεια τὸ νὰ τὸ νομίζομε αὐτό. Πῶς δὲν εἶναι ἀπρέπεια τὸ νὰ λέμε ὅτι αὐτὸς ἔγινε κακὸς γιὰ ἕνα τόσο ἀσήμαντο πράγμα; Ἀλλὰ πρόσεχε πρῶτα μὲν ὅτι δὲν συνέβηκε κανένα κακὸ ἀπὸ τὸ ὅτι ἀποχωρίσθηκαν ἀναμεταξύ τους, ἂν καὶ ἐπαρκοῦσαν γιὰ ὅλα τὰ ἔθνη, ἀλλὰ καὶ μεγάλο ἀγαθό· ἔπειτα ὅτι, ἂν δὲν συνέβαινε αὐτό, δὲν θὰ δέχονταν εὔκολα ν' ἀποχωρισθοῦν ὁ ἕνας ἀπὸ τὸν ἄλλο.

Σὺ ὅμως σὲ παρακαλῶ θαύμασε αὐτὸν γιὰ τὸ ὅτι δὲν ἔκρυψε αὐτό. Ἀλλ' ὅμως καὶ ἂν ἀκόμα ἔπρεπε ν' ἀποχω-

ξυσμοῦ. Μάλιστα μὲν οὖν καὶ ἐντεῦθεν δείκνυται τὰ ἀνθρώπινα· εἰ γὰρ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἔδει γενέσθαι, πολλῷ μᾶλλον ἐνταῦθα· ἄλλως δὲ ὁ παροξυσμὸς οὐκ ἂν εἴη φαῦλος, ὅταν ὑπὲρ τοιούτων ἕκαστος ἀμφισβητῇ, καὶ μετὰ δικαίου λόγου. Εἰ μὲν οὖν τις αὐτῶν, τὸ ἑαυτοῦ ζητῶν, παρωξύνετο, καὶ τὴν εἰς αὐτὸν τιμήν, καλῶς, εἰ δέ, παιδεῦσαι καὶ διδάξαι ἑκάτερος βουλόμενος, ὁ μὲν ταύτην, ὁ δὲ ἐκείνην ὥδευον, τοῦτο ποῖον ἔγκλημα; Πολλὰ καὶ ἀνθρωπίνῃ διανοίᾳ ἐποίουν· οὐ γὰρ ἦσαν λίθοι ἢ ξύλα.

Καὶ ὅρα Παῦλον κατηγοροῦντα, καὶ τὴν αἰτίαν λέγοντα· ᾐδεῖτο γὰρ τὸν Βαρνάβαν ἀπὸ ταπεινοφροσύνης πολλῆς, ἅτε κεκοινωνηκότα ἐν τοσούτοις αὐτῷ καὶ μετ' αὐτοῦ ὄντα· ἀλλ' οὐχ οὕτως ᾐδεῖτο, ὥστε καὶ παριδεῖν τὸ δέον. Τίς μὲν οὖν ἄμεινον ἐβουλεύσατο, οὐχ ἡμῶν ἀποφήνασθαι· τέως δέ, ὅτι μεγάλη γέγονεν οἰκονομία, εἴ γε οὗτοι μὲν ἔμελλον δεύτερον ἐπισκέψεως ἀξιοῦσθαι, ἐκεῖνοι δὲ οὐδὲ ἅπαξ. Οὐχ ἁπλῶς διέτριβον ἐν 'Αντιοχείᾳ, ἀλλ' ἐδίδασκον. Τί ἐδίδασκον; τί δὲ εὐηγγελίζοντο; Τούς τε ἤδη πιστούς, τούς τε οὐδέπω. 'Επειδὴ γὰρ μυρία σκάνδαλα ἦν, ἔδει τῆς αὐτῶν παρουσίας. Τὸ ζητούμενον, οὐχ ὅτι διηνέχθησαν ἐν ταῖς γνώμαις, ἀλλ' ὅτι συγκατέβησαν ἀλλήλοις ἰδεῖν. Οὕτω μεῖζον ἀγαθὸν γέγονε τὸ χωρισθῆναι, καὶ πρόφασιν ἐκ τούτου τὸ πρᾶγμα ἔλαβε.

Τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; Μὴ γένοιτο! 'Ορᾷς

ρισθοῦν, λέγει, ἔπρεπε νὰ γίνει αὐτὸ χωρὶς διαφωνία. Ὁπωσδήποτε βέβαια καὶ ἀπὸ ἐδῶ γίνονται φανερὰ τὰ ἀνθρώπινα· διότι, ἐὰν αὐτὸ ἔπρεπε νὰ συμβεῖ στὴν περίπτωση τοῦ Χριστοῦ, πολὺ περισσότερο ἔπρεπε νὰ συμβεῖ ἐδῶ· ἄλλωστε δὲ δὲν θὰ μποροῦσε νὰ θεωρηθεῖ κακὴ ἡ διαφωνία, ὅταν ὁ καθένας διαφωνεῖ γιὰ τέτοια πράγματα, καὶ πολὺ δικαιολογημένα. Ἐὰν λοιπὸν κάποιος ἀπὸ αὐτοὺς ἐξοργιζόταν ἐπιζητώντας τὸ δικό του καὶ τὴν τιμὴ γιὰ τὸν ἑαυτό του, σωστὰ θὰ ἦταν αὐτὸ κακό, ἐὰν ὅμως, θέλοντας ὁ καθένας νὰ παιδεύσει καὶ νὰ διδάξει, ὁ μὲν ἕνας βάδιζε αὐτὸν τὸν δρόμο, ὁ δὲ ἄλλος ἐκεῖνον, αὐτὸ ποιὸ κακὸ ἦταν; Πολλὲς ἐνέργειές τους γίνονταν καὶ μὲ ἀνθρώπινη σκέψη· διότι δὲν ἦταν λίθοι ἢ ξύλα.

Καὶ πρόσεχε τὸν Παῦλο ποὺ κατηγορεῖ λέγοντας καὶ τὴν αἰτία· διότι σεβόταν τὸν Βαρνάβα λόγω τῆς μεγάλης ταπεινοφροσύνης του, ἐπειδὴ εἶχε λάβει μέρος μαζί του σὲ τόσα γεγονότα καὶ βρισκόταν κοντά του, ἀλλὰ δὲν ἦταν τόσο μεγάλος καὶ τυφλὸς ὁ σεβασμός του, ὥστε καὶ νὰ παραβλέψει τὸ πρέπον. Ποιὸς βέβαια σκέφθηκε ὀρθότερα, δὲν μποροῦμε νὰ τὸ ποῦμε ἐμεῖς, κατ' ἀρχὴ ὅμως μποροῦμε νὰ ποῦμε, ὅτι δείχθηκε μεγάλη πρόνοια ἀπὸ τὸ Θεό, ἐφόσον βέβαια αὐτοὶ μὲν ἐπρόκειτο ν' ἀξιωθοῦν γιὰ δεύτερη φορὰ νὰ ἐπισκεφθοῦν τὶς ἐκκλησίες ποὺ ἵδρυσαν, ἐνῶ ἐκεῖνοι οὔτε μία φορά. Δὲν διέμεναν δὲ μόνο στὴν Ἀντιόχεια, ἀλλὰ καὶ δίδασκαν. Τί δίδασκαν; τί κήρυτταν; Δίδασκαν καὶ τοὺς ἤδη πιστοὺς καὶ ἐκείνους ποὺ δὲν εἶχαν πιστέψει ἀκόμη. Διότι, ἐπειδὴ ὑπῆρχαν ἀμέτρητα σκάνδαλα, ἦταν ἀπαραίτητη ἐκεῖ ἡ παρουσία αὐτῶν. Ἐκεῖνο ποὺ ἐξετάζεται εἶναι, ὄχι τὸ ὅτι διαφώνησαν μεταξύ τους, ἀλλὰ τὸ ὅτι δέχθηκαν νὰ δοῦν ὁ ἕνας τὸν ἄλλο. Ἔτσι ἀπὸ τὸ χωρισμὸ προέκυψε μεγαλύτερο ἀγαθὸ καὶ τὴν ἀφορμὴ αὐτὸ τὴν ἔλαβε ἀπ' αὐτό.

Τί λοιπόν; ἀποχωρίσθηκαν σὰν ἐχθροί; Μακριὰ μιὰ

γὰρ μετὰ τοῦτο Βαρνάβαν πολλῶν ἐγκωμίων ἀπολαύοντα παρὰ Παύλου ἐν ταῖς ἐπιστολαῖς. «Παροξυσμός», φησίν, «ἐγένετο», οὐκ ἔχθρα, οὐδὲ φιλονεικία. Τοσοῦτον ἴσχυσεν ὁ παροξυσμός, ὥστε χωρίσαι. Καὶ εἰκότως· ὅπερ γὰρ ἕκαστος ὑπέλαβεν εἶναι λυσιτελές, τοῦτο μετὰ ταῦτα οὐ προσήκατο διὰ τὴν πρὸς ἐκεῖνον κοινωνίαν. Ἐμοὶ δοκεῖ καὶ κατὰ σύνεσιν γεγενῆσθαι τὸν χωρισμόν, καὶ πρὸς ἀλλήλους εἰπεῖν ὅτι, 'ἐπειδὴ ἐγὼ οὐ βούλομαι, σὺ δὲ βούλει, ἵνα μὴ μαχώμεθα, διανειμώμεθα τοὺς τόπους. Ὥστε, πάνυ εἴκοντες ἀλλήλοις, τοῦτο ἐποίουν. Ἐβούλετο γὰρ στεῖναι τὸ Παύλου Βαρνάβας, διὰ τοῦτο καὶ ἀνεχώρησεν· ἐβούλετο καὶ Παῦλος ὁμοίως τὸ ἐκείνου, διὰ τοῦτο καὶ αὐτὸς τὸ ἴσον ποιεῖ καὶ ἀναχωρεῖ. Εἴθε καὶ ἡμεῖς τοιούτους ἐχωριζόμεθα χωρισμούς, ὥστε ἐπὶ κήρυγμα ἀπιέναι.

2. «Παῦλος δέ», φησίν, «ἐπιλεξάμενος τὸν Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν». Θαυμαστός ἐστιν οὗτος ὁ ἀνήρ, καὶ σφόδρα μέγας. Πάνυ δὲ ὠφέλει τὸν Μάρκον ἡ μάχη αὕτη· τὸ μὲν γὰρ Παύλου φοβερὸν ἐπέστρεψεν αὐτόν, τὸ δὲ Βαρνάβα χρηστὸν ἐποίει μηκέτι ἀπολειφθῆναι, ὥστε μάχονται μέν, πρὸς ἓν δὲ τέλος ἀπαντᾷ τὸ κέρδος· καὶ γάρ, Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἂν ἐφοβήθη καὶ κατέγνω ἑαυτοῦ, καὶ πάλιν, Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ ἂν αὐτὸν ἐφίλησε· καὶ διωρθοῦτο ὁ μαθητὴς διὰ τῆς μάχης τῶν διδασκάλων· τοσοῦτον ἀπεῖχε τοῦ σκανδαλι-

---

3. Πράξ. 15, 40

τέτοια σκέψη! Διότι βλέπεις μετὰ ἀπ' αὐτὸ τὸν Βαρνάβα ν' ἀπολαμβάνει ἀπὸ τὸν Παῦλο στὶς ἐπιστολές του πολλὰ ἐγκώμια· «Διαφωνία ἔντονη», λέγει, «συνέβηκε», ὄχι ἔχθρα, οὔτε φιλονεικία. Τόσο καὶ μόνο κατόρθωσε νὰ ἐπιτύχει ἡ διαφωνία, τὸ ν' ἀποχωρισθοῦν· Καὶ πολὺ σωστά· διότι ἐκεῖνο ποὺ ὁ καθένας θεωροῦσε ὅτι εἶναι ὠφέλιμο, αὐτὸ στὴ συνέχεια δὲν στάθηκε ἐμπόδιο γιὰ τὴν ἐπικοινωνία του μὲ ἐκεῖνον. Ἐγὼ ἔχω τὴ γνώμη ὅτι ὁ χωρισμὸς ἔγινε καὶ μὲ σύνεση καὶ λέγοντας ἀναμεταξύ τους· 'ἐπειδὴ ἐγὼ δὲν θέλω νὰ ρθεῖ μαζί μας, σὺ δὲ θέλεις, γιὰ νὰ μὴ φιλονεικοῦμε, ἂς διαμοιράσομε τοὺς τόπους'. Ὥστε αὐτὸ τὸ ἔκαναν, δείχνοντας μεγάλη ὑποχώρηση ὁ ἕνας πρὸς τὸν ἄλλο. Διότι ἤθελε ὁ Βαρνάβας νὰ πραγματοποιηθεῖ ἡ ἐπιθυμία τοῦ Παύλου, γι' αὐτὸ καὶ ἀναχώρησε· ἤθελε καὶ ὁ Παῦλος ὅμοια νὰ γίνει τὸ θέλημα ἐκείνου, γι' αὐτὸ καὶ αὐτὸς κάνει τὸ ἴδιο καὶ ἀναχωρεῖ. Μακάρι καὶ ἐμεῖς νὰ χωριζόμασταν κατὰ τὸν ἴδιο τρόπο, μὲ σκοπὸ νά πᾶμε νὰ κηρύξομε!

2· «Ὁ δὲ Παῦλος», λέγει, «διάλεξε τὸν Σίλα καὶ ἀναχώρησε ἀφοῦ οἱ ἀδελφοὶ τὸν παρέδωσαν στὴ χάρη τοῦ Θεοῦ»[8]. Εἶναι ἄξιος πολλοῦ θαυμασμοῦ αὐτὸς ὁ ἄνδρας καὶ πάρα πολὺ μεγάλος. Πάρα πολὺ ὠφελοῦσε αὐτὴ ἡ διαφωνία τὸν Μάρκο· διότι ἡ μὲν σκληρότητα τοῦ Παύλου τὸν ἔκανε ν' ἀλλάξει γνώμη, ἡ δὲ καλωσύνη τοῦ Βαρνάβα τὸν ἔκαμνε νά μὴ τὸν ἐγκαταλείψει πλέον, μὲ ἀποτέλεσμα νὰ ὑπάρχει μὲν μεταξύ τους διαφωνία, τὸ δὲ κέρδος καταλήγει στὸν ἴδιο σκοπό· καθόσον, βλέποντας τὸν Παῦλο νὰ προτιμᾶ ν' ἀποχωρισθεῖ, ὁπωσδήποτε θὰ φοβήθηκε πολὺ καὶ θὰ κατηγόρησε τὸν ἑαυτό του, καὶ πάλι, βλέποντας τὸν Βαρνάβα τόσο πολὺ νὰ ἐπιμένει νὰ τὸν πάρει μαζί του, ὁπωσδήποτε θὰ τὸν ἀγάπησε πάρα πολύ· ἔτσι διορθωνόταν ὁ μαθητὴς μὲ τὴ διαφωνία αὐτὴ τῶν δασκάλων· τόσο πολὺ ἀπεῖχε ἀπὸ τὸ νὰ σκανδαλι-

σθῆναι. Εἰ μὲν γὰρ διὰ τὴν εἰς ἑαυτοὺς τιμὴν τοῦτο ἔπραττον, εἰκότως, εἰ δὲ διὰ τὴν αὐτοῦ σωτηρίαν, καὶ δι' ἓν φιλονεικοῦσιν, ὥστε δεῖξαι τὸν τιμήσαντα αὐτὸν καλῶς βεβουλευμένον, τί ἄτοπον;

Ὅρα τὴν σύνεσιν τοῦ Παύλου· οὐ πρότερον ἐπ' ἄλλας ἔρχεται πόλεις, πρὶν ἢ τὰς δεξαμένας τὸν λόγον ἐπισκέψασθαι. «Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας». «Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν»· καὶ γὰρ ἀνοίας ἐστὶν εἰκῆ τρέχειν. Τοῦτο καὶ ἡμεῖς ποιῶμεν· τοὺς πρώτους πρῶτον παιδεύωμεν, ἵνα μὴ οὗτοι ἐμπόδιον γίνωνται τοῖς μετὰ ταῦτα.

«Ἐπισκεψώμεθα», φησί, «τοὺς ἀδελφοὺς πῶς ἔχουσι». Καὶ τοῦτο ἠγνόει εἰκότως, ἵνα ἐλθὼν τοὺς ἀδελφοὺς ἐπισκέψηται. Ὅρα αὐτὸν ἀεὶ διεγηγερμένον, μεριμνῶντα, οὐκ ἀνεχόμενον καθῆσθαι, καίτοι μυρίους ὑπέμενε κινδύνους. Ὁρᾷς ὅτι οὐ δειλίας ἦν τὸ εἰς Ἀντιόχειαν ἐλθεῖν; Καθάπερ γὰρ ἰατρὸς ἐπὶ τοὺς κάμνοντας ἀπῄει, καὶ τὴν ἀνάγκην τῆς ἐπισκέψεως ἐδήλωσεν, εἰπών· «Ἐν αἷς κατηγγείλαμεν τὸν λόγον». Ἀπέστη ὁ Βαρνάβας, καὶ οὐκέτι συνῆλθεν.

«Ἐπιλεξάμενος», φησί, «τὸν Σίλαν, καὶ παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ». Τί τοῦτό ἐστιν; Ηὔξαντο, φησίν, ἐδεήθησαν τοῦ Θεοῦ. Ὅρα πανταχοῦ μεγάλα δυναμένην τὴν εὐχὴν τῶν ἀδελφῶν. Καὶ λοιπὸν πεζῇ ὥδευε, καὶ διὰ τῆς ὁδοιπορίας ὠφελῆσαι τοὺς ὁρῶντας βουλόμενος. Εἰκότως· ὅτε μὲν γὰρ ἔσπευδον, ἔπλεον, νῦν δὲ οὐκ ἔτι.

---

4. Πράξ. 15, 41 - 16, 1
5. Πράξ. 15, 36
6. Πράξ. 15, 36
7. Πράξ. 15, 40

σθεῖ. Διότι, ἐὰν μὲν αὐτὸ τὸ ἔκαμναν γιὰ τὴν τιμὴ πρὸς τὸν ἑαυτό τους, πολὺ σωστὰ θὰ ἔπρεπε νὰ σκανδαλισθεῖ, ἐὰν ὅμως τὸ ἔκαμναν γιὰ τὴ σωτηρία αὐτοῦ καὶ γιὰ ἕνα πράγμα φιλονεικοῦν, μὲ σκοπὸ νὰ δείξουν ὅτι ἔλαβε σωστὴ ἀπόφαση ἐκεῖνος ποὺ τὸν τίμησε, ποιὸ εἶναι τότε τὸ παράξενο;

Πρόσεχε τὴ σύνεση τοῦ Παύλου· δὲν μεταβαίνει προηγουμένως σ' ἄλλες πόλεις, προτοῦ ἐπισκεφθεῖ τὶς πόλεις ποὺ δέχθηκαν τὸ λόγο τοῦ Θεοῦ. «Διῆλθε τὴ Συρία καὶ τὴν Κιλικία, στηρίζοντας στὴν πίστη τὶς ἐκκλησίες. Ἔφθασε δὲ στὴ Δέρβη καὶ στὰ Λύστρα»[4]· καθόσον εἶναι ἀνοησία τὸ νὰ τρέχει κανεὶς ἄσκοπα. Αὐτὸ ἂς κάμνομε καὶ ἐμεῖς· πρῶτα ἂς διδάσκομε τοὺς πρώτους, γιὰ νὰ μὴ γίνονται αὐτοὶ ἐμπόδιο σ' ἐκείνους ποὺ θὰ διδάξομε στὴ συνέχεια.

«Ἂς ἐπισκεφθοῦμε», λέγει, «τοὺς ἀδελφοὺς γιὰ νὰ δοῦμε πῶς εἶναι»[5]. Καὶ αὐτὸ φυσικὰ δὲν τὸ γνώριζε, ὥστε νὰ μεταβεῖ καὶ νὰ ἐπισκεφθεῖ τοὺς ἀδελφούς. Πρόσεχε αὐτὸν ποὺ πάντοτε ἐπαγρυπνεῖ καὶ φροντίζει καὶ δὲν ἀνέχεται νὰ κάθεται, ἂν καὶ βέβαια ὑπέμενε ἄπειρους κινδύνους. Βλέπεις ὅτι δὲν ἦταν ἀποτέλεσμα δειλίας τὸ νὰ ρθεῖ στὴν Ἀντιόχεια; Διότι σὰν γιατρὸς ἀκριβῶς μετέβαινε πρὸς τοὺς ἀσθενεῖς, καὶ δήλωσε καὶ τὴν ἀνάγκη τῆς ἐπισκέψεως, λέγοντας· «Στὶς ὁποῖες κηρύξαμε τὸ λόγο τοῦ Κυρίου»[6]. Ἀποχώρησε ὁ Βαρνάβας καὶ δὲν πῆγε ξανὰ μαζί του.

«Ἀφοῦ διάλεξε», λέγει, «τὸν Σίλα καὶ παραδόθηκε στὴ χάρη τοῦ Θεοῦ»[7]. Τί σημαίνει αὐτό; Προσευχήθηκαν, λέγει, παρακάλεσαν τὸ Θεό. Πρόσεχε παντοῦ ποὺ ἡ προσευχὴ τῶν ἀδελφῶν ἔχει τὴ δύναμη νὰ ἐπιτύχη μεγάλα πράγματα. Καὶ βάδιζε λοιπὸν πεζός, θέλοντας καὶ μὲ τὴν ὁδοιπορία του νὰ ὠφελήσει ἐκείνους ποὺ τὸν ἔβλεπαν. Καὶ πολὺ σωστά· διότι, ὅταν μὲν ὑπῆρχε βιασύνη, πήγαιναν μὲ τὸ πλοῖο, τώρα ὅμως δὲν ὑπῆρχε πιὰ βιασύνη.

«Καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος· ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεσαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχεν». Ἄξιον ἐκπλαγῆναι τοῦ Παύλου τὴν σύνεσιν. Ὁ τοσαῦτα μαχεσάμενος περὶ τῆς περιτομῆς, ὁ πάντα κινήσας, καὶ μὴ πρότερον ἀποστὰς ἕως ὅτε κατώρθωσε, τοῦ δόγματος κυρωθέντος, περιτέμνει τὸν μαθητήν. Οὐ μόνον ἑτέρους οὐ κωλύει, ἀλλὰ καὶ αὐτὸς τοῦτο ἐργάζεται. Οὐδὲν Παύλου συνετώτερον· ὥστε πάντα πρὸς τὸ συμφέρον ἑώρα· οὐδὲν ἁπλῶς ἐποίει προλήψει.

«Τοῦτον ἠθέλησε», φησίν, «ἐξελθεῖν σὺν αὐτῷ». Τὸ θαυμαστὸν τοῦτο, ὅτι καὶ ἐπήγετο αὐτόν. «Διὰ τοὺς Ἰουδαίους», φησί, «τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις». Αὕτη ἡ αἰτία τοῦ περιτεμεῖν· οὐ γὰρ ἂν ἠνέσχοντο παρὰ ἀκροβύστου τὸν λόγον ἀκοῦσαι. Καὶ τί; Ὅρα τὸ κατόρθωμα· περιέτεμεν, ἵνα περιτομὴν καθέλῃ· τὰ δόγματα γὰρ ἐκήρυττε τὰ τῶν Ἀποστόλων. Ὁρᾷς μάχην, καὶ διὰ μάχης οἰκοδομήν; Οὐ παρ' ἑτέρων πολεμούμενοι, ἀλλὰ καὶ αὐτοὶ ἐναντία ποιοῦντες, οὕτω τὴν Ἐκκλησίαν ᾠκοδόμουν. Δόγμα εἰσήνεγκαν μὴ περιτέμνειν, καὶ περιτέμνει. «Καὶ ἐπερίσσευον», φησί, «τῷ ἀριθμῷ καθ' ἡμέραν»· Εἶδες τὸ κέρδος τῆς περιτομῆς; Εἶτα λοιπὸν οὐκ ἐνδιατρίβει τούτοις, ἅτε ἐπισκέψασθαι ἐλθών, ἀλλὰ τί; Πόρρω πρόεισιν.

---

8. Πράξ. 16, 1 - 3
9. Πράθ. 16, 3
10. Πράξ. 16, 5

«Καὶ νά, ὑπῆρχε ἐκεῖ κάποιος μαθητής, ὀνομαζόμενος Τιμόθεος, ἀπὸ μητέρα Ἰουδαία ποὺ πίστεψε στὸ Χριστό, πατέρα δὲ Ἕλληνα, γιὰ τὸν ὁποῖο ὑπῆρχαν καλὲς μαρτυρίες ἀπὸ τοὺς ἀδελφοὺς τῶν Λύστρων καὶ τοῦ Ἰκονίου. Αὐτὸν θέλησε ὁ Παῦλος νὰ τὸν πάρει μαζί του, καὶ γι' αὐτὸ τὸν πῆρε καὶ τὸν περιέτεμε ἐξ αἰτίας τῶν Ἰουδαίων ποὺ ὑπῆρχαν στὰ μέρη ἐκεῖνα· διότι γνώριζαν ὅλοι τὸν πατέρα αὐτοῦ ὅτι ἦταν Ἕλληνας»[8]. Ἀξίζει νὰ νιώσομε ἔκπληξη μὲ τὴ σύνεση τοῦ Παύλου· Αὐτὸς ποὺ τόσο πολὺ ἀγωνίσθηκε γιὰ τὴν περιτομή, ποὺ ὅλα τὰ μέσα μεταχειρίσθηκε καὶ δὲν σταμάτησε τὸν ἀγώνα του μέχρι ποὺ ἐπέτυχε τὸ σκοπό του, αὐτός, ἐνῶ ἡ ἀπόφαση γι' αὐτὴν ἐπικυρώθηκε, περιτέμνει τὸν μαθητή. Ὄχι μόνο δὲν ἐμποδίζει ἄλλους, ἀλλὰ καὶ ὁ ἴδιος τὸ κάμνει αὐτό. Δὲν ὑπάρχει τίποτε πιὸ συνετὸ ἀπὸ αὐτὸ ποὺ κάνει ὁ Παῦλος· διότι ὅλα τὰ ἔβλεπε πρὸς τὸ συμφέρον τῆς Ἐκκλησίας· τίποτε δὲ ἔκαμνε στὴν τύχη καὶ ἀπὸ προκατάληψη.

«Αὐτόν», λέγει, «θέλησε νὰ τὸν πάρει μαζί του»[9]. Τὸ ἀξιοθαύμαστο αὐτὸ εἶναι, τὸ ὅτι καὶ πῆρε αὐτὸν μαζί του. «Ἐξ αἰτίας τῶν Ἰουδαίων», λέγει, «ποὺ ὑπῆρχαν στὰ μέρη ἐκεῖνα»[9]. Αὐτὴ εἶναι ἡ αἰτία ποὺ τὸν περιτέμνει· διότι δὲν θὰ ἀνέχονταν ν' ἀκούσουν τὸ κήρυγμα ἀπὸ ἄνθρωπο ποὺ δὲν εἶχε περιτμηθεῖ. Καὶ τί; Πρόσεχε τὸ κατόρθωμα· τὸν περιέτεμε, γιὰ νὰ καταργήσει τὴν περιτομή· διότι κήρυττε τὰ δόγματα τῶν Ἀποστόλων. Βλέπεις διαμάχη καὶ τὴν οἰκοδομὴ τῆς Ἐκκλησίας; Δὲν πολεμοῦνταν ἀπὸ ἄλλους, ἀλλὰ καὶ οἱ ἴδιοι ἐνεργώντας ἀντίθετα, οἰκοδομοῦσαν μὲ τὸν τρόπο αὐτὸ τὴν Ἐκκλησία. Ἔλαβαν τὴν ἀπόφαση νὰ μὴ περιτέμνουν, καὶ αὐτὸς περιτέμνει. «Καὶ καθημερινὰ αὔξανε», λέγει, «ὁ ἀριθμὸς τῶν πιστῶν»[10]. Εἶδες τὸ κέρδος τῆς περιτομῆς; Στὴ συνέχεια δὲν παρατείνει ἄλλο τὴν παραμονή του κοντὰ σ' αὐτούς, ἐπειδὴ ἦρθε γιὰ ἐπίσκεψη, ἀλλὰ τί κάνει; Προχωρεῖ πολὺ μακριά.

3. Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα, τὰ κεκριμένα ὑπὸ τῶν Ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἰερουσαλήμ. Αἱ μὲν οὖν Ἐκκλησίαι ἐστεροῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ, τὴν Φρυγίαν καὶ τὴν Γαλατίαν ἀφέντες, εἰς τὴν μεσόγειον ἔσπευδον. Ἐλθόντες κατὰ τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα». Διὰ τί μὲν οὖν ἐκωλύθησαν οὐ λέγει, ὅτι δὲ ἐκωλύθησαν εἶπε, παιδεύων ἡμᾶς πείθεσθαι μόνον καὶ μὴ ζητεῖν τὰς αἰτίας, καὶ δεικνὺς ὅτι πολλὰ καὶ ἀνθρωπίνως ἐποίουν.

«Παρελθόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρῳάδα. Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ· Ἀνήρ τις Μακεδὼν ἑστώς, παρακαλῶν αὐτὸν καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν»· Διὰ τί ὅραμα, καὶ μὴ τὸ Πνεῦμα τὸ ἅγιον ἐκέλευσεν; Ἐβούλετο αὐτοὺς καὶ οὕτως ἐφέλκεσθαι· ἐπεὶ καὶ τοῖς ἁγίοις ὄναρ ἐφάνη· καὶ ἐξ ἀρχῆς αὐτὸς ὅραμα εἶδεν, ἄνδρα εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρας. Εἶτα καὶ διὰ τοῦτο αὐτὸν ἐκεῖ ἕλκει, ἵνα ἐκτείνηται τὸ κήρυγμα. Ἄλλως δὲ καὶ διὰ τοῦτο κωλύεται ἐνδιατρῖψαι ταῖς ἄλλαις πόλεσιν, ἐπείγοντος αὐτὸν τοῦ Χριστοῦ· οὗτοι μὲν γὰρ ἔμελλον ἀπολαύσεσθαι Ἰωάννου καὶ χρόνον πολύν, καὶ ἴσως οὐδὲ πάνυ ἐδέοντο, ἐκεῖ δὲ ἀπελθεῖν ἔδει. Καὶ ἀντιπεράσας λοιπὸν ἔξεισιν.

---

11. Πράξ. 16, 4-7
12. Πράξ. 16, 8-9

3. «Καθὼς δὲ περνοῦσαν ἀπὸ τὶς πόλεις δίδασκαν σ' αὐτοὺς νὰ φυλάσσουν τὰ δόγματα ποὺ ἀποφασίσθηκαν ἀπὸ τοὺς Ἀποστόλους καὶ τοὺς πρεσβυτέρους στὴν Ἱερουσαλήμ. Ἔτσι λοιπὸν οἱ Ἐκκλησίες στερεώνονταν στὴν πίστη καὶ αὔξανε ὁ ἀριθμός τους καθημερινά. Αὐτοὶ δὲ ἀφοῦ πέρασαν τὴ Φρυγία καὶ τὴ χώρα τῆς Γαλατίας, ἐπειδὴ ἐμποδίσθηκαν ἀπὸ τὸ ἅγιο Πνεῦμα νὰ κηρύξουν τὸ λόγο τοῦ εὐαγγελίου στὴν Ἀσία, ἀφοῦ ἄφησαν τὴ Φρυγία καὶ τὴ Γαλατία, ἑτοιμάζονταν μὲ βιασύνη νὰ προχωρήσουν πρὸς τὴ μεσόγειο. Ἀφοῦ ἦρθαν στὴ Μυσία, προσπαθοῦσαν νὰ βαδίσουν πρὸς τὴ Βιθυνία καὶ δὲν τοὺς ἄφησε τὸ Πνεῦμα»[11]. Γιατί βέβαια ἐμποδίσθηκαν δὲν τὸ λέγει, τὸ ὅτι ὅμως ἐμποδίσθηκαν μᾶς τὸ εἶπε, γιὰ νὰ μᾶς διδάξει νὰ δείχνομε μόνο ὑπακοὴ καὶ νὰ μὴ ζητᾶμε νὰ βροῦμε τὶς αἰτίες, καὶ γιὰ νὰ δείξει ὅτι πολλὰ τὰ ἔκαμναν καὶ μὲ τὴν ἀνθρώπινη μόνο δύναμη.

«Ἀφοῦ δὲ προσπέρασαν τὴ Μυσία, κατέβηκαν στὴν Τρωάδα. Τὴ νύχτα παρουσιάσθηκε ὅραμα στὸν Παῦλο· κάποιος ἄνδρας Μακεδόνας στεκόταν καὶ τὸν παρακαλοῦσε λέγοντας· Πέρασε στὴ Μακεδονία, βοήθησέ μας»[12]. Γιατί βλέπει ὅραμα καὶ δὲν τὸν πρόσταξε τὸ ἅγιο Πνεῦμα; Ἤθελε αὐτοὺς καὶ ἔτσι νὰ τοὺς καθοδηγεῖ· καθόσον καὶ στοὺς ἁγίους ὄνειρο παρουσιάσθηκε· καὶ ὁ ἴδιος στὴν ἀρχὴ ὅραμα εἶδε, κάποιον ἄνδρα ποὺ εἰσῆλθε καὶ ἔθεσε τὰ χέρια του ἐπάνω σ' αὐτόν· Ἔπειτα καὶ γι' αὐτὸ τὸν μεταφέρει πρὸς τὰ ἐκεῖ, γιὰ νὰ ἁπλώνεται ἡ διάδοση τοῦ κηρύγματος. Ἄλλωστε δὲ καὶ γι' αὐτὸ ἐμποδίζεται νὰ παραμείνει περισσότερο στὶς ἄλλες πόλεις, διότι ὁ Χριστὸς τὸν ὤθοῦσε πρὸς τὰ ἐκεῖ· διότι αὐτοὶ ἐπρόκειτο ν' ἀπολαύσουν τὸν Ἰωάννη γιὰ πολὺ χρόνο, καὶ ἴσως δὲν τὸν χρειάζονταν καὶ πολύ, γι' αὐτὸ ἔπρεπε νὰ μεταβεῖ ἐκεῖ. Καὶ ἀφοῦ λοιπὸν πέρασε ἀπέναντι, προχώρησε πρὸς τὰ ἐκεῖ.

«Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες δὲ ἀπὸ Τρῳάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς Μακεδονίας πόλις κολώνεια. Ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς». Οὕτως αὐτῷ καὶ ὁ Χριστὸς φαίνεται, λέγων ὅτι «Καίσαρί σε δεῖ παραστῆναι». Εἶτα λέγει καὶ τοὺς τόπους, ἅτε ἱστορίαν ἐξηγούμενος, καὶ δεικνὺς ποῦ ἐνεχρόνισε· καὶ δείκνυσιν ὅτι ἐν ταῖς μείζοσι, τὰς δὲ ἄλλας παρῄει. Ἀξίωμά ἐστι πόλεως ἡ κολώνεια. Ἀλλ' ἄνωθεν εἴδωμεν τὰ εἰρημένα.

4. «Ἀνάγκην περιτίθησι τῷ Βαρνάβᾳ τῆς ἀποδημίας, λέγων· «Ἐπισκεψώμεθα τὰς πόλεις, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον»· καίτοι οὐκ ἔδει ἀξιοῦν αὐτόν, μέλλοντα κατηγορεῖν μετὰ ταῦτα. Τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ γίνεται καὶ τοῦ Μωϋσέως, ὁ μὲν ἀξιοῖ, ὁ δὲ ὀργίζεται· οἷον ὡς, ὅταν λέγῃ· «Εἰ ὁ πατὴρ αὐτῆς ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς», καὶ πάλιν· «Ἄφες με, καὶ θυμωθεὶς ἐξαλείψω τὸν λαὸν τοῦτον»· καὶ ὁ Σαμουλ, ὅταν πενθῇ τὸν Σαούλ· δι' ἑκατέρων γὰρ μεγάλα γίνεται ἀγαθά. Οὕτω δὴ καὶ ἐνταῦθα ὁ μὲν ὀργίζεται, ὁ δὲ οὐκ ἔτι. Τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται.

Καὶ ὁ παροξυσμὸς εἰκότως, ἵνα ἐκεῖνος παιδευθῇ, καὶ μὴ δόξῃ σκηνὴ τὸ πρᾶγμα εἶναι· οὐ γὰρ ἂν ὁ πανταχοῦ εἴκων, ἐνταῦθα οὐκ εἶξεν, ὁ οὕτω Παῦλον φιλῶν, ὥστε καὶ πρὸ τούτου ζητῆσαι αὐτὸν

---

13. Πράξ. 16, 10 - 12
14. Πράξ. 27, 24
15. Πράξ. 15, 36
16. Ἀριθμ. 12, 14
17. Ἐξ. 32, 33
18. Α' Βασ. 15, 35

«Μόλις δὲ εἶδε τὸ ὅραμα, ἀμέσως θελήσαμε νὰ φύγομε γιὰ τὴ Μακεδονία, διότι συμπεράναμε ὅτι ὁ Κύριος μᾶς ἔχει προσκαλέσει γιὰ νὰ κηρύξομε τὸ εὐαγγέλιο σ' αὐτούς. Ἀφοῦ ξεκινήσαμε ἀπὸ τὴν Τρωάδα, πλεύσαμε κατ' εὐθεία στὴ Σαμοθράκη, τὴν ἑπόμενη στὴ Νεάπολη, καὶ ἀπὸ ἐκεῖ στοὺς Φιλίππους, ποὺ εἶναι ἡ πρώτη πόλη τῆς Μακεδονίας, ρωμαϊκὴ ἀποικία, παραμείναμε δὲ στὴν πόλη αὐτὴ ἀρκετὲς ἡμέρες»[13]. Κατὰ τὸν ἴδιο τρόπο παρουσιάζεται σ' αὐτὸν καὶ ὁ Χριστός, λέγοντας ὅτι «Πρέπει νὰ παρουσιασθεῖς στὸν Καίσαρα»[14]. Ἔπειτα περιγράφει καὶ τοὺς τόπους, ἐπειδὴ διηγεῖται ἱστορία, καὶ γιὰ νὰ δείξει ποῦ ἔμεινε περισσότερο χρόνο· καὶ δείχνει ὅτι ἔμεινε περισσότερο χρόνο στὶς μεγάλες πόλεις, ἐνῶ τὶς ἄλλες τὶς προσπερνοῦσε. Τιμὴ γιὰ τὴν πόλη ἦταν νὰ εἶναι ρωμαϊκὴ ἀποικία. Ἀλλ' ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

4· Παρουσιάζει στὸν Βαρνάβα ἀναγκαία τὴν ἀναχώρηση, λέγοντας· «Ἂς ἐπισκεφθοῦμε τὶς πόλεις στὶς ὁποῖες κηρύξαμε τὸ λόγο τοῦ Κυρίου»[15]· ἂν καὶ βέβαια δὲν ἔπρεπε νὰ τὸ ζητᾶ ἀπ' αὐτόν, ἐφόσον ἐπρόκειτο στὴ συνέχεια νὰ τὸν κατηγορεῖ. Αὐτὸ γίνεται καὶ στὴν περίπτωση τοῦ Θεοῦ καὶ τοῦ Μωυσῆ, ὁ μὲν Μωυσῆς ζητᾶ, ὁ δὲ Θεὸς ὀργίζεται· ὅπως ὅταν λέγει· «Ἐὰν ὁ πατέρας αὐτῆς τὴν ἔφτυνε στὸ πρόσωπό της»[16]· καὶ πάλι· «Ἄφησέ με, ἐπειδὴ ὀργίσθηκα θὰ ἐξαφανίσω τὸ λαὸ αὐτό»[17]· καὶ ὁ Σαμουήλ, τὸ ἴδιο κάνει, ὅταν πενθεῖ τὸν Σαούλ[18]· διότι καὶ μὲ τὰ δύο προκύπτουν μεγάλα ἀγαθά. Ἔτσι λοιπὸν καὶ ἐδῶ ὁ μὲν ἕνας ὀργίζεται, ὁ ἄλλος ὅμως ὄχι. Αὐτὸ συμβαίνει καὶ μ' ἐμᾶς.

Καὶ ἡ διαφωνία πολὺ σωστὰ δημιουργεῖται, ὥστε καὶ ἐκεῖνος νὰ διδαχθεῖ, καὶ νὰ μὴ νομίσει τὸ πράγμα ὅτι εἶναι κάποια συμπλοκή· διότι δὲν θὰ ἦταν δυνατό, ἐκεῖνος ποὺ ὑποχωροῦσε παντοῦ, νὰ μὴ ὑποχωροῦσε ἐδῶ, ἐκεῖνος ποὺ ἀγαποῦσε τόσο πολὺ τὸν Παῦλο, ὥστε καὶ πρὶν ἀπ' αὐτὸ

ἐν Ταρσῷ, καὶ πρὸς τοὺς Ἀποστόλους αὐτὸν ἀπενεγκεῖν, καὶ τὴν ἐλεημοσύνην κοινὴν ἐργάσασθαι, καὶ τὰ κατὰ τὸ δόγμα κοινῇ καταδέξασθαι. Οὐκ ἂν οὖν διὰ τοιοῦτον πρᾶγμα ὠργίσθη, ἀλλὰ χωρίζονται ἀπ' ἀλλήλων, ὥστε παιδεῦσαι καὶ ἀπαρτίσαι διὰ τοῦ χωρισμοῦ τοὺς δεομένους τῆς παρ' αὐτῶν διδασκαλίας· ὥσπερ οὖν καὶ ἀλλαχοῦ ποιεῖ, λέγων· «Ὑμεῖς δὲ μὴ ἐκκακεῖτε τὸ καλὸν ποιοῦντες». Καὶ ἐπιτιμᾷ μὲν ἑτέροις, κελεύει δὲ τὸ καλὸν ποιεῖν πρὸς πάντας. Τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ποιοῦμεν. Ἐνταῦθά μοι δοκοῦσι καὶ ἄλλοι συναγανακτῆσαι τῷ Παύλῳ. Καὶ λοιπὸν κατ' ἰδίαν κἀκείνους λαβὼν πάντα ποιεῖ, καὶ παραινεῖ, καὶ νουθετεῖ. Πολλὰ ἡ ὁμόνοια δύναται, πολλὰ ἡ ἀγάπη· κἂν ὑπὲρ μεγάλου ἀξιοῖς, κἂν ἀνάξιος ᾖς, ἀπὸ τῆς προαιρέσεως ἀκουσθήσῃ, μὴ φοβοῦ.

«Διήρχετο», φησί, «τὰς πόλεις. Καὶ ἰδοὺ ἦν μαθητής, ὀνόματι Τιμόθεος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν». Μεγάλη ἡ πίστις τοῦ Τιμοθέου, ὅτι ὑπὸ πάντων μαρτυρεῖται. Ὅτε ἀπέστη Βαρνάβας, ἕτερον ἀντίρροπον εὑρίσκει Περὶ τούτου φησί· «Μεμνημένος σου τῶν δακρύων καὶ τῆς ἀνυποκρίτου σου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ του Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ».

«Καὶ λαβὼν», φησί, «περιέτεμεν αὐτόν». Τίνος δὲ ἕνεκεν αὐτὸς ἐπάγει, λέγων, «Διὰ τοὺς Ἰουδαίους, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις»; Διὰ τοῦτο τοίνυν περιτέμνεται, ἢ καὶ διὰ τὸν πατέρα· Ἕλλην γὰρ ἔμενεν ὤν. Ἆρα οὐκ ἦν ἐμπερίτομος. Ὅρα ἤδη τὸν νόμον λυόμενον. Τισὶ δὲ δοκεῖ μετὰ τὸ

---

19. Πράξ. 11, 25
20. Πράξ. 9, 27
21. Πράξ. 15, 22 ἑ.
22. Β' Θεσ. 3, 13
23. Πράξ. 15, 41
24. Β' Τιμ. 1, 4-5
25. Πράξ. 16, 3

ν' ἀναζητήσει αὐτὸν στὴν Ταρσὸ[19] καὶ νὰ τὸν ὁδηγήσει πρὸς τοὺς Ἀποστόλους[20], καὶ τὴν ἐλεημοσύνη μαζὶ νὰ τὴν κάνουν, καὶ τὰ σχετικὰ μὲ τὰ δόγματα τῆς πίστεως μαζὶ νὰ τὰ ἀποδεχθοῦν[21]. Δὲν θὰ ἦταν δυνατὸ λοιπὸν γιὰ τέτοιο πράγμα νὰ ὀργισθεῖ, ἀλλὰ χωρίζονται ἀναμεταξύ τους, ὥστε νὰ διδάξουν καὶ νὰ τελειοποιήσουν μὲ τὸ χωρισμό τους τὴ γνώση σ' ἐκείνους ποὺ εἶχαν ἀνάγκη τῆς διδασκαλίας τους· ὅπως ἀκριβῶς βέβαια καὶ ἀλλοῦ τὸ ἴδιο κάνει, λέγοντας· «Σεῖς ὅμως μὴ δειλιάζετε στὸ νὰ κάμνετε τὸ καλό»[22]. Καὶ ἐπιτιμᾶ μὲν ἄλλους, προτρέπει ὅμως ὅλους νὰ κάμνουν τὸ καλό. Τὸ ἴδιο κάνομε καὶ στὶς σχέσεις μας μὲ τοὺς ἀνθρώπους. Ἐδῶ μοῦ φαίνεται ὅτι καὶ ἄλλοι ἀγανάκτησαν μαζί μὲ τὸν Παῦλο. Καὶ ἐκείνους στὴ συνέχεια ἀφοῦ τοὺς πῆρε τὸν καθένα ξεχωριστὰ κάμνει τὰ πάντα, καὶ τοὺς συμβουλεύει καὶ τοὺς νουθετεῖ· Πολλὰ μπορεῖ ἡ ὁμόνοια νὰ ἐπιτύχει, πολλὰ ἡ ἀγάπη· εἴτε ζητᾶς γιὰ μεγάλο πράγμα, εἴτε εἶσαι ἀνάξιος, μὴ φοβᾶσαι, θὰ εἰσακουσθεῖς ἐξ αἰτίας τῆς καλῆς διαθέσεώς σου.

«Περνοῦσε», λέγει, «ἀπὸ τὶς πόλεις. Καὶ νὰ ὑπῆρχε κάποιος μαθητής, ὀνομαζόμενος Τιμόθεος, γιὰ τὸν ὁποῖο ὑπῆρχαν καλὲς μαρτυρίες ἀπὸ τοὺς ἀδελφοὺς τῶν Λύστρων καὶ τοῦ Ἰκονίου»[23]. Μεγάλη εἶναι ἡ πίστη τοῦ Τιμόθεου, διότι μαρτυρεῖται αὐτὴ ἀπὸ ὅλους. Ὅταν ἀναχώρησε ὁ Βαρνάβας, βρίσκει ἄλλο ἀντίρροπο. Γι' αὐτὸν λέγει ὁ Παῦλος· «Ἐνθυμούμενος τὰ δάκρυά σου καὶ τὴν εἰλικρινὴ πίστη σου, ἡ ὁποία κατοίκησε πρῶτα στὴ γιαγιά σου τὴ Λαωΐδα καὶ στὴ μητέρα σου τὴν Εὐνίκη»[24].

«Καὶ ἀφοῦ τὸν πῆρε», λέγει, «τὸν περιέτεμε»[25]. Γιὰ ποιὸ λόγο αὐτὸς προσθέτει καὶ λέγει, «Ἐξ αἰτίας τῶν Ἰουδαίων ποὺ ὑπῆρχαν στὰ μέρη ἐκεῖνα»; Γι' αὐτὸ λοιπὸν περιτέμνεται ἢ καὶ ἐξ αἰτίας τοῦ πατέρα του· διότι ἐξακολουθοῦσε νὰ εἶναι Ἕλληνας. Ἐπομένως δὲν ἦταν περιτμημένος. Πρόσεχε τὸ νόμο ποὺ ἤδη καταργεῖται.

κήρυγμα αὐτὸν τεχθῆναι, ἀλλ' οὐκ ἔστι τάχα τοῦτο· «ἀπὸ βρέφους» γάρ, φησί, «τὰ ἱερὰ Γράμματα οἶδας». Ἐκεῖνο τοίνυν ἔστιν εἰπεῖν, εἰ μὴ τοῦτο, ὅτι ἔμελλεν αὐτὸν ἐπίσκοπον ποιεῖν, καὶ οὐκ ἔδει ἀκρόβυστον εἶναι. Τέως δὲ ἔδει τὰ ἔθνη μηδὲν τοιοῦτον φυλάττειν. Οὐ μικρὸν καὶ τοῦτο ἦν, ὅπου γε μετὰ τοσοῦτον χρόνον καὶ τοῦτο αὐτοὺς ἐσκανδάλιζεν. Ἀρχὴ καταλύσεως ἦν τὰ ἔθνη μὴ τηρεῖν ταῦτα, καὶ μηδὲν βλάπτεσθαι, μηδὲ ἔλαττον ἔχειν κατὰ τὴν πίστιν· ἑκόντες λοιπὸν ἀφίσταντο. Ἐπεὶ οὖν ἔμελλε κηρύττειν, ἵνα μὴ διπλῇ πλήξῃ τοὺς Ἰουδαίους, περιέτεμε τοῦτον, καίτοι ἐξ ἡμισείας ἦν (ἀπὸ πατρὸς Ἕλληνος γὰρ ἦν, καὶ πιστῆς μητρός), ἀλλ' ὅμως, ἐπειδὴ μέγα ἦν ἐκεῖνο τὸ κατόρθωμα τὸ ἐν τοῖς ἔθνεσιν, οὐκ ἐφρόντιζε τούτου· τὸν γὰρ λόγον ἔδει κατασπαρῆναι· διὰ τοῦτο καὶ αὐτὸς αὐτὸν περιέτεμεν.

Ὅρα καὶ ἐνταῦθα ἀπὸ ἐναντιώσεως μέγα τι γενόμενον ἀγαθόν. «Καὶ ἐπερίσσευον τῷ ἀριθμῷ», φησίν. Ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν ἔβλαψε περιτομή, ἀλλὰ καὶ τὰ μέγιστα ὠφέλησεν;

«Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως», φησίν, «ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος». Ὅρα, οὐκέτι δι' ἀγγέλου, καθάπερ Φιλίππῳ, καθάπερ Κορνηλίῳ, ἀλλὰ τί; Δι' ὁράματος φαίνεται αὐτῷ λοιπὸν ἀνθρωπινώτερον, οὐκέτι θειότερον. Ἔνθα μὲν γὰρ εὐκολώτερον τὸ πεισθῆναι, ἀνθρωπινώτερον, ἔνθα δὲ

26. Β΄ Τιμ. 3, 15
27. Πράξ. 16, 5
28. Πράξ. 16, 10

Μερικοὶ πιστεύουν ὅτι ὁ Τιμόθεος γεννήθηκε πνευματικὰ μετὰ τὸ κήρυγμα ποὺ ἄκουσε, ἀλλ' ὅμως δὲν εἶναι δυνατὸ αὐτό· διότι, λέγει, «Ἀπὸ τὴ βρεφικὴ ἡλικία γνωρίζει τὰ ἱερὰ Γράμματα»[26]. Ἐκεῖνο λοιπὸν μποροῦμε νὰ ποῦμε, ἤ, ἐὰν ὄχι αὐτό, ὅτι ἐπρόκειτο νὰ τὸν κάνει ἐπίσκοπο, καὶ δὲν ἔπρεπε νὰ μὴ εἶναι περιτμημένος. Κατ' ἀρχὴ ὅμως ἔπρεπε οἱ ἐθνικοὶ νὰ μὴ φυλάττουν τίποτε παρόμοιο. Δὲν ἦταν καὶ αὐτὸ μικρό, τὴ στιγμὴ βέβαια ποὺ μετὰ ἀπὸ τόσο χρόνο καὶ αὐτὸ τοὺς σκανδάλιζε. Ἀρχὴ τῆς καταργήσεως ἦταν τὸ νὰ μὴ τηροῦν οἱ ἐθνικοὶ αὐτά, χωρὶς νὰ βλάπτονται καθόλου, οὔτε καὶ νὰ ὑπολείπονται κατά τι ὡς πρὸς τὴ πίστη· μὲ τὴ θέλησή τους λοιπὸν ἀπομακρύνονταν ἀπὸ τὶς διατάξεις τοῦ νόμου. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ κηρύττει, γιὰ νὰ μὴ δώσει διπλὸ πλῆγμα στοὺς Ἰουδαίους, περιέτεμε αὐτόν, ἂν καὶ κατὰ τὸ μισὸ ἦταν ἐθνικὸς (διότι ἦταν ἀπὸ πατέρα Ἕλληνα καὶ ἀπὸ πιστὴ μητέρα), ἀλλ' ὅμως, ἐπειδὴ ἦταν μεγάλο τὸ κατόρθωμα ἐκεῖνο ποὺ συνέβηκε στοὺς ἐθνικούς, δὲν φρόντιζε γι' αὐτό· διότι ἔπρεπε ὁ λόγος τοῦ Κυρίου νὰ διαδοθεῖ· γι' αὐτὸ καὶ αὐτὸς περιέτεμε αὐτόν·

Πρόσεχε καὶ ἐδῶ ποὺ προέκυψε κάποιο μεγάλο ἀγαθὸ ἀπὸ τὴν ἀντίθετη αὐτὴ ἐνέργεια τοῦ Παύλου. «Καὶ αὔξανε ὁ ἀριθμὸς τῶν πιστῶν»[27], λέγει. Βλέπεις ὅτι ὄχι μόνο δὲν ἔβλαψε καθόλου ἡ περιτομή, ἀλλὰ καὶ ὠφέλησε σὲ πάρα πολὺ μεγάλο βαθμό;

«Μόλις δὲ εἶδε τὸ ὅραμα ἀμέσως», λέγει, «θελήσαμε ν' ἀναχωρήσομε γιὰ τὴ Μακεδονία, συμπεραίνοντας ὅτι ὁ Κύριος μᾶς ἔχει προσκαλέσει»[28]. Πρόσεχε ὅτι ἡ πρόσκληση δὲν γίνεται μὲ ἄγγελο, ὅπως ἀκριβῶς στὸν Φίλιππο, καὶ ὅπως στὸν Κορνήλιο, ἀλλὰ πῶς; Μὲ ὅραμα παρουσιάζεται σ' αὐτόν, μὲ τρόπο δηλαδὴ περισσότερο ἀνθρώπινο καὶ ὄχι θεϊκό. Διότι ὅπου μὲν ἦταν εὐκολότερο νὰ πιστέψει, παρουσιάζεται ἀνθρωπινότερα, ὅπου ὅμως ἡ δυσκο-

πολλὴ ἡ βία, θειότερον. Ὅπου μὲν γὰρ κηρῦξαι ἠπείγετο μόνον, εἰς τοῦτο ὄναρ φαίνεται αὐτῷ, ὅπου δὲ μὴ κηρῦξαι οὐκ ἠνείχετο, εἰς τοῦτο Πνεῦμα ἅγιον ἀποκαλύπτει. Οὕτω καὶ ἐκεῖ τῷ Πέτρῳ· «Ἀναστὰς κατάβηθι». Οὐ γὰρ δὴ καὶ τὰ εὔκολα εἰργάζετο τὸ Πνεῦμα, ἀλλ' ἤρκει καὶ ὄναρ αὐτῷ. Καὶ τῷ Ἰωσὴφ δέ, ῥᾳδίως πειθομένῳ, ὄναρ φαίνεται, τοῖς δὲ ἄλλοις ὕπαρ. Οὕτω καὶ Κορνηλίῳ, καὶ αὐτῷ τούτῳ.

«Καὶ ἰδού», φησίν, «ἀνὴρ Μακεδὼν ἑστώς, παρακαλῶν καὶ λέγων». Οὐκ εἶπεν, 'Ἐπιτάττων', ἀλλὰ «παρακαλῶν»· τουτέστιν, ὑπὲρ αὐτῶν τῶν δεομένων τῆς θεραπείας. Τί ἐστι, «Συμβιβάζοντες»; Στοχαζόμενοι, φησί. Τῷ τε γὰρ Παῦλον ἰδεῖν καὶ μηδένα ἕτερον, καὶ τῷ κωλυθῆναι ὑπὸ τοῦ Πνεύματος, καὶ τῷ πρὸς τοῖς ὅροις εἶναι, ἀπὸ τούτων ἁπάντων ταῦτα συνῆγον· ἄλλως δὲ καὶ ὁ πλοῦς τοῦτο ἐνέφαινεν· οὐ γὰρ ἐγένετο χρόνος πολύς, ὅθεν εἰς αὐτὴν τὴν ῥίζαν τῆς Μακεδονίας παραγίνονται. Ὥστε ὁ παροξυσμὸς συμφερόντως οἰκονομεῖται γενέσθαι· οὐκ ἂν γὰρ ἐνήργησε τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἂν τὸν λόγον Μακεδονία ἐδέξατο. Ἡ δὲ τοσαύτη προκοπὴ σημεῖον τοῦ μὴ εἶναί τι ἀνθρώπινον τὸ γεγονός. Καίτοι οὐκ ἔφη ὅτι Βαρνάβας παρωξύνθη, ἀλλὰ «μεταξὺ αὐτῶν παροξυσμὸς ἐγένετο». Εἰ οὗτος οὐ παρωξύνθη, οὐδὲ ἐκεῖνος.

5. Ταῦτα εἰδότες, μὴ ἁπλῶς δὴ αὐτὰ ἐκλέγωμεν, ἀλλὰ μανθάνωμεν καὶ παιδευώμεθα· οὐ γὰρ εἰκῇ γέγραπται. Μέγα κακὸν ἀγνοεῖν Γραφάς· ἀφ' ὧν

------

29. Πράξ. 10, 20
30. Πράξ. 16, 9

λία ἦταν μεγάλη, φανερώνεται μὲ πιὸ θεϊκὸ τρόπο. Ὅπου δηλαδὴ βιαζόταν νὰ κηρύξει μόνο, στὴν περίπτωση αὐτὴ παρουσιάζεται σ' αὐτὸν μὲ ὄνειρο, ὅπου ὅμως δὲν ἀνεχόταν νὰ μὴ κηρύξει, τότε τοῦ φανερώνει τὸ ἅγιο Πνεῦμα. Τὸ ἴδιο συμβαίνει καὶ στὴν περίπτωση ἐκείνη τοῦ Πέτρου. «Σήκω καὶ κατέβα»[29]. Διότι βέβαια δὲν ἐνεργοῦσε καὶ τὰ εὔκολα τὸ Πνεῦμα, ἀλλ' ἦταν ἀρκετὸ σ' αὐτὸν καὶ τὸ ὄνειρο μόνο· Καὶ στὸν Ἰωσὴφ δέ, ποὺ πείθεται εὔκολα, παρουσιάζεται μὲ ὄνειρο, στοὺς δὲ ἄλλους μὲ ὅραμα. Κατὰ τὸν ἴδιο τρόπο καὶ στὸν Κορνήλιο καὶ σ' αὐτὸν τὸν ἴδιο.

«Καὶ νά», λέγει, «κάποιος ἄνδρας Μακεδόνας στεκόταν, τὸν παρακαλοῦσε καὶ τοῦ ἔλεγε»[30]. Δὲν εἶπε, 'Τὸν διέταξε', ἀλλὰ «τὸν παρακαλοῦσε»· δηλαδὴ τὸν παρακαλοῦσε γιὰ ἐκείνους ποὺ εἶχαν ἀνάγκη ἀπὸ τὴ θεραπεία. Τί σημαίνει, «Συμβιβάζοντες»; Σκεπτόμενοι, λέγει. Διότι καὶ τὸ ὅτι τὸν εἶδε ὁ Παῦλος καὶ κανένας ἄλλος, καὶ τὸ ὅτι ἐμποδίσθηκε ἀπὸ τὸ Πνεῦμα, καὶ τὸ ὅτι τὸν εἶδε ἐνῶ βρίσκονταν στὰ σύνορα, ἀπὸ ὅλα αὐτὰ ἔβγαλαν αὐτὸ τὸ συμπέρασμα· ἄλλωστε δὲ καὶ ἡ μετάβαση ἐκεῖ μὲ πλοῖο αὐτὸ φανέρωνε· διότι δὲν πέρασε πολὺς χρόνος, καὶ νὰ φθάνουν στὴ ρίζα τὴν ἴδια τῆς Μακεδονίας. Ὥστε ἡ διαφωνία ρυθμίσθηκε νὰ συμβεῖ πρὸς τὸ συμφέρον τοῦ εὐαγγελίου· διότι δὲν θὰ ἐνεργοῦσε τὸ ἅγιο Πνεῦμα καὶ δὲν θὰ δεχόταν ἡ Μακεδονία τὸ λόγο τοῦ Κυρίου. Ἡ δὲ τόση μεγάλη πρόοδος τοῦ κηρύγματος ἦταν ἀπόδειξη τοῦ ὅτι τὸ γεγονὸς δὲν ἦταν κάτι τὸ ἀνθρώπινο. Ἂν καὶ βέβαια δὲν εἶπε ὅτι ὁ Βαρνάβας ὀργίσθηκε, ἀλλὰ «Δημιουργήθηκε ἀναμεταξύ τους διαφωνία». Ἐὰν αὐτὸς δὲν ὀργίσθηκε, οὔτε ἐκεῖνος.

5. Γνωρίζοντας αὐτά, ἂς μὴ ἐξετάζομε λοιπὸν ἁπλῶς αὐτά, ἀλλ' ἂς τὰ μαθαίνομε καὶ ἂς διδασκόμαστε· διότι δὲν ἔχουν γραφεῖ ἄσκοπα. Εἶναι μεγάλο κακὸ τὸ νὰ μὴ

ὠφελεῖσθαι δεῖ, ἀπὸ τούτων βλαπτόμεθα. Οὕτω καὶ φάρμακα πολλάκις, φύσιν ἔχοντα θεραπευτικήν, οὐκ εἰδότων τῶν χρωμένων καλῶς χρῆσθαι αὐτοῖς, διαφθείρει καὶ ἀπόλλυσι· καὶ ὅπλα δυνάμενα φυλάξαι, ἂν μηδεὶς αὐτὰ εἰδῇ περιθέσθαι, ὑπ' αὐτῶν διαφθείρεται. Τὸ δὲ αἴτιον, ὅτι πάντα μᾶλλον ζητοῦμεν, ἢ τὸ τῆς ψυχῆς ὄφελος, καὶ τὰ ἀλλότρια μᾶλλον σκοποῦμεν, ἢ τὸ ἡμέτερον συμφέρον. Καὶ οἰκίας μὲν σύστασιν πολλάκις ζητοῦμεν, καὶ οὐκ ἂν ἀνασχοίμεθα παλαιουμένην αὐτὴν ἰδεῖν, οὐδὲ καταπίπτουσαν, οὐδὲ ὑπὸ χειμώνων ἐπηρεαζομένην, περὶ δὲ τῆς ψυχῆς οὐδεμία φροντίς, ἀλλὰ κἂν τοὺς θεμελίους αὐτῆς ἴδωμεν σηπομένους, κἂν τὴν οἰκοδομὴν καὶ τὸν ὄροφον, οὐδεὶς ἡμῖν ὁ λόγος ἐστί. Πάλιν ἄλογα ἂν ἔχωμεν, τὸ συμφέρον αὐτῶν ζητοῦμεν, καὶ ἱπποφορβούς, καὶ ἱππιατρούς, καὶ πάντα κάλων κινοῦμεν, καὶ οἰκίας ἐπιμελούμεθα, καὶ τοῖς ἐμπεπιστευμένοις παραινοῦμεν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν ἐλαύνειν, μηδὲ βάρος ἐπιτιθέναι, μηδὲ ἀωρὶ τῶν νυκτῶν ἐξάγειν, μηδὲ τὰς τροφὰς ἀπεμπολεῖν, καὶ πολλοὶ νόμοι περὶ τοῦ συμφέροντος τῶν ἀλόγων κεῖνται παρ' ἡμῖν, τῆς δὲ ψυχῆς λόγος οὐδείς.

Πάλιν τί λέγω περὶ ἀλόγων, τῶν χρησίμων ἡμῖν; Εἰσὶ πολλοί, οἳ στρουθοὺς ἔχουσιν, οὐδὲν ἔχοντας χρήσιμον, ἀλλ' ἢ ἁπλῶς τέρποντας, καὶ πολλοὶ καὶ περὶ ἐκείνων νόμοι, καὶ οὐδὲν ἠμελημένον οὐδὲ ἄτακτόν ἐστι, καὶ πάντων μᾶλλον ἐπιμελούμεθα, ἢ ἡ-

γνωρίζομε τὶς Γραφές· ἀπὸ ἐκεῖνα ποὺ πρέπει νὰ ὠφελούμαστε, ἀπὸ αὐτὰ βλαπτόμαστε· Ἔτσι πολλὲς φορὲς καὶ φάρμακα, ποὺ ἔχουν θεραπευτικὴ ἰδιότητα, ἐπειδὴ ἐκεῖνοι ποὺ τὰ χρησιμοποιοῦν δὲν γνωρίζουν νὰ τὰ χρησιμοποιήσουν σωστά, καταστρέφουν καὶ ὁδηγοῦν στὸ θάνατο· καὶ ὅπλα ποὺ μποροῦν νὰ μᾶς προφυλάξουν, ἂν κάποιος δὲν γνωρίζει νὰ τὰ κρατήσει στὰ χέρια, καταστρέφεται ἀπ' αὐτά. Ἡ δὲ αἰτία γι' αὐτὸ εἶναι τὸ ὅτι πολὺ περισσότερο φροντίζομε γιὰ ὅλα τὰ ἄλλα, παρὰ γιὰ τὴν ὠφέλεια τῆς ψυχῆς μας, καὶ πολὺ περισσότερο σκεπτόμαστε τὰ ξένα πράγματα, παρὰ τὸ δικό μας συμφέρον. Καὶ πολλὲς φορὲς γιὰ μὲν τὴν κατασκευὴ οἰκίας φροντίζομε καὶ δὲν ἀνεχόμαστε νὰ τὴ βλέπομε παλιά, οὔτε γκρεμισμένη, οὔτε νὰ καταστρέφεται ἀπὸ τὶς κακοκαιρίες, γιὰ δὲ τὴν ψυχή μας καμιὰ φροντίδα δὲν δείχνομε, ἀλλά, καὶ ἂν ἀκόμα δοῦμε σαπισμένα τὰ θεμέλια αὐτῆς, καὶ ἂν ἀκόμα τὰ τοιχώματα καὶ τὴ στέγη της, κανένα λόγο δὲ κάμνομε γι' αὐτό. Ἐπίσης ἂν ἔχομε ἄλογα ζητοῦμε τὸ συμφέρον αὐτῶν, καὶ φροντίζομε νὰ βροῦμε καὶ ἱπποτρόφους καὶ ἱππιάτρους καὶ χαλινάρια ὡραῖα, καὶ τοὺς σταύλους, καὶ δίνομε συμβουλὲς σ' ἐκείνους ποὺ τὰ ἐμπιστευόμαστε, ὥστε νὰ μὴ τὰ ἱππεύουν στὰ καλὰ καθούμενα καὶ ὅπως τύχει, οὔτε νὰ θέτουν ἐπάνω τους βάρος, οὔτε νὰ τὰ βγάζουν ἔξω τὴ νύχτα σὲ ἀκατάλληλη ὥρα, οὔτε νὰ λησμονοῦν νὰ τὰ δώσουν τροφή, καὶ πολλοὺς νόμους ἔχομε γιὰ τὸ συμφέρον τῶν ἀλόγων, γιὰ τὴν ψυχὴ ὅμως κανένας λόγος δὲν γίνεται.

Ἀλλὰ γιατί λέγω γιὰ τὰ ἄλογα, ποὺ εἶναι χρήσιμα σ' ἐμᾶς; Ὑπάρχουν πολλοὶ ποὺ ἔχουν μικρὰ πτηνά, ποὺ δὲν ἔχουν καμιὰ χρησιμότητα, ἀλλ' ἁπλῶς παρέχουν εὐχαρίστηση, καὶ ὑπάρχουν πολλοὶ νόμοι καὶ γιὰ ἐκεῖνα, καὶ τίποτε δὲν παραμελεῖται γι' αὐτὰ οὔτε γίνεται χωρὶς τάξη, καὶ καταβάλλομε κάθε φροντίδα πολὺ περισσότερο γι' αὐτά, παρὰ γιὰ ἐμᾶς τοὺς ἴδιους.

μῶν αὐτῶν. Οὕτω πάντων ἐσμὲν ἀτιμότεροι. Κἂν μέν τις ἡμᾶς ὑβρίζων εἴπῃ, 'Κύων', ἀλγοῦμεν, ἡμεῖς δέ, ἡμᾶς αὐτοὺς ὑβρίζοντες οὐ λόγῳ, ἀλλ' ἔργῳ, καὶ μηδὲ τοσαύτης μεταδόντες ἐπιμελείας τῇ ψυχῇ, ὅσης τοῖς κυσίν, οὐδὲν ἡγούμεθα πάσχειν δεινόν. 'Ορᾶτε ὅσου σκότους τὰ πάντα ἐμπέπλησται; Πόσοι φροντίζουσι τῶν κυνῶν, ὥστε μὴ πλέον τοῦ δέοντος ἐμπλησθῆναι, ὥστε ὀξεῖς εἶναι καὶ θηρατικούς, ὑπὸ τοῦ λιμοῦ καὶ τῆς πείνης ὠθουμένους, ἑαυτῶν δὲ οὐκ ἐπιμελοῦνται, οὐδὲ ἐπιτάττουσιν ὥστε μὴ τρυφᾶν· καὶ τὰ μὲν ἄλογα φιλοσοφεῖν διδάσκουσιν, αὐτοὶ δὲ εἰς τὴν τῶν ἀλόγων θηριωδίαν ἀνέχονται καταγόμενοι.

Αἴνιγμα τὸ πρᾶγμά ἐστι. Καὶ ποῦ τὰ ἄλογα φιλόσοφα; φησίν. Ἢ οὐ δοκεῖ σοι φιλοσοφίας εἶναι μεγάλης, ὅταν κύων, δακνόμενος ὑπὸ τοῦ λιμοῦ, μετὰ τὸ λαβεῖν καὶ θηρεῦσαι παρούσης ἀπέχηται τῆς τροφῆς, καὶ τράπεζαν ὁρῶν παρακειμένην, καὶ τοῦ λιμοῦ κατεπείγοντος ἀναμένῃ τὸν δεσπότην; Αἰσχύνθητε ἑαυτούς· παιδεύσατε τὰς ὑμετέρας γαστέρας οὕτως εἶναι φιλοσόφους. Οὐκ ἔστιν ὑμῖν ἀπολογία. 'Αλόγῳ φύσει δυνηθεὶς ἐνθεῖναι, οὔτε φθεγγομένῃ, οὔτε λογισμὸν ἐχούσῃ, τοσαύτην φιλοσοφίαν, πολλῷ μᾶλλον δυνήσῃ σαυτῷ. Ὅτι γὰρ ἐπιμελείας ἀνθρωπίνης ἐστί, καὶ οὐ φύσεως, ἐχρῆν ἅπαντας τοῦτο τοὺς κύνας ἔχειν. Γίνεσθε οὖν κατὰ τοὺς κύνας. 'Υμεῖς με ἀναγκάζετε ἐκεῖθεν τὰ παραδείγματα φέρειν· ἔδει μὲν γὰρ ἀπὸ τῶν οὐρανίων, ἐπειδὴ δέ, ἂν εἴπω τι τοιοῦτον, λέγετε ὅτι ἐκεῖνα μεγάλα εἰσί, διὰ τοῦτο

Τόσο πολὺ κατώτερης τιμῆς εἴμαστε ἐμεῖς ἀπὸ ὅλα. Καὶ ἂν μὲν κάποιος βρίζοντάς μας μᾶς πεῖ, 'σκύλο', στενοχωρούμαστε, ἐμεῖς ὅμως βρίζοντας τὸν ἑαυτό μας ὄχι μὲ λόγια, ἀλλὰ μὲ ἔργα, καὶ μὴ δείχνοντας οὔτε τόση φροντίδα γιὰ τὴν ψυχή μας, ὅση γιὰ τὰ σκυλιά, νομίζομε ὅτι δὲν παθαίνομε τίποτε τὸ κακό. Βλέπετε ἀπὸ πόσο σκοτάδι ἔχουν γεμίσει τὰ πάντα; Πόσοι φροντίζουν μὲν τὰ σκυλιά, γιὰ νὰ μὴ φάγουν περισσότερο ἀπὸ ὅ,τι πρέπει, ὥστε νὰ εἶναι γρήγορα καὶ κυνηγετικά, ὠθούμενα ἀπὸ τὴν ἔλλειψη τροφῆς καὶ ἀπὸ τὴν πείνα, τὸν ἑαυτό τους ὅμως δὲν τὸν φροντίζουν, οὔτε τοῦ δίνουν ἐντολὴ νὰ μὴ κάνει ἀπολαυστικὴ ζωή· καὶ τὰ μὲν ἄλογα τὰ μαθαίνουν νὰ φιλοσοφοῦν, οἱ ἴδιοι ὅμως ἀνέχονται νὰ καταντοῦν στὴ θηριωδία τῶν ἀλόγων.

Αἴνιγμα τὸ πράγμα εἶναι. Καὶ πῶς, λέγει, τὰ ἄλογα φιλοσοφοῦν; Ἢ νομίζεις ὅτι δὲν εἶναι δεῖγμα μεγάλης φιλοσοφίας, ὅταν ἕνας σκύλος, ποὺ ὑποφέρει ἀφάνταστα ἀπὸ τὴν πείνα, ἀφοῦ κυνηγήσει καὶ συλλάβει τὸ θήραμα, ἀπέχει ἀπὸ τὴν τροφὴ ποὺ βρίσκεται μπροστά του, καὶ ἐνῶ βλέπει τὴν τράπεζα νὰ βρίσκεται μπροστά του καὶ ἡ πείνα νὰ τὸν καταβασανίζει, περιμένει τὸν κύριό του; Νιῶστε ντροπὴ γιὰ τὸν ἑαυτό σας· ἀσκῆστε τὶς γαστέρες σας νὰ εἶναι ἔτσι ἐγκρατεῖς. Δὲν ὑπάρχει δικαιολογία γιὰ σᾶς. Ἐφόσον μπόρεσες νὰ βάλεις μέσα στὴν ἄλογη φύση, ποὺ οὔτε ὁμιλεῖ, οὔτε σκέπτεται, τόση ἐγκράτεια, πολὺ περισσότερο θὰ μπορέσεις νὰ τὸ κάνεις αὐτὸ στὸν ἑαυτό σου. Διότι τὸ ὅτι εἶναι ἀποτέλεσμα τῆς ἀνθρώπινης φροντίδας καὶ ὄχι τῆς φύσεως, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι ἔπρεπε αὐτὸ νὰ τὸ ἔχουν ὅλοι οἱ σκύλοι. Νὰ ἀσκεῖσθε λοιπὸν ὅπως καὶ τὰ σκυλιά. Σεῖς μὲ ἀναγκάζετε νὰ φέρνω ἀπὸ ἐκεῖ τὰ παραδείγματα· διότι ἔπρεπε νὰ τὰ φέρνω ἀπὸ τὰ οὐράνια, ἐπειδὴ ὅμως, ἂν πῶ κάτι παρόμοιο, λέτε ὅτι ἐκεῖνα εἶναι μεγάλα, γι' αὐτὸ τίποτε δὲν λέγω ἀπὸ τὰ

οὐδὲν λέγω τῶν οὐρανίων. Κἂν εἴπω τὸν Παῦλον, λέγετε ὅτι ἐκεῖνος Ἀπόστολος ἦν, διὰ τοῦτο οὐδὲ Παῦλον λέγω· ἂν εἴπω ἄνθρωπον, λέγετε ὅτι ἐκεῖνος ἠδύνατο· διὰ τοῦτο οὐδὲ ἄνθρωπον λέγω, ἀλλὰ θηρίον οὐ φύσει τοῦτο ἔχον, ἵνα μὴ εἴπητε ὅτι φύσει καὶ οὐ προαιρέσει τοῦτο κατώρθωσε· καὶ τὸ δὴ θαυμαστόν, προαιρέσει οὐκ οἰκείᾳ, ἀλλὰ τῇ σῇ ἐπιμελείᾳ. Οὐχ ὅτι κατεκόπη, οὐχ ὅτι διεσπάσθη τῷ δρόμῳ, οὐχ ὅτι τοῖς οἰκείοις αὐτοῦ πόνοις ἔλαβεν, ἀλλά, πάντα ταῦτα ῥίψας ἔξω, τὸ τοῦ δεσπότου πρόσταγμα φυλάττει, καὶ γαστρὸς ἀνώτερον γίνεται.

Ναί, φησί· προσδοκᾷ γὰρ ἐπαινεθήσεσθαι, προσδοκᾷ πλείονος ἀπολαύσεσθαι τραπέζης. Εἰπὲ οὖν καὶ σαυτῷ ὅτι ὁ κύων ἐλπίδι μελλούσης ἡδονῆς τῆς παρούσης καταφρονεῖ, σὺ δὲ οὐ βούλει ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τῶν παρόντων καταφρονεῖν, ἀλλ' ἐκεῖνος μὲν οἶδεν ὅτι, ἂν ἀκαίρως καὶ παρὰ τὸ τῷ δεσπότῃ δοκοῦν τῆς τροφῆς ἀπογεύσηται, κἀκείνης ἀποστερηθήσεται, καὶ οὐδὲ τὴν ὡρισμένην ἕξει, πληγὰς λαβὼν ἀντὶ τῆς τροφῆς, σὺ δὲ οὐδὲ τοῦτο δύνασαι ἰδεῖν, καί, ὅπερ ἀπὸ τῆς συνηθείας ἔμαθεν ἐκεῖνος, τοῦτο σὺ ἀπὸ λόγου οὐ κατορθοῖς. Μιμησώμεθα τοὺς κύνας. Τοῦτο λέγονται καὶ ἱέρακες ποιεῖν καὶ ἀετοί. Ὅπερ ἐπὶ τῶν ἀλόγων καὶ τῶν δορκάδων ἐκεῖνοι, τοῦτο ἐπὶ τῶν ὀρνίθων οὗτοι· καὶ οὗτοι δὲ πάλιν ἀπὸ φιλοσοφίας ἀνθρωπίνης. Ταῦτα ἡμᾶς καταδικάσαι ἔχει, ταῦτα ἡμᾶς ἑλεῖν.

Εἴπω καὶ ἕτερον· ἵππους ἀγρίους καὶ ἀνημέρους λαβόντες, λακτίζοντας καὶ δάκνοντας, ἐν βραχεῖ χρό-

οὐράνια. Καὶ ἂν ἀναφέρω τὸν Παῦλο, λέτε ὅτι ἐκεῖνος ἦταν Ἀπόστολος, γι' αὐτὸ οὔτε τὸν Παῦλο ἀναφέρω· ἂν μιλήσω γιὰ ἄνθρωπο, λέτε ὅτι ἐκεῖνος μποροῦσε· γι' αὐτὸ οὔτε ἄνθρωπο ἀναφέρω, ἀλλὰ θηρίο, καὶ θηρίο ποὺ δὲν τὸ ἔχει αὐτὸ ἀπὸ τὴ φύση του, γιὰ νὰ μὴ πεῖτε, ὅτι αὐτὸ τὸ κατόρθωσε ἐκ φύσεως καὶ ὄχι μὲ τὴ θέλησή του· καὶ τὸ ἀξιοθαύμαστο βέβαια εἶναι, ὅτι τὸ κατόρθωσε ὄχι μὲ τὴ δική του θέληση, ἀλλὰ μὲ τὴ δική σου φροντίδα. Δὲν σκέπτεται ὅτι κατακόπιασε, οὔτε ὅτι καταξεσχίσθηκε κατὰ τὸ τρέξιμο, οὔτε ὅτι τὸ κατόρθωσε αὐτὸ μὲ τοὺς δικούς του κόπους, ἀλλ', ἀφήνοντας ὅλα αὐτὰ κατὰ μέρος, φυλάσσει τὸ πρόσταγμα τοῦ κυρίου του, καὶ στέκεται πάνω ἀπὸ τὴ γαστέρα.

Ναί, λέγει, ἀλλὰ περιμένει νὰ ἐπαινεθεῖ, περιμένει ν' ἀπολαύσει πλουσιότερη τράπεζα. Πὲς λοιπὸν καὶ στὸν ἑαυτό σου ὅτι ὁ σκύλος περιφρονεῖ τὴν παρούσα εὐχαρίστηση μὲ τὴν ἐλπίδα γιὰ τὴ μέλλουσα, σὺ ὅμως δὲν θέλεις νὰ περιφρονήσεις τὰ παρόντα μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν, ἀλλ' ἐκεῖνος μὲν γνωρίζει, ὅτι, ἂν γευθεῖ τὴν τροφὴ σὲ ἀκατάλληλη στιγμὴ καὶ χωρὶς τὴν ἀπόφαση τοῦ κυρίου του, θά στερηθεῖ καὶ ἐκείνη, καὶ δὲν θὰ ἔχει οὔτε καὶ τὴν καθορισμένη, καὶ ὅτι θὰ δεχθεῖ χτυπήματα ἀντὶ τῆς τροφῆς, σὺ δὲ οὔτε αὐτὸ μπορεῖς νὰ δεῖς, καὶ αὐτὸ ποὺ ἐκεῖνος ἔμαθε μὲ τὴ συνήθεια, αὐτὸ σὺ δὲν τὸ κατορθώνεις μὲ τὴ λογική. Ἄς μιμηθοῦμε τοὺς σκύλους· Αὐτὸ λένε ὅτι κάνουν καὶ τὰ γεράκια καὶ οἱ ἀετοί. Ἐκεῖνο ἀκριβῶς ποὺ κάνουν ἐκεῖνα μὲ τὰ ἄλογα ζῶα καὶ τὰ ζαρκάδια, αὐτὸ κάνουν καὶ οἱ ἀετοὶ μὲ τὶς ὄρνιθες· καὶ αὐτοὶ δὲ πάλι τὸ κάνουν αὐτὸ ὕστερα ἀπὸ ἀνθρώπινη ἐξάσκηση. Αὐτὰ εἶναι σὲ θέση νὰ μᾶς καταδικάσουν, αὐτὰ μποροῦν νὰ μᾶς καταστρέψουν.

Θὰ πῶ καὶ κάτι ἄλλο· ἀφοῦ πάρουν οἱ ἔμπειροι ἄγρια ἄλογα καὶ ἀνήμερα, ποὺ κλωτσοῦν καὶ δαγκώνουν, μέσα

νῳ οὕτω παιδεύουσιν οἱ ἔμπειροι, ὡς τὸν ἐπιβάτην τρυφᾶν τὸν ἐπικαθήμενον τῷ τῆς βαδίσεως εὐτάκτῳ, τῆς δὲ ψυχῆς, ἄτακτα βαδιζούσης, οὐδεὶς ἐπιμελεῖται, ἀλλὰ καὶ πηδᾷ, καὶ λακτίζει, καὶ σύρεται χαμαί, καθάπερ παιδίον, καὶ ἀσχημονεῖ μυρία, καὶ οὐδεὶς αὐτῇ ψαλίδας περιτίθησιν, οὐδὲ ποδόστροφα, οὐδὲ χαλινούς, οὐδ' ἐπικαθίζει τὸν ἔμπειρον ἐπιβάτην, τὸν Χριστὸν λέγω. Διά τοι τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν· ὅταν γὰρ καὶ γαστρὸς κρατεῖν κύνας παιδεύῃς, καὶ θυμὸν ἐν λέοντι δαμάζῃς, καὶ ἀταξίαν ἐν ἵπποις, καὶ εὐγλωττίαν ἐν ὄρνισι, πῶς οὐκ ἄτοπον ἐν μὲν ἀλόγοις φύσεσι λογικὰ ἐντιθέναι κατορθώματα, ἐν δὲ λογικαῖς τὰ τῶν ἀλόγων ἐπεισάγειν πάθη.

Οὐκ ἔστιν ἡμῖν, οὐκ ἔστι συγγνώμη. Πάντες ἡμῶν κατηγορήσουσιν οἱ κατορθωκότες, καὶ πιστοὶ καὶ ἄπιστοι· καὶ γὰρ καὶ ἄπιστοι κατώρθωσαν, καὶ θηρία, καὶ κύνες, οὐκ ἄνθρωποι μόνον· καὶ ἡμεῖς ἡμῶν αὐτῶν κατηγορήσομεν, ὅταν μὲν βουλώμεθα, κατορθοῦντες, ὅταν δὲ ῥαθυμῶμεν, ὑποσυρόμενοι· καὶ γὰρ τῶν ἐν σφοδρᾷ κακίᾳ ὄντων πολλοὶ πολλάκις θελήσαντες μετεβάλοντο. Τὸ δὲ αἴτιον, ὅπερ ἔφην, ὅτι περιερχόμεθα, τὰ ἑτέρων συμφέροντα ζητοῦντες, οὐ τὰ ἡμέτερα. Ἂν οἰκίαν οἰκοδομήσῃς λαμπράν, τὸ τῆς οἰκίας συμφέρον εἶδες, οὐ τὸ σόν· ἂν ἱμάτιον λάβῃς καλόν, τὸ τοῦ σώματος, οὐ τὸ σόν· ἂν ἵππον καλόν, ὡσαύτως. Οὐδεὶς ὅπως ἔσται ψυχὴ καλὴ σκοπεῖ, καίτοι, ταύτης οὔσης καλῆς, οὐδενὸς ἐκείνων

σὲ σύντομο χρόνο τόσο πολὺ τὰ ἐκπαιδεύουν, ὥστε νὰ νιώθει εὐχαρίστηση ὁ ἀναβάτης τους μὲ τὸ πειθαρχιμένο βάδισμά τους, τὴν ψυχὴ ὅμως, ποὺ βαδίζει ἄτακτα, κανένας δὲν τὴν φροντίζει, ἀλλὰ καὶ πηδᾶ, καὶ κλωτσᾶ, καὶ σύρεται κάτω, σὰν ἀκριβῶς παιδί, καὶ κάμνει ἀμέτρητες ἀπρέπειες καὶ κανένας δὲν τὴν περιβάλλει μὲ ἀλυσίδες οὔτε μὲ δεσμά, οὔτε μὲ χαλινάρια, οὔτε τοποθετεῖ μέσα σ' αὐτὴν τὸν ἔμπειρο ἀναβάτη, ἐννοῶ τὸν Χριστό. Γι' αὐτὸ λοιπὸν τὰ πάντα ἔχουν γίνει ἄνω κάτω· διότι, ὅταν ἐκπαιδεύεις τοὺς σκύλους νὰ ἐξουσιάζουν τὴ γαστέρα τους, καὶ δαμάζεις τὸ θυμὸ στὸ λεοντάρι, τὴν ἀταξία στὰ ἄλογα, καὶ μαθαίνεις στὰ πτηνὰ νὰ ὁμιλοῦν ὡραῖα, πῶς δὲν εἶναι παράλογο στὶς μὲν ἄλογες φύσεις νὰ πετυχαίνομε λογικὰ κατορθώματα, ἐνῶ στὶς λογικὲς φύσεις νὰ εἰσάγομε τὰ πάθη τῶν ἀλόγων;

Δὲν ὑπάρχει γιὰ ἐμᾶς, δὲν ὑπάρχει συγγνώμη· Ὅλοι, ποὺ τὸ κατόρθωσαν αὐτό, θὰ μᾶς κατηγορήσουν, καὶ πιστοὶ καὶ ἄπιστοι· καθόσον καὶ ἄπιστοι τὸ κατόρθωσαν αὐτό, καὶ θηρία καὶ σκύλοι, καὶ ὄχι μόνο ἄνθρωποι· καὶ ἐμεῖς οἱ ἴδιοι θὰ κατηγορήσομε τὸν ἑαυτό μας, διότι, ὅταν μὲν θέλομε, τὸ κατορθώνομε, ὅταν δὲ δείχνομε ἀδιαφορία, παίρνομε τὸν κατήφορο· καθόσον πολλοὶ ἀπὸ ἐκείνους ποὺ βρίσκονταν μέσα στὴ μεγάλη κακία πολλὲς φορὲς ποὺ θέλησαν, ἄλλαξαν τρόπο ζωῆς. Ἡ δὲ αἰτία, ὅπως προανέφερα, εἶναι τὸ ὅτι πτριφερόμαστε ἐδῶ καὶ ἐκεῖ, ἀναζητώντας τά συμφέροντα τῶν ἄλλων καὶ ὄχι τὰ δικά μας. Ἂν οἰκοδομήσεις οἰκία λαμπρή, ἀποβλέπεις στὸ συμφέρον τῆς οἰκίας, ὄχι στὸ δικό σου· ἂν ἀγοράσεις ἔνδυμα ὡραῖο, προσέχεις στὴν ὠφέλεια τοῦ σώματος καὶ ὄχι στὴ δική σου· ἂν ἀγοράσεις ἵππο, ἡ ἐπιδίωξή σου εἶναι ἡ ἴδια. Κανένας δὲν προσέχει πῶς θὰ γίνει καλὴ ἡ ψυχή του, ἂν καὶ βέβαια, ὅταν αὐτὴ εἶναι καλή, δὲν ἔχει ἀνάγκη ἀπὸ κανένα ἀπὸ ἐκεῖνα, ὅταν ὅμως δὲν εἶναι, δὲν ὑπάρχει κανέ-

δεῖ, οὐκ οὔσης δέ, οὐδὲν ἐξ ἐκείνων ὄφελος. Καθάπερ γὰρ ἐπὶ νύμφης, κἂν παστάδες ὦσιν ἐκ παραπετασμάτων χρυσῶν, κἂν χοροὶ ὦσιν, ἐκείνη δὲ ἀμορφίας ᾖ μεστή, ὄφελος οὐδέν· ὥσπερ οὖν οὐδὲ καλῆς οὔσης βλάβος τι γένοιτ' ἂν ἀπὸ τούτων, ἀλλὰ καὶ τοὐναντίον· ἀπὸ μὲν γὰρ ἐκείνων, ἄμορφος οὖσα, ἀμορφοτέρα ἂν φανείη, ἀπὸ δὲ τούτων ὡραιοτέρα ἂν γένοιτο.

Οὕτω δὴ καὶ ψυχή, ὅταν ᾖ καλή, οὐ μόνον οὐδενὸς δεῖται τούτων, ἀλλὰ καὶ συσκιάζει τὸ κάλλος αὐτῆς. Τὸν γὰρ φιλόσοφον οὐχ οὕτως ἐν πλούτῳ, ὡς ἐν πενίᾳ ὀψόμεθα λάμποντα. Ἐκεῖ μὲν γὰρ τοῖς χρήμασι τοῦτο πολλοὶ λογιοῦνται, καὶ τῷ μὴ ἐνδεᾶ χρημάτων εἶναι, ὅταν δὲ πενίᾳ συζῇ, καὶ διὰ πάντων λάμπῃ, καὶ μηδὲν αἰσχρὸν ἐναγκάζηται ποιεῖν, οὐκ ἔτι ἄλλος τις διανέμεται πρὸς αὐτὸν τὸν ἐπὶ τῇ φιλοσοφίᾳ στέφανον. Ταύτην οὖν καλλωπίζωμεν, εἴ γε βουλοίμεθα πλουτεῖν. Τί τὸ ὄφελος, ὅταν αἱ μὲν ἡμίονοι λευκαὶ ὦσι καὶ σφριγῶσαι καὶ εὐσωματοῦσαι, σὺ δὲ ὁ καθήμενος λεπτὸς καὶ ψωραλέος καὶ δυσειδής; τί δὲ τὸ κέρδος, ὅταν τὰ μὲν στρώματα ἁπαλὰ καὶ καλὰ ᾖ, καὶ πολλῆς ποικιλίας γέμοντα καὶ τέχνης, ἡ δὲ ψυχὴ ῥάκια περιβεβλημένη ᾖ καὶ γυμνὴ καὶ αἰσχρά; τί τὸ κέρδος, ὅταν ὁ μὲν ἵππος εὔτακτα βαδίζῃ, καὶ χορεύοντι μᾶλλον ἐοικὼς ἢ βαδίζοντι, καὶ μετὰ τῆς χορείας κόσμῳ κεκοσμημένος ᾖ νυμφικῷ, ὁ δὲ ἐπικαθήμενος τῶν χωλῶν μᾶλλον ἀσκωλιάζῃ, καὶ

να ὄφελος ἀπὸ ἐκεῖνα. Διότι, ὅπως ἀκριβῶς στὴν περίπτωση νύφης, καὶ ἂν ἀκόμα οἱ νυφικοὶ θάλαμοι εἶναι ἀπὸ χρυσὰ παραπετάσματα, καὶ ἂν ἀκόμα ὑπάρχουν χοροί, ἀπὸ ὄμορφες καὶ ὡραῖες γυναῖκες, καὶ ἂν ἀκόμα ὑπάρχουν τριαντάφυλλα, καὶ ἂν ἀκόμα στεφάνια, καὶ ἂν ἀκόμα ὁ γαμπρὸς εἶναι ὡραῖος, καὶ ἂν ἀκόμη καὶ οἱ ὑπηρέτριες καὶ οἱ φίλες καὶ ὅλοι οἱ ἄλλοι εἶναι ὡραῖοι, ἐὰν ἐκείνη εἶναι ἄσχημη, δὲν ὑπάρχει κανένα ὄφελος· ὅπως ἀκριβῶς βέβαια οὔτε ἂν δὲν εἶναι ὡραία θὰ μποροῦσε νὰ ὑπάρξει κάποια βλάβη ἀπὸ αὐτά, ἀλλὰ καὶ τὸ ἀντίθετο· διότι ἀπὸ μὲν ἐκεῖνα, ἂν εἶναι ἄσχημη, θὰ φαινόταν πιὸ ἄσχημη, ἐνῶ ἀπὸ αὐτὰ θὰ μποροῦσε νὰ γίνει ὡραιότερη.

Ἔτσι λοιπὸν καὶ ἡ ψυχή, ὅταν εἶναι καλή, ὄχι μόνο δὲν ἔχει ἀνάγκη ἀπὸ κανένα ἀπὸ αὐτά, ἀλλὰ τὰ ἐπισκιάζει ὅλα αὐτὰ τὸ κάλλος αὐτῆς. Διότι τὸν ἐνάρετο τὸ βλέπομε νὰ λάμπει ὄχι τόσο μέσα στὸν πλοῦτο, ὅσο μέσα στὴ φτώχεια. Διότι ἐκεῖ αὐτὸ πολλοὶ θὰ τὸ ἀποδώσουν στὰ χρήματα, καὶ στὸ ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ τὰ χρήματα, ὅταν ὅμως συζεῖ μὲ τὴ φτώχεια καὶ μὲ ὅλα λάμπει, καὶ δὲν ἀναγκάζεται νὰ κάνει τίποτε τὸ αἰσχρό, τότε δὲν διαμοιράζεται μὲ αὐτὸν κάποιος ἄλλος τὸ στεφάνι γιὰ τὴν ἐνάρετη ζωή του· Αὐτὴν λοιπὸν ἂς καλλωπίζομε, ἂν φυσικὰ θέλομε νὰ πλουτίζομε. Ποιὸ τὸ ὄφελος ὅταν οἱ μὲν ἡμίονοι εἶναι λευκοὶ καὶ γεμάτοι ἀπὸ σφρίγος καὶ ἰσχυροί, σὺ δὲ ποὺ κάθεσαι ἐπάνω σ' αὐτὲς εἶσαι λεπτός, ψωριάρης καὶ ἄσχημος; ποιὸ τὸ κέρδος, ὅταν τὰ μὲν στρώματα εἶναι ἁπαλὰ καὶ ὡραῖα καὶ γεμάτα ἀπὸ πολλὰ στολίδια καὶ τέχνη, ἡ δὲ ψυχὴ περιβάλλεται ἀπὸ κουρέλια καὶ εἶναι γυμνὴ καὶ αἰσχρή; ποιὸ τὸ κέρδος ὅταν ὁ μὲν ἵππος βαδίζει μὲ εὐταξία καὶ φαίνεται νὰ χορεύει μᾶλλον παρὰ νὰ βαδίζει, καὶ μαζὶ μὲ τὸ ὅτι φαίνεται νὰ χορεύει εἶναι στολισμένος μὲ νυφικὰ στολίδια, αὐτὸς δὲ ποὺ κάθεται ἐπάνω του κουτσαίνει περισσότερο ἀπὸ τοὺς χωλοὺς καὶ εἶναι

τῶν μεθυόντων καὶ τῶν μαινομένων μᾶλλον διεστραμμένος ἢ καὶ χεῖρας καὶ πόδας; Εἰπὲ δή μοι, εἴ τίς σοι ἵππον ἐδίδου καλόν, καὶ τὸ σῶμα διέστρεφε, τί τὸ ὄφελος; Νῦν ψυχὴν διεστραμμένην ἔχεις, καὶ οὐδέν σοι μέλει;

Φροντίσωμεν ἡμῶν αὐτῶν ποτε, παρακαλῶ. Μὴ δὴ πάντων ἀτιμοτέρους ἡμᾶς αὐτοὺς καταστήσωμεν. Κἂν μὲν ῥήμασί τις ὑβρίζῃ, δακνόμεθα καὶ ἀλγοῦμεν, πράγματι δὲ ἑαυτοὺς ὑβρίζοντας, οὐκ ἐπιστρεφόμεθα. Ἀνανήψωμεν ὀψὲ γοῦν ποτε, ἵνα δυνηθῶμεν, καὶ τῆς ψυχῆς πολλὴν τὴν ἐπιμέλειαν ποιούμενοι, καὶ τῆς ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων τυχεῖν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

διαστρεβλωμένος στὰ χέρια καὶ τὰ πόδια περισσότερο ἀπὸ τοὺς μεθυσμένους καὶ τοὺς μανιακούς; Πές μου λοιπόν, ἂν κάποιος σοῦ ἔδινε ἵππο ὡραῖο καὶ διαστρέβλωνε τὸ σῶμα του, ποιὸ τὸ ὄφελος; Τώρα ἔχεις ψυχὴ διεστραμμένη καὶ δὲν σὲ νοιάζει καθόλου;

Ἂς φροντίσομε παρακαλῶ κάποτε τοὺς ἑαυτούς μας. Ἂς μὴ καταστήσομε τοὺς ἑαυτούς μας πιὸ ἄτιμους ἀπὸ ὅλους. Καὶ ἐὰν μὲν κάποιος μᾶς βρίζει μὲ λόγια, στενοχωριόμαστε καὶ πονᾶμε, βρίζοντας δὲ τοὺς ἑαυτούς μας μὲ τὰ ἔργα μας, μᾶς ἀφήνει αὐτὸ τελείως ἀδιάφορους; Ἂς συνέλθομε λοιπὸν κάποτε ἔστω καὶ ἀργά, γιὰ νὰ μπορέσομε, ἀφοῦ δείξομε μεγάλη φροντίδα γιὰ τὴν ψυχή μας καὶ ἀποκτήσομε τὴν ἀρετή, νὰ ἐπιτύχομε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΕ΄

(Πράξ. 16, 13 - 24)

«Τῇ δὲ ἡμέρᾳ τῶν Σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. Καί τις γυνή, ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουεν· ἧς ὁ Κύριος ἤνοιξε τὴν καρδίαν προσέχειν τοῖς βουλομένοις ὑπὸ τοῦ Παύλου».

1. Ὅρα πάλιν ἰουδαΐζοντα τὸν Παῦλον καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ τρόπου. «Οὗ ἐνομίζετο», φησί, «προσευχὴ εἶναι»· οὐ γὰρ δὴ ἔνθα συναγωγὴ ἦν μόνον, ἀλλὰ καὶ ἔξω ηὔχοντο, ὥσπερ τόπον τινὰ ἀφορίζοντες, ἅτε σωματικώτεροι ὄντες Ἰουδαῖοι. «Τῇ ἡμέρᾳ δὲ τῶν Σαββάτων», ὅτε καὶ ὄχλον εἰκὸς ἦν συνελθεῖν.

«Καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. Καί τις γυνή, ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου». Ὅρα τὸ ἄτυφον πάλιν. Γυνὴ καὶ ταπεινὴ αὕτη, καὶ δῆλον ἀπὸ τῆς τέχνης· ἀλλ' ὅρα τὸ φιλόσοφον αὐτῆς· πρῶτον μὲν γὰρ

---

1. Πράξ. 15, 13 - 14

Ο Μ Ι Λ Ι Α ΛΕ΄
(Πράξ. 16, 13 - 24)

«Τὴν ἡμέρα δὲ τοῦ Σαββάτου βγήκαμε ἔξω ἀπὸ τὴν πόλη κοντὰ στὸν ποταμό, ὅπου νόμιζαν ὅτι ὑπῆρχε τόπος γιὰ προσευχή, καὶ ἀφοῦ καθήσαμε μιλούσαμε στὶς γυναῖκες ποὺ εἶχαν μαζευθεῖ ἐκεῖ. Κάποια γυναίκα, ἀπὸ τὴν πόλη τῶν Θυατείρων, ποὺ ὀνομαζόταν Λυδία, καὶ πωλοῦσε πορφύρα καὶ ἦταν γυναίκα θεοσεβής, ἄκουε αὐτούς˙ αὐτῆς τὴν καρδιὰ τὴν ἄνοιξε ὁ Κύριος, ὥστε νὰ προσέχει τὰ ὅσα ἔλεγε ὁ Παῦλος»[1].

1. Πρόσεχε πάλι τὸν Παῦλο ποὺ καὶ ἀπὸ τὸν χρόνο καὶ ἀπὸ τὸν τρόπο ἐνεργεῖ μὲ τρόπο ἰουδαϊκό. «Σὲ μέρος ποὺ θεωροῦνταν», λέγει, «σὰν τόπος προσευχῆς»˙ διότι δὲν προσεύχονταν μόνου ὅπου ὑπῆρχε συναγωγή, ἀλλὰ καὶ ἔξω ἀπ᾽ αὐτήν, ξεχωρίζοντας κατὰ κάποιο τρόπο ἕναν τόπο, καθόσον οἱ Ἰουδαῖοι ἀπέδιδαν περισσότερη προσοχὴ στὰ σωματικά. «Κατὰ τὴν ἡμέρα τοῦ Σαββάτου», κατὰ τὴν ὁποία φυσικὸ ἦταν νὰ συγκεντρωθεῖ πλῆθος.

«Καὶ ἀφοῦ καθήσαμε συνομιλούσαμε μὲ τὶς γυναῖκες ποὺ εἶχαν συγκεντρωθεῖ. Καὶ κάποια γυναίκα ἀπὸ τὴν πόλη τῶν Θυατείρων, ποὺ ὀνομαζόταν Λυδία καὶ πωλοῦσε πορφύρα καὶ ἦταν γυναίκα θεοσεβής, ἄκουε αὐτούς˙ τὴν καρδιὰ αὐτῆς τὴν ἄνοιξε ὁ Κύριος, ὥστε νὰ προσέχει τὰ ὅσα ἔλεγε ὁ Παῦλος». Πρόσεχε πάλι τὴν ἔλλειψη ὑπερηφάνειας· Γυναίκα εἶναι αὐτὴ ταπεινὴ καὶ γίνεται φανερὸ ἀπὸ τὴν τέχνη της˙ ἀλλὰ πρόσεχε τὴν ἀρετὴ αὐτῆς˙ διότι σὰν

αὐτῇ ἐμαρτύρησε τοῦτο, τὸ σέβεσθαι τὸν Θεόν, ἔπειτα τὸ καλέσαι τοὺς Ἀποστόλους αὐτήν.

«Ὡς δὲ ἐβαπτίσθη αὐτὴ καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε, λέγουσα· Κύριοί μου, εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε. Καὶ παρεβιάσατο ἡμᾶς». «Ὡς δὲ ἐβαπτίσθη», φησίν, «αὐτὴ καὶ ἡ οἰκία αὐτῆς». Σκόπει πῶς ἅπαντας ἔπεισεν· εἶτα βλέπε σύνεσιν, πῶς δυσωπεῖ τοὺς Ἀποστόλους, πόσης ταπεινότητος γέμει τὰ ῥήματα, πόσης σοφίας. «Εἰ κεκρίκατέ με», φησί, «πιστὴν τῷ Κυρίῳ». Οὐδὲν ἐντρεπτικώτερον. Τίνα οὐκ ἂν ἐμάλαξε ταῦτα τὰ ῥήματα; Οὐκ ἠξίωσεν, οὐ παρεκάλεσεν ἁπλῶς, οὐκ ἀφῆκε κυρίους εἶναι, ἀλλὰ καὶ ἠνάγκασε σφοδρῶς· τοῦτο γάρ ἐστι τὸ «παρεβιάσατο ἡμᾶς»· τουτέστι, τούτοις τοῖς ῥήμασιν.

Ὅρα πῶς εὐθέως καρποφορεῖ, καὶ κέρδος ἡγεῖται μέγα τὴν κλῆσιν. Ὅτι δὲ πιστὴν ἐκρίνατε, δῆλον ἐκ τοῦ ἐγχειρίσαι μοι τοιαῦτα μυστήρια, οὐκ ἂν ἐγχειρίσαντες, εἰ μὴ τοιαύτην ἐκρίνατε. Καὶ οὐκ ἐτόλμησε πρὸ τούτου καλέσαι, ἀλλ' ὅτε ἐβαπτίσθη, δῆλον ἐντεῦθεν ποιοῦσα ὅτι οὐκ ἂν ἄλλως ἔπεισε. Διὰ τί δὲ οὐκ ἐβούλοντο οἱ περὶ Παῦλον, ἀλλ' ἀνένευον ὥστε καὶ βιασθῆναι αὐτούς; Ἤτοι ἐκείνην ἐκκαλούμενοι εἰς μείζονα προθυμίαν, ἢ ἐπειδὴ εἶπεν ὁ Χριστός· «Εἰς ἣν ἂν πόλιν εἰσέλθητε, τίς ἐστιν ἄξιος ἐρωτήσατε, καὶ ἐκεῖ μείνατε». Ὥστε πάντα δι' οἰκονομίαν ἐποίουν.

«Ἐγένετο δέ, πορευομένων ἡμῶν εἰς προσευχήν, παιδίσκην τινά, ἔχουσαν πνεῦμα Πύθωνος, ἀπαντῆ-

2. Πράξ. 16, 15
3. Ματθ. 10, 11

πρώτη μαρτυρία γι' αὐτὴν ἔδωσε αὐτήν, τὸ ὅτι σεβόταν τὸ Θεό, ἔπειτα τὸ ὅτι αὐτὴ προσκάλεσε τοὺς Ἀποστόλους.

«Μόλις δὲ βαπτίσθηκε αὐτὴ καὶ ἡ οἰκογένειά της μᾶς παρακάλεσε καὶ μᾶς εἶπε· Κύριοί μου, ἐὰν κρίνατε ὅτι εἶμαι πιστὴ στὸν Κύριο, ἐλᾶτε καὶ μείνετε στὴν οἰκία μου. Καὶ μὲ τὶς παρακλήσεις της μᾶς ἔκανε νὰ δεχθοῦμε τὴν πρόσκλησή της»[2]. «Μόλις βαπτίσθηκε», λέγει, «αὐτὴ καὶ ἡ οἰκογένειά της». Πρόσεχε πῶς τοὺς ἔπεισε ὅλους· ἔπειτα πρόσεχε σύνεση, πῶς παρακαλεῖ τοὺς Ἀποστόλους, ἀπὸ πόση ταπεινοφροσύνη εἶναι γεμάτα τὰ λόγια της, ἀπὸ πόση σοφία. «Ἐὰν κρίνατε», λέγει, «ὅτι εἶμαι πιστὴ στὸν Κύριο». Δὲν ὑπάρχει τίποτε ἄλλο ποὺ νὰ μπορεῖ νὰ συγκινήσει τόσο. Ποιὸν δὲν θὰ μαλάκωναν τὰ λόγια αὐτά; Δὲν τὸ ζήτησε ἁπλῶς ἐπίμονα, δὲν τοὺς παρακάλεσε, δὲν τὸ ἄφησε στὴ διάθεσή τους, ἀλλὰ καὶ τοὺς ἐξανάγκασε ὑπερβολικά· διότι αὐτὸ σημαίνει τὸ «παρεβιάσατο ἡμᾶς»· δηλαδὴ μὲ αὐτὰ τὰ λόγια.

Πρόσεχε πῶς ἀμέσως καρποφορεῖ καὶ θεωρεῖ μεγάλο κέρδος τὴν κλήση. Τὸ ὅτι μὲ κρίνατε πιστὴ γίνεται φανερὸ ἀπὸ τὸ ὅτι μοῦ ἐμπιστευθήκατε τέτοια μυστήρια, τὰ ὁποῖα δὲν θὰ ἦταν δυνατὸ νὰ μοῦ τὰ ἐμπιστευθεῖτε, ἐὰν δὲν μὲ κρίνατε κατάλληλη. Καὶ δὲν τόλμησε πρὶν ἀπὸ αὐτὸ νὰ τοὺς προσκαλέσει, ἀλλ' ὅταν βαπτίσθηκε, κάμνοντας φανερὸ ἀπὸ αὐτό, ὅτι δὲν θὰ ἦταν δυνατὸ ἀλλιῶς νὰ τοὺς πείσει· Γιατί δὲ δὲν ἤθελαν αὐτοὶ ποὺ συνόδευαν τὸν Παῦλο, ἀλλὰ πρόβαλλαν ἄρνηση, ὥστε νὰ ἐξαναγκασθοῦν αὐτοί; Ἢ γιὰ νὰ παρακινήσουν ἐκείνην νὰ δείξει μεγαλύτερη προθυμία, ἢ ἐπειδὴ εἶπε ὁ Χριστός· «Σ' ὅποια πόλη καὶ ἂν εἰσέλθετε ρωτῆστε γιὰ νὰ μάθετε ποιὸς εἶναι ἄξιος, καὶ μείνατε ἐκεῖ»[3]. Ὥστε ὅλα τὰ ἔκαμναν σύμφωνα μὲ τὴν πρόνοια τοῦ Θεοῦ.

«Συνέβηκε δέ, ἐνῶ ἐμεῖς πηγαίναμε γιὰ προσευχή, νὰ συναντήσομε μία μικρὴ δούλη, ποὺ εἶχε μαντικὸ πνεῦμα,

σαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη. Αὕτη, κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε, λέγουσα· Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας». Τί δήποτε καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ ὁ Παῦλος ἐκώλυσε; Κἀκεῖνος κακούργως ἐποίει, καὶ οὗτος συνετῶς· ἐβούλετο γὰρ μὴ ἀξιόπιστον αὐτὸν ποιεῖν· εἰ γὰρ προσήκατο αὐτοῦ τὴν μαρτυρίαν ὁ Παῦλος, πολλοὺς ἂν καὶ τῶν πιστῶν ἠπάτησεν, ἅτε ὑπ' ἐκείνου δεχθείς· διὰ τοῦτο ἀνέχεται τὰ καθ' ἑαυτοὺς εἰπεῖν, ἵνα στήσῃ τὰ ὑπὲρ αὐτοῦ, καὶ αὐτὸς συγκαταβάσει κέχρηται πρὸς τὴν ἀπώλειαν. Τὸ μὲν οὖν πρῶτον οὐ προσήκατο Παῦλος, ἀλλὰ διέπτυσεν, οὐ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν ἁπλῶς τοῖς σημείοις, ὡς δὲ ἐπέμενε τοῦτο ποιῶν ἐπὶ πολλὰς ἡμέρας, καὶ τὸ ἔργον ἐδείκνυ, «οὗτοι ἄνθρωποι», λέγων, «δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας», τότε ἐκέλευσεν αὐτῷ ἐξελθεῖν.

«Διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε· Παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν ἀπ' αὐτῆς. Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ρωμαίοις οὖσι». Πανταχοῦ τὰ χρήματα αἴτια τῶν κακῶν.

------

4. Πράξ. 16, 16 - 17
5. Πράξ. 16, 17
6. Πράξ. 16, 18 - 21

καὶ παρεῖχε ἐπικερδῆ ἐργασία στοὺς κυρίους της μὲ τὶς μαντεῖες της. Αὐτὴ ἀκολούθησε ἀπὸ πίσω τὸν Παῦλο καὶ ἐμᾶς, φωνάζοντας δυνατὰ καὶ λέγοντας· Αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, οἱ ὁποῖοι κηρύττουν σ' ἐμᾶς ὁδὸ σωτηρίας»[4]. Γιατί τέλος πάντων ὁ μὲν δαίμονας ἔλεγε αὐτά, ὁ δὲ Παῦλος τὸν ἐμπόδισε; Καὶ ἐκεῖνος ἐνεργοῦσε μὲ κακουργία, καὶ ὁ Παῦλος μὲ σύνεση· διότι ἤθελε νὰ κάνει αὐτὸν νὰ μὴ εἶναι ἀξιόπιστος· καθόσον ἂν ὁ Παῦλος ἀποδεχόταν τὴ μαρτυρία αὐτοῦ, θὰ ἐξαπατοῦσε πολλοὺς ἀπὸ τοὺς πιστούς, ἐφόσον δέχθηκε τὴ μαρτυρία ἀπὸ ἐκεῖνον· γι' αὐτὸ ἀνέχεται νὰ πεῖ αὐτὸς τὰ ὅσα εἶχαν σχέση μὲ αὐτούς, γιὰ νὰ σταθεροποιήσει τὰ ὅσα ἦταν ὑπὲρ αὐτοῦ, καὶ ὁ ἴδιος δείχνει συγκατάβαση πρὸς τὴν ἀπώλεια. Στὴν ἀρχὴ λοιπὸν δὲν ἀποδέχθηκε τὴ μαρτυρία ὁ Παῦλος, ἀλλὰ ἀδιαφόρησε γι' αὐτήν, μὴ θέλοντας νὰ καταφύγει στὴν ἐπιτέλεση θαύματος, ὅταν ὅμως ἐπέμενε νὰ κάμνει αὐτὸ ἐπὶ πολλὲς ἡμέρες καὶ φανέρωνε τὸ ἔργο αὐτῶν, λέγοντας «Αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, οἱ ὁποῖοι κηρύττουν σ' ἐμᾶς ὁδὸ σωτηρίας»[5], τότε διέταξε τὸ δαιμόνιο νὰ ἐξέλθει.

«Ἐπειδὴ ὁ Παῦλος ἀγανάκτησε μὲ αὐτό, στράφηκε πρὸς τὸ ἀκάθαρτο πνεῦμα καὶ εἶπε· Σὲ παραγγέλω στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ νὰ ἐξέλθεις ἀπ' αὐτήν. Καὶ ἐξῆλθε τὴν ἴδια τὴ στιγμή. Ὅταν οἱ κύριοί της εἶδαν ὅτι χάθηκε ἡ ἐλπίδα τῆς ἐπικερδοῦς ἐργασίας τους, ἀφοῦ ἔπιασαν τὸν Παῦλο καὶ τὸν Σίλα τοὺς ὁδήγησαν στὴν ἀγορὰ γιὰ νὰ τοὺς παρουσιάσουν στοὺς ἄρχοντες, καί, ἀφοῦ τοὺς παρουσίασαν στοὺς στρατηγούς, εἶπαν· Αὐτοὶ οἱ ἄνθρωποι εἶναι Ἰουδαῖοι καὶ διαταράσσουν τὴν πόλη μας, κηρύσσοντας ἤθη καὶ ἔθιμα, τὰ ὁποῖα δὲν ἐπιτρέπεται, ἐμεῖς ποὺ εἴμαστε Ρωμαῖοι, νὰ τὰ παραδεχόμαστε, οὔτε νὰ τὰ πράττομε»[6]. Παντοῦ τὰ χρήματα εἶναι αἴτια τῶν κακῶν. Πώ πώ, μέγεθος ἑλληνικῆς ἀπανθρωπιᾶς! ἤθελαν

Ὢ τῆς ὠμότητος τῆς Ἑλληνικῆς! Ἐβούλοντο δαιμονᾶν τὸ κοράσιον, ὥστε χρηματίζεσθαι.

«Ἐπιλαβόμενοι», φησί, «τὸν Παῦλον καὶ τὸν Σίλαν, ἔλεγον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν». Τί ποιήσαντες; διὰ τί οὖν μὴ πρὸ τούτου εἱλκύσατε;

«Ἰουδαῖοι», φησίν, «ὑπάρχοντες»· οὕτω τὸ ὄνομα διεβέβλητο.

«Καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ρωμαίοις οὖσιν». Εἰς καθοσίωσιν τὸ πρᾶγμα ἤγαγον.

«Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν». Ὢ τῆς ἀλογίας! οὐκ ἐξήτασαν, οὐ μετέδωκαν λόγου· καίτοι, τοιούτου θαύματος γενομένου, δέον προσκυνῆσαι, δέον ὡς σωτῆρας καὶ εὐεργέτας ἔχειν· εἰ γὰρ χρήματα ἐβούλεσθε, διὰ τί, τοιοῦτον πλοῦτον εὑρόντες, μὴ ἐπεδράμετε; Τοῦτο λαμπροτέρους ποιεῖ, τὸ δύνασθαι δαίμονας ἀπελαύνειν, ἢ τὸ αὐτοῖς πείθεσθαι. Ἰδοὺ καὶ σημεῖα, καὶ ἡ φιλοχρηματία πλέον ἴσχυσε.

«Καὶ οἱ στρατηγοί, περιρρήξαντες τὰ ἱμάτια αὐτῶν, ἐκέλευον ῥαβδίζειν· πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς». Ὁ μὲν οὖν Παῦλος τὸ πᾶν εἰργάσατο καὶ τὰ θαύματα καὶ τὴν διδασκαλίαν, τῶν δὲ κινδύνων καὶ ὁ Σίλας κοινωνεῖ. Τί ἐστιν, «Διαπονηθεὶς δὲ ὁ Παῦλος»; Τὴν κακουργίαν, φησίν, ἰδὼν τοῦ δαίμονος καθὼς καὶ αὐτὸς ἀλλαχοῦ λέγει· «Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν». Διὰ τί μὴ εἶπον ὅτι, 'τὸν δαίμονα ἐξέβαλον, ὅτι εἰς Θεὸν ἠσέβησαν', ἀλλ' ἐπὶ καθοσίωσιν τρέπονται; Ἧττα

---

7. Πράξ. 16, 21
8. Πράξ. 16, 22 - 23
9. Β' Κορ. 2, 11

τὸ κορίτσι νὰ διατελεῖ κάτω ἀπὸ τὴν ἐξουσία τοῦ δαίμονα, ὥστε νὰ κερδίζουν αὐτοὶ χρήματα.

«Ἀφοῦ ἔπιασαν», λέγει, «τὸν Παῦλο καὶ τὸν Σίλα, ἔλεγαν· Αὐτοὶ οἱ ἄνθρωποι διαταράσσουν τὴν πόλη μας». Τί ἔκαναν; γιατί λοιπὸν δὲν τοὺς σύρατε στοὺς στρατηγοὺς πρὶν ἀπὸ αὐτό;

«Ποὺ εἶναι», λέγει, «Ἰουδαῖοι»· τόσο πολὺ τὸ ὄνομα αὐτὸ εἶχε συκοφαντηθεῖ.

«Καὶ κηρύσσουν ἤθη καὶ ἔθιμα, τὰ ὁποῖα δὲν ἐπιτρέπεται ἐμεῖς, ποὺ εἴμαστε Ρωμαῖοι, νὰ τὰ παραδεχόμαστε, οὔτε νὰ τὰ πράττομε»[7]. Παρουσίασαν τὸ πράγμα σὰν θέμα ἐσχάτης προδοσίας.

«Καὶ ξεσηκώθηκε τὸ πλῆθος ἐναντίον τους»· Πώ, πὼ μέγεθος παραλογισμοῦ! δὲν τοὺς ἐξήτασαν, δὲν τοὺς ἐπέτρεψαν νὰ μιλήσουν· ἂν καὶ βέβαια, ἐφόσον ἔγινε τέτοιο θαῦμα, ἔπρεπε νὰ τοὺς προσκυνήσουν, ἔπρεπε νὰ τοὺς θεωρήσουν σὰν εὐεργέτες· διότι, ἐὰν θέλατε χρήματα, γιατί, ἀφοῦ βρήκατε τέτοιον πλοῦτο, δὲν τρέξατε πρὸς αὐτόν; Αὐτὸ τοὺς κάμνει λαμπρότερους, τὸ νὰ μποροῦν δηλαδὴ ν' ἀπομακρύνουν δαιμόνια, παρὰ τὸ νὰ πείθονται σ' αὐτούς. Νὰ καὶ θαύματα, ἀλλ' ἡ φιλοχρηματία ὑπερίσχυσε.

«Καὶ οἱ στρατηγοί, ἀφοῦ ξέσχισαν τὰ ἐνδύματά τους, ἔδωσαν ἐντολὴ νὰ τοὺς ραβδίζουν. Ἀφοῦ τοὺς ἔδωσαν πολλὰ ραβδίσματα, τοὺς ἔρριξαν στὴ φυλακή, καὶ ἔδωσαν ἐντολὴ στὸ δεσμοφύλακα νὰ τοὺς φυλάσσει καλά»[8]. Ὁ μὲν λοιπὸν Παῦλος ἔκανε τὸ πᾶν, καὶ τὰ θαύματα καὶ τὴ διδασκαλία, στοὺς κινδύνους ὅμως συμμετέχει καὶ ὁ Σίλας. Τί σημαίνει «Διαπονηθεὶς δὲ ὁ Παῦλος»; Ἀντιλήφθηκε, λέγει, τὴν κακουργία τοῦ δαίμονα, καθὼς καὶ ὁ ἴδιος λέγει ἀλλοῦ· «Διότι δὲν ἀγνοοῦμε τὰ δόλια σχέδιά τους»[9]. Γιατί δὲν εἶπαν, ὅτι 'ἔβγαλαν ἀπὸ μέσα της τὸν δαίμονα, ὅτι ἀσέβησαν πρὸς τὸ Θεὸ', ἀλλὰ παρουσιάζουν τὸ πράγμα σὰν ἔσχατη προδοσία; Αὐτὸ ἦταν ἧττα γι' αὐτούς. Τὸ ἴδιο ἔλεγαν καὶ στὴν περίπτωση τοῦ Χριστοῦ·

αὐτοῖς τοῦτο ἦν. Οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ἔλεγον· «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Πᾶς ὁ ἑαυτὸν ποιῶν βασιλέα ἀντιλέγει τῷ Καίσαρι».

«Καὶ ἔβαλον αὐτούς», φησίν, «εἰς φυλακήν». Πολὺς ὁ θυμός. «Ὃς παραγγελίαν τοιαύτην εἰληφώς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον». Ὅρα, κἀκεῖνος πάλιν εἰς τὴν ἐσωτέραν φυλακὴν αὐτοὺς ἐνέβαλε, καὶ τοῦτο οἰκονομικῶς· ἐπειδὴ γὰρ θαῦμα ἔμελλε γενέσθαι μέγα, ἐπιτήδειον ὁ τόπος πρὸς τὴν ἀκρόασιν ὁ ἔξω τῆς πόλεως κρίνεται, πειρασμῶν ἀπηλλαγμένος καὶ κινδύνων. Ὅρα πῶς οὐκ αἰσχύνεται τὰ ἐπιτηδεύματα καταλέγειν ὁ τὴν ἱστορίαν γράφων. Ἅτε δὴ καὶ ἀργίας οὔσης μᾶλλον προσεῖχον τοῖς λεγομένοις· καὶ οὐδὲ ἡ πόλις αὕτη μεγάλη ἡ τῶν Φιλιππησίων. Ταῦτα δὴ μαθόντες καὶ ἡμεῖς, μηδένα ἐπαισχυνώμεθα. Παρὰ βυρσεῖ μένει Πέτρος, παρὰ πορφυροπώλιδι Παῦλος. Ποῦ ὁ τῦφος; Ἄρα τοῦ Θεοῦ δεώμεθα, ὥστε ἀνοῖξαι καρδίαν· ὁ Θεὸς δὲ ἀνοίγει καρδίας τὰς βουλομένας· ἔστι γὰρ καὶ πεπηρωμένας ἰδεῖν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Γυνή», φησί, «πορφυρόπωλις, ἧς ὁ Κύριος ἤνοιξε τὴν καρδίαν, προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου». Τὸ μὲν οὖν ἀνοῖξαι, τοῦ Θεοῦ, τὸ δὲ προσέχειν, αὐτῆς· ὥστε καὶ θεῖον καὶ ἀνθρώπινον ἦν.

«Ὡς δὲ ἐβαπτίσθη», φησί, «παρεκάλεσε, λέγουσα· Εἰ κεκρίκατέ με». Ὅρα, καὶ βαπτίζεται, καὶ δέχεται τοὺς Ἀποστόλους μετὰ τοσαύτης ἱκετηρίας, μετὰ πλείονος ἢ ὁ Ἀβραάμ. Καὶ οὐκ εἶπεν οὐδὲν ἄλλο τεκμήριον, ἀλλ' ἐκεῖνο, ἀφ' οὗ ἐσώθη· οὐκ εἶπεν,

---

10. Ἰω. 19, 12
11. Πράξ. 16, 23
12. Πράξ. 16, 24
13. Πράξ. 9, 43· 10, 6
14. Πράξ. 16, 14

«Δὲν ἔχομε βασιλιά, παρὰ τὸν Καίσαρα. Ὁ καθένας ποὺ κάμνει τὸν ἑαυτό του βασιλιὰ εἶναι ἀντίθετος πρὸς τὸν Καίσαρα»[10]

«Καὶ τοὺς ἔρριξαν», λέγει, «στὴ φυλακή»[11]. Μεγάλος ὁ θυμός. «Αὐτός, ἐπειδὴ ἔλαβε τέτοια ἐντολή, τοὺς ἔβαλε στὴν πιὸ βαθειὰ φυλακὴ καὶ ἔδεσε τὰ πόδια τους στὸ ξύλο γιὰ ἀσφάλεια»[12]. Πρόσεχε, καὶ ἐκεῖνος πάλι τοὺς ἔβαλε στὴ πιὸ βαθειὰ φυλακή, καὶ αὐτὸ κατὰ θεία οἰκονομία· διότι, ἐπειδὴ ἐπρόκειτο νὰ γίνει μεγάλο θαῦμα, κρίνεται κατάλληλος γιὰ τὴν ἀκρόαση ὁ τόπος ποὺ ἦταν ἔξω ἀπὸ τὴν πόλη, ποὺ ἦταν ἀπαλλαγμένος ἀπὸ πειρασμοὺς καὶ κινδύνους. Πρόσεχε πῶς δὲν ντρέπεται, αὐτὸς ποὺ γράφει τὴν ἱστορία, νὰ κατονομάζει τὰ ἐπαγγέλματα. Ἐπειδὴ δηλαδὴ ἦταν ἀργία, γι' αὐτὸ περισσότερο πρόσεχαν στὰ λεγόμενα· ἄλλωστε οὔτε ἡ πόλη αὐτὴ τῶν Φιλίππων ἦταν μεγάλη. Ἀφοῦ λοιπὸν μάθαμε καὶ ἐμεῖς αὐτά, ἄς μὴ ντρεπόμαστε κανένα. Στὸ σπίτι βυρσοδέψη μένει ὁ Πέτρος[13], στὸ σπίτι πορφυροπώλιδας ὁ Παῦλος. Ποῦ εἶναι ἡ ὑπερηφάνεια; Ἑπομένως ἄς παρακαλοῦμε τὸ Θεό, γιὰ ν' ἀνοίξει τὴν καρδιά μας· ὁ Θεὸς ἀνοίγει τὶς καρδιὲς ποὺ θέλουν· διότι εἶναι δυνατὸ νὰ δοῦν καὶ καρδιὲς ἀτελεῖς πνευματικά. Ἀλλ' ἄς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

«Κάποια γυναίκα», λέγει, «πορφυροπώλιδα, τῆς ὁποίας ὁ Κύριος ἄνοιξε τὴν καρδιὰ γιὰ νὰ προσέχει τὰ ὅσα ἔλεγε ὁ Παῦλος»[14]. Τὸ μὲν ἄνοιγμα λοιπὸν τῆς καρδιᾶς της ἦταν ἔργο τοῦ Θεοῦ, τὸ νὰ προσέχει ὅμως τὰ λεγόμενα ἦταν θέληση αὐτῆς· ἑπομένως αὐτὸ ἦταν καὶ θεῖο καὶ ἀνθρώπινο ἔργο.

«Μόλις δὲ βαπτίσθηκε», λέγει, «τοὺς παρακάλεσε καὶ τοὺς εἶπε· Ἐὰν μὲ κρίνατε πιστή». Πρόσεχε καὶ βαπτίζεται καὶ δέχεται τοὺς Ἀποστόλους μὲ τόσες παρακλήσεις, μὲ περισσότερες ἀπὸ ὅ,τι ὁ Ἀβραάμ. Καὶ δὲν ἀνέφερε καμιὰ ἄλλη ἀπόδειξη, ἀλλ' ἐκείνη, μὲ τὴν ὁποία

«εἰ μεγάλην γυναῖκα, εἰ εὐλαβῆ κεκρίκατέ με', ἀλλὰ τί; «Πιστὴν τῷ Κυρίῳ»· εἰ τῷ Κυρίῳ, πολλῷ μᾶλλον ὑμῖν, εἰ μὴ ἀμφισβητεῖτε. Καὶ οὐκ εἶπε, 'Παρ' ἐμοί', ἀλλ' «εἰς τὸν οἶκόν μου μείνατε», ὥστε δεῖξαι ὅτι μετὰ πολλῆς τοῦτο ἐποίει προθυμίας. Ὄντως πιστὴ ἡ γυνή. Εἰπὲ δή μοι, τίς οὗτός ἐστιν ὁ δαίμων; Θεός, φησί, πύθων· ἀπὸ τοῦ τόπου οὕτω λέγεται. Ὁρᾷς ὅτι καὶ ὁ Ἀπόλλων δαίμων ἐστί; Καὶ ἐπεὶ ἐβούλετο εἰς πειρασμοὺς αὐτοὺς ἐμβαλεῖν, ὥστε μᾶλλον παροξῦναι, παρώρμησε λέγειν.

2. Ὦ μιαρὲ καὶ παμμίαρε! εἰ τοίνυν οἶδας ὅτι ὁδὸν σωτηρίας καταγγέλλουσι, τί μὴ ἐξίστασαι ἑκών; Ἀλλ' ὅπερ Σίμων ἐβούλετο, λέγων, «Δότε μοι, ἵνα, ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον», τοῦτο καὶ οὗτος ἐποίει· ἐπειδὴ εἶδεν εὐδοκιμοῦντας, καὶ ὧδε ὑποκρίνεται, ταύτῃ προσεδόκησεν ἑαυτὸν ἀφίεσθε ἐν τῷ σώματι, εἰ τὰ αὐτὰ κηρύξειεν. Εἰ δὲ παρὰ ἀνθρώπου «οὐχ ὡραῖος ὁ αἶνος ἐν τῷ στόματι ἁμαρτωλοῦ», πολλῷ μᾶλλον παρὰ δαίμονος· εἰ παρὰ ἀνθρώπων τὴν μαρτυρίαν οὐ λαμβάνει ὁ Χριστός, οὐδὲ παρὰ Ἰωάννου, πολλῷ μᾶλλον παρὰ δαίμονος· τὸ γὰρ κηρύττειν οὐκ ἀνθρώπων, ἀλλὰ Πνεύματος ἁγίου. Ἐπεὶ οὖν ἀλαζονικῶς ἐποίουν βοῶντες, τῇ κραυγῇ καταπλήξειν ἐνόμισαν, λέγοντες· «Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν». Τί λέγεις; πείθῃ τῷ δαίμονι; διὰ τί οὐχὶ καὶ ἐνταῦθα; Ἐκεῖνος λέγει ὅτι «δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου», σὺ λέγεις ὅτι «ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν»· ἐκεῖνος λέγει ὅτι «καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας», σὺ

15. Πράξ. 8, 19
16. Σοφ. Σειράχ 15, 9
17. Πράξ. 16, 20
18. Πράξ. 16, 17

σώθηκε˙ δὲν εἶπε, 'ἐὰν μὲ κρίνατε σπουδαία γυναίκα, ἐὰν μὲ κρίνατε εὐλαβή', ἀλλὰ τί; «Ἐὰν μὲ κρίνατε πιστὴ στὸν Κύριο»˙ ἐὰν γιὰ τὸν Κύριο, πολὺ περισσότερο γιὰ σᾶς, ἐὰν δὲν ἔχετε ἀμφιβολίες. Καὶ δὲν εἶπε, 'κοντά μου', ἀλλὰ «Μείνατε στὴν οἰκία μου», γιὰ νὰ δείξει ὅτι αὐτὸ τὸ ἔκαμνε μὲ μεγάλη προθυμία. Πραγματικὰ ἦταν πιστὴ ἡ γυναίκα· Πές μου ὅμως, ποιὸς εἶναι αὐτὸς ὁ δαίμονας; Θεός, λέγει, πύθωνας˙ ἀπὸ τὸν τόπο ἔτσι ὀνομάζεται. Βλέπεις ὅτι καὶ ὁ Ἀπόλλωνας δαίμονας εἶναι; Καὶ ἐπειδὴ ἤθελε νὰ τοὺς βάλει μέσα σὲ πειρασμούς, μὲ σκοπὸ νὰ τοὺς ἐξοργίσει περισσότερο, τὴν παρακίνησε νὰ λέγει αὐτά.

2. Μιαρὲ καὶ παμμίαρε! ἐὰν λοιπὸν γνωρίζεις ὅτι κηρύττουν ὁδὸ σωτηρίας, γιατί δὲν θαυμάζεις καὶ δὲν ἀλλάζεις γνώμη μὲ τὴ θέλησή σου; Ἀλλ' ἐκεῖνο ἀκριβῶς ποὺ ὁ Σίμων ἤθελε, λέγοντας «Δῶστε μου τὴν ἐξουσία, ὥστε νὰ λαμβάνει Πνεῦμα ἅγιο ἐκεῖνος στὸν ὁποῖο θὰ θέτω τὰ χέρια μου»[15], αὐτὸ καὶ αὐτὸς ἔκαμνε˙ ἐπειδὴ τοὺς εἶδε νὰ παρουσιάζουν στὸ κήρυγμα πρόοδο, ὑποκρίνεται ἐδῶ, διότι μὲ τὸν τρόπο αὐτὸ ἔλπισε νὰ παραμείνει αὐτὸς στὸ σῶμα, ἂν θὰ κηρύξει αὐτά. Ἐὰν δὲ ἐκ μέρους ἀνθρώπου «Δὲν εἶναι ὡραία ἡ ἐξύμνηση ποὺ προέρχεται ἀπὸ στόμα ἁμαρτωλοῦ»[16], πολὺ περισσότερο δὲν εἶναι ὡραία ἐκείνη ποὺ γίνεται ἐκ μέρους τοῦ δαίμονα˙ ἐὰν ὁ Χριστὸς δὲν ἀποδέχεται τὴ μαρτυρία ἐκ μέρους ἀνθρώπων, οὔτε ἀπὸ τὸν Ἰωάννη, πολὺ περισσότερο δὲν τὴν ἀποδέχεται ἀπὸ δαίμονα˙ διότι τὸ κήρυγμα δὲν εἶναι ἔργο ἀνθρώπων, ἀλλὰ τοῦ ἁγίου Πνεύματος. Ἐπειδὴ λοιπὸν κραύγαζαν καὶ ἡ ἐνέργειά τους αὐτὴ ἦταν ἀλαζονική, νόμισαν ὅτι μὲ τὴν κραυγὴ θὰ προξενήσουν κατάπληξη, λέγοντας˙ «Αὐτοὶ οἱ ἄνθρωποι διαταράσσουν τὴν πόλη μας»[17]. Τί λέγεις; πιστεύεις στὰ λόγια τοῦ δαίμονα; γιατί δὲν πιστεύεις καὶ ἐδῶ; Ὁ δαίμονας λέγει ὅτι «Εἶναι δοῦλοι τοῦ Ὑψίστου»[18], σὺ λέγεις ὅτι «διαταράσσουν τὴν πόλη μας»˙ ἐκεῖνος λέγει ὅτι «κηρύττουν σ' ἐμᾶς ὁδὸ σωτηρίας», σὺ

λέγεις, «Παραδιδόασιν ἡμῖν ἔθη, ἃ οὐκ ἔξεστι παραδέχεσθαι». Ὅρα οὐδὲ τῷ δαίμονι αὐτοὺς προσέχοντας, ἀλλὰ πρὸς ἓν ὁρῶντας, τὴν φιλαργυρίαν.

«Εἵλκυσάν τε αὐτούς», φησίν, «εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας· καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν». Ὅρα αὐτοὺς οὐκ ἀποκρινομένους οὐδὲ ἀπολογουμένους, ἵνα μείζονος ἄξιοι θαύματος γένωνται· «ὅταν γάρ», φησίν, «ἀσθενῶ, τότε δυνατός εἰμι. Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Ὥστε καὶ ἀπὸ τῆς ἐπιεικείας θαυμασθῆναι αὐτοὺς ἐχρῆν. Ὅσῳ ἀκριβεστέρα ἡ φυλακὴ γίνεται, τοσούτῳ τὸ θαῦμα λαμπρότερον. Ἴσως, τὴν σύστασιν ἐκκόψαι βουλόμενοι, τοῦτο ἐποίουν ἐκεῖνοι. Ἐπειδὴ εἶδον τὸν ὄχλον ἐφεστῶτα, ταῖς μὲν πληγαῖς τὸν θυμὸν τέως στῆσαι ἐβούλοντο, τῷ δὲ εἰς δεσμωτήριον ἐμβαλεῖν καὶ παραγγεῖλαι ἀσφαλῶς τηρεῖν, ἀκοῦσαι ἤθελον τοῦ πράγματος.

«Καὶ ἠσφαλίσατο», φησίν, «εἰς τὸ ξύλον», ὡς ἂν εἴποι τις· 'Εἰς τὸν νέρβον'. Πόσων δακρύων τὰ νῦν ἄξια; Ἐκεῖνοι μὲν ἔπαθον ὅσα καὶ ἔπαθον, ἡμεῖς δὲ ἐν τρυφῇ, ἡμεῖς δὲ ἐν θεάτροις. Ὅθεν καὶ ἀπολλύμεθα, καὶ καταποντιζόμεθα, ἄνεσιν ζητοῦντες πανταχοῦ, καὶ οὐδὲ μέχρις ὀνειδισμοῦ διὰ τὸν Χριστὸν ἀνεχόμενοι λυπηθῆναι, οὐδὲ μέχρι λόγου. Τούτοις συνεχῶς ἀναμιμνήσκωμεν ἑαυτούς, παρακαλῶ, ὅσα ἔπαθον, ὅσα ὑπέμειναν, πῶς οὐκ ἐθορυβοῦντο, πῶς οὐκ ἐσκανδαλίζοντο. Τὸ τοῦ Θεοῦ ἔργον ἐποίουν, καὶ ταῦτα ἔπασχον. Οὐκ ἔλεγον· 'Τί τοῦτο κηρύττομεν,

19. Πράξ. 16, 21
20. Πράξ. 16, 20-22
21. Β' Κορ. 12, 10' 9
22. Πράξ. 16, 24
23. Δηλαδή τό ξύλινο ὄργανο στό ὁποῖο ἔδεναν τούς φυλακισμένους

λέγεις, «Μᾶς κηρύσσουν διδασκαλίες ποὺ δὲν ἐπιτρέπεται νὰ τὶς παραδεχθοῦμε»[19]. Πρόσεχε ποὺ αὐτοὶ οὔτε στὸ δαίμονα προσέχουν, ἀλλὰ σ' ἕνα καὶ μόνο ἀποβλέπουν, τὴ φιλαργυρία.

«Τοὺς ἔσυραν», λέγει, στὴν ἀγορὰ πρὸς τοὺς ἄρχοντες· καὶ ξεσηκώθηκε τὸ πλῆθος ἐναντίον τους»[20]. Πρόσεχε αὐτοὺς ποὺ δὲν ἀποκρίνονται οὔτε καὶ ἀπολογοῦνται, γιὰ νὰ γίνουν ἄξιοι μεγαλύτερου θαύματος· διότι λέγει· «Ὅταν εἶμαι ἀδύνατος, τότε εἶμαι δυνατός. Σοῦ εἶναι ἀρκετὴ ἡ χάρη μου· διότι ἡ δύναμή μου ἀποδεικνύεται τέλεια ἐκεῖ ποὺ ὑπάρχει ἀδυναμία»[21]. Ὥστε ἔπρεπε νὰ τοὺς θαυμάσουν καὶ ἐξ αἰτίας τῆς ἐπιείκειάς τους. Ὅσο περισσότερο προσεκτικὴ καὶ αὐστηρὴ γίνεται ἡ φρούρηση, τόσο λαμπρότερο γίνεται τὸ θαῦμα. Ἴσως ἐκεῖνοι τὸ ἔκαμναν αὐτὸ θέλοντας νὰ ἐμποδίσουν τὴ φασαρία. Ἐπειδὴ εἶδαν τὸ πλῆθος συγκεντρωμένο, μὲ τὰ μὲν χτυπήματα ἤθελαν νὰ σταματήσουν κατ' ἀρχὴ τὸ θυμό τους, μὲ τὸ νὰ τοὺς βάλουν ὅμως στὴ φυλακὴ καὶ νὰ δώσουν ἐντολὴ νὰ τοὺς φυλάσσουν καλά, ἤθελαν νὰ λάβουν γνώση γιὰ τὸ ὅλο θέμα.

«Καὶ ἔδεσε τὰ πόδια τους», λέγει, «στὸ ξύλο πρὸς ἀσφάλεια»[22], ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, 'Στὸν νέρβο'[23]. Γιὰ πόσα δάκρυα ἄξια εἶναι τὰ ὅσα συμβαίνουν σήμερα; Ἐκεῖνοι μὲν ἔπαθαν ὅλα ἐκεῖνα ποὺ ἔπαθαν, ἐμεῖς ὅμως τὰ παθαίνομε κάμνοντας ἀπολαυστικὴ ζωή, τὰ παθαίνομε μέσα στὰ θέατρα. Γι' αὐτὸ καὶ ὁδηγούμαστε στὴν ἀπώλεια, καὶ καταποντιζόμαστε μέσα στὴν κακία, ζητώντας παντοῦ νὰ βροῦμε ἄνεση, καὶ δὲν ἀνεχόμαστε νὰ λυπηθοῦμε γιὰ χάρη τοῦ Χριστοῦ οὔτε ἁπλῶς δεχόμενοι κάποιο χλευασμό, οὔτε καὶ ἕνα λόγο μόνο. Αὐτὰ ἂς ὑπενθυμίζομε, παρακαλῶ, συνέχεια στὸν ἑαυτό μας, τὰ ὅσα ἔπαθαν, τὰ ὅσα ὑπέμειναν, πῶς δὲν θορυβοῦνταν, πῶς δὲν σκανδαλίζονταν· Τὸ ἔργο τοῦ Θεοῦ ἐκτελοῦσαν καὶ πάθαιναν αὐτά. Δὲν ἔλεγαν· 'Γιατί κηρύττομε τὸν λό-

καὶ οὐ προΐσταται ἡμῶν ὁ Θεός;'. 'Αλλὰ καὶ τοῦτο αὐτοὺς ὠφέλει, καὶ χωρὶς τῆς βοηθείας αὐτῷ τῷ πράγματι εὐτονωτέρους ἐποίει, ἰσχυροτέρους, ἀκαταπλήκτους. «Ἡ θλῖψις», φησίν, «ὑπομονὴν κατεργάζεται».

Μὴ δὴ τὸν ὑγρὸν καὶ διακεχυμένον ζητῶμεν βίον· ὥσπερ γὰρ ἐνταῦθα διπλοῦν τὸ καλόν, ὅτι τε ἰσχυροὶ γίνονται, καὶ ὅτι μεγάλοι οἱ μισθοί, οὕτως ἐκεῖ διπλοῦν τὸ κακόν, ὅτι τε μαλακώτεροι καθίστανται, καὶ ὅτι ἐπ' οὐδενὶ χρηστῷ, ἀλλὰ καὶ ἐπὶ κακῷ. Οὐδὲν γὰρ ἀχρηστότερον ἀνθρώπου γένοιτ' ἄν, ἐν ἀνέσει καὶ τρυφῇ τὸν ἅπαντα διατελοῦντος χρόνον· ἀνὴρ γάρ, φησίν, ἀπείραστος καὶ ἀδόκιμος, ἀδόκιμος οὐκ ἐν τοῖς ἀγῶσι τούτοις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. Ἄχρηστον πρᾶγμα ἡ ἄνεσις, καὶ ἐν αὐτῇ δὲ τῇ τρυφῇ οὐδὲν οὕτως ἀνεπιτήδειον, ὡς τὸ τρυφᾶν· προσκορὲς γάρ ἐστιν. Οὔτε σιτίων ἡδονὴ τοσαύτη, οὔτε ἀνέσεως, ἀλλὰ πάντα ἐξίτηλα γίνεται καὶ διαρρεῖ.

Μὴ δὴ ταύτην ἐπιζητῶμεν· εἰ γὰρ σκοπεῖν θελήσομεν τίς ἥδιον διάγει, ὁ πονούμενος καὶ ταλαιπωρούμενος ἢ ὁ τρυφῶν, τοῦτον μᾶλλον εὑρήσομεν· πρῶτον μὲν γὰρ τοῦ τοιούτου τὸ σῶμα αὐτὸ ἔκλυτον καὶ πεπλαδηκός, ἔπειτα καὶ αἱ τοῦ σώματος αἰσθήσεις οὐκ εἰσιν εἰλικρινεῖς οὐδὲ ὑγιεῖς, ἀλλὰ χαῦναι καὶ μαλακαί· τούτων δὲ οὐκ οὐσῶν, οὐδὲ τῆς ὑγιείας ἡδονὴ φαίνεται. Ποῖος ἵππος χρήσιμος, ὁ τρυφῶν ἢ ὁ γυμναζόμενος; ποία ναῦς, ἡ πλέουσα ἢ ἡ ἀργοῦσα; ποῖον ὕδωρ, τὸ τρέχον ἢ τὸ ἑστώς, ποῖος σίδηρος, ὁ κι-

---

24. Ρωμ. 5, 3

γο τοῦ Θεοῦ καὶ δὲν μᾶς προστατεύει ὁ Θεός;'. Ἀλλὰ καὶ αὐτὸ τοὺς ὠφελοῦσε, καὶ χωρὶς τὴ βοήθειά του, μὲ αὐτὸ ἀκριβῶς τὸ πράγμα τοὺς ἔκαμνε πιὸ δυνατούς, πιὸ ἰσχυρούς, πιὸ ἀτρόμητους. «Ἡ θλίψη», λέγει, «δημιουργεῖ ὑπομονή»[24].

Ἂς μὴ λοιπὸν ἐπιδιώκομε τὴ μαλθακὴ καὶ τὴ γεμάτη ἀπὸ ἀπολαύσεις ζωή· διότι ὅπως ἀκριβῶς ἐδῶ εἶναι διπλὸ τὸ καλό, διότι καὶ ἰσχυροὶ γίνονται οἱ ἀγωνιζόμενοι γιὰ τὴν ἀρετή, καὶ οἱ μισθοὶ εἶναι μεγάλοι, ἔτσι ἐκεῖ εἶναι διπλὸ τὸ κακό, διότι καὶ πιὸ μαλθακοὶ γίνονται καὶ κανενὸς καλοῦ πρόξενοι δὲν γίνονται, ἀλλὰ κακοῦ. Διότι τίποτε δὲν θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἄχρηστο ἀπὸ ἄνθρωπο ποὺ περνᾶ ὅλη τὴ ζωή του μέσα στὴν ἄνεση καὶ τὴ γεμάτη ἀπὸ ἀπολαύσεις ζωή· διότι, λέγει, ἄνδρας ἀπείραστος καὶ ἀδοκίμαστος, εἶναι ἄχρηστος ὄχι μόνο στοὺς ἀγῶνες αὐτούς, ἀλλὰ καὶ σ' ὅλους γενικὰ τοὺς ἄλλους. Ἡ ἄνεση εἶναι ἄχρηστο πράγμα, καὶ μέσα στὴν ἴδια τὴ ζωὴ τὴ γεμάτη ἀπὸ ἀπολαύσεις τίποτε δὲν εἶναι τόσο βλαβερό, ὅσο ἡ ἴδια ἡ ἀπόλαυση· διότι εἶναι βαρετή. Οὔτε ἀπὸ τὰ φαγητὰ ἡ ἡδονὴ εἶναι τόσο μεγάλη, οὔτε ἀπὸ τὴν ἄνεση, ἀλλ' ὅλα ἐξαφανίζονται καὶ χάνονται·

Ἂς μὴ λοιπὸν ἐπιζητοῦμε αὐτήν· διότι ἐὰν θελήσομε νὰ ἐξετάσομε ποιὸς ζεῖ περισσότερο εὐχάριστα, ἐκεῖνος ποὺ κοπιάζει καὶ ταλαιπωρεῖται ἢ ἐκεῖνος ποὺ κάνει τρυφηλὴ ζωή, θὰ διαπιστώσομε αὐτὸν μᾶλλον ποὺ κοπιάζει· διότι κατ' ἀρχὴ μὲν τὸ ἴδιο τὸ σῶμα αὐτοῦ ποὺ κάνει τρυφηλὴ ζωὴ εἶναι ἄτονο καὶ πλαδαρό, ἔπειτα καὶ οἱ αἰσθήσεις τοῦ σώματός του δὲν εἶναι καθαρές, οὔτε ὑγιεῖς, ἀλλ' ἀποχαυνωμένες καὶ μαλθακές· ἐφόσον δὲ αὐτὲς δὲν εἶναι ὑγιεῖς, οὔτε τῆς ὑγείας ἡ ἡδονὴ φαίνεται. Ποιὸς ἵππος εἶναι χρήσιμος, ἐκεῖνος ποὺ κάνει ἀπολαυστικὴ ζωὴ ἢ αὐτὸς ποὺ γυμνάζεται; ποιὸ πλοῖο εἶναι χρήσιμο, ἐκεῖνο ποὺ πλέει ἢ ἐκεῖνο ποὺ βρίσκεται σὲ ἀδράνεια; ποιὸ νερὸ εἶναι χρήσιμο, ἐκεῖνο ποὺ τρέχει ἢ τὸ στάσιμο; ποιὰ σιδε-

νούμενος ἢ ὁ μὴ ἐργαζόμενος; οὐχ ὁ μὲν ἀπολάμπει, καὶ ἀργύρῳ προσέοικεν, ὁ δὲ κατίωται πανταχοῦ ἄχρηστος ὤν, καὶ τῆς ὕλης ἀπολλύς τι τῆς οἰκείας; Τοιοῦτόν τι γίνεται καὶ ἐπὶ τῆς ἀργούσης ψυχῆς· ἰός τις αὐτῆς καταχεῖται, καὶ τρώγει τήν τε λαμπρότητα καὶ τὰ ἄλλα πάντα. Τίνι οὖν ἄν τις τοῦτον ἀποσμήξειε τὸν ἰόν; Τῇ τῶν θλίψεων ἀκόνῃ· αὗται χρήσιμον ἐργάζονται τὴν ψυχήν, καὶ ἐν πᾶσιν ἐπιτηδείαν. Πῶς γάρ, εἰπέ μοι, δυνήσεται τὰ πάθη τέμνειν, τῆς ἀκμῆς ἀμβλυνθείσης, καὶ μολύβδου δίκην ἐπανακαμπτομένης; πῶς τὸν διάβολον τρώσει; Τίνι δὲ οὐκ ἔστιν ἀηδὴς ἄνθρωπος, πολυσαρκίαν ἀσκῶν, φώκης δίκην συρόμενος;

3. *Οὐ περὶ τῶν φύσει ὄντων τοῦτο λέγω, ἀλλὰ περὶ τῶν ἐκ τῆς τρυφῆς τοιαῦτα κατασκευασάντων τὰ σώματα, περὶ τῶν λεπτῶν κατὰ φύσιν. Ἀνέτειλεν ὁ ἥλιος, λαμπρὰς ἀφῆκε πανταχοῦ τὰς ἀκτῖνας, ἤγειρεν ἕκαστον ἐπὶ τὰ ἔργα· ὁ γεωργός, τὴν δίκελλαν λαβών, ἔξεισιν, ὁ χαλκοτύπος τὴν σφῦραν, καὶ τὸ κατάλληλον ἕκαστος τῶν δημιουργῶν, καὶ εὑρήσεις ἕκαστον τὰ οἰκεῖα ὄργανα μεταχειριζόμενον· ἡ γυνὴ ἠλακάτην ἢ τὰ ὑφάσματα· αὐτὸς δέ, καθάπερ ὁ χοῖρος, εὐθέως ἀπὸ πρωῒ ἐπὶ βοσκὴν ἔξεισι τῆς γαστρός, ζητῶν πῶς τράπεζαν πολυτελῆ κατασκευάσει, καίτοι τῶν ἀλόγων ἐστὶ μόνον ἀπὸ πρωῒ τρέφεσθαι, ἐπειδὴ πρὸς οὐδέν ἐστι χρήσιμα, ἀλλὰ πρὸς τὸ σφάζεσθαι. Τὰ δὲ νωτοφόρα αὐτῶν καὶ ἐργασίαν ἀναδεχόμενα καὶ αὐτὰ ἀπὸ νυκτῶν ἐπὶ τὸ ἔργον ἔξει-*

ρένια ἐργαλεῖα εἶναι χρήσιμα, ἐκεῖνα ποὺ βρίσκονται σὲ κίνηση ἢ αὐτὰ ποὺ δὲν προσφέρουν ἔργο; δὲν εἶναι τὰ μὲν πρῶτα λαμπερὰ καὶ μοιάζουν μὲ ἔργυρο, τὰ δὲ ἄλλα γεμίζουν ἀπὸ σκουριὰ καὶ εἶναι παντοῦ ἄχρηστα, καὶ καταφθείρεται ἕνα μέρος τῆς οὐσίας τους; Κάτι παρόμοιο συμβαίνει καὶ μὲ τὴν ψυχὴ ποὺ μένει ἀδρανής· ἕνα εἶδος σκουριᾶς ἁπλώνεται ἐπάνω της καὶ ἐξαφανίζει καὶ τὴ λαμπρότητα καὶ ὅλα τὰ ἄλλα. Μὲ ποιὸ πράγμα θὰ μποροῦσε κάποιος νὰ καθαρίσει αὐτὴ τὴ σκουριά; Μὲ τὴν ἀκόνη τῶν θλίψεων· αὐτὲς καθιστοῦν τὴν ψυχὴ χρήσιμη καὶ κατάλληλη γιὰ ὅλα. Διότι πές μου, πῶς θὰ μπορέσει ν' ἀποκόψει τὰ πάθη, τὴ στιγμὴ ποὺ ἡ κόψη της ἔχει χοντρύνει καὶ λυγίζει ὅπως ἀκριβῶς καὶ ὁ μόλυβδος; πῶς θὰ πληγώσει τὸ διάβολο; Σὲ ποιὸν δὲν εἶναι συχαμερὸς ὁ ἄνθρωπος ἐκεῖνος ποὺ αὐξάνει τὴν παχυσαρκία του, καὶ σύρεται ὅπως ἀκριβῶς ἡ φώκια;

3. Δὲν τὸ λέγω αὐτὸ γιὰ ἐκείνους ποὺ ἀπὸ τὴ φύση τους εἶναι τέτοιοι, ἀλλὰ γιὰ ἐκείνους ποὺ κατέστησαν τὰ σώματά τους τέτοια ἐξ αἰτίας τῆς ἀπολαυστικῆς ζωῆς ποὺ κάνουν, γιὰ ἐκείνους ποὺ ἀπὸ τὴ φύση τους ἦταν λεπτοί. Ἀνέτειλε ὁ ἥλιος, ἄφησε νὰ σκορπίσουν παντοῦ λαμπρὲς οἱ ἀκτίνες του, σήκωσε τὸν καθένα γιὰ τὴν ἐργασία· ὁ γεωργός, ἀφοῦ πῆρε τὴν ἀξίνα, ἀναχωρεῖ γιὰ τὴν ἐργασία του, ὁ χαλκουργὸς τὴ σφύρα του, καὶ ὁ καθένας τεχνίτης τὸ κατάλληλο ἐργαλεῖο του, καὶ θὰ βρεῖς τὸν καθένα νὰ χρησιμοποιεῖ τὰ δικά του ἐργαλεῖα· ἡ γυναίκα τὴ ρόκα ἢ τὰ ὑφάσματα· αὐτὸς δέ, ὅπως ἀκριβῶς ὁ χοῖρος, ἀμέσως ἀπὸ τὸ πρωὶ βγαίνει γιὰ τὴν τροφὴ τῆς κοιλιᾶς, ἀναζητώντας πῶς θὰ ἑτοιμάσει πολυτελὴ τράπεζα, ἂν καὶ βέβαια μόνο τῶν ἀλόγων ζώων ἀποτελεῖ γνώρισμα τὸ νὰ τρέφονται ἀπὸ τὸ πρωί, ἐπειδὴ δὲν εἶναι χρήσιμα γιὰ τίποτε ἄλλο, παρὰ γιὰ σφάξιμο. Ἐκεῖνα ὅμως ἀπὸ αὐτὰ ποὺ κάνουν μεταφορὲς καὶ ἀναλαμβάνουν ἐργασία καὶ αὐτὰ ἀναχωροῦν ἀπὸ τὴ νύχτα γιὰ τὴν ἐργασία,

σιν· οὗτος δέ, ἀπὸ τῆς εὐνῆς ἀναστάς, τοῦ ἡλίου τὴν ἀγορὰν ἐμπλήσαντος, καὶ πάντων κορεσθέντων τῆς οἰκείας ἐργασίας, ἀνίσταται διατεινόμενος, καθάπερ ὄντως ὗς πιαινόμενος, τὸ κάλλιστον τῆς ἡμέρας ἐν σκότει καταναλώσας· εἶτα κάθηται πολὺν ἐπὶ τῆς εὐνῆς καιρόν, πολλάκις οὐδὲ ἀνενεγκεῖν δυνάμενος ἀπὸ τῆς ἑσπερινῆς μέθης, καταναλώσας τὸν πλείονα καιρὸν ἐν τούτοις· εἶτα καλλωπίζει ἑαυτόν, καὶ πρόεισιν ἀσχημοσύνης θέατρον, οὐδὲν ἔχων ἀνθρώπου, ἀλλὰ πάντα θηρίου ἀνθρωπομόρφου, οἱ ὀφθαλμοὶ δίυγροι, οἴνου τὸ στόμα ἀπόζον, ἡ ταλαίπωρος ψυχὴ καθάπερ ἐπὶ κλίνης βεβλημένη ὑπὸ τῆς ἀμέτρως ἐγχεομένης ἑωλοκρασίας, τὸ μέγεθος τῶν σαρκῶν περιφέρουσα, καθάπερ ἐλέφας· εἶτα ἐλθὼν κάθηται ἐν τόποις, καὶ λέγει τοιαῦτα καὶ ποιεῖ, ὡς βέλτιον εἶναι ἔτι καθεύδειν αὐτὸν ἢ ἐγρηγορέναι.

Ἂν δεινὰ ἐπαγγελθῇ, παντὸς κορασίου μαλακώτερος γίνεται· ἂν χρηστά, παντὸς παιδίου χαυνότερος· χάσμης αὐτῷ ἡ ὄψις γέμει. Πᾶσι πρόκειται τοῖς βουλομένοις κακῶς ποιεῖν, εἰ καὶ μὴ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πάθεσι, καὶ θυμὸς τὸν τοιοῦτον ἐγείρει ῥᾳδίως, καὶ ἐπιθυμία, καὶ βασκανία, καὶ πάντα. Πάντες κολακεύουσι, πάντες θεραπεύουσι, μαλακωτέραν ἢ ἐστιν ἐργαζόμενοι τὴν ψυχήν· καὶ καθ' ἑκάστην ἡμέραν πρόεισι, πολύ τι τῆς νόσου προσλαμβάνων. Ἂν εἰς πραγμάτων ἐμπέσῃ περίστασιν, τέφρα καὶ κόνις γίνεται, καὶ οὐδὲν αὐτῷ τὰ σηρικὰ ἱμάτια συμβάλλεται. Ταῦτα ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα παιδεύσωμεν μηδένα ἀργῶς ζῆν μηδὲ εἰκῇ· ἡ γὰρ

ἐνῶ αὐτός, ἀφοῦ σηκωθεῖ ἀπὸ τὸ κρεβάτι, καὶ ἐνῶ ὁ ἥλιος γέμισε τὴν ἀγορά καὶ ἡ ἐργασία ὅλων προχώρησε σὲ ὑπερβολικὸ βαθμό, σηκώνεται καὶ τεντώνεται, πραγματικὰ ὅπως ἀκριβῶς ὁ χοῖρος ποὺ παχύνεται, ἀφοῦ κατανάλωσε τὸ καλύτερο μέρος τῆς ἡμέρας μέσα στὸ σκοτάδι· ἔπειτα κάθεται γιὰ πολλὴ ὥρα ἐπάνω στὸ κρεβάτι, πολλὲς φορὲς μὴ μπορώντας νὰ συνέλθει ἀπὸ τὴν ἑσπερινὴ μέθη, ἀφοῦ κατανάλωσε τὸν περισσότερο χρόνο σ' αὐτά· στὴ συνέχεια καλλωπίζεται καὶ μεταβάλλεται σὲ θέατρο ἀσχήμιας, μὴ ἔχοντας τίποτε τὸ ἀνθρώπινο, ἀλλ' εἶναι τελείως ὠχρά, τὸ στόμα του ἀναδίδει ὀσμὴ κρασιοῦ, ὅλα τὰ γνωρίσματα θηρίου ἀνθρωπόμορφου· τὰ μάτια του ἡ ταλαίπωρη ψυχή του μοιάζει νὰ εἶναι πεταγμένη ἐπάνω σὲ κρεβάτι ἀπὸ τὶς ὑπερβολικὲς ἐκχύσεις γεμάτων ἀπὸ ἀηδία μειγμάτων ζωμῶν, περιφέροντας τὸ μέγεθος τῶν σαρκῶν σὰν ἀκριβῶς ἐλέφαντας· ἔπειτα πηγαίνει καὶ κάθεται σὲ κάποιο μέρος καὶ λέγει καὶ κάμνει τέτοια, ποὺ προτιμότερο θὰ ἦταν νὰ κοιμόταν ἀκόμα, παρὰ νὰ εἶναι ξυπνητός.

Ἂν ἀναγγελθοῦν συμφορές, γίνεται δειλότερος ἀπὸ ὁποιοδήποτε κοριτσάκι· ἂν ἀναγγελθοῦν εὐχάριστα, ἀποχαυνόνεται περισσότερο ἀπὸ ὁποιοδήποτε παιδί· ἡ ὄψη του γεμίζει ἀπὸ χασμουρητά. Παραδίνει τὸν ἑαυτό του σ' ὅλους ἐκείνους ποὺ θέλουν νὰ κάμνουν κακό, ἂν καὶ ὄχι στοὺς ἀνθρώπους, ἀλλὰ στὰ πάθη, καὶ τὸν ἄνθρωπο αὐτοῦ τοῦ εἴδους καὶ ὁ θυμὸς τὸν ἐξάπτει, καὶ ἡ ἐπιθυμία, καὶ ὁ φθόνος καὶ τὰ πάντα. Ὅλοι τὸν κολακεύουν, ὅλοι τὸν ὑπηρετοῦν, κάμνοντας τὴν ψυχή του πιὸ μαλθακὴ ἀπὸ ὅ,τι εἶναι· καὶ καθημερινὰ προχωρεῖ πρὸς τὸ χειρότερο ἡ κατάστασή του, καὶ αὐξάνει κατὰ πολὺ περισσότερο ἡ ἀσθένειά του. Ἂν περιπέσει σὲ δύσκολες περιστάσεις, γίνεται στάχτη καὶ σκόνη καὶ δὲν τοῦ προσφέρουν τίποτε τὰ μεταξωτὰ ἐνδύματα· Αὐτὰ δὲν λέχθηκαν πρὸς ἐσᾶς ἔτσι στὴν τύχη, ἀλλὰ γιὰ ν' ἀποτελέσουν δί-

ἀργία καὶ ἡ τρυφὴ πρὸς ἐργασίαν ἀνεπιτήδειον, πρὸς δόξαν μόνον, πρὸς ἡδονήν. Πῶς πάντες τὸν τοιοῦτον οὐ καταγνώσονται, καὶ οἰκεῖοι, καὶ φίλοι, καὶ συγγενεῖς; τίς δὲ οὐ δικαίως ἐρεῖ, '"Αχθος οὗτος ἀρούρας, εἰκῇ παρῆλθεν εἰς τὸν κόσμον ὁ τοιοῦτος, μᾶλλον δὲ οὐκ εἰκῇ, ἀλλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς, ἐπὶ λύμῃ ἰδίᾳ, ἐπὶ βλάβῃ ἑτέρων';

Τί οὖν ἥδιον αὐτῇ, ἴδωμεν· τοῦτο γάρ ἐστι τὸ ζητούμενον, σχολὴ καὶ ἀπραξία. Καὶ τί ἀηδέστερον γένοιτ' ἂν ἀνθρώπου, οὐδὲν ἔχοντος ποιεῖν; τί μοχθηρότερον, τί ταλαιπωρότερον; μυρίων οὐ χεῖρον τοῦτο δεσμῶν, χασμᾶσθαι καὶ κεχηνέναι διὰ παντὸς ἐπὶ τῆς ἀγορᾶς καθήμενον ὁρῶντα τοὺς παριόντας; Ἡ γὰρ ψυχή, φύσιν ἔχουσα τοῦ κινεῖσθαι διὰ παντός, οὐκ ἀνέχεται ἠρεμεῖν. Ἔμπρακτον τὸ ζῶον τοῦτο ἐποίησεν ὁ Θεός, καὶ κατὰ φύσιν αὐτῷ ἐστι τὸ ἐργάζεσθαι, παρὰ φύσιν δὲ τὸ ἀργεῖν.

Μὴ ἀπὸ τῶν νοσούντων τὰ πράγματα δοκιμάζωμεν, ἀλλὰ τοῦ πράγματος πεῖραν λάβωμεν. Οὐδὲν σχολῆς μοχθηρότερον, οὐδὲν ἀργίας. Διὰ τοῦτο εἰς ἀνάγκην ἡμᾶς κατέστησεν ἐργασίας ὁ Θεός· πάντα γὰρ ἡ ἀργία βλάπτει, καὶ τὰ μέλη τοῦ σώματος αὐτὰ βλάπτει πως ἡ ἀργία. Καὶ γὰρ καὶ ὀφθαλμός, εἰ μὴ ἐργάζοιτο τὸ αὑτοῦ, καὶ στόμα, καὶ γαστήρ, καὶ πᾶν ὅ,τι ἂν εἴποι τις τῶν μελῶν, εἰς νόσον ἐμπίπτει τὴν ἐσχάτην· οὐδὲν δὲ οὕτως, ὡς ἡ ψυχή. Ὥσπερ δὲ ἀργία κακόν, οὕτω καὶ ἐργασία ἡ μὴ προσήκουσα. Κα-

δαγμα ὥστε κανένας νὰ μὴ ζεῖ ἀργὸς καὶ χωρὶς κανένα σκοπό· διότι ἡ ἀργία καὶ ἡ ἀπολαυστικὴ ζωὴ εἶναι ἀκατάλληλα γιὰ ἐργασία, ἀποβλέπουν μόνο στὴ δόξα καὶ τὴν ἡδονή. Πῶς ὅλοι δὲν θὰ κατηγορήσουν τὸν ἄνθρωπο αὐτοῦ τοῦ εἴδους, καὶ οἱ γνωστοί, καὶ οἱ φίλοι; ποιὸς δὲ δὲν θὰ πεῖ πολὺ σωστά, Ἀὐτὸς ἀποτελεῖ βάρος τῆς γῆς, ἄσκοπα ἦρθε αὐτὸς στὸν κόσμο, ἢ καλύτερα ὄχι ἄσκοπα, ἀλλὰ καὶ γιὰ κακὸ τοῦ ἑαυτοῦ του, γιὰ καταστροφὴ δική του καὶ γιὰ βλάβη ἄλλων΄;

Ἂς ἐξετάσομε λοιπὸν τί ὑπάρχει εὐχάριστο σ' αὐτήν· διότι αὐτὸ εἶναι ποὺ ἐπιδιώκεται μ' αὐτήν, ἀργία καὶ ἀπραξία. Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει ἀηδέστερο ἀπὸ ἄνθρωπο ποὺ δὲν ἔχει τίποτε νὰ κάνει; τί ἐλεεινότερο, τί ἀθλιότερο; δὲν εἶναι αὐτὸ χειρότερο ἀπὸ ἀμέτρητα δεσμά, τὸ νὰ χασμουριέται δηλαδὴ συνέχεια καὶ νὰ κοιτάει μὲ ἀνοιχτὸ τὸ στόμα, καθησμένος στὴν ἀγορά, τοὺς περαστικούς; Διότι ἡ ψυχή, ποὺ ἀπὸ τὴ φύση της θέλει νὰ κινεῖται συνέχεια, δὲν ἀνέχεται νὰ ἀδρανεῖ. Ὁ Θεὸς ἔκανε τὸ ζῶο αὐτὸ δραστήριο, καὶ εἶναι συνδεδεμένη μὲ τὴ φύση του ἡ ἐργασία, ἐνῶ ἡ ἀργία εἶναι ἔξω ἀπὸ τὴ φύση του.

Ἂς μὴ ἀποδεχόμαστε σὰν ὀρθὰ τὰ πράγματα μὲ κριτήριο τοὺς ἀσθενεῖς, ἀλλ' ἂς θελήσομε νὰ γνωρίσομε τὸ βαθύτερο νόημα αὐτοῦ τοῦ πράγματος. Δὲν ὑπάρχει κανένα μεγαλύτερο κακὸ ἀπὸ τὴν ἀπραξία, κανένα μεγαλύτερο ἀπὸ τὴν ἀργία. Γι' αὐτὸ ὁ Θεὸς μᾶς δημιούργησε τὴν ἀνάγκη τῆς ἐργασίας· διότι ὅλα τὰ βλάπτει ἡ ἀργία, καὶ αὐτὰ τὰ ἴδια τὰ μέλη τοῦ σώματος κατὰ κάποιο τρόπο τὰ βλάπτει ἡ ἀργία. Καθόσον καὶ ὁ ὀφθαλμός, ἐὰν δὲν ἔκαμνε τὴ δική του ἐργασία, τὸ ἴδιο καὶ τὸ στόμα καὶ ἡ κοιλιά, καὶ ὁποιοδήποτε ἀπὸ τὰ μέλη μας ἂν ἔλεγε κάποιος, περιπίπτει στὴν πιὸ χειρότερη ἀσθένεια· τίποτε δὲ δὲν βλάπτεται τόσο πολύ, ὅσο ἡ ψυχή. Ὅπως δὲ εἶναι

θάπερ γάρ, εἴ τις μὴ ἐσθίει, εἰς τοὺς ὀδόντας βλάπτεται, κἂν ἐσθίῃ τὰ μὴ προσήκοντα, ποιεῖ αὐτοὺς αἱμωδιᾶν, οὕτω δὴ καὶ ἐνταῦθα, ἄν τε μὴ ἐργάζηται, ἄν τε ἐργάζηται τὰ μὴ προσήκοντα, τὴν οἰκείαν ἀπόλλυσιν ἰσχύν.

Οὐκοῦν ἀμφότερα φεύγειν σπουδάζωμεν, καὶ ἀργίαν, καὶ ἐργασίαν ἀργίας χαλεπωτέραν. Ποία δὲ αὕτη ἐστί; Πλεονεξίαι, θυμός, βασκανίαι, τὰ λοιπὰ τῶν παθῶν. Ἐν τούτοις τὴν ἀργίαν μεταδιώκωμεν, ἵνα τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν τύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κακὸ ἡ ἀργία, ἔτσι καὶ ἡ ἐργασία ἐκείνη ποὺ δὲν εἶναι ἡ πρέπουσα· Διότι, ὅπως ἀκριβῶς, ἐὰν κάποιος δὲν τρώγει, προξενεῖ βλάβη στὰ δόντια του, καὶ ἂν τρώγει ἐκεῖνα ποὺ δὲν πρέπει, κάμνει αὐτὰ νὰ μουδιάζουν, ἔτσι λοιπὸν καὶ ἐδῶ, καὶ ἂν δὲν ἐργάζεται, καὶ ἂν ἐργάζεται καὶ κάμνει ἐκεῖνα ποὺ δὲν πρέπει, καταστρέφει τὴ δύναμή της.

Λοιπὸν ἂς φροντίζομε ν' ἀποφεύγομε καὶ τὰ δύο, καὶ τὴν ἀργία καὶ τὴν ἐργασία ποὺ εἶναι χειρότερη ἀπὸ τὴν ἀργία. Ποιὰ δὲ εἶναι αὐτὴ ἡ ἐργασία; Οἱ πλεονεξίες, ὁ θυμός, οἱ φθόνοι καὶ τὰ ὑπόλοιπα πάθη. Σ' αὐτὰ ἂς προσπαθοῦμε νὰ ἐφαρμόζομε τὴν ἀργία, ὥστε νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ ὁ Θεὸς μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον στὸν Πατέρα συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΣΤ΄

(Πράξ. 16, 25 - 40)

«Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν, καὶ ἐπηκροῶντο αὐτῶν οἱ δέσμιοι. Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη».

1. Τί τούτων ἴσον γένοιτ' ἂν τῶν ψυχῶν; Ἐμαστίχθησαν, πολλὰς πληγὰς λαβόντες, ὑβρίσθησαν, περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, εἰς τὸ ξύλον ἦσαν ἐμβεβλημένοι, εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ οὐδὲ οὕτω καθεύδειν ἠνείχοντο, ἀλλ' ἐπαννύχιζον. Ὁρᾶτε ὅσον ἡ θλῖψις ἀγαθόν; Ἡμεῖς δέ, οὐδὲ ἐν ἁπαλοῖς ὄντες στρώμασιν, οὐδένα δεδοικότες, ὅλην τὴν νύκτα καθεύδομεν. Τάχα διὰ τοῦτο ἐπαννύχιζον, ἐπειδὴ ἐν τούτοις ἦσαν. Οὐχ ἡ τοῦ ὕπνου τυραννὶς αὐτοὺς εἷλεν, οὐχ ἡ ἀλγηδὼν ἔκαμψεν, οὐχ ὁ φόβος εἰς ἀπορίαν ἐνέβαλεν, ἀλλ' αὐτὰ δὴ ταῦτα πολλῷ μᾶλλον ἦν τὰ διεγείροντα αὐτούς, καὶ ἡδονῆς πληροῦντα πολλῆς.

«Κατὰ δὲ τὸ μεσονύκτιον ὕμνουν τὸν Θεόν», φησίν, «ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι»· ξένον γὰρ ἐδόκει εἶναι καὶ παράδοξον.

------

1. Πράξ. 16, 25 - 26

Ο Μ Ι Λ Ι Α ΛΣΤ'

(Πράξ. 16, 25 - 40)

«Κατὰ τὰ μεσάνυχτα δὲ ὁ Παῦλος καὶ ὁ Σίλας σεύχονταν καὶ ἔψαλλαν ὕμνους στὸ Θεό, καὶ οἱ ἄλλοι φυλακισμένοι τοὺς ἄκουαν. Ξαφνικὰ ὅμως ἔγινε μεγάλος σεισμός, ὥστε νὰ σαλευθοῦν τὰ θεμέλια τῆς φυλακῆς, καὶ ἀμέσως ἄνοιξαν ὅλες οἱ πόρτες καὶ λύθηκαν τὰ δεσμὰ ὅλων»[1].

1. Τί θὰ μποροῦσε νὰ ὑπάρξει ἰσάξιο μὲ τὶς ψυχὲς αὐτές; Μαστιγώθηκαν, δέχθηκαν πολλὰ χτυπήματα, βρίσθηκαν, κινδύνεψαν μέχρι θανάτου, ἦταν δεμένοι στὸ ξύλο καὶ κλεισμένοι μέσα στὴν πιὸ βαθειὰ φυλακή, καὶ ὅμως οὔτε καὶ ἔτσι μποροῦσαν νὰ ἡσυχάζουν, ἀλλ' ἔμεναν ξάγρυπνοι ὅλη τὴ νύχτα προσευχόμενοι. Βλέπετε πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ θλίψη; Ἐμεῖς ὅμως οὔτε, καὶ ἐνῶ εἴμαστε ξαπλωμένοι σὲ ἁπαλὰ στρώματα, φοβόμαστε καθόλου, ἀλλὰ ὅλη τὴ νύχτα κοιμόμαστε. Ἴσως γι' αὐτὸ νὰ ξαγρυπνοῦσαν ψάλλοντας ὅλη τὴ νύχτα, ἐπειδὴ βρίσκονταν μέσα σ' αὐτὲς τὶς δυσκολίες· Δὲν τοὺς κυρίευσε ἡ τυραννικὴ ἐξουσία τοῦ ὕπνου, δὲν τοὺς λύγισε ὁ ἀνυπόφορος πόνος, δὲν τοὺς ὁδήγησε σὲ ἀπορία ὁ φόβος, ἀλλ' ἀκριβῶς αὐτὰ τὰ ἴδια ἦταν ἐκεῖνα ποὺ τοὺς προξενοῦσαν μεγαλύτερη διέγερση, καὶ τοὺς γέμιζαν ἀπὸ πολλὴ ἡδονή.

«Κατὰ τὰ μεσάνυχτα δὲ ἔψαλλαν», λέγει, «ὕμνους στὸ Θεὸ καὶ τοὺς ἄκουαν οἱ ἄλλοι φυλακισμένοι»· διότι τοὺς φαίνονταν σὰν κάτι τὸ παράξενο καὶ παράδοξο.

«Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα πᾶσαι αἱ θύραι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη». Σεισμὸς ἐγένετο, ὥστε ἀφυπνισθῆναι ἐκεῖνον, καὶ αἱ θύραι ἀνεῴχθησαν, ὥστε θαυμάσαι τὸ γεγονός. Ταῦτα οἱ δεσμῶται οὐχ ἑώρων· ἢ γὰρ ἂν ἔφυγον ἅπαντες.

«Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε». Ἐθαύμασε μᾶλλον τὴν φιλανθρωπίαν Παύλου· ἐξεπλάγη τὴν ἀνδρείαν, ὅτι, καὶ φυγεῖν δυνάμενος, οὐκ ἔφυγε, καὶ ὅτι αὐτὸν ἐκώλυσε τῆς σφαγῆς.

«Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;». Εἶδες πῶς αὐτὸν εἷλε τὸ θαῦμα;

«Οἱ δὲ εἶπον· Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ». Ἐκ τοῦ εὐθέως λαλῆσαι αὐτῷ ἐπεδείξαντο τὴν περὶ αὐτὸν φιλανθρωπίαν.

«Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτός, ἔλουσεν ἀπὸ τῶν πληγῶν. Καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιᾶτο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ». Ἔλουσεν αὐτούς, ὥσπερ ἀμειβόμενος τὴν χάριν, καὶ τιμῶν αὐτοὺς δι' ὧν ἐποίει.

«Ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατη-

------

2. Πράξ. 16, 26 3. Πράξ. 16, 27 - 28 4. Πράξ. 16, 29 - 30
5. Πράξ. 16, 31 - 32 6. Πράξ. 16, 33 - 34

«Ξαφνικὰ δὲ ἔγινε σεισμὸς μεγάλος, ὥστε νὰ σαλευθοῦν τὰ θεμέλια τῆς φυλακῆς· ἀμέσως ἄνοιξαν ὅλες οἱ πόρτες καὶ λύθηκαν τὰ δεσμὰ ὅλων»[2]. Ἔγινε σεισμός, ὥστε νὰ ξυπνήσει ἐκεῖνος, καὶ οἱ θύρες ἄνοιξαν, ὥστε νὰ θαυμάσει τὸ γεγονός. Αὐτὰ οἱ φύλακες δὲν τὰ ἔβλεπαν· διότι ἄλλως θὰ ἔφευγαν ὅλοι.

«Ὅταν δὲ ξύπνησε ὁ δεσμοφύλακας καὶ εἶδε ἀνοιγμένες τὶς πόρτες τῆς φυλακῆς, ἔσυρε τὸ μαχαίρι του καὶ ἤθελε ν' αὐτοκτονήσει, διότι νόμιζε ὅτι οἱ φυλακισμένοι εἶχαν φύγει. Ἀλλὰ τοῦ φώναξε ὁ Παῦλος μὲ δυνατὴ φωνὴ καὶ τοῦ εἶπε· Μὴ κάνεις κανένα κακὸ στὸν ἑαυτό σου, διότι ὅλοι εἴμαστε ἐδῶ»[3]. Θαύμασε περισσότερο τὴ φιλανθρωπία τοῦ Παύλου· ἔμεινε κατάπληκτος ἀπὸ τὴν ἀνδρεία του, διότι, ἂν καὶ μποροῦσε νὰ φύγει, δὲν ἔφυγε, καὶ διότι τὸν ἐμπόδισε ν' αὐτοκτονήσει.

«Ἀφοῦ δὲ ζήτησε νὰ βρεῖ φῶτα πήδηξε μέσα καί, κυριευμένος ἀπὸ τρόμο, ἔπεσε στὰ πόδια τοῦ Παύλου καὶ τοῦ Σίλα, καί, ἀφοῦ τοὺς ὁδήγησε ἔξω, εἶπε· Κύριοι, τί πρέπει νὰ κάνω γιὰ νὰ σωθῶ;»[4]. Εἶδες πῶς τὸν συνήρπασε τὸ θαῦμα;

«Ἐκεῖνοι δὲ εἶπαν· Πίστεψε στὸν Κύριο Ἰησοῦ Χριστό, καὶ θὰ σωθεῖς σὺ καὶ ἡ οἰκογένειά σου. Καὶ κήρυξε σ' αὐτὸν τὸ λόγο τοῦ Κυρίου καὶ σ' ὅλα τὰ μέλη τῆς οἰκογένειάς του»[5]. Μὲ τὸ ὅτι ἀμέσως κήρυξε σ' αὐτὸν τὸ λόγο τοῦ Κυρίου ἔδειξε τὴ φιλανθρωπία του πρὸς αὐτόν.

«Καὶ ἀφοῦ τοὺς πῆρε τὴ νυχτερινὴ ἐκείνη ὥρα, ἔπλυνε τὶς πληγές τους, καὶ βαπτίσθηκε ἀμέσως αὐτὸς καὶ οἱ δικοί του. Ἀφοῦ τοὺς ἔφερε στὸ σπίτι του, τοὺς ἔδωσε φαγητὸ καὶ ἦταν γεμάτος χαρὰ μαζὶ μὲ ὅλους τοὺς δικούς του γιὰ τὴν πίστη τους στὸ Θεό»[6]. Ἔπλυνε αὐτούς, ἀμείβοντάς τους κατὰ κάποιο τρόπο γιὰ τὸ καλὸ ποὺ τοῦ ἔκαναν καὶ γιὰ νὰ τοὺς τιμήσει μὲ ὅσα ἔκαμνε.

«Ὅταν ξημέρωσε ἔστειλαν οἱ στρατηγοὶ τοὺς ραβδού-

γοὶ τοὺς ῥαβδούχους, λέγοντες· Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους». Ἔγνωσαν ἴσως τὸ γεγονὸς οἱ στρατηγοί, καὶ οὐκ ἐτόλμων ἀφ' ἑαυτῶν ἀφεῖναι.

«Ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον, φήσας ὅτι ἀπεστάλκασιν οἱ στρατηγοί, ἵνα ἀπολυθῆτε. Νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ. Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· Δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν, καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; Οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν. Ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· καὶ ἐφοβήθηθησαν, ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσι. Καὶ ἐξελθόντες παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως. Ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς, εἰσῆλθον πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς παρεκάλεσαν αὐτούς, καὶ ἐξῆλθον». Καὶ τῶν στρατηγῶν δηλωσάντων, ὁ Παῦλος οὐκ ἐξέρχεται τάχα διὰ τὴν Λυδίαν καὶ τοὺς ἄλλους ἀδελφούς, ἢ καὶ φοβῶν αὐτούς, ἵνα μὴ νομισθῶσιν ἠξιωκότες ἀπολελύσθαι, καὶ ἵνα καὶ τοὺς ἄλλους ἐν παρρησίᾳ καταστήσωσι. Τριπλοῦν, ἀγαπητοί, τὸ ἔγκλημα ἦν, ὅτι καὶ Ῥωμαίους, καὶ ἀκατακρίτους, καὶ δημοσίᾳ ἔβαλον εἰς φυλακήν.

Ὁρᾷς ὅτι καὶ ἀνθρώπινα κατεσκεύαζον πολλά. Ἐξετάσωμεν πρὸς ἐκείνην τὴν νύκτα ταύτας τὰς νύκτας, ἔνθα κῶμοι, καὶ μέθαι καὶ ἀσέλγειαι, ἔνθα ὕπνος, θανάτου οὐδὲν διεστηκώς, ἔνθα ἀγρυπνίαι ὕπνου χαλεπώτεραι· οἱ μὲν γὰρ καθεύδουσιν ἀνεπαισθήτως, οἱ δὲ ἐγρηγόρασιν ἐλεεινῶς καὶ ἀθλίως, δό-

---

7. Πράξ. 16, 35
8. Πράξ. 16, 36 - 40

χους μὲ τὴν ἐντολή· Ἀπόλυσε τοὺς ἀνθρώπους ἐκείνους»[7]. Ἔμαθαν ἴσως οἱ στρατηγοὶ τὸ γεγονὸς καὶ δὲν τολμοῦσαν ἀπὸ μόνοι τους νὰ τοὺς ἀπολύσουν.

«Ἀνάγγειλε ὁ δεσμοφύλακας τὰ λόγια αὐτὰ πρὸς τὸν Παῦλο, λέγοντας ὅτι οἱ στρατηγοὶ ἔστειλαν ἐντολὴ ν' ἀπολυθεῖτε. Βγῆτε λοιπὸν τώρα ἔξω καὶ πηγαίνετε στὸ καλό. Ὁ δὲ Παῦλος εἶπε πρὸς αὐτούς· Μᾶς ἔδειραν δημόσια χωρὶς νὰ μᾶς ἀνακρίνουν, ἂν καὶ εἴμαστε Ρωμαῖοι πολίτες, μᾶς ἔρριξαν στὴ φυλακή, καὶ τώρα θέλουν νὰ μᾶς βγάλουν ἔξω κρυφά; Ὄχι βέβαια, ἀλλ' ἂς ἔρθουν αὐτοὶ οἱ ἴδιοι νὰ μᾶς βγάλουν. Ἀνάγγειλαν δὲ οἱ ραβδοῦχοι τὰ λόγια αὐτὰ στοὺς στρατηγούς, οἱ ὁποῖοι φοβήθηκαν ὅταν ἄκουσαν ὅτι εἶναι Ρωμαῖοι πολίτες, καὶ ἦρθαν τοὺς καθησύχασαν, καὶ ἀφοῦ τοὺς ἔβγαλαν ἀπὸ τὴ φυλακὴ τοὺς παρακάλεσαν νὰ φύγουν ἀπὸ τὴν πόλη. Ἀφοῦ δὲ βγῆκαν ἀπὸ τὴ φυλακή, πῆγαν στὸ σπίτι τῆς Λυδίας, καὶ ἀφοῦ εἶδαν τοὺς ἀδελφοὺς καὶ τοὺς καθησύχασαν καὶ τοὺς ἐνίσχυσαν στὴν πίστη, ἀναχώρησαν»[8]. Ἂν καὶ οἱ στρατηγοὶ τοὺς εἰδοποίησαν νὰ ἐξέλθουν, ὅμως ὁ Παῦλος δὲν ἐξέρχεται ἴσως γιὰ χάρη τῆς Λυδίας καὶ τῶν ἄλλων ἀδελφῶν, ἢ καὶ γιὰ νὰ φοβίσει αὐτούς, γιὰ νὰ μὴ νομισθεῖ ὅτι ἔχουν ἀπολυθεῖ, καὶ γιὰ νὰ δώσουν θάρρος στοὺς ἄλλους· Τριπλό, ἀγαπητοί, ἦταν τὸ ἀδίκημα, καὶ ὅτι ἦταν Ρωμαῖοι πολίτες, καὶ ὅτι δὲν δικάσθηκαν, καὶ ὅτι τοὺς ἔβαλαν στὴ φυλακὴ δημόσια.

Βλέπεις ὅτι πολλὰ γίνονταν ἀπ' αὐτοὺς καὶ μὲ τὶς δικές τους τὶς ἀνθρώπινες δυνάμεις. Ἂς συγκρίνομε πρὸς ἐκείνη τὴ νύχτα αὐτὲς τὶς νύχτες, κατὰ τὶς ὁποῖες συμβαίνουν γλέντια, καὶ μέθες, καὶ ἀσέλγειες, κατὰ τὶς ὁποῖες παρατηρεῖται ὕπνος ποὺ δὲν διαφέρει καθόλου ἀπὸ τὸ θάνατο, κατὰ τὶς ὁποῖες οἱ ἀγρυπνίες εἶναι φοβερότερες ἀπὸ τὸν ὕπνο· διότι ἐκεῖνοι μὲν κοιμοῦνται χωρὶς νὰ γίνονται αἰσθητοί, ἐνῶ αὐτοὶ ξαγρυπνοῦν κατὰ τρόπο ἐ-

λους ῥάπτοντες, ὑπὲρ χρημάτων φροντίζοντες, ὅπως ἀμύνωνται τοὺς ἀδικοῦντας σπουδάζοντες, ἔχθραν μελετῶντες, ῥήματα ὑβριστικὰ μεθ' ἡμέραν ἀναλεγόμενοι· οὕτω τὸ πῦρ σκαλεύουσι τῆς ὀργῆς, τὰ ἀφόρητα ἐργαζόμενοι. Σκόπει πῶς Πέτρος ἐκάθευδεν. Οἰκονομικῶς ἐκεῖνο γέγονεν· ὁ ἄγγελος γὰρ παρεγένετο, καὶ οὐδένα ἐχρῆν ἰδεῖν τὸ γενόμενον· καὶ τοῦτο πάλιν καλῶς, ἵνα κωλυθῇ ὁ δεσμοφύλαξ ἀνελεῖν ἑαυτόν.

Καὶ διὰ τί μὴ ἄλλο σημεῖον γέγονεν; Ὅτι τοῦτο μάλιστα αὐτὸν ἐφελκύσαι καὶ πεῖσαι ἱκανὸν ἦν, ὅπου γε καὶ αὐτὸς ἐκινδύνευσεν ἄν, εἰ μὴ γέγονεν· οὐ γὰρ οὕτω τὰ θαύματα ἡμᾶς αἱρεῖ, ὡς τὰ εἰς σωτηρίαν ἡμετέραν ἥκοντα. Ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γεγενῆσθαι ὁ σεισμός, ἐπηκολούθησε καὶ τοῦτο, ἐκείνῳ μαρτυροῦν. Καὶ ἐν νυκτὶ φαίνεται· οὐδὲν γὰρ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν ἐποίουν. Οὐκ ἦν πονηρὸς ὁ δεσμοφύλαξ· ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, παραγγελίαν τοιαύτην λαβών, οὐκ ἀφ' ἑαυτοῦ.

Καὶ διὰ τί μὴ πρὸ τούτου ἐβόησεν ὁ Παῦλος; Θορύβου μεστὸς ὁ ἄνθρωπος ἦν καὶ ταραχῆς, καὶ οὐκ ἂν παρεδέξατο. Διὰ τοῦτο, ὅτε εἶδεν ἑαυτὸν μέλλοντα ἀναιρεῖν, προκαταλαμβάνει καὶ βοᾷ, λέγων· «Πάντες ἐσμὲν ἐνθάδε». Διὰ τοῦτο καὶ «αἰτήσας φῶτα εἰσεπήδησε, καὶ προσέπεσε τῷ Παύλῳ», φησί, «καὶ τῷ Σίλᾳ». Εἰς τοὺς πόδας προσπίπτει τοῦ δεσμώτου ὁ φύλαξ, καὶ προάγει αὐτοὺς ἔξω, καὶ λέγει· «Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;». Τί γὰρ εἶπον; Ὅρα αὐτὸν οὐκ ἐπειδὴ διεσώθη ἐπὶ τούτῳ στέργοντα, ἀλλὰ τὴν δύναμιν ἐκπλαγέντα.

------

9. Πράξ. 16, 28
10. Πράξ. 16, 29

λεεινὸ καὶ ἄθλιο, μηχανευόμενοι δολιότητες, φροντίζοντας γιὰ χρήματα, φροντίζοντας πῶς ν' ἀντιμετωπίσουν ἐκείνους ποὺ τοὺς ἀδικοῦν, μελετώντας ἔχθρα, καὶ ἀνταλλάσσοντας καθημερινὰ ὑβριστικὰ λόγια· μὲ τὸ τρόπο αὐτὸ ὑποδαυλίζουν τὴ φωτιὰ τῆς ὀργῆς, διαπράττοντας πράγματα ἀνυπόφορα. Πρόσεχε πῶς κοιμόταν ὁ Πέτρος. Κατ' οἰκονομία ἐκεῖνο ἔγινε· διότι παρουσιάσθηκε ὁ ἄγγελος καὶ ἔπρεπε κανένας νὰ μὴ δεῖ ἐκεῖνο ποὺ ἔγινε· καὶ αὐτὸ πολὺ καλὰ γίνεται πάλι ἔτσι, γιὰ νὰ ἐμποδισθεῖ ὁ δεσμοφύλακας ν' αὐτοκτονήσει.

Καὶ γιατί δὲν ἔγινε ἄλλο θαῦμα; Διότι αὐτὸ πρὸ πάντων ἦταν ἱκανὸ νὰ προσελκύσει αὐτὸν καὶ νὰ τὸν πείσει, καθόσον βέβαια καὶ ὁ ἴδιος θὰ κινδύνευε, ἐὰν δὲν γινόταν· διότι δὲν μᾶς συναρπάζουν τόσο πολὺ τὰ θαύματα, ὅσο ἐκεῖνα ποὺ ἔχουν σχέση μὲ τὴ σωτηρία μας. Γιὰ νὰ μὴ θεωρηθεῖ ὅτι ὁ σεισμὸς ἔγινε τυχαῖα, ἐπακολούθησε καὶ αὐτό, ἐπιβεβαιώνοντας ἐκεῖνο. Καὶ αὐτὸ συμβαίνει κατὰ τὴ διάρκεια τῆς νύχτας, διότι τίποτε δὲν ἔκαμναν γιὰ ἐπίδειξη, ἀλλὰ γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων. Ὁ δεσμοφύλακας δὲν ἦταν κακός· ἔβαλε αὐτοὺς μέσα στὴν πιὸ βαθειὰ φυλακή, ὄχι ἀπὸ μόνος του, ἀλλ' ἐπειδὴ πῆρε τέτοια ἐντολή.

Καὶ γιατί πρὶν ἀπὸ αὐτὸ δὲν φώναξε ὁ Παῦλος; Ὁ ἄνθρωπος ἦταν κυριευμένος ἀπὸ πολὺ κατάπληξη καὶ ταραχὴ καὶ δὲν θὰ μποροῦσε νὰ τὸ ἀποδεχθεῖ. Γι' αὐτό, ὅταν τὸν εἶδε νὰ θέλει ν' αὐτοκτονήσει, τὸν προλαβαίνει καὶ φωνάζει δυνατά, λέγοντας· «Ὅλοι εἴμαστε ἐδῶ»[9]. Γι' αὐτὸ καὶ «Ἀφοῦ ἔψαξε νὰ βρεῖ φῶτα, πήδηξε μέσα καὶ ἔπεσε», λέγει, «μπροστὰ στὰ πόδια τοῦ Παύλου καὶ τοῦ Σίλα»[10]. Στὰ πόδια τοῦ φυλακισμένου πέφτει ὁ φύλακας καὶ ὁδηγεῖ αὐτοὺς ἔξω καὶ λέγει· «Κύριοι, τί πρέπει νὰ κάνω γιὰ νὰ σωθῶ»; Τί λοιπὸν εἶπαν; Πρόσεχε αὐτὸν ὅτι παρακαλεῖ τὸν Παῦλο ὄχι ἐπειδὴ σώθηκε, ἀλλ' ἐπειδὴ ἐξεπλάγη ἀπὸ τὴ δύναμη.

2. Εἶδες τί ἐκεῖ γέγονε, καὶ τί ἐνταῦθα; Ἐκεῖ παιδίσκη ἀπηλλάγη πνεύματος, καὶ εἰς δεσμωτήριον ἐνέβαλον αὐτούς, ὅτι ἠλευθέρωσαν αὐτὴν τοῦ δαίμονος, ἐνταῦθα μόνον ἔδειξαν θύρας ἀνεῳγυίας, καὶ ἤνοιξεν αὐτοῦ τῆς καρδίας τὰς θύρας, ἔλυσε δεσμὰ διπλᾶ, ἧψεν ἐκεῖνο τὸ φῶς· τὸ γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ φῶς ἔλαμπε. Καὶ εἰσεπήδησε, καὶ προσέπεσε, καὶ οὐκ ἐρωτᾷ, 'Πῶς τοῦτο γέγονε; τί γέγονεν;', ἀλλ' εὐθέως φησί· «Τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;». Τί οὖν ὁ Παῦλος; «Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ», φησί, «σὺ καὶ ὁ οἶκός σου». Μάλιστα τοῦτο τοὺς ἀνθρώπους ἐφέλκεται τὸ καὶ τὸν οἶκον αὐτοῦ σωθῆναι.

«Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ». Ἔλουσεν αὐτούς, καὶ ἐλούθη· ἐκείνους μὲν ἀπὸ τῶν πληγῶν ἔλουσεν, αὐτὸς δὲ ἀπὸ τῶν ἁμαρτιῶν ἐλούθη· ἔθρεψε, καὶ ἐτράφη.

«Καὶ ἠγαλλιᾶτο», φησί· καίτοι οὐδὲν ἦν, ἀλλὰ ῥήματα μόνον καὶ ἐλπίδες χρησταί. Τοῦτο σημεῖον ἦν τοῦ πεπιστευκέναι αὐτόν, ὅτι πάντων ἀφέθη. Τί δεσμοφύλακος χεῖρον; τί δὲ ὠμότερον; τί δὲ ἀγριώτερον; Ἀλλ' ὅμως μετὰ πολλῆς αὐτοὺς ὑπεδέξατο τῆς τιμῆς. Οὐκ ἐπειδὴ ἐσώθη, εὐφράνθη, ἀλλὰ «πεπιστευκὼς τῷ Θεῷ».

«Πίστευσον», φησίν, «ἐπὶ τὸν Κύριον». Διὰ τοῦτο εἶπε, «Πεπιστευκὼς τῷ Θεῷ», ἵνα μὴ δόξῃ ὡς κατάδικος ἀπολύεσθαι, καὶ ὡς ἡμαρτηκώς. Διὰ τοῦτο λέγουσιν, «Δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους, ἔβαλον εἰς φυλακήν», ἵνα μὴ μόνον τῆς χάριτος, ἀλλὰ καὶ αὐτῶν ᾖ τὸ πρᾶγμα. Ὅρα διάφο-

------

11. Πράξ. 16, 31
12. Πράξ. 16, 31
13. Πράξ. 16, 32
14. Πράξ. 16, 34
15. Πράξ. 16, 34
16. Πράξ. 16, 31
17. Πράξ. 16, 27

2· Εἶδες τί συνέβηκε ἐκεῖ καὶ τί ἐδῶ; Ἐκεῖ δούλη ἀπαλλάχθηκε ἀπὸ τὸ πονηρὸ πνεῦμα καὶ ἔρριξαν αὐτοὺς στὴ φυλακή, διότι ἐλευθέρωσε αὐτὴν ἀπὸ τὸ δαίμονα, ἐδῶ μόνο ἔδειξαν πόρτες ἀνοιγμένες, καὶ ἄνοιξε τὶς πόρτες τῆς καρδιᾶς αὐτοῦ, ἔλυσε διπλὰ δεσμά, ἄναψε ἐκεῖνο τὸ φῶς˙ διότι τὸ φῶς μέσα στὴν καρδιὰ αὐτοῦ ἔλαμπε. Καὶ πήδηξε μέσα καὶ ἔπεσε στὰ πόδια τους, καὶ δὲν ἐρωτᾶ, 'Πῶς συνέβηκε αὐτό; τί συνέβηκε;', ἀλλ' ἀμέσως λέγει˙ «Τί πρέπει νὰ κάνω γιὰ νὰ σωθῶ;»[11]. Τί λέγει λοιπὸν ὁ Παῦλος; «Πίστεψε στὸν Κύριο Ἰησοῦ Χριστὸ καὶ θὰ σωθεῖς», λέγει, «σὺ καὶ ἡ οἰκογένειά σου»[12]. Αὐτὸ πρὸ πάντων προσελκύει τοὺς ἀνθρώπους, ἡ σωτηρία δηλαδὴ καὶ τῆς οἰκογένειάς του.

«Καὶ κήρυξαν σ' αὐτὸν τὸ λόγο καὶ σ' ὅλα τὰ μέλη τῆς οἰκογένειάς του»[13]. Ἔπλυνε αὐτοὺς καὶ πλύθηκε καὶ ὁ ἴδιος˙ ἐκείνους μὲν τοὺς ἔπλυνε ἀπὸ τὶς πληγές τους, ὁ ἴδιος δὲ πλύθηκε ἀπὸ τὶς ἁμαρτίες του˙ τοὺς ἔδωσε τροφή, καὶ ὁ ἴδιος ἔλαβε τροφή·

«Καὶ ἦταν πλημμυρισμένος ἀπὸ χαρὰ»[14], λέγει˙ ἂν καὶ βέβαια τίποτε δὲν ἦταν, ἀλλὰ μόνο λόγια καὶ ἐλπίδες ἀγαθές. Αὐτὸ ἦταν ἀπόδειξη τοῦ ὅτι πίστεψε αὐτός, τὸ ὅτι ἀπαλλάχθηκε ἀπὸ ὅλα. Τί ὑπάρχει χειρότερο ἀπὸ τὸν δεσμοφύλακα; τί σκληρότερο, τί ἀγριότερο; Ἀλλ' ὅμως τοὺς ὑποδέχθηκε μὲ μεγάλη τιμή. Δὲν ἔνιωσε εὐφροσύνη ἐπειδὴ σώθηκε, ἀλλὰ «Γιὰ τὸ ὅτι εἶχε πιστέψει στὸ Θεό»[15].

«Πίστεψε», λέγει, «στὸν Κύριο»[16]. Γι' αὐτὸ εἶπε, «Γιὰ τὸ ὅτι εἶχε πιστέψει στὸ Θεό», γιὰ νὰ μὴ φανεῖ ὅτι ἐλευθερώνεται σὰν νὰ ἦταν κατάδικος καὶ σὰν νὰ εἶχε ἁμαρτήσει. Γι' αὐτὸ λέγουν, «Μᾶς ἔδειραν δημόσια χωρὶς νὰ ἔχομε δικασθεῖ, καὶ μᾶς ἔρριξαν στὴ φυλακή»[17], γιὰ νὰ μὴ θεωρηθεῖ τὸ γεγονὸς αὐτὸ μόνο σὰν ἔργο τῆς χάριτος, ἀλλὰ καὶ δικό τους ἔργο. Πρόσεχε τὴ χάρη τοῦ Θεοῦ ποὺ δείχνει κατὰ διάφορο τρόπο τὴν πρόνοιά της, τὸ πῶς

ρα τὴν χάριν οἰκονομοῦσαν, πῶς ἐκεῖνος ἐξῆλθε, πῶς οὗτος, καίτοι ἀμφότεροι ἀπόστολοι.

«Ἐφοβήθησαν», φησί. Φοβοῦνται, ὅτι Ρωμαῖοί εἰσιν, οὐχ ὅτι ἀδίκως ἐνέβαλον.

«Καὶ ἠρώτων αὐτοὺς ἐξελθεῖν ἀπὸ τῆς πόλεως». Χάριν ᾔτησαν ταύτην. Οἱ δὲ ἐλθόντες πρὸς τὴν Λυδίαν, καὶ βεβαιώσαντες αὐτήν, οὕτως ἐξῆλθον· οὐ γὰρ ἔδει τὴν ξενοδόχον ἀφεῖναι ἐν ἀγῶνι καὶ μερίμνῃ. Ἐξῆλθον δέ, οὐκ ἐκείνοις πειθόμενοι, ἀλλὰ ἐπὶ τὸ κήρυγμα σπεύδοντες, τῆς πόλεως διὰ τοῦ θαύματος ἱκανῶς ὠφεληθείσης· ἔδει γὰρ μὴ παραμένειν λοιπόν· τὸ γὰρ θαῦμα μεῖζον φαίνεται, τῶν ἐργασαμένων ἀποδημησάντων αὐτὸ μᾶλλον βοῶν· ἡ γὰρ τοῦ δεσμοφύλακος πίστις ἀντὶ φωνῆς ἦν. Τί τούτου ἴσον; Δεσμεῖται καὶ λύει δεδεμένος, λύει διπλοῦν δεσμόν, τὸν δήσαντα ἔλυσε διὰ τοῦ δεθῆναι. Ὄντως ταῦτα χάριτος ἔργα.

«Νῦν οὖν», φησίν, «ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ»· τουτέστι, 'μετὰ ἀσφαλείας, μηδὲν δεδοικότες'. Ἄλλως δὲ καὶ τοῦτον ἔξω κινδύνου βούλονται γενέσθαι, ἵνα μὴ μετὰ ταῦτα ἐγκαλῆται. Καὶ οὐ λέγουσι, 'Δείραντες ἡμᾶς ἔβαλον εἰς φυλακήν, θαύματα ἐργασαμένους' (οὐδὲ γὰρ τούτοις προσεῖχον), ἀλλά, ὃ μάλιστα αὐτῶν σεῖσαι τὴν διάνοιαν ἐδύνατο, «ἀκατακρίτους», φησί, «καὶ Ρωμαίους ὑπάρχοντας».

Τί ἐροῦσιν Ἕλληνες; πῶς δεσμώτης ὤν, τὸν δεσμοφύλακα ἔπεισε; Καὶ τίνα, φησί, πεισθῆναι ἐχρῆν, ἢ μιαρὸν ἄνθρωπον καὶ ταλαίπωρον καὶ οὐκ ἔχοντα

------

18. Πράξ. 16, 39
19. Πράξ. 16, 36

δηλαδὴ ἐξῆλθε ἀπὸ τὴ φυλακὴ ὁ Πέτρος, καὶ πῶς αὐτός, ἂν καὶ βέβαια καὶ οἱ δύο ἦταν Ἀπόστολοι.

«Φοβήθηκαν», λέγει. Φοβοῦνται, διότι εἶναι Ρωμαῖοι πολίτες, καὶ ὄχι διότι τοὺς ἔρριξαν στὴ φυλακὴ ἄδικα.

«Καὶ τοὺς παρακαλοῦσαν νὰ φύγουν ἀπὸ τὴν πόλη»[18]· Ζήτησαν τὴ χάρη αὐτή. Αὐτοὶ δὲ πῆγαν στὸ σπίτι τῆς Λυδίας καί, ἀφοῦ ἐνθάρρυναν αὐτὴν στὴν πίστη της, ἀναχώρησαν· διότι δὲν ἔπρεπε ν' ἀφήσουν ἐκείνην ποὺ τοὺς φιλοξένησε σὲ ἀγωνία καὶ ἀνησυχία. Ἀναχώρησαν δὲ ὄχι ὑπακούοντας σ' ἐκείνους, ἀλλ' ἐπειδὴ βιάζονταν γιὰ τὸ κήρυγμα, ἡ δὲ πόλη ὠφελήθηκε ἱκανοποιητικά· διότι ἔπρεπε νὰ μὴ παραμείνουν ἄλλο· καθόσον τὸ θαῦμα φαίνεται μεγαλύτερο, ἐφόσον διακηρύττει αὐτὸ πολὺ περισσότερο τὴ δύναμη τοῦ Θεοῦ, ἂν καὶ ἀναχώρησαν ἐκεῖνοι ποὺ τὸ πραγματοποίησαν· διότι ἡ πίστη τοῦ δεσμοφύλακα κατεῖχε θέση φωνῆς. Τί μπορεῖ νὰ ἐξισωθεῖ μ' αὐτό; Φυλακίζεται καὶ φυλακισμένους ἐλευθερώνει, λύνει διπλὸ δεσμό, μὲ τὸ νὰ δεθεῖ ἔλυσε ἐκεῖνον ποὺ τὸν ἔδεσε. Αὐτὰ πραγματικὰ εἶναι ἔργα τῆς χάριτος.

«Τώρα λοιπόν», λέγει, «βγῆτε ἔξω καὶ πηγαίνετε μὲ εἰρήνη»[19]· δηλαδή, 'μὲ ἀσφάλεια, χωρὶς νὰ φοβηθεῖτε τίποτε'. Ἄλλωστε δὲ θέλουν καὶ αὐτὸν νὰ βρεθεῖ ἐκτὸς κινδύνου, γιὰ νὰ μὴ κατηγορεῖται στὴ συνέχεια. Καὶ δὲν λέγει, 'Ἀφοῦ μᾶς ἔδειραν μᾶς ἔρριξαν στὴ φυλακή, ἂν καὶ κάναμε θαύματα' (διότι δὲν ἔδιναν σημασία σ' αὐτά), ἀλλὰ ἐκεῖνο ποὺ πρὸ πάντων μποροῦσε νὰ δημιουργήσει ταραχὴ στὴ σκέψη τους, «χωρὶς νὰ ἔχομε δικασθεῖ», λέγει, «καὶ ἐνῶ εἴμαστε Ρωμαῖοι πολίτες». Αὐτὸν τὸν φυλακισμένο ἂς φέρομε συνέχεια στὴ σκέψη μας, καὶ ὄχι τὸ θαῦμα·

Τί θὰ ποῦν οἱ Ἕλληνες; πῶς, ἐνῶ ἦταν φυλακισμένος, ἔπεισε τὸν δεσμοφύλακα; Καὶ ποιός, λέγει, ἔπρεπε νὰ πεισθεῖ, παρὰ ὁ μιαρὸς ἄνθρωπος καὶ ταλαίπωρος καὶ ποὺ

νοῦν, ἀλλὰ μυρίων γέμοντα κακῶν καὶ εὐπαράγωγον; Ἔτι καὶ ταῦτα προφέρουσι· Τίς γάρ, ἢ βυρσεύς, πορφυρόπωλις, εὐνοῦχος, δεσμοφύλαξ, δοῦλοι καὶ γυναῖκες ἐπίστευσαν; Τί οὖν εἰπεῖν δυνήσονται, ὅταν καὶ τοὺς ἐν ἀξιώμασι παραγάγωμεν, τὸν ἑκατόνταρχον, τὸν ἀνθύπατον, τοὺς ἐξ ἐκείνου μέχρι τοῦ νῦν, αὐτοὺς τοὺς κρατοῦντας, τοὺς βασιλεῖς; Ἐγὼ δὲ ἕτερον λέγω τούτου μεῖζον· αὐτοὺς τοὺς εὐτελεῖς ἴδωμεν. Καὶ ποῦ τὸ θαυμαστόν; φησί. Τοῦτο μὲν οὖν θαυμαστόν· ἂν μὲν γὰρ πεισθῇ τις περὶ τῶν τυχόντων, οὐδὲν θαυμαστόν, ὅταν δὲ περὶ ἀναστάσεως, περὶ βασιλείας οὐρανῶν, περὶ βίου φιλοσόφου ἀνδράσιν εὐτελέσι διαλέγηται καὶ πείθῃ, θαυμαστότερον ἔσται, ἢ εἰ σοφοὺς ἔπειθεν· ὅταν γὰρ μὴ ᾖ κίνδυνος, καὶ πείθῃ τις, καλῶς τὴν ἄνοιαν εἰς μέσον φέρουσιν, ὅταν δὲ λέγῃ τῷ δούλῳ κατὰ σέ, ὅτι, 'ἂν πεισθῇς ἐμοί, κινδυνεύεις, πάντας ἕξεις πολεμίους, δεῖ σε ἀποθανεῖν, μυρία παθεῖν κακά', εἶτα οὕτως ἕλῃ τὴν ψυχὴν ἐκείνου, οὐκ ἔτι τοῦτο ἀνοίας· εἰ μὲν γὰρ τὰ δόγματα ἡδονὴν εἶχεν, εἰκότως ἄν τις τοῦτο εἶπεν, εἰ δέ, ὅπερ οὐκ ἂν εἵλοντο φιλόσοφοι μαθεῖν, τοῦτο ὁ δοῦλος μανθάνει, μεῖζον τὸ θαῦμα.

Καὶ εἰ βούλεσθε, τὸν βυρσοδέψην αὐτὸν εἰς μέσον ἐνέγκωμεν, καὶ ἴδωμεν τί αὐτῷ διελέγετο ὁ Πέτρος· ἤ, εἰ θέλεις, αὐτὸν τοῦτον τὸν δεσμοφύλακα. Τί οὖν αὐτῷ εἶπεν ὁ Παῦλος; Ὅτι ὁ Χριστὸς ἀνέστη, φησίν, ὅτι ἀνάστασίς ἐστι νεκρῶν, ὅτι βασιλεία, καὶ ἔπεισεν εὐκόλως εὐπαράγωγον ὄντα. Τί οὖν; περὶ βί-

δὲν εἶχε νοῦ, ἀλλ' ἦταν γεμάτος ἀπὸ ἀμέτρητα κακὰ καὶ εὔκολα πίστευε; Ἀκόμα καὶ αὐτὰ λένε· Ποιὸς ἄλλος λοιπὸν πίστεψε, παρὰ βυρσοδέψης, πορφυροπώλιδα, εὐνοῦχος, δεσμοφύλακας, δοῦλοι καὶ γυναῖκες; Τί λοιπὸν θὰ μπορέσουν νὰ ποῦν, ὅταν ἀναφέρομε καὶ ἐκείνους ποὺ εἶχαν ἀξιώματα, τὸν ἑκατόνταρχο, τὸν ἀνθύπατο, ὅλους ἐκείνους ἀπὸ τότε μέχρι σήμερα, τοὺς ἴδιους τοὺς ἐξουσιαστές, τοὺς βασιλεῖς; Ἀλλ' ἐγὼ λέγω καὶ κάτι ἄλλο σπουδαιότερο ἀπὸ αὐτό· ἂς ἐξετάσομε αὐτοὺς τοὺς εὐτελεῖς. Καὶ ποῦ εἶναι, λέγει, τὸ ἄξιο θαυμασμοῦ; Αὐτὸ βέβαια εἶναι τὸ ἄξιο θαυμασμοῦ· διότι, ἂν μὲν πεισθεῖ κάποιος γιὰ τυχόντα πράγματα, δὲν εἶναι καθόλου ἄξιο θαυμασμοῦ, ὅταν ὅμως ὁμιλεῖ σὲ ἀνθρώπους εὐτελεῖς γιὰ ἀνάσταση, γιὰ βασιλεία τῶν οὐρανῶν, γιὰ ζωὴ ἐνάρετη καὶ πείθει αὐτούς, αὐτὸ εἶναι περισσότερο ἄξιο θαυμασμοῦ, παρὰ ἂν ἔπειθε σοφούς· διότι, ὅταν δὲν ὑπάρχει κίνδυνος καὶ πείθει κάποιος, πολὺ σωστὰ προβάλλουν τὴ μωρία, ὅταν ὅμως λέγει σ' ἐκεῖνον ποὺ κατὰ τὴ γνώμη σου εἶναι δοῦλος, ὅτι 'ἂν πεισθεῖς σ' ἐμένα, κινδυνεύεις, ὅλους θὰ τοὺς ἔχεις ἐχθρούς, πρέπει νὰ πεθάνεις, νὰ πάθεις ἀμέτρητα κακά', καὶ στὴ συνέχεια τόσο πολὺ συναρπάζεις τὴν ψυχὴ ἐκείνου, αὐτὸ δὲν εἶναι πλέον δεῖγμα μωρίας· διότι, ἐὰν μὲν τὰ δόγματα πρόσφερναν ἡδονή, πολὺ σωστὰ θὰ μποροῦσε κάποιος νὰ τὸ πεῖ αὐτό, ἐὰν ὅμως, ἐκεῖνο ποὺ δὲν δέχονταν νὰ τὸ μάθουν οἱ φιλόσοφοι, αὐτὸ τὸ μαθαίνει ὁ δοῦλος, τὸ θαῦμα εἶναι μεγαλύτερο.

Καὶ ἂν θέλετε, ἂς φέρομε μπροστά μας τὸν ἴδιο τὸν βυρσοδέψη καὶ ἂς δοῦμε τί λέγει σ' αὐτὸν ὁ Πέτρος· ἤ, ἂν θέλεις, ἂς πάρομε αὐτὸν τὸν ἴδιο τὸν δεσμοφύλακα. Τί λοιπὸν εἶπε σ' αὐτὸν ὁ Παῦλος; Ὅτι ὁ Χριστὸς ἀναστήθηκε, λέγει, ὅτι ὑπάρχει ἀνάσταση τῶν νεκρῶν, ὅτι ὑπάρχει βασιλεία οὐράνια, καὶ τὸν ἔπεισε εὔκολα, ἐπειδὴ ἦταν εὐκολόπιστος. Τί λοιπόν; γιὰ τὸν τρόπο ζωῆς δὲν

ου οὐδὲν εἶπεν, ὅτι σωφρονεῖν δεῖ, ὅτι χρημάτων κρατεῖν, ὅτι μὴ εἶναι ὠμόν, ὅτι τὰ αὐτοῦ διδόναι ἑτέροις; Οὐ γὰρ δὴ καὶ τὸ ταῦτα πεισθῆναι ἀνοίας ἦν, ἀλλὰ καὶ μεγάλης ψυχῆς. Ἔστω γὰρ τὰ δόγματα ὑπὸ ἀνοίας μᾶλλον αὐτοὺς παραδέχεσθαι, τὸν βίον οὕτω φιλόσοφον καταδέχεσθαι ποίας ἀνοίας ἦν;

Ὥστε, ὅσῳ ἂν ἀνόητος ᾖ ὁ πειθόμενος, πείθηται δὲ ταῦτα, ἃ μηδὲ φιλόσοφοι πεῖσαι ἴσχυσαν τοὺς φιλοσόφους, μεῖζον τὸ θαῦμα γίνεται, μάλιστα δέ, ὅταν καὶ γυναῖκες καὶ δοῦλοι πείθωνται, καὶ διὰ τῶν ἔργων ταῦτα ἐπιδείκνυνται, ἅπερ Πλάτωνες καὶ πάντες ἐκεῖνοι οὐδένα πεῖσαι ἴσχυσαν. Καὶ τί λέγω ὅτι οὐδένα; Οὐδὲ ἑαυτούς. Ὅτι γὰρ χρημάτων οὐ δεῖ καταφρονεῖν, Πλάτων ἔπεισε, τοσαύτην περιουσίαν καὶ πλῆθος χρημάτων καὶ δακτυλίους χρυσοὺς καὶ φιάλας περιποιησάμενος· ὅτι δὲ δόξης οὐ χρὴ καταφρονεῖν τῆς παρὰ τῶν πολλῶν, Σωκράτης αὐτοῖς, κἂν μυρία φιλοσοφῇ περὶ τούτου, δείκνυσι· πάντα γὰρ πρὸς δόξαν ὁρῶν ἐποίει. Καί, εἴ γε τῶν ἐκείνου λόγων ἔμπειροι ἦτε, πολὺν ἂν τὸν ὑπὲρ τούτων ἐκίνησα λόγον, καὶ ἔδειξα πολλὴν παρ' αὐτοῖς τὴν εἰρωνείαν, εἴ γε οἷς ὁ μαθητὴς αὐτοῦ λέγει πείθεσθαι χρή, καὶ πῶς ἀπὸ κενοδοξίας πάντα αὐτῷ τὰ γράμματα τὴν ὑπόθεσιν ἔχει. Ἀλλά, ἐκείνους ἀφέντες, πρὸς ἡμᾶς αὐτοὺς διαλεχθῶμεν.

3. Μετὰ γὰρ τῶν εἰρημένων, καὶ τοῦτο ἐστὶν εἰπεῖν, ὅτι καὶ μετὰ κινδύνων ταῦτα ἐπείθοντο. Μὴ οὖν ἀναισχύντει, ἀλλ' ἐννοήσωμεν ἐκείνην τὴν νύκτα, τὸ ξύλον, τοὺς ὕμνους, καὶ τοῦτο ποιεῖν σπουδάζωμεν καὶ ἡμεῖς, καὶ ἀνοίξομεν ἡμῖν οὐχὶ δεσμωτήριον, ἀλλ'

εἶπε τίποτε, ὅτι δηλαδὴ πρέπει νὰ δείχνει σωφροσύνη, ὅτι πρέπει νὰ εἶναι ἐξουσιαστὴς τῶν χρημάτων, ὅτι πρέπει νὰ μὴ εἶναι σκληρός, ὅτι πρέπει νὰ δίνει τὰ δικά του στοὺς ἄλλους; Καὶ βέβαια καὶ τὸ νὰ πεισθεῖ σ' αὐτὰ ὄχι μόνο δὲν ἦταν δεῖγμα μωρίας, ἀλλὰ καὶ δεῖγμα μεγάλης ψυχῆς. Διότι ἂς ὑποθέσομε ὅτι αὐτοὶ ἀποδέχονταν τὰ δόγματα ὁπωσδήποτε ἀπὸ μωρία, τὸ ν' ἀποδέχονται ὅμως μιὰ τόσο ἐνάρετη ζωὴ ποιᾶς μωρίας ἀποτέλεσμα ἦταν;

Ὥστε, ὅσο ἀνόητος συμβαίνει νὰ εἶναι ἐκεῖνος ποὺ πείθεται, ἐφόσον πείθεται γι' αὐτά, γιὰ τὰ ὁποῖα δὲν μπόρεσαν οὔτε οἱ φιλόσοφοι νὰ πείσουν τοὺς φιλόσοφους, τὸ θαῦμα γίνεται μεγαλύτερο, καὶ παρουσιάζουν μὲ τὰ ἔργα αὐτά, γιὰ τὰ ὁποῖα οἱ Πλάτωνες καὶ ὅλοι ἐκεῖνοι δὲν μπόρεσαν νὰ πείσουν κανένα. Καὶ γιατί λέγω ὅτι δὲν ἔπεισαν κανένα; Οὔτε τοὺς ἑαυτούς τους ἔπεισαν. Διότι τὸ ὅτι δὲν πρέπει νὰ περιφρονοῦμε τὰ χρήματα, ἔπεισε γι' αὐτὸ ὁ Πλάτων, καθόσον συγκέντρωσε ὁ ἴδιος μιὰ τόσο μεγάλη περιουσία, καὶ πλῆθος χρημάτων καὶ χρυσὰ δαχτυλίδια καὶ δοχεῖα· τὸ ὅτι δὲ δὲν πρέπει νὰ περιφρονοῦμε τὴ δόξα ἐκ μέρους τῶν πολλῶν ἀνθρώπων, τὸ φανερώνει σ' αὐτοὺς ὁ Σωκράτης, καὶ ἂν ἀκόμα διδάσκει πάρα πολλὰ γι' αὐτό· διότι ὅλα τὰ ἔκαμνε ἀποβλέποντας πρὸς τὴ δόξα. Καί, ἐὰν γνωρίζατε τοὺς λόγους ἐκείνου, θὰ μποροῦσα νὰ πῶ πάρα πολλὰ γι' αὐτούς, καὶ θὰ ἔδειχνα ὅτι ὑπάρχει πολλὴ εἰρωνεία σ' αὐτούς, ἐὰν δηλαδὴ πρέπει νὰ πειθόμαστε γι' αὐτὰ ποὺ λέγει ὁ μαθητὴς αὐτοῦ, καὶ πῶς ὅλοι οἱ λόγοι αὐτοῦ ἔχουν σὰν ἀφορμὴ τὴν κενοδοξία. Ἀλλ' ἀφοῦ ἀφήσομε ἐκείνους, ἂς μιλήσομε γιὰ ἐμᾶς τοὺς ἴδιους·

3. Μαζὶ λοιπὸν μὲ τὰ ὅσα ἔχουν λεχθεῖ μποροῦμε καὶ αὐτὸ νὰ ποῦμε, ὅτι δηλαδὴ πείθονταν σ' αὐτὰ καὶ μὲ κίνδυνό τους ἀκόμα. Μὴ λοιπὸν φέρεσαι μὲ ἀδιαντροπιά, ἀλλ' ἂς σκεφθοῦμε τὴ νύχτα ἐκείνη, τὸ ξύλο, τοὺς ὕμνους, καὶ ἂς φροντίζομε καὶ ἐμεῖς νὰ κάμνομε τὸ ἴδιο, καὶ θ' ἀ-

οὐρανόν. Ἂν εὐχώμεθα, καὶ τὸν οὐρανὸν ἀνοῖξαι δυνησόμεθα. Ἠλίας καὶ ἔκλεισε καὶ ἤνοιξε τὸν οὐρανὸν τῇ εὐχῇ. Ἔστι καὶ ἐν οὐρανῷ δεσμωτήριον. «Ὅσα ἄν», φησί, «δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν οὐρανῷ». Εὐχώμεθα κατὰ νύκτα, καὶ λύσομεν ταῦτα τὰ δεσμά· ὅτι γὰρ εὐχαὶ ἁμαρτήματα λύουσι, πειθέτω ἡμᾶς ἡ χήρα, πειθέτω ἡμᾶς ἐκεῖνος ὁ φίλος, ὁ ἀωρὶ τῶν νυκτῶν ἐπιμένων καὶ κρούων, πειθέτω ἡμᾶς Κορνήλιος («Αἱ προσευχαί σου» γάρ, φησί, «καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ»), πειθέτω ἡμᾶς Παῦλος, λέγων· «Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν καὶ προσμένει ταῖς δεήσεσι νυκτὸς καὶ ἡμέρας». Εἰ περὶ χήρας ἐκεῖνος δὲ ταῦτα λέγει, ἀσθενοῦς γυναικός, πολλῷ μᾶλλον περὶ ἀνδρῶν.

Καὶ ἤδη διελέχθην ὑμῖν, καὶ νῦν ἐρῶ· 'Διεγειρώμεθα τὴν νύκτα· κἂν μὴ πολλὰς εὐχὰς ποιῇς, μίαν ποίησον μετὰ νήψεως, καὶ ἀρκεῖ· οὐδὲν πλέον ἀπαιτῶ· κἂν μὴ μεσονύκτιον, πρὸς αὐτὸν γοῦν τὸν ὄρθρον. Δεῖξον ὅτι οὐ τοῦ σώματος μόνον ἐστὶν ἡ νύξ, ἀλλὰ καὶ τῆς ψυχῆς· μὴ ἀνάσχῃ παρελθεῖν αὐτὴν ἀργῶς, ἀλλ' ἄμειψαι τὸν Δεσπότην ἀμοιβὴν ταύτην, μᾶλλον δὲ καὶ αὐτὴ εἰς σὲ περιέρχεται'. Εἰπὲ δή μοι, εἰ πράγματι περιπέσομεν χαλεπῷ, τίνα οὐκ ἀξιοῦμεν; κἂν ταχέως τῆς αἰτήσεως τύχωμεν, ἀναπνέομεν. Τίς σοι δῷ ἕτοιμον εἶναι τὸν ἀξιούμενον χάριν σοι ἔχειν ὅτι ἀξιοῖς; τίς σοι δῷ μὴ περιϊέναι καὶ ζητεῖν τίνα

---

20. Ματθ. 18, 18
21. Λουκᾶ 18, 3 ἑ.
22. Λουκᾶ 11, 5 ἑ.
23. Πράξ. 10, 4
24. Α΄ Τιμ. 5, 5

νοίξομε γιὰ ἐμᾶς ὄχι τὴ φυλακή, ἀλλὰ τὸν οὐρανό. Ἂν προσευχόμαστε θὰ μπορέσομε ν' ἀνοίξομε καὶ τὸν οὐρανό. Ὁ Ἠλίας καὶ ἔκλεισε καὶ ἄνοιξε τὸν οὐρανὸ μὲ τὴν προσευχή. Ὑπάρχει καὶ στὸν οὐρανὸ δεσμωτήριο. «Ὅσα», λέγει, «θὰ δέσετε στὴ γῆ, θὰ εἶναι δεμένα στὸν οὐρανό»[20]. Ἂς προσευχόμαστε κατὰ τὴν διάρκεια τῆς νύχτας, καὶ θὰ λύσομε αὐτὰ τὰ δεσμά· διότι, τὸ ὅτι οἱ προσευχὲς λύνουν ἁμαρτήματα, ἂς μᾶς πείθει ἡ χήρα[21], ἂς μᾶς πείθει ἐκεῖνος ὁ φίλος, ὁ ὁποῖος μέσα στὴ νύχτα καὶ σὲ προχωρημένη ὥρα ἐπέμενε νὰ χτυπᾶ τὴν πόρτα[22], ἂς μᾶς πείθει ὁ Κορνήλιος (διότι, λέγει, «Οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν ἐνώπιον τοῦ Θεοῦ»[23]), ἂς μᾶς πείθει ὁ Παῦλος, λέγοντας· «Ἐκείνη δὲ ποὺ εἶναι πραγματικὰ χήρα, καὶ μόνη στὸν κόσμο, ἔχει στηρίξει τὶς ἐλπίδες της στὸ Θεὸ καὶ ἐπιμένει στὶς παρακλήσεις της νύχτα καὶ ἡμέρα»[24]. Ἐὰν δὲ ἐκεῖνος λέγει αὐτὰ γιὰ τὴ χήρα, ποὺ εἶναι ἀδύναμη γυναίκα, πολὺ περισσότερο τὸ λέγει γιὰ τοὺς ἄνδρες·

Καὶ σᾶς μίλησα ἤδη καὶ τώρα θὰ σᾶς μιλήσω· "Ἂς σηκωνόμαστε τὴ νύχτα' καὶ ἂν ἀκόμα δὲν κάμνεις πολλὲς προσευχές, μία κάνε μὲ σωφροσύνη καὶ πνευματικὴ διαύγεια, καὶ εἶναι ἀρκετό' τίποτε περισσότερο δὲν ζητῶ· καὶ ἂν ὄχι μέσα στὰ μεσάνυχτα, κάνε την κατὰ τὴν ὥρα τοῦ ὄρθρου. Δεῖξε ὅτι ἡ νύχτα δὲν εἶναι μόνο γιὰ τὸ σῶμα, ἀλλὰ καὶ γιὰ τὴν ψυχή· μὴ ἀνεχθεῖς νὰ περάσει αὐτὴ μὲ ἀπραξία, ἀλλ' ἄμειψε τὸν Κύριο μὲ αὐτὴ τὴν ἀμοιβή, ἢ καλύτερα καὶ αὐτὴ σὲ σένα ἐπιστρέφει'. Πές μου λοιπόν, ἐὰν στὴν πραγματικότητα περιπέσομε σὲ κάποια φοβερὴ δυσκολία, ποιὸν δὲν παρακαλοῦμε νὰ μᾶς βοηθήσει; καὶ ἂν ἀμέσως ἐπιτύχομε ἐκεῖνο ποὺ ζητοῦμε, νοιώθομε ἀνακούφιση. Ποιὸς θὰ σὲ βοηθήσει ὥστε νὰ εἶναι πρόθυμος νὰ σοῦ κάνει τὴ χάρη ἐκεῖνος πρὸς τὸν ὁποῖο ἀπευθύνεις τὸ αἴτημά σου; ποιὸς θὰ σὲ βοηθήσει ὥστε νὰ μὴ γυρί-

ἀξιώσοις, ἀλλ' εὑρεῖν ἕτοιμον; μὴ ἑτέρων δεῖσθαι, ἵνα δι' ἐκείνων ἀξιώσῃς; Τί τούτου μεῖζον; Οὗτος γὰρ τότε μάλιστα ποιεῖ, ὅταν μὴ ἑτέρων δεηθῶμεν· καθάπερ φίλος γνήσιος τότε μάλιστα ἡμῖν ἐγκαλεῖ ὡς οὐ θαρροῦσιν αὐτοῦ τῇ φιλίᾳ, ὅταν ἑτέρων πρὸς αὐτὸν δεηθῶμεν τῶν ἀξιούντων. Οὕτω καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν ἡμᾶς ἀξιούντων· τότε μάλιστα αὐτοῖς χαριζόμεθα, ὅταν δι' ἑαυτῶν ἡμῖν καὶ οὐ δι' ἑτέρων προσίωσι.

Τί οὖν, φησίν, ἂν προσκεκρουκὼς ὦ; Παῦσαι προσκρούων, καὶ δάκρυσον, καὶ οὕτω πρόσελθε, καὶ ταχέως ἐπὶ τοῖς προτέροις αὐτὸν ἵλεων ποιήσεις. Εἰπὲ μόνον ὅτι 'προσέκρουσα'· εἰπὲ ἐκ ψυχῆς καὶ γνησίας διανοίας, καὶ πάντα λέλυται. Οὐκ ἐπιθυμεῖς οὕτως σὺ ἀφεθῆναι τὰς ἁμαρτίας σου, ὡς αὐτὸς ἐπιθυμεῖ ἀφεῖναί σου τὰ ἁμαρτήματα· ὅτι γὰρ οὐκ ἐπιθυμεῖς σύ, ἐννόησον ὅτι οὐδὲ ἀγρυπνεῖ καταδέχῃ, οὐδὲ χρήματα προΐεσαι, αὐτὸς δέ, ἵνα ἀφῇ ἡμῶν τὰς ἁμαρτίας, τοῦ Μονογενοῦς οὐκ ἐφείσατο, τοῦ γνησίου Παιδός, τοῦ συνθρόνου. Ὁρᾷς ὅτι αὐτὸς μᾶλλον ἐπιθυμεῖ ἀφεῖναί σοι τὰ ἁμαρτήματα;

Μὴ δὴ ὀκνῶμεν, μηδὲ ἀναβαλλώμεθα. Φιλάνθρωπός ἐστι καὶ ἀγαθός· μόνον ἀφορμὴν αὐτῷ δῶμεν, καὶ τοῦτο, ἵνα ἡμεῖς μὴ ἄχρηστοι γενώμεθα, ἐπεὶ καὶ χωρὶς τούτου ἀπέλυσεν ἄν· ἀλλ' ὥσπερ ἡμεῖς ἐπὶ τῶν οἰκετῶν τῶν ἡμετέρων μυρία πλάττομεν καὶ συντίθεμεν, οὕτω καὶ αὐτὸς ἐπὶ τῆς ἡμετέρας σωτη-

ζεις ἐδῶ καὶ ἐκεῖ καὶ νά ζητᾶς σὲ ποιὸν ν' ἀπευθύνεις τὸ αἴτημά σου, ἀλλὰ νά τὸν βρεῖς πρόθυμο; νά μὴ ἔχεις τὴν ἀνάγκη ἄλλων, ὥστε νά ζητήσεις αὐτὸ μέσω ἐκείνων; Τί ὑπάρχει μεγαλύτερο ἀπ' αὐτό; Διότι αὐτὸς τότε πρὸ πάντων ἱκανοποιεῖ τὸ αἴτημά μας, ὅταν δὲν παρακαλέσομε ἄλλους· σάν ἀκριβῶς γνήσιος φίλος τότε πρὸ πάντων μᾶς κατηγορεῖ, διότι δὲν δείχνομε ἐμπιστοσύνη στὴ φιλία του, ὅταν παρακαλέσομε ἄλλους νά ζητήσουν ἀπ' αὐτὸν αὐτὸ ποὺ θέλομε. Ἔτσι ἐνεργοῦμε καὶ ἐμεῖς πρὸς ἐκείνους ποὺ μᾶς ζητοῦν κάτι· τότε πρὸ πάντων τοὺς κάνομε τὴ χάρη, ὅταν ἔρχονται καὶ μᾶς τὸ ζητοῦν αὐτὸ αὐτοὶ οἱ ἴδιοι, καὶ ὄχι μέσω ἄλλων.

Τί λοιπόν, λέγει, νὰ κάνω, ἂν τὸν ἔχω δυσαρεστήσει; Σταμάτησε νὰ τὸν δυσαρεστεῖς, καὶ κλάψε, καὶ ἔτσι πήγαινε πρὸς αὐτόν, καὶ ἀμέσως θὰ τὸν κάνεις νὰ δείξει εὐσπλαχνία γιὰ τά προηγούμενα πταίσματά σου. Πὲς μόνο ὅτι "ἁμάρτησα"· πές το μέσα ἀπὸ τὴν ψυχή σου καὶ μὲ καθαρὴ διάνοια, καὶ ὅλα ἔχουν συγχωρεθεῖ. Δὲν ἐπιθυμεῖς σὺ τόσο πολὺ νὰ συγχωρηθοῦν οἱ ἁμαρτίες σου, ὅσο ἐπιθυμεῖ αὐτὸς νὰ συγχωρηθοῦν τὰ ἁμαρτήματά σου· τὸ ὅτι βέβαια δὲν ἐπιθυμεῖς σὺ νὰ συγχωρηθοῦν, σκέψου ὅτι δὲν καταδέχεσαι οὔτε νὰ ξαγρυπνεῖς, οὔτε ἀπορρίπτεις τὰ χρήματα, ἐνῶ αὐτός, γιὰ νὰ συγχωρήσει τὶς ἁμαρτίες μας, δὲν λυπήθηκε τὸν Μονογενὴ Υἱό του, τὸ γνήσιο παιδί του, τὸν σύνθρονό του. Βλέπεις ὅτι αὐτὸς περισσότερο ἐπιθυμεῖ νὰ συγχωρηθοῦν τὰ ἁμαρτήματά σου;

Ἂς μὴ λοιπὸν δείχνομε ὀκνηρία, οὔτε καὶ ν' ἀναβάλλομε· Εἶναι φιλάνθρωπος καὶ ἀγαθός· μόνο ἂς τοῦ δώσομε τὴν ἀφορμή, καὶ αὐτό, γιὰ νὰ μὴ γινόμαστε ἐμεῖς ἄχρηστοι, καθόσον καὶ χωρὶς αὐτὸ θὰ μποροῦσε νὰ τὰ συγχωρήσει· ἀλλ' ὅπως ἀκριβῶς ἐμεῖς στὴν περίπτωση τῶν δούλων μας ἐπινοοῦμε καὶ μηχανευόμαστε ἄπειρα μέσα, ἔτσι καὶ αὐτὸς κάμνει γιά τὴ δική μας σωτηρία. «Ἂς

ρίας ποιεῖ. «Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει», ὅτι χρηστός ἐστι καὶ ἐπιεικής. Ἐὰν δὲ μὴ ἐπικαλῇ ἐν ἀληθείᾳ, μηδὲ θέλῃς εἰπεῖν ἐκ καρδίας ὅτι ‛ἄφες’, ἀλλ’ ἀπὸ στόματος, τί ποιήσει αὐτός; Τί ἐστιν, «ἐν ἀληθείᾳ καλεῖν»; Μετὰ προαιρέσεως, μετὰ προθυμίας, μετὰ διανοίας εἰλικρινοῦς· οἷον ἐπὶ τῶν μυρίων λέγουσιν, ἀληθινόν ἐστιν, οὐδὲν ἔχει νόθον, οὕτω καὶ ἐκεῖ. Ὁ ὄντως αὐτὸν καλῶν, καὶ ὁ ὄντως αὐτοῦ δεόμενος προσεδρεύει διὰ παντός, οὐκ ἀφίσταται ἕως ἂν λάβῃ, ὁ δὲ ἁπλῶς ἀφοσιούμενος, καὶ αὐτῷ τούτῳ νόμον πληρῶν οὐκ ἐν ἀληθείᾳ καλεῖ. Πᾶς ὅστις ἂν ᾖς, μὴ λέγε ὅτι ‛ἁμαρτωλός εἰμι’ μόνον, ἀλλὰ καὶ σπούδαζε ἀπαλλάξαι σαυτὸν ταύτης τῆς δόξης· μὴ λέγε, ἀλλὰ καὶ ἄλγει. Εἰ ἀλγεῖς, σπουδάζεις, εἰ μὴ σπουδάζεις, οὐκ ἀλγεῖς· εἰ μὴ ἀλγεῖς, χλευάζεις. Τίς, λέγων ὅτι ‛νοσῶ’, οὐ πάντα ποιεῖ ὥστε ἀπαλλαγῆναι; Μέγα ὅπλον εὐχή. «Εἰ ὑμεῖς οἴδατε», φησί, «δόγματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν;». Διὰ τί οὐ θέλεις προσελθεῖν; Φιλεῖ σε, δύναται πάντων πλέον, καὶ βούλεται, καὶ δύναται, τί τὸ κωλύον; Οὐδέν.

Οὐκοῦν προσίωμεν μετὰ πίστεως, προσίωμεν, τὰ δῶρα προσφέροντες, ἃ βούλεται, ἀμνησικακίαν, χρηστότητα, πραότητα. Κἂν ἁμαρτωλὸς ᾖς, μετὰ παρρησίας αὐτὸν ἀπαιτήσεις τὴν συγχώρησιν τῶν ἁμαρτημάτων, ἔχων δεῖξαι παρὰ σαυτῷ τοῦτο γεγενημένον· ἂν δὲ δίκαιος ᾖς, καὶ τοῦτο μὴ ἔχῃς τὸ ἀμνησικακεῖν, οὐδὲν ὤνησας. Οὐκ ἔστιν ἄνθρωπον,

---

25. Ματθ. 7, 11

σπεύσομε νὰ συναντήσομε τὸ πρόσωπο αὐτοῦ μὲ δοξολογίες», διότι εἶναι ἀγαθὸς καὶ ἐπιεικής. Ἐάν δὲ δὲν τὸν ἐπικαλεῖσαι ἀληθινά, οὔτε θέλεις νά πεῖς μὲ τὴν καρδιά σου 'συγχώρησέ με', ἀλλὰ τὸ λὲς μὲ τό στόμα σου, τί θὰ κάνει αὐτός;

Τί σημαίνει, «ἐν ἀληθείᾳ καλεῖν»; Μὲ τὴν προαίρεσή σου, μὲ προθυμία, μὲ σκέψη εἰλικρινή· ὅπως λέμε γιὰ τὰ μύρα, εἶναι γνήσιο, δὲν εἶναι νοθευμένο, ἔτσι καὶ ἐκεῖ. Ἐκεῖνος ποὺ ἐπικαλεῖται πραγματικὰ αὐτὸν καὶ ἐκεῖνος ποὺ πραγματικὰ παρακαλεῖ αὐτόν, ἐπιμένει συνέχεια στὸ αἴτημά του, καὶ δὲν παραιτεῖται μέχρι ποὺ νὰ λάβει, ἐνῶ ἐκεῖνος πού πραγματοποιεῖ ἁπλῶς τὴν ὑποχρέωσή του καὶ μὲ αὐτὸ ποὺ κάνει ἐκπληρώνει τὸ νόμο, δὲν τὸν ἐπικαλεῖται ἀληθινά. Ὅποιος καὶ ἂν εἶσαι μὴ λὲς μόνο, 'ἁμαρτωλὸς εἶμαι', ἀλλὰ καὶ φρόντιζε ν' ἀπαλλάξεις τὸν ἑαυτό σου ἀπὸ αὐτὴ τὴ γνώμη σου· μὴ λὲς μόνο, ἀλλά καὶ νὰ πονᾶς. Ἐὰν πονᾶς, προσπαθεῖς, ἐὰν δὲν προσπαθεῖς, δὲν πονᾶς· ἐὰν δὲν πονᾶς, τότε χλευάζεις. Ποιὸς λέγοντας, 'εἶμαι ἀσθενής', δὲν κάνει τὰ πάντα ὥστε ν' ἀπαλλαγεῖ ἀπὸ τὴν ἀσθένεια; Εἶναι μεγάλο ὅπλο ἡ προσευχή. «Ἐάν», λέγει, «σεῖς γνωρίζετε νὰ δίνετε ὠφέλιμα πράγματα στὰ παιδιά σας, πόσο περισσότερο ὁ Πατέρας σας;»[25]· Γιατί δὲν θέλεις νὰ προσέλθεις; Σὲ ἀγαπᾶ, μπορεῖ περισσότερο ἀπὸ ὅλους, καὶ θέλει καὶ μπορεῖ, ποιὸ εἶναι τὸ ἐμπόδιο; Κανένα.

Λοιπὸν ἂς προσερχόμαστε σ' αὐτὸν μὲ πίστη, ἂς προσερχόμαστε, προσφέροντας τὰ δῶρα ποὺ θέλει, ἀμνησικακία, καλωσύνη, ἐπιείκεια. Καὶ ἂν εἶσαι ἁμαρτωλός, μὲ θάρρος ζήτησε ἀπ' αὐτὸν τὴ συγχώρηση τῶν ἁμαρτημάτων σου, ἔχοντας τὴ δύναμη νὰ δείξεις ὅτι αὐτὸ ἔχει γίνει ἀπὸ σένα τὸν ἴδιο· ἂν δὲ εἶσαι δίκαιος, καὶ δὲν ἔχεις αὐτό, δηλαδὴ τὴν ἀμνησικακία, σὲ τίποτε δὲν ὠφέλησες. Δὲν εἶναι δυνατὸ ἄνθρωπος, ποὺ συγχώρησε τὸν συνάν-

ἀφέντα τῷ πλησίον, μὴ ἀκριβοῦς τυχεῖν τῆς ἀφέσεως· φιλανθρωπότερος γὰρ ἡμῶν ἀσυγκρίτως ἐστὶν ὁ Θεός· τοῦτο παντὶ δῆλον. Τί λέγεις; Ἐὰν εἴπῃς, «Ἠδικήθην, ὀργῆς ἐκράτησα, θυμοῦ ἐπήρειαν ἔπαθον διὰ τὸ σὸν πρόσταγμα», οὐκ ἀφήσει καὶ αὐτός; Πάντως γοῦν ἀφήσει.

Ὥστε καθαρίσωμεν τὴν ψυχὴν τῆς μνησικακίας. Ἀρκεῖ τοῦτο ἡμῖν πρὸς τὸ ἀκουσθῆναι, καὶ μετὰ νήψεως προσευχώμεθα, καὶ πολλῆς τῆς προσεδρίας, ἵνα, δαψιλοῦς τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀπολαύσαντες, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θρωπό του, νὰ μὴ λάβει πλήρη συγχώρηση· διότι ὁ Θεὸς εἶναι ἀσύγκριτα φιλανθρωπότερος ἀπὸ ἐμᾶς· αὐτὸ εἶναι φανερὸ στὸν καθένα. Τί λές; Ἐὰν πεῖς, "Ἀδικήθηκα, συγκράτησα τὴν ὀργή μου, ἔδειξα ὑπομονὴ στὴ βλαβερὴ ἐπενέργεια τοῦ θυμοῦ γιὰ χάρη τῆς δικῆς σου ἐντολῆς", δὲν θὰ σὲ συγχωρήσει καὶ αὐτός; Ὁπωσδήποτε βέβαια θὰ σὲ συγχωρήσει.

Ἂς καθαρίσομε λοιπὸν τὴν ψυχή μας ἀπὸ τὴ μνησικακία. Αὐτὸ μᾶς ἀρκεῖ γιὰ νὰ εἰσακουσθοῦμε ἀπὸ τὸ Θεό, καὶ ἂς προσευχόμαστε μὲ σωφροσύνη καὶ πολλὴ ἐπιμονή, ὥστε, ἀφοῦ ἀπολαύσομε μὲ ὑπεραφθονία τὴ φιλανθρωπία αὐτοῦ, ν' ἀξιωθοῦμε νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ μᾶς ὑποσχέθηκε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΖ΄

(Πράξ. 17, 1 - 15)

«Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ Σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν Γραφῶν, διανοίγων καὶ παρατιθέμενος ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν».

1. Πάλιν τὰς μὲν μικρὰς παρατρέχουσι πόλεις, ἐπὶ δὲ τὰς μείζους ἐπείγονται, ἐκεῖθεν καθάπερ ἔκ τινος πηγῆς μέλλοντος τοῦ λόγου διαρρέειν εἰς τὰς πλησίον. «Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ εἰσῆλθεν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων». Καίτοι εἰπὼν ὅτι «Στρεφόμεθα εἰς τὰ ἔθνη», οὐκ ἠφίει τούτους· πολὺν γὰρ πρὸς αὐτοὺς εἶχε πόθον· ἄκουε γὰρ αὐτοῦ λέγοντος· «Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν», καὶ «Εὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου». Ἐποίει δὲ τοῦτο διὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ τὴν δόξαν, καὶ ἵνα μὴ σκάνδαλον ᾖ τοῦτο τοῖς Ἕλλησι.

---

1. Πράξ. 17, 1 - 3
2. Πράξ. 13, 46
3. Ρωμ. 10, 1
4. Ρωμ. 9, 3

ΟΜΙΛΙΑ ΛΖ΄
(Πράξ. 17, 1 - 15)

«Ἀφοῦ πέρασαν ἀπὸ τὴν Ἀμφίπολη καὶ τὴν Ἀπολλωνία ἦρθαν στὴ Θεσσαλονίκη, ὅπου ὑπῆρχε ἰουδαϊκὴ συναγωγή· Ὅπως συνήθιζε δὲ ὁ Παῦλος τοὺς ἐπισκέφθηκε καὶ ἐπὶ τρία Σάββατα μιλοῦσε σ' αὐτοὺς ἀπὸ τὶς Γραφές, ἑρμηνεύοντας καὶ ἐξηγώντας ὅτι ὁ Χριστὸς ἔπρεπε νὰ πάθει καὶ ν' ἀναστηθεῖ ἀπὸ τοὺς νεκρούς, καὶ ὅτι αὐτὸς εἶναι ὁ Ἰησοῦς Χριστός, τὸν ὁποῖο κηρύττω ἐγὼ σὲ σᾶς»[1].

1. Πάλι τὶς μὲν μικρὲς πόλεις τὶς προσπερνοῦν, βιάζονται δὲ νὰ ἐπισκεφθοῦν τὶς μεγαλύτερες, ἀπὸ τὶς ὁποῖες ἐπρόκειτο, σὰν ἀκριβῶς ἀπὸ κάποια πηγή, νὰ διασκορπισθεῖ ὁ λόγος σ' ἐκεῖνες ποὺ βρίσκονταν κοντὰ σ' αὐτές. Ὅπως συνήθιζε ὁ Παῦλος εἰσῆλθε στὴ συναγωγὴ τῶν Ἰουδαίων. Ἂν καὶ εἶπε βέβαια «Στρεφόμαστε πρὸς τὰ ἔθνη»[2], ὅμως δὲν ἄφηνε αὐτούς· καθόσον ἔτρεφε μεγάλο πόθο γι' αὐτούς· διότι ἄκουε αὐτὸν ποὺ λέγει· «Ἀδελφοί, ἡ ἐπιθυμία τῆς καρδιᾶς μου καὶ ἡ προσευχή μου πρὸς τὸ Θεὸ εἶναι τὸ νὰ σωθοῦν οἱ Ἰσραηλίτες»[3], καὶ «Θὰ εὐχόμουν ἐγὼ ὁ ἴδιος ν' ἀποχωρισθῶ ἀπὸ τὸν Χριστὸ γιὰ χάρη τῶν ἀδελφῶν μου»[4]. Τὸ ἔκαμνε δὲ αὐτὸ ἐξ αἰτίας τῆς ὑποσχέσεως τοῦ Θεοῦ πρὸς τοὺς Ἰσραηλίτες καὶ γιὰ τὴ δόξα αὐτοῦ, καὶ γιὰ νὰ μὴ ἀποτελέσει αὐτὸ σκάνδαλο στοὺς Ἕλληνες.

«Καὶ ἐπὶ Σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν Γραφῶν, διανοίγων καὶ παρατιθέμενος ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστός, ὃν ἐγὼ καταγγέλλω ὑμῖν». Ὁρᾷς ὅτι πρὸ πάντων τὸ πάθος κηρύττει· οὕτως οὐκ ᾐσχύνοντο, ἀλλ' ᾔδεσαν τοῦτο σωτήριον ὄν.

«Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πλῆθος πολύ, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι». Τὸ κεφάλαιον εἶπε τῆς διαλέξεως· οὕτως ἀπέριττός ἐστιν, οὐ πανταχοῦ τὰς δημηγορίας αὐτοῦ λέγων.

«Ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ τοῦ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον· μὴ εὑρόντες δὲ αὐτούς, ἔσυραν τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων τοῦ Καίσαρος πράσσουσι, βασιλέα ἕτερον λέγοντες εἶναι Ἰησοῦν». Ὢ τῆς κατηγορίας! πάλιν εἰς καθοσίωσιν διέβαλον αὐτούς, «λέγοντες εἶναι», φησίν, «ἕτερον βασιλέα Ἰησοῦν. Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας, ἀκούοντες ταῦτα· καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς». Θαυμαστὸς ὁ ἀνήρ, εἰς κίνδυνον ἑαυτὸν ἐκδούς, καὶ ἐκπέμψας αὐτούς.

«Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμ-

5. Πράξ. 17, 2 - 4
6. Πράξ. 17, 4
7. Πράξ. 17, 5 - 7
8. Πράξ. 17, 7 - 9

«Καὶ ἐπὶ τρία Σάββατα μιλοῦσε σ' αὐτοὺς ἀπὸ τὶς Γραφές, ἑρμηνεύοντας καὶ ἐξηγώντας ὅτι ὁ Χριστὸς ἔπρεπε νὰ πάθει καὶ ν' ἀναστηθεῖ ἀπὸ τοὺς νεκρούς, καὶ λέγοντας ὅτι αὐτὸς εἶναι ὁ Ἰησοῦς Χριστός, τὸν ὁποῖο κηρύττω ἐγὼ σ' ἐσᾶς»[5]. Βλέπεις ὅτι τὸ πάθος τοῦ Χριστοῦ κηρύττει πρὶν ἀπὸ ὅλα· τόσο πολὺ δὲν ἔνιωθαν ντροπὴ γι' αὐτό, ἀλλὰ γνώριζαν ὅτι αὐτὸ εἶναι σωτήριο.

«Μερικοὶ δὲ ἀπ' αὐτοὺς πίστεψαν καὶ προσκολλήθηκαν στὸν Παῦλο καὶ τὸν Σίλα, καθὼς καὶ μεγάλος ἀριθμὸς ἀπὸ τοὺς θεοσεβεῖς Ἕλληνες, καὶ μάλιστα πολλὲς γυναῖκες καλῆς κοινωνικῆς τάξεως»[6]. Ἀνέφερε τὸ σπουδαιότερο ἀπὸ τὴν ὁμιλία του· τόσο πολὺ εἰλικρινὴς εἶναι, χωρὶς ν' ἀναφέρει παντοῦ τὶς ὁμιλίες αὐτοῦ.

«Ἀλλ' ἐπειδὴ κυριεύθηκαν ἀπὸ φθόνο οἱ Ἰουδαῖοι ἐκεῖνοι ποὺ δὲν πίστευαν, ἀφοῦ πῆραν ἀπὸ τὴν ἀγορὰ μερικοὺς κακοὺς ἀνθρώπους δημιούργησαν ὀχλαγωγία καὶ μεγάλη ταραχὴ στὴν πόλη, καὶ ἀφοῦ πῆγαν στὸ σπίτι τοῦ Ἰάσονα, ζητοῦσαν νὰ τοὺς ὁδηγήσουν στὴ συνέλευση τῆς πόλεως, ἀλλ' ἐπειδὴ δὲν τοὺς βρῆκαν, ἔσυραν τὸν Ἰάσονα καὶ μερικοὺς ἀδελφοὺς στοὺς ἄρχοντες τῆς πόλεως, φωνάζοντας δυνατά, ὅτι ἐκεῖνοι ποὺ ἀναστάτωσαν τὴν οἰκουμένη, αὐτοὶ ἦρθαν καὶ ἐδῶ, καὶ τοὺς ὑποδέχθηκε ὁ Ἰάσονας· ὅλοι αὐτοὶ ἐνεργοῦν ἀντίθετα πρὸς τὶς διαταγὲς τοῦ Καίσαρα, λέγοντας ὅτι ὑπάρχει ἄλλος βασιλιάς, ὁ Ἰησοῦς»[7]· Πώ, πὼ κατηγορία! πάλι τοὺς κατηγοροῦσαν γιὰ ἔσχατη προδοσία, «λέγοντας ὅτι ὑπάρχει», λέγει, «ἄλλος βασιλιάς, ὁ Ἰησοῦς. Ὁ λαὸς καὶ οἱ ἄρχοντες ταράχθηκαν ὅταν τὰ ἄκουσαν αὐτά, καί, ἀφοῦ ἔλαβαν ἱκανοποιητικὴ ἐγγύηση ἀπὸ τὸν Ἰάσονα καὶ τοὺς ὑπολοίπους, τοὺς ἀπέλυσαν»[8]. Εἶναι ἄξιος θαυμασμοῦ ὁ ἄνδρας, διότι ὁ ἴδιος κινδύνεψε, ἀφήνοντας αὐτοὺς νὰ φύγουν.

«Ἀμέσως οἱ ἀδελφοὶ τὴ νύχτα ἔστειλαν τὸν Παῦλο

ψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν· οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν ἐπήεσαν τῶν Ἰουδαίων. Οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς Γραφάς, εἰ ἔχοι ταῦτα οὕτως». «Εὐγενέστεροι», φησί· τουτέστιν, 'ἐπιεικέστεροι'. Καὶ ὅρα, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀκριβείας ἀνηρεύνων τὰς Γραφὰς (τοῦτο γάρ ἐστι τὸ «ἀνέκρινον»), βουλόμενοι ἀπ' αὐτῶν πληροφορίαν μᾶλλον περὶ τοῦ πάθους λαβεῖν· ἤδη γὰρ ἦσαν πιστεύσαντες.

«Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλθη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους. Εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ». Ὅρα αὐτὸν καὶ ὑποχωροῦντα, καὶ ἐνιστάμενον, καὶ πολλὰ ἀνθρωπίνως ποιοῦντα.

«Οἱ δὲ καθιστῶντες τὸν Παῦλον ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξήεσαν». Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα.

«Ἐπὶ Σάββατα τρία», φησί, «διελέχθη αὐτοῖς, διανοίγων ἀπὸ τῶν Γραφῶν». Καλῶς, ὅτε ἤργουν· τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἐποίει, ἄνω καὶ κάτω ἀπὸ τῶν Γραφῶν διαλεγόμενος, καὶ οὐ πανταχοῦ ἀπὸ τῶν σημείων. Ἐπειδὴ γὰρ πρὸς τοῦτον ἐναντίως εἶχον,

------

9. Πράξ. 7, 10 - 11
10. Πράξ. 17, 12 - 14
11. Πράξ. 17, 15
12. Πράξ. 17, 2 - 3

καὶ τὸν Σίλα στὴ Βέροια, καί, ἀφοῦ ἔφθασαν ἐκεῖ, πῆγαν στὴ συναγωγὴ τῶν Ἰουδαίων. Αὐτοὶ ἦταν πιὸ ἐπιεικεῖς ἀπὸ τοὺς Ἰουδαίους τῆς Θεσσαλονίκης, καὶ δέχθηκαν τὸ λόγο μὲ ὅλη τὴν προθυμία τους, καὶ καθημερινὰ ἐρευνοῦσαν τὶς Γραφές, γιὰ νὰ βεβαιωθοῦν ἐὰν ἔτσι ἔχουν τὰ πράγματα»[9]. «Εὐγενέστεροι», λέγει, «ἦταν»· δηλαδὴ 'πιὸ ἐπιεικεῖς'. Καὶ πρόσεχε, ἐρευνοῦσαν τὶς Γραφὲς ὄχι ἐπιπόλαια, ἀλλὰ μὲ μεγάλη προσοχὴ (διότι αὐτὸ σημαίνει τὸ «ἀνέκρινον»)· θέλοντας ἀπ' αὐτὲς νὰ λάβουν περισσότερες πληροφορία γιὰ τὸ πάθος τοῦ Χριστοῦ· διότι ἤδη εἶχαν πιστέψει.

«Πολλοὶ ἀπ' αὐτοὺς πίστεψαν, μεταξὺ τῶν ὁποίων καὶ Ἑλληνίδες γυναῖκες τῆς καλῆς κοινωνικῆς τάξεως, καὶ ἀπὸ τοὺς ἄνδρες ὄχι λίγοι· Μόλις ὅμως ἔμαθαν οἱ Ἰουδαῖοι τῆς Θεσσαλονίκης ὅτι καὶ στὴ Βέροια κηρύχθηκε ὁ λόγος τοῦ Θεοῦ ἀπὸ τὸν Παῦλο, ἦρθαν καὶ ἐκεῖ δημιουργώντας ἀναταραχὴ στὸ λαό. Ἀμέσως δὲ τότε οἱ ἀδελφοὶ ἔστειλαν τὸν Παῦλο πρὸς τὸ μέρος τῆς θάλασσας, ἔμειναν δὲ ἐκεῖ ὁ Σίλας καὶ ὁ Τιμόθεος»[10]. Πρόσεχε αὐτὸν καὶ ὑποχωρεῖ καὶ προβάλλει ἀντίσταση, καὶ πολλὰ τὰ κάμνει κατὰ τρόπο ἀνθρώπινο.

«Ἐκεῖνοι ποὺ ὁδηγοῦσαν τὸν Παῦλο τὸν ἔφεραν μέχρι τὴν Ἀθήνα καὶ ἀφοῦ ἔλαβαν ἐντολὴ γιὰ τὸν Σίλα καὶ τὸν Τιμόθεο, νὰ ρθοῦν πρὸς αὐτὸν ὅσο τὸ δυνατὸ γρηγορότερα, ἀναχώρησαν»[11]. Ἂς ἐξετάσομε δὲ ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

«Ἐπὶ τρία Σάββατα», λέγει, «μιλοῦσε σ' αὐτούς, ἑρμηνεύοντας τὶς Γραφές»[12]. Πολὺ σωστά, ὅταν εἶχαν ἀργία· διότι αὐτὸ ἔκαμνε καὶ ὁ Χριστός, μιλώντας συνέχεια ἀπὸ τὶς Γραφές, καὶ ὄχι πάντοτε μὲ τὰ θαύματα. Ἐπειδὴ δηλαδὴ ἐναντιώνονταν πρὸς αὐτὸν καὶ τὸν κατηγοροῦ-

καὶ ὡς πλάνον καὶ γόητα διέβαλλον, διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ τῶν Γραφῶν διαλέγεται· ὁ μὲν γάρ, ἀπὸ τῶν σημείων ἐπιχειρῶν μόνων πείθειν, εἰκότως ὑποπτεύεται, ὁ δὲ ἀπὸ τῶν Γραφῶν πείθων οὐκ ἔχει ταύτην τὴν ὑπόνοιαν. Καὶ πολλαχοῦ εὑρίσκομεν ἀπὸ διδασκαλίας αὐτὸν πείσαντα· καὶ ἐν Ἀντιοχείᾳ δὲ πᾶσα διδάσκοντι αὐτῷ συνήχθη ἡ πόλις· οὕτω μέγα τι καὶ τοῦτό ἐστι, καὶ οὐ μικρὸν σημεῖον, ἀλλὰ καὶ σφόδρα ἐστὶ μέγα τοῦτο. Καὶ ἵνα μὴ νομίσωσιν ὅτι αὐτοὶ ἴσχυσαν τὸ πᾶν, συγχωρεῖ αὐτοὺς ὁ Θεὸς ἐλαύνεσθαι· δύο γὰρ ἐκ τούτου συνέβαινεν· οὔτε μέγα ἐφρόνουν ὡς αὐτοὶ καθελόντες, οὔτε πάλιν ἐφοβοῦντο ὡς ὑπεύθυνοι· οὕτως οἰκονομίας ἦν καὶ τὸ καλεῖσθαι.

«Τῶν τε σεβομένων Ἑλλήνων», φησί, «πολὺ πλῆθος, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων ἐπίστευσαν, καὶ ἀνδρῶν οὐκ ὀλίγοι». Ἐκεῖνοι δὲ τοὐναντίον. Πῶς δέ, λέγων, «Ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν», διελέγετο τοῖς Ἰουδαίοις; Ἐκ περιουσίας τοῦτο ποιῶν. Ἐπεί, εἰ Ἰουδαίους διαλέγεσθαι ἐχρῆν, πῶς ἔλεγε πάλιν, «Ὁ γὰρ ἐνεργήσας ἐκείνῳ εἰς τὴν περιτομήν, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη»; Ὥσπερ ἐκεῖνοι καὶ ἔθνεσιν ὡμίλησαν (καίτοι γε εἰς τὴν περιτομὴν ἀφωρισμένοι), οὕτω καὶ οὗτος. Τὸ μὲν οὖν πλέον ἐν αὐτοῖς, πλὴν οὐδὲ ἐκείνων ἠμέλησεν, ἵνα μὴ δόξωσι διεσχίσθαι.

2. Καὶ πῶς, φησί, προηγουμένως εἰς τὰς συναγωγὰς εἰσῄει; Ἀλλ' Ἕλληνας ἔπειθε διὰ τῶν Ἰου-

------

13. Πράξ. 17, 4·12
14. Γαλ. 2, 9
15. Γαλ. 2, 8

σαν σὰν πλάνο καὶ ἀγύρτη, γι' αὐτὸ καὶ αὐτὸς τοὺς ὁμιλεῖ ἀπὸ τὶς Γραφές· διότι ἐκεῖνος μὲν ποὺ ἐπιχειρεῖ νὰ πείθει μόνο ἀπὸ τὰ θαύματα, πολὺ φυσικὰ θεωρεῖται ὕποπτος, ἐνῶ ἐκεῖνος ποὺ πείθει ἀπὸ τὶς Γραφὲς δὲν δημιουργεῖ αὐτὴν τὴν ὑποψία. Καὶ σὲ πολλὲς περιπτώσεις βρίσκομε αὐτὸν ὅτι ἔπεισε μὲ τὴ διδασκαλία· καὶ στὴν 'Αντιόχεια δέ ποὺ δίδασκε αὐτὸς συγκεντρώθηκε ὁλόκληρη ἡ πόλη· ἐπομένως εἶναι κάποιο μεγάλο καὶ ὄχι μικρὸ θαῦμα καὶ αὐτό, καὶ μάλιστα εἶναι ὑπερβολικὰ μεγάλο. Καὶ γιὰ νὰ μὴ νομίσουν, ὅτι αὐτοὶ κατόρθωσαν τὸ πᾶν, ἐπιτρέπει αὐτοὺς ὁ Θεὸς καὶ νὰ διώκονται· διότι δυὸ πράγματα προέκυπταν ἀπ' αὐτό· οὔτε ὑπερηφανεύονταν σὰν αὐτοὶ νὰ τὰ κατόρθωσαν αὐτά, οὔτε πάλι φοβοῦνταν σὰν ὑπεύθυνοι· ἐπομένως ἦταν ἔργο τῆς ὅλης οἰκονομίας τοῦ Θεοῦ καὶ ἡ κλήση στὴν πίστη·

«Καὶ μεγάλος ἀριθμὸς πίστεψε ἀπὸ τοὺς θεοσεβεῖς», λέγει, «Ἕλληνες, ἀκόμα καὶ ἀπὸ τὶς 'Ελληνίδες γυναῖκες τῆς καλῆς κοινωνικῆς τάξεως, καθὼς καὶ πολλοὶ ἀπὸ τοὺς ἄνδρες»[13]. Οἱ 'Ιουδαῖοι ὅμως κάνουν τὸ ἀντίθετο. Πῶς δέ, λέγοντας, «Γιὰ νὰ εἴμαστε ἐμεῖς ἀπόστολοι στὸν ἐθνικὸ κόσμο, αὐτοὶ δὲ στοὺς περιτμημένους»[14], αὐτὸς μιλοῦσε στοὺς 'Ιουδαίους; Κάμνοντας αὐτὸ σὰν κάτι τὸ ἐπὶ πλέον. Διότι, ἐὰν ἔπρεπε νὰ κηρύττει στοὺς 'Ιουδαίους, πῶς ἔλεγε πάλι, «Διότι, ἐκεῖνος ποὺ ἐνέργησε νὰ γίνει ὁ Πέτρος ἀπόστολος τῶν περιτμημένων, ἐνέργησε καὶ σ' ἐμένα νὰ γίνω ἀπόστολος στὰ ἔθνη»[15]; Ὅπως ἀκριβῶς ἐκεῖνοι κήρυξαν καὶ στοὺς ἐθνικοὺς (ἂν καὶ βέβαια εἶχαν ὁρισθεῖ γιὰ τοὺς περιτμημένους), ἔτσι καὶ αὐτός. Τὸ περισσότερο μὲν μέρος τοῦ κηρύγματός του τὸ ἀφιέρωσε στοὺς ἐθνικούς, πλὴν ὅμως δὲν παραμέλησαν οὔτε τοὺς 'Ιουδαίους, γιὰ νὰ μὴ φανοῦν ὅτι ἀποσχίσθηκαν ἀπὸ ἐκείνους.

2. Καὶ πῶς, λέγει, πρῶτα εἰσέρχονταν στὶς συναγωγές; 'Αλλ' ὅμως μέσω τῶν 'Ιουδαίων ἔπειθε τοὺς Ἕλλη-

δαίων, ἐξ ὧν Ἰουδαίοις διελέγετο. Ἤδει δὲ ὅτι τοῦτο μάλιστα ἔθνεσιν ἦν πρὸς πίστιν προσαγωγόν. Διὰ τοῦτο ἔλεγεν· «Ἐφ' ὅσον εἰμὶ ἐγὼ ἐθνῶν Ἀπόστολος». Καὶ αἱ ἐπιστολαὶ δὲ αὐτοῦ πρὸς Ἰουδαίους πᾶσαί εἰσιν ἀπομαχόμεναι.

«Ὅτι τὸν Χριστόν», φησίν, «ἔδει παθεῖν». Εἰ παθεῖν ἔδει, πάντως καὶ ἀναστῆναι· πολλῷ γὰρ ἐκείνου θαυμασιώτερον τοῦτο. Εἰ γὰρ τὸν οὐδὲν ἠδικηκότα εἰς θάνατον ἐξέδωκε, πολλῷ μᾶλλον ἀνέστησεν αὐτόν.

«Προσλαβόμενοι δέ τινας τῶν ἀγοραίων οἱ ἀπειθοῦντες Ἰουδαῖοι, ἐθορύβουν τὴν πόλιν», φησίν. Ὥστε πλείους ἦσαν οἱ Ἕλληνες. Καὶ προσλαμβάνουσί τινας, ἐπειδὴ οὐκ ἐνόμισον ἑαυτοὺς ἀρκεῖν πρὸς τὴν στάσιν οἱ Ἰουδαῖοι, καὶ ἐπειδὴ οὐκ εἶχον αἰτίαν εὔλογον. Θορύβῳ ἀεὶ τὰ τοιαῦτα ἀνύουσι, καὶ προσλήψει ἀνδρῶν πονηρῶν.

«Μὴ εὑρόντες δὲ αὐτούς», φησίν, «ἔσυραν τὸν Ἰάσονα». Ὢ τῆς τυραννίδος! ἀπὸ τῶν οἰκιῶν εἷλκον αὐτοὺς ἁπλῶς.

Οὗτοι πάντες ἀπέναντι τῶν τοῦ Καίσαρος δογμάτων πράσσουσι, βασιλέα», φησί, «λέγοντες ἕτερον εἶναι Ἰησοῦν». Ἐπειδὴ οὐδὲν ἐναντίον ἔλεγον τοῖς δεδογμένοις, οὐδὲ παρεκίνουν τὴν πόλιν, ἐφ' ἕτερον ἔγκλημα αὐτοὺς ἄγουσι, καὶ εἰς καθοσίωσιν διαβάλλουσι. Καὶ τί φοβεῖσθε, εἴ γε τέθνηκεν; Ὅρα τοὺς διωγμοὺς πανταχοῦ τὸ κήρυγμα ἐκτείνοντας.

«Οὗτοι μὲν οὖν», φησίν, «εὐγενέστεροι ἦσαν τῶν ἐν Θεσσαλονίκῃ»· τουτέστιν, 'οὐδὲν πονηρὸν πράτ-

------

16. Ρωμ. 11, 13
17. Πράξ. 17, 3
18. Πράξ. 17, 5
19. Πράξ. 17, 6
20. Πράξ. 17, 7
21. Πράξ. 17, 11

νες, μὲ ὅσα ἔλεγε στοὺς Ἰουδαίους. Γνώριζε δὲ ὅτι αὐτὸ πρὸ πάντων ἦταν ἐκεῖνο ποὺ ὁδηγοῦσε τοὺς ἐθνικοὺς στὴν πίστη. Γι' αὐτὸ ἔλεγε· «Ἐφόσον ἐγὼ εἶμαι Ἀπόστολος τῶν ἐθνῶν»[16]. Καὶ ὅλες δὲ οἱ ἐπιστολὲς αὐτοῦ μάχονται ἐναντίον τῶν Ἰουδαίων·

«Ὅτι ὁ Χριστὸς ἔπρεπε», λέγει, «νὰ πάθει»[17]. Ἐὰν ἔπρεπε νὰ πάθει, ὁπωσδήποτε ἔπρεπε καὶ ν' ἀναστηθεῖ· διότι αὐτὸ εἶναι πολὺ περισσότερο ἄξιο θαυμασμοῦ ἀπὸ ἐκεῖνο. Διότι, ἐὰν παρέδωσε στὸ θάνατο ἐκεῖνον ποὺ δὲν διέπραξε καμιὰ ἀδικία, πολὺ περισσότερο ἀνέστησε αὐτόν.

«Οἱ Ἰουδαῖοι ὅμως ἐκεῖνοι ποὺ δὲν πείθονταν, ἀφοῦ πῆραν μερικοὺς ἀπὸ τοὺς ἀνθρώπους τῆς ἀγορᾶς, δημιουργοῦσαν ταραχὴ στὴν πόλη»[18], λέγει. Ἄρα λοιπὸν περισσότεροι ἦταν οἱ Ἕλληνες. Καὶ παίρνουν μερικοὺς μαζί τους, ἐπειδὴ νόμισαν οἱ Ἰουδαῖοι ὅτι δὲν ἐπαρκοῦν μόνοι τους γιὰ στάση, καὶ ἐπειδὴ δὲν εἶχαν εὔλογη αἰτία. Μὲ ἀναταραχὴ πάντοτε κατορθώνουν νὰ ἐπιτύχουν τὰ παρόμοια πράγματα καὶ παίρνοντας μαζί τους ἀνθρώπους κακούς.

«Ἐπειδὴ δὲ δὲν βρῆκαν αὐτούς», λέγει, «ἔσυραν τὸν Ἰάσονα»[19]. Πώ, πὼ μέγεθος τυραννίας! ἀπὸ τὰ σπίτια τους τοὺς ἔπαιρναν πείθοντάς τους σὰν μωρούς.

«Ὅλοι αὐτοί», λέγει, «ἐνεργοῦν ἀντίθετα πρὸς τὶς διαταγὲς τοῦ Καίσαρα, λέγοντας ὅτι ὑπάρχει ἄλλος βασιλιάς, ὁ Ἰησοῦς»[20]. Ἐπειδὴ δὲν ἔλεγαν τίποτε ἀντίθετο μὲ ἐκεῖνα ποὺ ἦταν ἀποδεκτά, οὔτε παρακινοῦσαν τὴν πόλη σὲ ἐξέγερση, ἀποδίδουν σ' αὐτοὺς ἄλλο ἀδίκημα καὶ τοὺς κατηγοροῦν γιὰ ἐσχάτη προδοσία· Καὶ γιατί φοβᾶσθε, ἐὰν βέβαια ἔχει πεθάνει; Πρόσεχε τοὺς διωγμοὺς ποὺ ἐπεκτείνουν παντοῦ τὸ κήρυγμα.

«Αὐτοὶ λοιπόν», λέγει, «ἦταν πιὸ ἐπιεικεῖς ἀπὸ τοὺς Ἰουδαίους τῆς Θεσσαλονίκης»[21]· δηλαδή, 'δὲν ἔπρατταν τίποτε τὸ κακό'· καὶ αὐτοὶ μὲν πίστεψαν, ἐνῶ ἐκεῖνοι κά-

τοντες’· ἀλλ’ οἱ μὲν ἐπείσθησαν, οὗτοι δὲ καὶ τὸ ἐναντίον ποιοῦσι, θορυβοῦντες αὐτούς.

«Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν καὶ τῶν ῾Ελληνίδων», φησί, «γυναικῶν». Πάλιν ἐνταῦθα πιστεύουσιν ῞Ελληνες. Σὺ δέ μοι θέα ὅτι οἰκονομικῶς ἔφυγον, οὐ δειλιῶντες· ἢ γὰρ ἂν ἐπαύσαντο κηρύττοντες, καὶ οὐχὶ μᾶλλον παρώξυναν. ’Αλλ’ ἐκ τούτου δύο ἐγένετο· καὶ ἐκείνων ὁ θυμὸς ἐσβέννυτο, καὶ τὸ κήρυγμα ἐπεδίδου. ’Αξίως δὲ τῆς ἀταξίας αὐτῶν εἶπεν ὅτι «ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους», τὴν ἀκάθεκτον μανίαν αὐτῶν αἰνιττόμενος.

«Εὐθέως δὲ ἐξαπέστειλαν τὸν Παῦλον οἱ ἀδελφοὶ πορεύεσθαι», φησίν, «ὡς ἐπὶ τὴν θάλασσαν». ’Ενταῦθα λοιπὸν τὸν Παῦλον πέμπουσι μόνον· περὶ γὰρ αὐτοῦ ἐδεδοίκεισαν μή τι πάθῃ, τὸ κεφάλαιον αὐτῶν αὐτὸ ὄν· οὕτως οὐ πανταχοῦ ἡ χάρις ἐνήργει, ἀλλ’ εἴα αὐτοὺς καὶ ἀνθρώπινα ποιεῖν, διανιστῶσα αὐτούς, καὶ διϋπνίζουσα, καὶ εἰς μέριμναν ἐμβάλλουσα. ῞Ορα γοῦν, ἕως Φιλίππων ἔσωσε μόνον, ἐντεῦθεν δὲ οὐκ ἔτι.

«Καὶ λαβόντες ἐντολήν», φησί, «πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον», ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν». Καὶ τοῦτο εἰκότως· εἰ γὰρ καὶ Παῦλος ἦν, ὅμως ἐδεῖτο ἐκείνων. ῎Αρα καλῶς ἠπείγοντο εἰς Μακεδονίαν ὑπὸ τοῦ Θεοῦ· λαμπρὰ γὰρ ἦν καὶ ἡ ῾Ελλὰς λοιπόν· ἐπεὶ καὶ ἄλλα περιττὰ ἐποίει. ῾Ο Χριστὸς διέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν, οὗτος δὲ αὐτὸ οὐκ ἐποίει· ὁ Χριστὸς οὐκ ἀπέστειλεν αὐτὸν

------

22. Πράξ. 17, 12
23. Πράξ. 17, 13
24. Πράξ. 17, 14
25. Πράξ. 17, 15
26. Α' Κορ. 9, 14

μνουν τὸ ἀντίθετο, δημιουργώντας ἀνησυχία καὶ ταραχὴ σ' αὐτούς.

«Πολλοὶ λοιπὸν ἀπ' αὐτοὺς πίστεψαν», λέγει, «καθὼς καὶ ἀπὸ τὶς Ἑλληνίδες γυναῖκες»[22]. Πάλι ἐδῶ πιστεύουν οἱ Ἕλληνες. Σὺ ὅμως πρόσεχε σὲ παρακαλῶ ὅτι ἔφυγαν ἀπὸ ἐκεῖ σύμφωνα μὲ τὸ σχέδιο τῆς οἰκονομίας τοῦ Θεοῦ, καὶ ὄχι ἀπὸ δειλία· διότι ἀλλιῶς θὰ σταματοῦσαν νὰ κηρύττουν, καὶ δὲν θὰ ἐξόργιζαν αὐτοὺς περισσότερο. Ὅμως ἀπὸ αὐτὸ δύο πράγματα προέκυψαν· καὶ ὁ θυμὸς ἐκείνων ἔσβηνε, καὶ τοῦ κηρύγματος ἡ διάδοση αὐξανόταν. Πολὺ ὀρθὰ δὲ ἀνέφερε τὴν ἀταξία αὐτῶν, ὅτι δηλαδὴ «Ἦρθαν ἐκεῖ δημιουργώντας ἀναταραχὴ στὸ πλῆθος τοῦ λαοῦ»[23], ὑπονοώντας τὴν ἀσυγκράτητη μανία αὐτῶν.

«Ἀμέσως δὲ ἔστειλαν», λέγει, «τὸν Παῦλο πρὸς τὴν κατεύθυνση τῆς θάλασσας»[24]. Ἐδῶ λοιπὸν στέλνουν μόνο τὸν Παῦλο· διότι γι' αὐτὸν φοβόνταν μὴ τυχὸν καὶ πάθει κάτι, καθόσον αὐτὸς ἦταν ὁ σπουδαιότερος ἀπὸ αὐτούς· ἔτσι δὲν ἐνεργοῦσε παντοῦ ἡ χάρη τοῦ Θεοῦ, ἀλλ' ἄφηνε αὐτοὺς καὶ μὲ ἀνθρώπινο τρόπο νὰ ἐνεργοῦν, διεγείροντας αὐτούς, ἀφυπνίζοντάς τους καὶ δημιουργώντας μέσα στοὺς ἴδιους τὴ φροντίδα. Πρόσεχε δηλαδή, τοὺς προφύλαξε μόνο μέχρι τοὺς Φιλίππους, ὄχι ὅμως πλέον ἀπὸ ἐκεῖ καὶ μετά.

«Καί, ἀφοῦ ἔλαβαν», λέγει, «ἐντολὴ γιὰ τὸν Σίλα καὶ τὸν Τιμόθεο γιὰ νὰ μεταβοῦν πρὸς αὐτὸν ὅσο τὸ δυνατὸ πιὸ γρήγορα, ἀναχώρησαν»[25]. Καὶ αὐτὸ γίνεται πολὺ σωστά· διότι ἂν καὶ ἦταν ὁ Παῦλος, ὅμως χρειαζόταν ἐκείνους. Ἄρα λοιπὸν πολὺ σωστὰ ἐπιταχυνόταν ἀπὸ τὸ Θεὸ ἡ ἀναχώρησή τους ἀπὸ τὴ Μακεδονία· διότι ἦταν λαμπρὴ πλέον καὶ ἡ Ἑλλάδα· καθόσον βέβαια καὶ ἄλλα περιττὰ ἔκαμνε ὁ Παῦλος. Ὁ Χριστὸς διέταξε νὰ ζοῦν ἀπὸ τὸ Εὐαγγέλιο, αὐτὸς ὅμως δὲν τὸ ἔκαμνε αὐτό[26]· ὁ

βαπτίζειν, οὗτος δὲ ἐβάπτιζεν. Ὅρα πῶς ἀντίρροπος πάντων ἦν Πέτρος εἰς τὴν περιτομήν, οὗτος εἰς τὰ ἔθνη, εἰς τὸ πλέον μέρος.

«Καὶ λαβόντες τὸ ἱκανόν», φησί, «παρὰ τοῦ Ἰάσονος, ἀπέλυσαν αὐτούς». Ὅρα πῶς ἱκανὰ δοὺς Ἰάσων ἐξέπεμψε Παῦλον, ὥστε τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ αὐτοῦ.

«Οὗτοι», φησίν, «ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ»· τουτέστι, κατὰ τὴν ἀρετὴν ὄντες τοῦτο καὶ τὴν πρὸς τὸν Θεὸν πίστιν.

«Οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας», φησί, «τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς Γραφάς, εἰ ἔχοι ταῦτα οὕτως». Οὐχ ἁπλῶς ῥύμῃ οὐδὲ ζήλῳ. Καίτοι μείζων ἡ πόλις ἦν, ἀγοραῖοι ἄνθρωποι ἦσαν ἐν αὐτῇ· θαυμαστὸν δὲ οὐδὲν καὶ εἰ ἐν μείζονι χείρους εἰσί. Μάλιστα μὲν οὖν εἰς τὴν μείζονα χείρους εἶναι εἰκός, ἔνθα πολλαὶ τῶν ταραχῶν αἱ ἀφορμαί· καθάπερ γὰρ ἐν σώματι, ὅταν ἡ νόσος χαλεπωτέρα ᾖ, πλείονα ἔχει τὴν ὕλην καὶ τὴν τροφήν, οὕτω δὴ καὶ ἐνταῦθα, ὅπερ ἐν Ἰκονίῳ γέγονε, καὶ νῦν γίνεται. Καὶ ἐξέρχεται ὁ Παῦλος, ἵνα καὶ τῆς ἑτέρων ἀπωλείας δίκην δῶσι. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγε· «Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλεῖν».

Καὶ διὰ τί μὴ ἐνέμειναν, φησίν, ἐνταῦθα; διὰ τί μὴ σημεῖα ἐποίησαν; Εἰ γὰρ ἐκεῖ, ἔνθα ἐλιθάζετο, ἔμενεν ἱκανὸν χρόνον, πολλῷ μᾶλλον ἐνταῦθα. Διὰ τί; Οὐκ ἀεὶ ἐβούλετο τούτους σημεῖα ποιεῖν Θεός· τοῦ γὰρ σημεῖα ποιεῖν οὐχ ἧττον σημεῖον τὸ διωκομένους

------

27. Α΄ Κορ. 16, 17
28. Πράξ. 17, 9
29. Πράξ. 17, 11
30. Πράξ. 17, 11
31. Α΄ Θεσ. 2, 16

Χριστὸς δὲν τὸν ἔστειλε νὰ βαπτίζει, αὐτὸς ὅμως βάπτιζε[27]. Πρόσεχε πῶς ὁ Πέτρος ἦταν ἀντίρροπος ὅλων στοὺς περιτμημένους, ἐνῶ αὐτὸς στὰ ἔθνη, στὸ μεγαλύτερο μέρος.

«Καὶ ἀφοῦ ἔλαβαν», λέγει, «ἱκανοποιητικὴ ἐγγύηση ἀπὸ τὸν Ἰάσονα, ἀπέλυσαν αὐτούς»[28]. Πρόσεχε πῶς ὁ Ἰάσονας ἀπέστειλε τὸν Παῦλο ἀπὸ τὴ Θεσσαλονίκη ἀφοῦ ἔδωσε ἱκανοποιητικὴ ἐγγύηση, δηλαδὴ πρόσφερε τὴν ἴδια τὴ ζωή του γι' αὐτόν.

«Αὐτοί», λέγει, «ἦταν πιὸ ἐπιεικεῖς ἀπὸ τοὺς Ἰουδαίους τῆς Θεσσαλονίκης»[29]· δηλαδὴ ἦταν περισσότερο ἐνάρετοι καὶ πιὸ σπουδαῖοι στὴν πίστη·

«Οἱ ὁποῖοι ἀποδέχθηκαν τὸ λόγο τοῦ Εὐαγγελίου μὲ ὅλη τους τὴν προθυμία», λέγει, «ἐρευνώντας καθημερινὰ τὶς Γραφές, ἐὰν πράγματι δηλαδὴ τὰ πράγματα εἶχαν ἔτσι[30]. Ὄχι ἁπλῶς μὲ προθυμία, οὔτε μὲ ζῆλο. Ἂν καὶ βέβαια ἡ πόλη ἦταν μεγαλύτερη, ὑπῆρχαν σ' αὐτὴν ἄνθρωποι ἀργόσχολοι· δὲν εἶναι δὲ καθόλου ἄξιο θαυμασμοῦ ἐὰν ὑπάρχουν χειρότεροι ἄνθρωποι σὲ μεγαλύτερη πόλη. Φυσικὸ εἶναι βέβαια νὰ ὑπάρχουν χειρότεροι ἄνθρωποι πρὸ πάντων σὲ μεγαλύτερη πόλη, ὅπου εἶναι πολλὲς οἱ ἀφορμὲς τῶν ταραχῶν· διότι ὅπως ἀκριβῶς συμβαίνει στὸ σῶμα, ὅταν ἡ ἀσθένεια εἶναι φοβερότερη, ἔχει περισσότερη τὴν ὕλη καὶ τὴν τροφή, ἔτσι λοιπὸν καὶ ἐδῶ, ἐκεῖνο ποὺ συνέβηκε στὸ Ἰκόνιο, αὐτὸ γίνεται καὶ τώρα. Καὶ ἀναχωρεῖ ὁ Παῦλος, ὥστε νὰ τιμωρηθοῦν γιὰ τὴν ἀπώλεια τῶν ἄλλων. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Διότι μᾶς ἐμποδίζουν νὰ κηρύξομε στὰ ἔθνη»[31].

Καὶ γιατί, λέγει, δὲν ἔμειναν ἐδῶ; γιατὶ δὲν ἔκαναν θαύματα; Διότι, ἐὰν ἐκεῖ, ὅπου λιθοβολοῦνταν, ἔμενε ἀρκετὸ χρόνο, πολὺ περισσότερο ἔπρεπε νὰ μείνει ἐδῶ. Γιατί; Δὲν ἤθελε ὁ Θεὸς νὰ κάμνουν αὐτοὶ πάντοτε θαύματα· διότι ἀπὸ τὸ νὰ κάνουν θαύματα δὲν ἦταν καθόλου

περιγενέσθαι χωρὶς σημείων. Ὥστε, καθάπερ νῦν χωρὶς σημείων κρατεῖ, οὕτω καὶ τότε πολλαχοῦ ἐβούλετο κρατεῖν. Οὐ τοίνυν οὐδὲ οἱ Ἀπόστολοι ἐπέτρεχον τοῖς σημείοις, ὅπερ οὖν καὶ αὐτός φησιν· «Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον». Τοῖς σημεῖα ζητοῦσι, τοῖς σοφίαν, ταῦτα διδόαμεν, ἃ μηδὲ μετὰ σημείων δύναται πεῖσαι, καὶ πείθομεν· ὥστε μέγα τοῦτο σημεῖον ἦν. Ὅρα γοῦν, ἐπιταθέντος τοῦ κηρύγματος, πῶς ταχέως ἐπιτρέχουσι τοῖς σημείοις· ἔδει γὰρ λοιπὸν διὰ τοὺς πιστεύσαντας μείζονα εἶναι σημεῖα τῶν λοιπῶν, διὸ καὶ γίνονται· ἀλλὰ τῷ ὑποχωρεῖν καὶ ἐπιέναι ταῦτα ἐποίουν.

«Ἐξαπέστειλαν αὐτόν», φησίν, «ὡς ἐπὶ τὴν θάλασσαν». Τί δήποτε; Ὥστε μὴ γενέσθαι αὐτοῖς εὔκολον τὴν κατάληψιν· οὕτω γὰρ καθ' ἑαυτοὺς μέγα τι ἔπραξαν ἄν, καὶ μετ' ἐκείνου πολλὰ ἤνυσαν καὶ κατώρθωσαν. Τέως ἐκεῖνον ἐξαρπάσαι ἐβούλοντο.

3. Ὅρα πόση καὶ οἱ λοιποὶ μαθηταὶ περὶ τοὺς κορυφαίους ἐχρῶντο τῇ σπουδῇ· ἀλλ' οὐχ ὥσπερ νῦν κεχωρίσμεθα, διῃρήμεθα μεγάλοι καὶ μικροί· οἱ μὲν ἐπαιρόμεθα, οἱ δὲ φθονοῦμεν· διὰ τοῦτο κἀκεῖνοι φθονοῦσιν ὅτι ἡμεῖς τετυφώμεθα, οὐκ ἀνεχόμεθα ἰσηγορεῖσθαι μετ' αὐτῶν. Διὰ τοῦτο ἐν τῷ σώματι ἡ συμφωνία ἐστίν, ἐπειδὴ οὐκ ἔστι φυσίωσις· οὐκ ἔστι δὲ φυσίωσις, ἐπειδὴ εἰς ἀνάγκην τοῦ χρείαν ἀλλήλων ἔχειν τὰ μέλη καθέστηκε· καὶ ἡ κεφαλὴ τῶν ποδῶν δεῖται, καὶ οἱ πόδες τῆς κεφαλῆς.

------

32. Α' Κορ. 1, 23
33. Πράξ. 17, 14

κατώτερο θαῦμα τὸ ὅτι ἂν καὶ διώκονταν ὑπερίσχυσαν χωρὶς θαύματα. Ὥστε, ὅπως ἀκριβῶς τώρα κυριαρχεῖ χωρὶς θαύματα, ἔτσι καὶ τότε ἤθελε νὰ ἐπικρατεῖ σὲ πολλὰ μέρη. Οὔτε βέβαια καὶ οἱ Ἀπόστολοι ἔδιναν μεγάλη σημασία στὰ θαύματα, πράγμα λοιπὸν ποὺ λέγει καὶ ὁ ἴδιος· «Ἐμεῖς δὲ κηρύσσομε Χριστὸ ποὺ ἔχει σταυρωθεῖ»[32]. Σ' αὐτοὺς ποὺ ζητοῦν θαύματα, σ' αὐτοὺς ποὺ ζητοῦν σοφία, αὐτὰ κηρύττομε, τὰ ὁποῖα δὲν μποροῦν νὰ πείσουν οὔτε μὲ θαύματα, καὶ ὅμως πείθομε· ἄρα λοιπὸν αὐτὸ ἦταν μεγάλο θαῦμα. Πρόσεχε λοιπόν, μόλις ἐπεκτάθηκε τὸ κήρυγμα, πῶς ἀμέσως καταφεύγουν στὰ θαύματα· διότι ἔπρεπε στὸ ἑξῆς γιὰ χάρη ἐκείνων ποὺ πίστεψαν νὰ εἶναι μεγαλύτερα τὰ θαύματα τῶν ὑπολοίπων, γι' αὐτὸ καὶ γίνονται, ἀλλ' ὅμως ἔκαμναν αὐτὰ μὲ τὸ νὰ ὑποχωροῦν καὶ νὰ ἐπιτίθενται.

«Ἔστειλαν αὐτόν», λέγει, «πρὸς τὴν κατεύθυνση τῆς θάλασσας»[33]. Γιατί τέλος πάντων; Γιὰ νὰ μὴ καταστεῖ σ' αὐτοὺς εὔκολη ἡ σύλληψή του· διότι ἔτσι καὶ αὐτοὶ οἱ ἴδιοι ἔπραξαν κάτι τὸ σπουδαῖο, καὶ μὲ ἐκεῖνον πολλὰ ἐπέτυχαν καὶ κατόρθωσαν. Κατ' ἀρχὴ ἤθελαν ἐκεῖνον νὰ σώσουν.

3. Πρόσεχε πόση φροντίδα ἔδειχναν καὶ οἱ ὑπόλοιποι μαθητὲς γιὰ τοὺς κορυφαίους, καὶ δὲν συνέβαινε ὅπως ἀκριβῶς σήμερα ποὺ ἔχομε χωρισθεῖ καὶ ἔχομε διαιρεθεῖ σὲ μεγάλους καὶ μικρούς· ἄλλοι μὲν ὑπερηφανευόμαστε, ἄλλοι δὲ φθονοῦμε· γι' αὐτὸ καὶ ἐκεῖνοι φθονοῦν ἐπειδὴ ἐμεῖς ὑπερηφανευόμαστε, καὶ οὔτε καταδεχόμαστε νὰ ὁμιλοῦμε γι' αὐτοὺς σὰν ἴσοι πρὸς ἴσους. Γι' αὐτὸ στὸ σῶμα ὑπάρχει συμφωνία, ἐπειδὴ δὲν ὑπάρχει ἀλαζονεία· δὲν ὑπάρχει δὲ ἀλαζονεία, ἐπειδὴ τὰ μέλη εἶναι ἀναγκασμένα νὰ ἔχουν τὸ ἕνα τὴν ἀνάγκη τοῦ ἄλλου· καὶ τὸ κεφάλι χρειάζεται τὰ πόδια καὶ τὰ πόδια τὸ κεφάλι.

Καὶ ἡμῖν τοῦτο ἐποίησεν ὁ Θεός, καὶ οὐδὲ οὕτως ἀνεχόμεθα· ἔδει μὲν γὰρ καὶ χωρὶς τούτου ἀγάπην εἶναι. Ἢ οὐκ ἀκούετε αὐτῶν, τῶν ἔξω διαβαλλόντων ἡμᾶς, ὅταν λέγωσιν, 'Αἱ χρεῖαι φιλίαι;'. Οἱ λαϊκοὶ δέονται ἡμῶν, ἡμεῖς δὲ πάλιν δι' αὐτούς ἐσμεν. Οὕτω καὶ διδάσκαλος καὶ ἄρχων οὐκ ἂν εἴη, μὴ τῶν διδασκομένων ὄντων καὶ τῶν ἀρχομένων, οὐδ' ἂν ἐπιδείξαιτο τὰ αὐτοῦ· οὐ γὰρ ἂν δύναιτο. Καθάπερ ἡ γῆ τοῦ γεωργοῦ, καὶ ὁ γεωργὸς δεῖται τῆς γῆς, οὕτω καὶ ἐνταῦθα· ποῖον γὰρ ἔχει μισθὸν διδάσκαλος, οὐκ ἔχων ἐπιδεῖξαι τοὺς διδαχθέντας; ποῖον δὲ οἱ διδασκόμενοι, μὴ ἀπολαύσαντες διδασκαλίας ἀρίστης;

Ὥστε ὁμοίως ἀλλήλων χρήζομεν πάλιν, καὶ ἄρχοντες ἀρχομένων, καὶ ἡγούμενος ὑπηκόων· ἄρχοντες μὲν γὰρ πολλῶν ἕνεκεν· οὐδεὶς γὰρ ἀρκεῖ καθ' ἑαυτόν τι πρᾶξαι, ἄν τε χειροτονῆσαι δέῃ, ἄν τε βουλὰς σκέψασθαι καὶ γνώμας, ἀλλὰ τιμιώτεραι γίνονται ἀπὸ τῆς συνόδου καὶ τοῦ πλήθους. Οἷον, οἱ πένητες τῶν διδόντων χρήζουσιν, οἱ διδόντες τῶν λαμβανόντων πάλιν. «Ἀλλήλους», φησί, «κατανοοῦντες εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων». Διὰ τοῦτο μείζονα δύναται τὸ κοινὸν τῆς Ἐκκλησίας, καὶ ἅπερ καθ' ἑαυτὸν οὐ δύναταί τις, μετὰ τῶν ἄλλων γινόμενος ἰσχύει. Διὰ τοῦτο μάλιστα ἀναγκαῖαι αἱ εὐχαὶ ἐνταῦθα γίνονται ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς Ἐκκλησίας τῆς ἐπὶ περάτων, ὑπὲρ τῆς εἰρήνης, ὑπὲρ τῶν ἐν συμφοραῖς. Καὶ τοῦτο ὁ Παῦλος

------

34. Ἑβρ. 10, 24

Καὶ σ' ἐμᾶς αὐτὸ ἔκανε ὁ Θεός, καὶ οὔτε ἔτσι τὸ ἀνεχόμαστε αὐτό· διότι ἔπρεπε καὶ χωρὶς αὐτὸ νὰ ὑπάρχει ἀνάμεσά μας ἀγάπη. Ἢ δὲν ἀκοῦτε αὐτούς, τοὺς μὴ Χριστιανούς, ποὺ μᾶς κατηγοροῦν λέγοντας, 'Οἱ ἀνάγκες εἶναι φιλίες;'. Οἱ λαϊκοὶ χρειάζονται ἐμᾶς, ἐμεῖς δέ πάλι ὑπάρχομε γι' αὐτούς· Κατὰ τὸν ἴδιο τρόπο δέν θά μποροῦσε νὰ ὑπάρξει δάσκαλος καὶ ἄρχοντας, ἐάν δὲν ὑπάρχουν οἱ διδασκόμενοι καὶ οἱ ἀρχόμενοι, οὔτε θὰ ἐπιδείκνυε τὰ δικά του· διότι δὲν θὰ μποροῦσε. Ὅπως ἀκριβῶς ἡ γῆ χρειάζεται τὸ γεωργό, καὶ ὁ γεωργὸς χρειάζεται τὴ γῆ, ἔτσι καὶ ἐδῶ· διότι ποιὸν μισθὸ θὰ ἔχει ὁ δάσκαλος ποὺ δὲν ἔχει νὰ ἐπιδείξει τοὺς μαθητές του; ποιὸν δὲ οἱ μαθητές, ποὺ δὲν ἀπόλαυσαν διδασκαλία ἄριστη;

Ὥστε λοιπὸν κατὰ παρόμοιο τρόπο χρειαζόμαστε καὶ πάλι ὁ ἕνας τὸν ἄλλο, καὶ οἱ ἄρχοντες τοὺς ἀρχομένους καὶ ὁ ἡγεμόνας τοὺς ὑπηκόους· καθόσον οἱ ἄρχοντες ὑπάρχουν ἐξ αἰτίας τῶν πολλῶν· διότι κανένας δὲν ἐπαρκεῖ νὰ κάνει μόνος του κάτι, εἴτε χρειάζεται νά χειροτονήσει, εἴτε νὰ ἐξετάσει ἀποφάσεις καὶ γνῶμες, ἀλλὰ γίνονται ἄξιοι μεγαλύτερης τιμῆς ἀπό τὴ συγκέντρωση καὶ τὸ πλῆθος. Γιὰ παράδειγμα, οἱ φτωχοὶ ἔχουν ἀνάγκη ἀπὸ ἐκείνους ποὺ τοὺς δίνουν, ἐκεῖνοι δὲ ποὺ δίνουν ἔχουν ἀνάγκη πάλι ἀπὸ ἐκείνους ποὺ παίρνουν. «Προσέχοντας», λέγει, «ὁ ἕνας τὸν ἄλλο, ὥστε νὰ προτρεπόμαστε πρὸς τὴν ἀγάπη καὶ τὰ καλὰ ἔργα»[34]. Γι' αὐτὸ ἔχει τὴ δύναμη νά ἐπιτύχει μεγαλύτερα πράγματα τὸ πλῆθος τῆς Ἐκκλησίας, καὶ ἐκεῖνα ποὺ δὲν μπορεῖ νά κάνει κάποιος μόνος του, κατορθώνει νὰ τὰ κάνει ὅταν εἶναι μὲ τοὺς ἄλλους. Γι' αὐτὸ προπάντων εἶναι ἀναγκαῖες οἱ προσευχές ποὺ γίνονται ἐδῶ ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς Ἐκκλησίας ποὺ ἁπλώνεται στὰ πέρατα τῆς γῆς, ὑπὲρ τῆς εἰρήνης, ὑπὲρ ἐκείνων ποὺ βρίσκονται μέσα στὶς συμφορές. Καὶ αὐτὸ τὸ φανερώνει ὁ Παῦλος, λέγοντας· «Ὥστε ν' ἀποδο-

δηλοῖ, λέγων· «Ἵνα τὸ εἰς ἡμᾶς χάρισμα ἐν πολλῷ προσώπῳ διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν»· τουτέστιν, ἵνα πολλοῖς χαρίσηται.

Καὶ πολλάκις αὐτῶν τὰς εὐχὰς ἐπιζητεῖ. Ὅρα καὶ ἐπὶ τῶν Νινευϊτῶν τί φησιν ὁ Θεός· «Ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες;». «Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι», φησίν, «εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Εἰ δὲ δύο μέγα ἰσχύουσι, πόσῳ μᾶλλον πλείους; Εἰ δὲ καὶ εἷς ὢν ἰσχύσεις, ἀλλ' οὐχ ὁμοίως. Διὰ τί δὲ καὶ εἷς εἶ; διὰ τί οὐκ ἐργάζῃ πολλούς; διὰ τί μὴ γίνῃ δημιουργὸς ἀγάπης; διὰ τί μὴ κατασκευάζεις φιλίαν; Τὸ μέγιστον τῆς ἀρετῆς ἐγκώμιον οὐκ ἔχεις· ὥσπερ γὰρ τὸ ἐκ συνθήκης εἶναι κακοὺς μᾶλλον παροξύνει τὸν Θεόν, οὕτω καὶ τὸ ἐν ὁμονοίᾳ εἶναι ἀγαθοὺς μᾶλλον εὐφραίνει. «Οὐκ ἔσῃ», φησί, «μετὰ πολλῶν ἐπὶ κακίᾳ». «Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν», καὶ ἐγένοντο ὡς ᾄδοντες ἐν ταῖς κακίαις αὐτῶν. Κατασκεύασόν σοι φίλους πρὸ τῶν οἰκείων, πρὸ τῶν ἄλλων ἁπάντων. Εἰ ὁ εἰρηνοποιὸς υἱὸς Θεοῦ, ὁ καὶ φίλους κατασκευάζων πόσῳ μᾶλλον; εἰ ὁ καταλλάττων μόνον υἱὸς Θεοῦ καλεῖται, ὁ τοὺς καταλλαττομένους φίλους ποιῶν τίνος οὐκ ἔσται ἄξιος;

Ταύτην ποιώμεθα τὴν ἐμπορίαν, φίλους ποιῶμεν ἀλλήλοις τοὺς ἐχθρούς, καὶ τοὺς οὐκ ἐχθροὺς μέν, οὐ φίλους δέ, καὶ τούτους συναγάγωμεν, καὶ πρὸ

------

35. Β΄ Κορ. 1, 11
36. Ἰωνᾶς 4, 11
37. Ματθ. 18, 20
38. Ἔξ. 23, 2
39. Ψαλμ. 13, 3

θεῖ εὐχαριστία ἀπὸ πολλοὺς γιὰ ἐμᾶς, ἐξ αἰτίας τῆς χάριτος ποὺ ἔδειξε ὁ Θεὸς σ' ἐμᾶς»[35]· δηλαδὴ γιὰ νὰ χαρίσει σὲ πολλούς.

Πολλὲς φορὲς μάλιστα ἐπιζητεῖ καὶ τὶς προσευχὲς αὐτῶν. Πρόσεχε καὶ στὴν περίπτωση τῶν Νινευιτῶν τί λέγει ὁ Θεός· «Ἐγὼ δὲ δὲν θὰ δείξω εὐσπλαχνία γιὰ τὴν πόλη στὴν ὁποία κατοικοῦν περισσότερα ἀπὸ δώδεκα μυριάδες;»[36]. «Ὅπου δὲ ὑπάρχουν», λέγει, «δύο ἢ τρεῖς συγκεντρωμένοι στὸ ὄνομά μου, ἐκεῖ ἀνάμεσά τους βρίσκομαι ἐγώ»[37]. Ἐὰν δὲ δύο μποροῦν νὰ ἐπιτύχουν μεγάλα πράγματα, πόσο μᾶλλον μποροῦν οἱ περισσότεροι; Ἐὰν δὲ καὶ ἐνῶ εἶσαι ἕνας μπορέσεις νὰ ἐπιτύχεις κάτι, ὄχι ὅμως κατὰ τὸν ἴδιο τρόπο· Γιατί δὲ εἶσαι ἕνας; γιατί δὲν συνεργάζεσαι μὲ πολλούς; γιατί δὲν γίνεσαι δημιουργὸς ἀγάπης; γιατί δὲν δημιουργεῖς φιλία; Δὲν ἔχεις τὸ πιὸ μεγαλύτερο ἐγκώμιο τῆς ἀρετῆς· διότι, ὅπως ἀκριβῶς ἐξοργίζει περισσότερο τὸ Θεὸ τὸ νὰ συμφωνοῦν οἱ ἄνθρωποι νὰ εἶναι κακοί, ἔτσι καὶ εὐχαριστεῖ αὐτὸν πολὺ περισσότερο τὸ νὰ εἶναι καλοὶ καὶ νὰ ἔχουν ὁμόνοια. «Ποτέ», λέγει, «δὲν θὰ πᾶς μὲ τοὺς πολλοὺς γιὰ νὰ κάνεις τὸ κακό»[38]· «Ὅλοι ξέφυγαν ἀπὸ τὴν εὐθεία ὁδὸ καὶ ἐξαχρειώθηκαν»[39], καὶ ἔγιναν σὰν νὰ ἐγκωμιάζουν τὶς κακίες τους. Δημιούργησε φίλους γιὰ τὸν ἑαυτό σου περισσότερο ἀπὸ τοὺς συγγενεῖς, περισσότερο ἀπὸ ὅλους τοὺς ἄλλους. Ἐὰν ἐκεῖνος ποὺ ἀγαπᾶ τὴν εἰρήνη εἶναι υἱὸς τοῦ Θεοῦ, πόσο περισσότερο εἶναι ἐκεῖνος ποὺ δημιουργεῖ καὶ φίλους; ἐὰν ἐκεῖνος ποὺ συμφιλιώνει μόνο ὀνομάζεται υἱὸς τοῦ Θεοῦ, ἐκεῖνος ποὺ κάνει φίλους ἐκείνους ποὺ συμφιλιώνονται ποιοῦ πράγματος δὲν θὰ εἶναι ἄξιος;

Αὐτὴν τὴν ἐμπορία ἂς ἀσκοῦμε, ἂς κάμνομε ἀναμεταξύ τους τοὺς ἐχθροὺς φίλους, καὶ ἐκείνους ποὺ δὲν εἶναι μὲν ἐχθροί, ἀλλ' οὔτε καὶ φίλοι, καὶ αὐτοὺς ἂς τοὺς

πάντων ἡμᾶς αὐτούς· καθάπερ γὰρ ὁ ἐν τῇ οἰκίᾳ ἔχθραν ἔχων, καὶ πρὸς τὴν γυναῖκα τὴν ἑαυτοῦ διεστηκὼς οὐκ ἔστιν ἀξιόπιστος ἑτέρους καταλλάττων, ἀλλ' ἀκούσεται, «Ἰατρέ, θεράπευσον σεαυτόν», οὕτω δὴ καὶ ἐνταῦθα ἀκούσεται. Τίς οὖν ἐστιν ἡ ἔχθρα; Ἡ τῆς ψυχῆς πρὸς τὸ σῶμα, ἡ τῆς κακίας πρὸς τὴν ἀρετήν. Ταύτην καταλύσωμεν, τοῦτον ἀνέλωμεν τὸν πόλεμον, καὶ τότε μετ' εἰρήνης καὶ τοῖς ἄλλοις διαλεξόμεθα μετὰ πολλῆς τῆς παρρησίας, οὐ κατηγοροῦντος ἡμῶν τοῦ συνειδότος. Μάχεται θυμὸς ἐπιεικείᾳ, μάχεται χρημάτων ἔρως ὑπεροψίᾳ χρημάτων, μάχεται βασκανία χρηστότητι.

Τοῦτον λύσωμεν τὸν πόλεμον, τούτους κατενέγκωμεν τοὺς ἐχθρούς, ταῦτα στήσωμεν τὰ τρόπαια, ἐν τῇ πόλει τῇ ἡμετέρᾳ κατασκευάσωμεν εἰρήνην· πόλις γὰρ ἡμῖν ἐστι καὶ πολιτεία, καὶ πολῖται, καὶ ξένοι πολλοί· ἀλλὰ ξενηλασίαν ποιήσωμεν, ὥστε μὴ τοὺς οἰκείους φθείρεσθαι. Μηδὲν ἀλλότριον μηδὲ νόθον ἐπεισίτω δόγμα, μηδὲν φρόνημα σαρκικόν. Οὐχ ὁρῶμεν ὅτι τῶν πολεμίων τις, ἐν ταῖς πόλεσιν ἂν ἁλῷ, ὡς κατάσκοπος κρίνεται; Οὐκοῦν ξενηλασίαν ποιώμεθα· μᾶλλον δὲ μὴ ξενηλασίαν μόνον, ἀλλὰ καὶ τοὺς πολεμίους ἀπελαύνωμεν. Ἂν ἴδωμέν τινα, παραδῶμεν τῷ ἄρχοντι τῷ νῷ τὸν λογισμὸν ἐκεῖνον, τὸν βεβαρβαρωμένον μέν, κατεσκευασμένον δὲ ἐσθῆτι πολιτικῇ. Πολλοὶ παρ' ἡμῖν λογισμοὶ τοιοῦτοι, φύσει μὲν ἐχθροί, περιβεβλημένοι δὲ δορὰν προβάτων. Καθάπερ οἱ Πέρσαι, τὴν τιάραν περιελόντες καὶ τὰς

------

40. Λουκᾶ 4, 23
41. Τιάρα· ἀρχαῖο περσικὸ κάλυμμα τῆς κεφαλῆς

κάμνομε φίλους, καὶ πρὸ πάντων τοὺς ἴδιους τοὺς ἑαυτούς μας· διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἔχει ἔχθρα στὴν οἰκία του καὶ βρίσκεται σὲ διαφωνία μὲ τὴ γυναίκα του δὲν εἶναι ἄξιος ἐμπιστοσύνης συμφιλιώνοντας ἄλλους, ἀλλὰ θ' ἀκούσει, «Γιατρέ, θεράπευσε τὸν ἑαυτό σου»[40], τὸ ἴδιο λοιπὸν θ' ἀκούσει καὶ ἐδῶ. Ποιὰ λοιπὸν εἶναι ἡ ἔχθρα στὸν ἴδιο τὸν ἑαυτό μας; Ἡ τῆς ψυχῆς πρὸς τὸ σῶμα, ἡ τῆς κακίας πρὸς τὴν ἀρετή. Αὐτὴν ἃς καταλύσομε, αὐτὸν τὸν πόλεμο ἃς καταργήσομε, καὶ τότε μὲ εἰρήνη καὶ μὲ πολὺ θάρρος καὶ μὲ τοὺς ἄλλους θὰ συνομιλοῦμε, χωρὶς νὰ μᾶς κατηγορεῖ ἡ συνείδησή μας. Μάχεται ὁ θυμὸς τὴν ἐπιείκεια, μάχεται ὁ ἔρωτας γιὰ τὰ χρήματα τὴν περιφρόνηση τῶν χρημάτων, μάχεται ὁ φθόνος τὴν καλωσύνη.

Αὐτὸν τὸν πόλεμο ἃς σταματήσομε, αὐτοὺς τοὺς ἐχθροὺς ἃς κατανικήσομε, αὐτὰ τὰ τρόπαια νίκης ἃς στήσομε, ἃς δημιουργήσομε εἰρήνη στὴν πόλη μας· διότι εἴμαστε μιὰ πόλη μὲ πολίτευμα καὶ πολίτες στὴν ὁποία ὑπάρχουν καὶ πολλοὶ ξένοι, ἀλλ' ἃς ἀπομακρύνομε τοὺς ξένους, γιὰ νὰ μὴ καταστρέφονται οἱ δικοί μας. Κανένα δόγμα ξένο, οὔτε νόθο νὰ εἰσάγεται στὴν πόλη μας, οὔτε καὶ φρόνημα σαρκικό· Δὲν βλέπομε ὅτι ἂν κάποιος ἀπὸ τοὺς ἐχθροὺς συλληφθεῖ μέσα στὶς πόλεις, θεωρεῖται σὰν κατάσκοπος; Λοιπὸν ἃς ἀπομακρύνομε τοὺς ξένους· ἢ καλύτερα ὄχι μόνο ν' ἀπομακρύνομε τοὺς ξένους, ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἃς ἀπομακρύνομε. Ἂν αἰσθανθοῦμε κάποιον, ἃς παραδώσομε στὸν ἄρχοντα νοῦ τὸν λογισμὸ ἐκεῖνο ποὺ εἶναι βάναυσος μέν, ἀλλὰ περιβάλλεται μὲ ἐνδυμασία συνηθισμένη. Πολλοὶ τέτοιοι λογισμοὶ ὑπάρχουν μέσα μας, ποὺ ἀπὸ τὴ φύση τους εἶναι ἐχθροί μας, ἀλλὰ περιβάλλονται μὲ δέρμα προβάτων. Ὅπως ἀκριβῶς οἱ Πέρσες, ἀφαιρώντας τὴν τιάρα[41], τὶς περισκελίδες καὶ τὰ

ἀναξυρίδας καὶ τὰ ὑποδήματα τὰ βαρβαρικά, τὴν ἄλλην στολὴν τὴν ἡμῖν ἐπιχώριον ὑπελθόντες, καὶ κειράμενοι ἐν χρῷ, καὶ τῇ συνήθει γλώττῃ διαλεγόμενοι, κρύπτουσι τῷ σχήματι τὸν πόλεμον, ἂν δὲ βασάνους εὐθέως προσαγάγῃς, τὸ κρυπτόμενον ἔδειξας, οὕτω καὶ ἐνταῦθα βασάνισον μυριάκις τὸν τοιοῦτον λογισμόν, καὶ ταχέως ὄψει τὸ βαρβαρικὸν φρόνημα.

Ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος ὑμῖν δείξω τοὺς τοιούτους κατασκόπους, οὓς προκαθίησιν ὁ διάβολος ἰδεῖν τὰ ἐν ἡμῖν, φέρε ἕνα ἀποδύσωμεν, καὶ ἐπὶ τοῦ δικαστηρίου ἐξετάσωμεν μετὰ ἀκριβείας, καί, εἰ βούλεσθε, τῶν ὑπὸ Παύλου φωραθέντων τινὰς παραγάγωμεν. «Ἅτινά ἐστι», φησί, «λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδείᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός». Οἷον, ἐβούλετο Ἰουδαϊσμὸν εἰσαγαγεῖν ὁ διάβολος· εἰ μὲν οὖν αὐτόθεν αὐτὸν εἰσήγαγεν, οὐκ ἂν ἔπεισεν. Ὅρα τοίνυν πῶς αὐτὸν κατεσκεύασε. Δεῖ τοῦ σώματος ἀφειδεῖν, φησί. Φιλοσοφία τοῦτό ἐστι, τὸ μὴ προσίεσθαι βρῶμα, ἀλλὰ παρατηρεῖν· ταπεινοφροσύνη τοῦτό ἐστι.

Καὶ νῦν δὲ πάλιν ἐπὶ τῶν αἱρετικῶν ἐβούλετο ἡμᾶς εἰς τὴν κτίσιν καταγαγεῖν. Ὅρα γοῦν πῶς κατεσκεύασε τὸν δόλον· εἰ εἶπεν ὅτι 'κτίσιν προσκύνει'. ἑάλω ἄν, ἀλλὰ τί; Ὁ Θεός, φησί, κτιστός ἐστιν. Ἀλλὰ ἀποδύσωμεν παρὰ τῇ ψήφῳ τῶν δικαζόντων τὸν νοῦν τῶν Γραφῶν τῶν ἀποστολικῶν· ἐκεῖ αὐτὸν

42. Κολ. 2, 23

βαρβαρικὰ ὑποδήματα, καὶ φορώντας τὴν ἄλλη τὴ συνηθισμένη σ' ἐμᾶς στολή, καὶ κόβοντας σύρριζα τὰ μαλλιά τους καὶ μιλώντας τὴ συνηθισμένη γλώσσα, κρύβουν μὲ τὴν ἐνδυμασία τὸν πόλεμο, ἂν ὅμως τοὺς ὑποβάλεις ἀμέσως σὲ βασανιστικὸ ἔλεγχο, φανέρωσες τότε ἐκεῖνο ποὺ κρύβεται κάτω ἀπὸ τὴν ἐνδυμασία, ἔτσι καὶ ἐδῶ βασάνισε ἄπειρες φορὲς τὸν παρόμοιο λογισμό, καὶ ἀμέσως θὰ διαπιστώσεις τὸ βαρβαρικὸ φρόνημα.

Γιὰ νὰ σᾶς δείξω ὅμως καὶ μὲ παράδειγμα τοὺς κατασκόπους αὐτοῦ τοῦ εἴδους, τοὺς ὁποίους ὁ διάβολος τοποθετεῖ ἀπὸ πρὶν γιὰ νὰ βλέπει τὰ ὅσα συμβαίνουν μέσα μας, ἐμπρὸς ἂς ἀπογυμνώσομε ἕνα ἀπὸ αὐτοὺς καὶ ἂς τὸν ἐξετάσομε μὲ προσοχὴ καὶ λεπτομέρεια στὸ δικαστήριο, καί, ἐὰν θέλετε, ἂς ὁδηγήσομε μπροστά μας μερικοὺς ἀπὸ ἐκείνους ποὺ ἀποκαλύφθηκαν ἀπὸ τὸν Παῦλο. «Αὐτὰ ἔχουν μὲν κάποια ἐμφάνιση σοφίας, ποὺ συνίσταται σὲ μιὰ θρησκεία», λέγει, «τῆς δικῆς τους ἀρεσκείας καὶ σὲ προσποιητὴ ταπεινοφροσύνη καὶ σκληραγωγία τοῦ σώματος, ὅμως δὲν ἔχουν καμιὰ ἀξία γιὰ τὴν καταπολέμηση τοῦ σαρκικοῦ φρονήματος»[42]. Δηλαδή, ἤθελε ὁ διάβολος νὰ εἰσαγάγει τὸν Ἰουδαϊσμό· ἐὰν λοιπὸν τὸν εἰσήγαγε αὐτὸς ὁ ἴδιος, δὲν θὰ μποροῦσε νὰ πείσει. Πρόσεχε λοιπὸν πῶς ἐπινόησε αὐτόν. Πρέπει, λέγει, νὰ παραμελοῦμε τὸ σῶμα. Φιλοσοφία αὐτὸ εἶναι, τὸ νὰ μὴ προσεγγίζομε τροφή, ἀλλὰ νὰ τὴ βλέπομε· αὐτὸ εἶναι ταπεινοφροσύνη.

Καὶ τώρα δὲ πάλι μὲ τοὺς αἱρετικοὺς ἤθελε νὰ μᾶς ὁδηγήσει χαμηλὰ στὴν κτίση· Πρόσεχε λοιπὸν πῶς ἐπινόησε τὸ δόλο· ἐὰν ἔλεγε, 'προσκύνα τὴν κτίση', θ' ἀποκαλυπτόταν ὁ δόλος του· ἀλλὰ τί λέγει; Ὁ Θεός, λέγει, εἶναι κτιστός. Ἀλλ' ἂς φέρομε καὶ ἂς τοποθετήσομε τὸ νοῦ τῶν ἀποστολικῶν Γραφῶν δίπλα στὴν ἀπόφαση τῶν

ἀγάγωμεν· αὐτοὶ ἐπιγνώσονται καὶ τὸ κήρυγμα καὶ τὴν λαλιάν.

Πολλοὶ κέρδη κερδαίνουσιν, ἵνα ἔχωσι διδόναι πένησι, κέρδη ἄδικα· καὶ οὗτος χαλεπὸς ὁ λογισμός. Ἀλλ' ἀποσκευασώμεθα αὐτόν, ἐλέγξωμεν, ἵνα μὴ ἁλῶμεν· ἀλλά, πάσας διαφυγόντες τὰς μηχανὰς τοῦ διαβόλου, δυνηθῶμεν, μετὰ ἀκριβείας τὰ ὑγιᾶ δόγματα κατέχοντες, μετὰ ἀσφαλείας καὶ τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δικαστῶν· ἐκεῖ ἄς μεταφέρομε αὐτόν· αὐτοὶ θὰ διακρίνουν καὶ τὸ κήρυγμα καὶ τὴν ὁμιλία.

Πολλοὶ συγκεντρώνουν κέρδη, γιὰ νὰ ἔχουν νὰ δίνουν στοὺς φτωχούς, τὰ ὁποῖα ὅμως εἶναι κέρδη ἄδικα· καὶ αὐτὸς ὁ λογισμὸς εἶναι φοβερός. Ἀλλ' ἄς ἀφαιρέσομε τὸ κάλυμμα ἀπ' αὐτόν, ἄς τὸν ἐλέγξομε, γιὰ νὰ μὴ συλληφθοῦμε ἀπ' αὐτόν, ὥστε, ἀφοῦ ἀποφύγομε ὅλες τὶς παγίδες τοῦ διαβόλου, νὰ μπορέσομε, διαφυλάσσοντας μὲ ἀκρίβεια τὰ ὀρθὰ δόγματα, μὲ ἀσφάλεια νὰ διανύσομε καὶ τὴν παρούσα ζωὴ καὶ νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ ὁ Θεὸς μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΗ΄

(Πράξ. 17, 16 - 31)

«Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας».

1. Ὅρα αὐτὸν μείζους ἔχοντα πειρασμοὺς παρὰ Ἰουδαίοις, ἢ παρ' Ἕλλησιν. Ἐν γοῦν Ἀθήναις οὐδὲν πάσχει τοιοῦτον, ἀλλὰ μέχρι γέλωτος τὸ πᾶν προὐχώρησε, καίτοι γε ἔπεισεν· ἐν δὲ Ἰουδαίοις πολλὰ τὰ δεινά· οὕτως ἦσαν ἐκπεπολεμωμένοι μᾶλλον. Διὸ καί φησιν· «Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν». Εἰκότως παροξύνεται· οὐ γὰρ ἦν ἀλλαχοῦ τοσαῦτα ἰδεῖν εἴδωλα.

«Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας». Ὅρα, πάλιν Ἰουδαίοις διαλέγεται, πανταχόθεν ἐπιστομίζων τοὺς καταλιπεῖν αὐτοὺς λέγοντας διὰ τὸ πρὸς τὰ ἔθνη ἐπιστραφῆναι. Θαυμαστὸν πῶς οὐ κατεγέ-

---

1. Πράξ. 17, 16 - 17 2. Πράξ. 17, 17

ΟΜΙΛΙΑ ΛΗ΄
(Πράξ. 17, 16 - 31)

«Ἐνῶ ὁ Παῦλος τοὺς περίμενε στὴν Ἀθήνα, τὸ πνεῦμα του ἀναστατωνόταν ἐπειδὴ ἔβλεπε τὴν πόλη νὰ εἶναι γεμάτη ἀπὸ εἴδωλα. Συνομιλοῦσε λοιπὸν στὴ συναγωγὴ μὲ τοὺς Ἰουδαίους καὶ τοὺς θεοσεβεῖς καθὼς καὶ στὴν ἀγορὰ καθημερινὰ μὲ ἐκείνους ποὺ τύχαινε νὰ συναντᾶ ἐκεῖ»[1].

1. Πρόσεχε αὐτὸν ποὺ ἔχει μεγαλύτερους πειρασμοὺς ἀπὸ τοὺς Ἰουδαίους παρὰ ἀπὸ τοὺς Ἕλληνες. Στὴν Ἀθήνα βέβαια δὲν παθαίνει κάτι παρόμοιο μὲ τὰ προηγούμενα, ἀλλὰ ἡ ὅλη ἀντίδραση ἔφθασε μέχρι στὸ χλευασμό, ἂν καὶ βέβαια τοὺς ἔπεισε, ἐνῶ κηρύττοντας στοὺς Ἰουδαίους πολλὰ ἦταν τὰ κακὰ ποὺ ἔπαθε· τόσο πολὺ περισσότερο τὸν πολεμοῦσαν αὐτοί. Γι' αὐτὸ καὶ λέγει· «Βρισκόμενος δὲ ὁ Παῦλος στὴν Ἀθήνα καὶ ἐνῶ περίμενε αὐτούς, ἀναστατωνόταν τὸ πνεῦμα του ἐπειδὴ ἔβλεπε τὴν πόλη νὰ εἶναι γεμάτη ἀπὸ εἴδωλα». Πολὺ δίκαια ἐξοργίζεται· διότι δὲν ἦταν δυνατὸ νὰ δεῖ κανεὶς ἀλλοῦ τόσα πολλὰ εἴδωλα.

«Συνομιλοῦσε λοιπὸν στὴ συναγωγὴ μὲ τοὺς Ἰουδαίους καὶ τοὺς θεοσεβεῖς καὶ καθημερινὰ στὴν ἀγορὰ μὲ ἐκείνους ποὺ τύχαινε νὰ συναντᾶ ἐκεῖ»[2]. Πρόσεχε, πάλι μὲ Ἰουδαίους συνομιλεῖ, ἀποστομώνοντας μὲ κάθε τρόπο ἐκείνους ποὺ λένε ὅτι ἐγκατέλειψε αὐτούς, ἐπειδὴ εἶχε στραφεῖ πρὸς τὰ ἔθνη. Εἶναι ἄξιο θαυμασμοῦ πῶς δὲν τὸν

λασαν οἱ φιλόσοφοι, οὕτως αὐτοῦ φθεγγομένου, ὑβριστικῶς εὐθέως, οὐδὲ ἀπεπήδησαν ἀπὸ τοῦ κηρύγματος· εἰπόντες· 'Μακρὸν τοῦτο φιλοσοφίας'. Ὅτι οὐδένα τύφον εἶχεν, ἄλλως δὲ ὅτι οὐκ ἐνόουν, οὐδὲ συνίεσάν τι τῶν λεγομένων· πῶς γὰρ οἱ μὲν σῶμα τὸν Θεὸν λέγοντες, οἱ δὲ ἡδονὴν τὴν μακαριότητα;

«Τινὲς δὲ καὶ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλον αὐτῷ, καί τινες ἔλεγον· Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δέ· Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο»· καὶ γὰρ τὴν ἀνάστασιν Θεόν τινα εἶναι ἐνόμιζον, ἅτε εἰωθότες καὶ θηλείας σέβειν.

«Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες· Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι». Ἦγον αὐτὸν ἐπὶ τὸν Ἄρειον πάγον, οὐχ ὥστε μαθεῖν, ἀλλ' ὥστε κολάσαι, ἔνθα αἱ φονικαὶ δίκαι. Ὅρα γοῦν πῶς καὶ ἐν ἐλπίδι τοῦ μαθεῖν καὶ πανταχοῦ τὴν καινοτομίαν ἐγκαλοῦσι. Λάλων πόλις ἡ πόλις ἐκείνων ἦν.

«Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς ἕτερον οὐδὲν εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμόν, ἐν ᾧ ἐπεγέγραπτο· 'Ἀγνώστῳ Θεῷ'. Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν».

---

3. Πράξ. 17, 18
4. Πράξ. 17, 19 - 20

χλεύασαν οἱ φιλόσοφοι, ποὺ μιλοῦσε ἔτσι, κατὰ τρόπο ὑβριστικὸ ἀπὸ τὴν πρώτη στιγμή, οὔτε ἀπομακρύνθηκαν ἀπὸ τὸ κήρυγμα, λέγοντας, 'Αὐτὸ βρίσκεται μακριὰ ἀπὸ τὴ φιλοσοφία'. Διότι δὲν περιεῖχε καμιὰ ἀλαζονεία, ἄλλωστε δὲ δὲν καταλάβαιναν τὰ λεγόμενα οὔτε ἀντιλήφθηκαν κάτι ἀπὸ αὐτά˙ διότι πῶς μποροῦσε νὰ γίνει αὐτὸ τὴ στιγμὴ ποὺ ἄλλοι μὲν ἔλεγαν ὅτι ὁ Θεὸς εἶναι σωματικός, ἄλλοι δὲ ὀνόμαζαν τὴν μακαριότητα ἡδονή;

«Μερικοὶ δὲ ἀπὸ τοὺς Ἐπικούρειους καὶ τοὺς Στωϊκοὺς φιλοσόφους συνομιλοῦσαν καὶ αὐτοὶ μαζί του, καὶ μερικοὶ ἔλεγαν˙ Τί θέλει ἄραγε νὰ πεῖ αὐτὸς ὁ φλύαρος; Ἄλλοι δὲ ἔλεγαν˙ Φαίνεται ὅτι κηρύττει ξένα δαιμόνια˙ διότι κήρυττε τὸ εὐαγγέλιο γιὰ τὸν Ἰησοῦ καὶ τὴν ἀνάστασή του»[3]˙ καθόσον θεωροῦσαν τὴν ἀνάσταση σὰν κάποιο Θεό, ἐπειδὴ ὑπῆρχε συνήθεια σ' αὐτοὺς καὶ θηλυκὲς θεότητες νὰ λατρεύουν.

«Ἀφοῦ τὸν πῆραν λοιπὸν τὸν ἔφεραν στὸν Ἄρειο Πάγο, λέγοντας˙ Μποροῦμε νὰ μάθομε ποιὰ εἶναι αὐτὴ ἡ καινούργια διδασκαλία ποὺ κηρύσσεται ἀπὸ σένα; διότι κάποια παράξενα πράγματα φέρεις στὰ αὐτιά μας καὶ θέλομε νὰ μάθομε τί ἄραγε εἶναι αὐτά»[4]. Ὁδήγησαν αὐτὸν στὸν Ἄρειο πάγο, ὄχι μὲ σκοπὸ νὰ μάθουν, ἀλλὰ γιὰ νὰ τὸν τιμωρήσουν, ἐκεῖ ὅπου γίνονταν οἱ δίκες γιὰ φόνους. Πρόσεχε λοιπὸν πῶς καὶ μὲ τὴν ἐλπίδα νὰ μάθουν καὶ παντοῦ κατηγοροῦν τὴ νέα διδασκαλία. Πόλη φλύαρων ἦταν ἡ πόλη ἐκείνων.

«Ὅλοι δὲ οἱ Ἀθηναῖοι καὶ οἱ ξένοι ποὺ ἔμεναν ἐκεῖ δὲν διέθεταν χρόνο γιὰ τίποτε ἄλλο, παρὰ νὰ ὁμιλοῦν καὶ ν' ἀκοῦν κάτι τὸ καινούργιο. Τότε ὁ Παῦλος, ἀφοῦ στάθηκε στὸ μέσο τοῦ Ἀρείου Πάγου, εἶπε˙ Ἄνδρες Ἀθηναῖοι, βλέπω ὅτι εἶστε καθ' ὅλα οἱ πιὸ θρῆσκοι ἀπὸ ὅλους˙ διότι, καθὼς περνοῦσα καὶ κοίταζα τὰ ἱερά σας, βρῆκα καὶ ἕνα βωμό, στὸν ὁποῖο ὑπῆρχε ἡ ἐπιγραφή˙ 'Στὸν ἄγνωστο Θεό'. Αὐτὸν λοιπὸν ποὺ τὸν λατρεύετε χωρὶς νὰ

Ὥσπερ ἐγκωμιάζων αὐτοὺς δοκεῖ οὐδὲν λέγει βαρύ. «Ὡς δεισιδαιμονεστέρους ὑμᾶς», φησί, «θεωρῶ»· τουτέστιν, 'εὐλαβεστέρους».

«Ἐν ᾧ ἐπεγέγραπτο· ''Ἀγνώστῳ Θεῷ». Τί ἐστι τοῦτο; Οἱ Ἀθηναῖοι, ἐπειδὴ κατὰ καιροὺς πολλοὺς ἐδέξαντο θεοὺς καὶ ἀπὸ τῆς ὑπερορίας, οἷον τὸ τῆς Ἀθηνᾶς ἱερόν, τὸν Πᾶνα, καὶ ἄλλους ἀλλαχόθεν, δεδοικότες μή ποτε καὶ ἄλλος τις ᾖ αὐτοῖς μὲν οὐδέπω γνώριμος, θεραπευόμενος δὲ ἀλλαχοῦ, ὑπὲρ πλείονος δῆθεν ἀσφαλείας καὶ τούτῳ βωμὸν ἔστησαν· καὶ ἐπειδὴ οὐκ ἦν δῆλος ὁ Θεός, ἐπεγέγραπτο· «Ἀγνώστῳ Θεῷ». Τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναι Παῦλος λέγει, μᾶλλον δὲ τῶν πάντων Θεόν».

«Ὃν οὖν ἀγνοοῦντες», φησίν, «εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν». Ὅρα πῶς δείκνυσι προειληφότας αὐτόν. Οὐδὲν ξένον, φησίν, οὐδὲν καινὸν εἰσφέρω. Ἄνω καὶ κάτω τοῦτο ἔλεγον ἐκεῖνοι· «Τίς ἡ καινὴ αὕτη ἡ λαλουμένη ὑπὸ σοῦ διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν».

«Εὐθέως οὖν ἀναιρεῖ αὐτῶν τὴν ὑπόληψιν, καί φησιν· «Ὁ Θεός, ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων». Εἶτα, ἵνα μὴ νομίσωσιν ἕνα τῶν πολλῶν εἶναι, διορθοῦται λοιπόν, ἐπάγων· «Οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος». Ὁρᾷς ὅπως κατὰ μικρὸν εἰσάγει τὴν φιλοσοφίαν; πῶς καταγελᾷ τῆς ἑλληνικῆς πλάνης;

«Δοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοι-

------

5. Πράξ. 17, 21 - 23 6. Πράξ. 17, 23 7. Πράξ. 17, 19 - 20
8. Πράξ. 17, 24 9. Πράξ. 17, 24 - 25

τὸν γνωρίζετε, αὐτὸν σᾶς κηρύττω ἐγὼ»[5]. Φαίνεται σὰν νὰ ἐγκωμιάζει αὐτούς, μὴ λέγοντας τίποτε τὸ βαρύ. «Βλέπω», λέγει, «ὅτι εἶστε οἱ πιὸ θρῆσκοι ἀπὸ ὅλους» δηλαδή, 'οἱ πιὸ εὐλαβεῖς'.

«Στὸν ὁποῖο ὑπῆρχε ἡ ἐπιγραφὴ 'Στὸν ἄγνωστο Θεό'». Τί σημαίνει αὐτό; Οἱ Ἀθηναῖοι, ἐπειδὴ κατὰ διαφόρους καιροὺς ἀποδέχθηκαν πολλοὺς θεοὺς καὶ ἀπὸ τὶς χῶρες ἔξω ἀπὸ τὰ σύνορά τους, ὅπως τὸ ἱερὸ τῆς Ἀθηνᾶς, τὸν Πάνα, καὶ ἄλλους ἀπὸ ἄλλα μέρη, φοβούμενοι μὴ τυχὸν ὑπάρχει καὶ κάποιος ἄλλο, ποὺ σ' αὐτοὺς μὲν δὲν ἦταν γνωστὸς μέχρι τότε, λατρευόταν ὅμως σὲ ἄλλα μέρη, γιὰ περισσότερη δῆθεν ἀσφάλεια ἔστησαν βωμὸ καὶ γι' αὐτόν· καὶ ἐπειδὴ δὲν ἦταν γνωστὸς ὁ Θεός, ὑπῆρχε ἡ ἐπιγραφή· «Στὸν ἄγνωστο Θεό». Αὐτὸς λοιπὸν ὁ Παῦλος λέγει ὅτι εἶναι ὁ Ἰησοῦς Χριστός, ἢ καλύτερα ὁ Θεὸς τῶν πάντων.

«Αὐτὸν λοιπὸν ποὺ τὸν λατρεύετε», λέγει, «χωρὶς νὰ τὸν γνωρίζετε, αὐτὸν κηρύττω ἐγὼ σὲ σᾶς»[6]. Πρόσεχε πῶς δείχνει ὅτι εἶχαν ἀντιληφθεῖ αὐτόν. Τίποτε τὸ ξένο, λέγει, τίποτε τὸ καινούργιο δὲ σᾶς παρουσιάζω. Συνέχεια αὐτὸ ἔλεγαν ἐκεῖνοι· «Ποιὰ εἶναι αὐτὴ ἡ καινούργια διδασκαλία, τὴν ὁποία κηρύττεις σύ; Διότι κάποια παράξενα πράγματα φέρνεις στ' αὐτιά μας»[7].

Ἀμέσως λοιπὸν ἀναιρεῖ τὴν ἀντίληψη αὐτῶν, καὶ λέγει· «Ὁ Θεός, ποὺ δημιούργησε τὸν κόσμο καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτόν, αὐτὸς ποὺ εἶναι κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς»[8]. Ἔπειτα, γιὰ νὰ μὴ νομίσουν ὅτι εἶναι ἕνας ἀπὸ τοὺς πολλοὺς θεούς, συμπληρώνει στὴ συνέχεια αὐτὸ ποὺ εἶπε, προσθέτοντας· «Δὲν κατοικεῖ σὲ ναοὺς κατασκευασμένους ἀπὸ χέρια ἀνθρώπων, οὔτε ὑπηρετεῖται ἀπὸ χέρια ἀνθρώπινα, σὰν νὰ ἔχει ἀνάγκη ἀπὸ κάτι»[9]. Βλέπεις πῶς σιγὰ - σιγὰ εἰσάγει τὴ χριστιανικὴ φιλοσοφία; πῶς χλευάζει τὴν ἑλληνικὴ πλάνη;

«Αὐτὸς ποὺ δίνει ζωὴ καὶ πνοὴ σ' ὅλα καὶ ὅλα γενικά· αὐτὸς δημιούργησε ἀπὸ ἕνα αἷμα ὁλόκληρο τὸ ἀνθρώπινο

κεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς». Τοῦτο Θεοῦ ἴδιον. Ὅρα τοίνυν εἰ μὴ καὶ ἐπὶ τοῦ Υἱοῦ ταῦτα λέγεσθαι δύναται. «Οὐρανοῦ», φησί, «καὶ γῆς κύριος ὑπάρχων», ἅπερ ἐνόμιζον εἶναι θεούς. Καὶ τὴν δημιουργίαν ἐδήλωσε καὶ τοὺς ἀνθρώπους.

«Ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν Θεόν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν, καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ καὶ γένος ἐσμέν». Τοῦτο Ἄρατος εἶπεν ὁ ποιητής. Ὅρα καὶ ἀπὸ τῶν ὑπ' αὐτῶν γινομένων, καὶ ἀπὸ τῶν εἰρημένων τὰς ἀποδείξεις παρέχοντα.

«Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ Θεῖον εἶναι ὅμοιον». Καὶ μὴν διὰ τοῦτο, φησίν, ὀφείλομεν. Οὐδαμῶς· οὐ γὰρ δὴ ἡμεῖς ὅμοιοι, οὐδὲ αἱ ψυχαὶ αἱ ἡμέτεραι. Τί δήποτε οὐκ ἔστι πρὸς φιλοσοφίαν εὐθύς, καὶ εἶπεν, 'Ὁ Θεὸς ἀσώματος φύσει, ἀόρατος καὶ ἀσχημάτιστος'; Ὅτι περιττὸν τέως ἐδόκει ταῦτα λέγειν πρὸς ἀνθρώπους, μήπω μαθόντας ὅτι ἔστι μόνος Θεός. Διὰ τοῦτο, ἐκεῖνα εἰπεῖν ἀφείς, πρὸς τὸ ζητούμενον ἵσταται, καί φησι· «Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρί, ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν». Ὅρα, κατασείσας αὐ-

------

10. Πράξ. 17, 25 - 26
11. Πράξ. 17, 24
12. Πράξ. 17, 26 - 28
13. Πράξ. 17, 29
14. Πράξ. 17, 30 - 31

γένος γιὰ νὰ κατοικεῖ σ' ὅλη τὴ γῆ»[10]. Αὐτὸ εἶναι χαρακτηριστικὸ γνώρισμα τοῦ Θεοῦ. Πρόσεχε λοιπὸν τὸ ἐὰν αὐτὰ δὲν μποροῦν νὰ λέγονται καὶ γιὰ τὸν Υἱό· «Ὁ ὁποῖος», λέγει, «εἶναι κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς»[11], τὰ ὁποῖα νόμιζαν ὅτι εἶναι θεοί. Καὶ τὴ δημιουργία ἀνέφερε καὶ τοὺς ἀνθρώπους.

«Ὅρισε ὁρισμένες ἐποχὲς καὶ τὰ ὁρόσημα τῆς κατοικίας τους, γιὰ νὰ ψάχνουν τὸν Κύριο, μήπως καὶ τὸν βροῦν καὶ τὸν ψηλαφήσουν, ἂν καὶ βέβαια δὲν βρίσκεται μακριὰ ἀπὸ τὸν καθένα μας· διότι μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχομε, ὅπως εἶπαν καὶ μερικοὶ ἀπὸ τοὺς ποιητές σας· Διότι αὐτοῦ γένος εἴμαστε»[12]. Αὐτὸ τὸ εἶπε ὁ ποιητὴς Ἄρατος. Πρόσεχε ποὺ παρουσιάζει τὶς ἀποδείξεις καὶ ἀπὸ τὰ ὅσα συμβαίνουν σ' αὐτοὺς καὶ ἀπὸ τὰ ὅσα λέχθηκαν.

«Ἀφοῦ λοιπὸν εἴμαστε γένος τοῦ Θεοῦ, δὲν πρέπει νὰ νομίζομε ὅτι ἡ θεότητα μοιάζει μὲ χρυσὸ ἢ ἄργυρο ἢ λίθο, ποὺ ἀποτελοῦν σκαλιστὰ ἔργα τέχνης καὶ ἀνθρώπινης συλλήψεως»[13]. Καὶ πράγματι, λέγει, γι' αὐτὸ ὀφείλομε. Καθόλου· διότι δὲν εἴμαστε ἐμεῖς ὅμοιοι, οὔτε καὶ οἱ ψυχές μας. Γιατί τέλος πάντων δὲν μίλησε πρὸς τοὺς φιλοσόφους κατὰ τρόπο εὐθὺ καὶ δὲν εἶπε, 'Ὁ Θεὸς εἶναι ἐκ φύσεως ἀσώματος, ἀόρατος καὶ χωρὶς μορφή'; Διότι θεωροῦσε ὅτι εἶναι περιττὸ στὴν ἀρχὴ νὰ λέγει αὐτὰ πρὸς ἀνθρώπους, ποὺ δὲν γνώριζαν ὅτι ὑπάρχει μόνο ἕνας Θεός. Γι' αὐτό, ἀφοῦ παρέλειψε νὰ μιλήσει γιὰ ἐκεῖνα, ἀναφέρεται σ' αὐτὸ ποὺ ἦταν ὁ στόχος του καὶ λέγει· «Ἀφοῦ λοιπὸν παρέβλεψε ὁ Θεὸς τοὺς χρόνους ἐκείνους τῆς ἄγνοιας, παραγγέλλει τώρα σ' ὅλους τοὺς ἀνθρώπους παντοῦ νὰ μετανοοῦν, διότι ὅρισε ἡμέρα κατὰ τὴν ὁποία πρόκειται νὰ κρίνει τὴν οἰκουμένη μὲ δικαιοσύνη καὶ μὲ ἄνδρα ποὺ ὅρισε, πράγμα ποὺ ἐπιβεβαίωσε πρὸς ὅλους, διότι ἀνέστησε αὐτὸν ἀπὸ τοὺς νεκρούς[14]. Πρόσεχε, ἀφοῦ προξένησε ἀνησυχία στὴ

τῶν τὴν διάνοιαν τῷ εἰπεῖν, «Ἔστησεν ἡμέραν», καὶ φοβήσας, τότε εὐκαίρως ἐπάγει τοῦτο τὸ «ἀναστήσας αὐτὸν ἐκ νεκρῶν». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

2. «Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο», φησί, «τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ». Οὐκ ὀργὴν ἐνταῦθα οὐδὲ ἀγανάκτησιν ὁ παροξυσμός, ἀλλὰ διέγερσιν καὶ ζῆλον δηλοῖ, καθάπερ καὶ ἀλλαχοῦ, «Ἐγένετο», φησί, «παροξυσμὸς μεταξὺ αὐτῶν». Ὅρα δὲ πῶς οἰκονομεῖται, καὶ ἄκοντα μεῖναι ἐκεῖ ἐκδεχόμενον ἐκείνους. Τί οὖν ἐστι, «Παρωξύνετο»; Ἀντὶ τοῦ 'διηγείρετο'· ὀργῆς γὰρ καὶ ἀγανακτήσεως πόρρω τὸ χάρισμα. Οὐκ ἔφερεν, ἀλλ' ἐτήκετο.

«Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις», φησί, «καὶ τοῖς σεβομένοις». Ὅρα πάλιν αὐτὸν πρὸς Ἰουδαίους διαλεγόμενον. Σεβομένους δὲ τοὺς προσηλύτους λέγει· διεσπάρησαν γὰρ οἱ Ἰουδαῖοι πανταχοῦ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας, ἅμα καὶ ἐξ ἐκείνου τοῦ νόμου λυομένου, ἅμα δὲ διδάσκοντες εὐσέβειαν τοὺς ἀνθρώπους. Ἀλλ' οὐδὲν ἐκέρδαναν ἐκεῖνοι, ἀλλ' ἢ μόνον μαρτυρίας ἔσχον τῶν οἰκείων συμφορῶν.

«Τινὲς δέ», φησί, «τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλον αὐτῷ». Οὐκέτι Ἀθηναῖοι τοῖς οἰκείοις νόμοις ἐχρῶντο, ἅτε ὑποπεσόντες ἤδη τοῖς Ῥωμαίοις. Καὶ πόθεν ἠθέλησαν οὗτοι συμβαλεῖν; Ἐπεὶ καὶ ἄλλους ἑώρων διαλεγομένους, καὶ δόξαν ἔχοντα τὸν ἄνθρωπον. Καὶ ὅρα, εὐθέως ὑβριστικῶς· «ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ

---

15. Πράξ. 17, 16
16. Πράξ. 15, 39
17. Δηλαδὴ τὸν Σίλα καὶ τὸν Τιμόθεο
18. Πράξ. 17, 17
19. Πράξ. 17, 18

σκέψη αὐτῶν μὲ τὸ νὰ πεῖ, «Ὅρισε ἡμέρα», καὶ φόβησε αὐτούς, τότε τὴν κατάλληλη στιγμὴ προσθέτει αὐτό, τὸ «ἀνασταίνοντας αὐτὸν ἀπὸ τοὺς νεκρούς». Ἀλλ' ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

2. «Ἐνῶ δὲ ὁ Παῦλος περίμενε αὐτοὺς στὴν Ἀθήνα, ἀναστατωνόταν», λέγει, «τὸ πνεῦμα αὐτοῦ μέσα του»[15]. Ὁ παρoργισμὸς αὐτὸς δὲν σημαίνει ἐδῶ ὀργή, οὔτε ἀγανάκτηση, ἀλλὰ διέγερση καὶ ζῆλο, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ λέγει «Δημιουργήθηκε ἔντονη διαφωνία μεταξύ τους»[16]. Πρόσεχε ὅμως πῶς ρυθμίζεται ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ νὰ μείνει ἐκεῖ καὶ χωρὶς νὰ τὸ θέλει, γιὰ νὰ περιμένει ἐκείνους»[17]. Τί λοιπὸν σημαίνει, «παρωξύνετο»; Λέγεται ἀντὶ τοῦ 'διεγειρόταν'· διότι τὸ χάρισμα βρίσκεται μακριὰ ἀπὸ τὴν ὀργὴ καὶ τὴν ἀγανάκτηση. Δὲν τὸ ὑπόφερε, ἀλλ' ἔλειωνε ἀπὸ μέσα του.

«Συνομιλοῦσε λοιπὸν μέσα στὴ συναγωγή», λέγει «μὲ τοὺς Ἰουδαίους καὶ τοὺς θεοσεβεῖς»[18]· Πρόσεχε πάλι αὐτὸν ποὺ συνομιλεῖ μὲ Ἰουδαίους. Θεοσεβεῖς δὲ λέγοντας ἐννοεῖ τοὺς προσήλυτους· διότι οἱ Ἰουδαῖοι διαρκορπίσθηκαν παντοῦ μετὰ τὸν ἐρχομὸ τοῦ Χριστοῦ, ὁ ἕνας μὲν λόγος ἐπειδὴ καταλυόταν ἀπὸ ἐκεῖνον ὁ νόμος αὐτῶν, ὁ ἄλλος δὲ ἐπειδὴ δίδασκαν θεοσέβεια στοὺς ἀνθρώπους. Ὅμως τίποτε δὲν κέρδισαν ἐκεῖνοι, παρὰ μόνο ἔλαβαν ἐπιβεβαίωση τῶν δικῶν τους συμφορῶν.

«Μερικοὶ ὅμως», λέγει, «ἀπὸ τοὺς Ἐπικούρειους καὶ τοὺς Στωϊκοὺς φιλοσόφους συνομιλοῦσαν μὲ αὐτόν»[19]. Οἱ Ἀθηναῖοι δὲν ἔκαναν πλέον χρήση τῶν δικῶν τους νόμων, ἐπειδὴ εἶχαν περιέλθει κάτω ἀπὸ τὴν ἐξουσία τῶν Ρωμαίων· Καὶ τί ἦταν ἐκεῖνο ποὺ τοὺς ἔκανε νὰ θελήσουν νὰ συνομιλήσουν μὲ αὐτόν; Ἐπειδὴ καὶ ἄλλους ἔβλεπαν νὰ συνομιλοῦν μὲ αὐτὸν καὶ νὰ ἔχει μεγάλη φήμη αὐτός. Καὶ πρόσεχε, ἀπὸ τὴν πρώτη στιγμὴ ἐκδηλώνουν τὴν περιφρόνησή τους. «Διότι ὁ σαρκικὸς ἄνθρωπος δὲν δέχεται

τοῦ Πνεύματος». «Ξένων δαιμονίων», φησί, «δοκεῖ καταγγελεὺς εἶναι»· δαιμόνια τοὺς θεοὺς αὐτῶν ἐκάλουν· ἦσαν γὰρ αἱ πόλεις εἰδώλων πλήρεις.

«Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες» (διὰ τί εἰς Ἄρειον πάγον αὐτὸν εἷλκον; Ὡς καταπλήξοντες, ἔνθα τὰς φονικὰς δίκας ἐδίκαζον)· «Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον». Ἐνταῦθα ἐκεῖνο ἐπισημαίνεται, ὅτι, καίτοι ἀεὶ ἐν τούτῳ ἀσχολούμενοι, τῷ λαλεῖν καὶ ἀκούειν, ὅμως ξενίζοντα ἐνόμιζον εἶναι ἐκεῖνα, ἅπερ οὐδέποτε ἤκουσαν.

«Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν». Οὐκ εἶπε τοὺς δαίμονας ἁπλῶς, ἀλλὰ προοδοποιεῖ τῷ λόγῳ. Διὰ τοῦτο εἶπε· «Δυσιδαιμονεστέρους ὑμᾶς θεωρῶ», διὰ τὸν βωμόν.

«Ὁ Θεός», φησίν, «ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ». Ἐφθέγξατο φωνὴν μίαν, δι' ἧς πάντα κατέστρεψε τὰ τῶν φιλοσόφων· οἱ μὲν γὰρ Ἐπικούρειοι αὐτόματά φησιν εἶναι τὰ πάντα καὶ ἀπὸ ἀτόμων συνεστάναι, οἱ δὲ Στωϊκοὶ σῶμα καὶ ἐκπύρωσιν, ὁ δὲ ἔργον Θεοῦ λέγει τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ. Ὁρᾷς συντομίαν, καὶ ἐν συντομίᾳ σαφήνειαν; Καὶ σκόπει τίνα ἦν ξενίζοντα αὐτούς·

---

20. Α' Κορ. 2, 14
21. Πράξ. 17, 18
22. Πράξ. 17, 19 - 21
23. Πράξ. 17, 22 - 23
24. Πράξ. 17, 24

τὰ ὅσα προέρχονται ἀπὸ τὸ Πνεῦμα»[20]. «Φαίνεται», λέγει, «νὰ εἶναι κήρυκας ξένων θεῶν»[21]· δαιμόνια ὀνόμαζαν τοὺς θεούς τους· διότι ἦταν οἱ πόλεις τους γεμάτες ἀπὸ εἴδωλα.

«Ἀφοῦ πῆραν αὐτὸν τὸν ἔφεραν στὸν Ἄρειο πάγο, καὶ τοῦ εἶπαν» (γιατί τὸν ὁδήγησαν στὸν Ἄρειο πάγο; Μὲ σκοπὸ νὰ τὸν ἐκφοβίσουν μὲ τὸ μέρος στὸ ὁποῖο δίκαζαν τὶς δίκες γιὰ φόνους)· «Μποροῦμε νά μάθομε ποιὰ εἶναι αὐτὴ ἡ καινούργια διδασκαλία ποὺ κηρύττεις σύ; διότι κάποιον παράξενο θεὸ φέρνεις στ' αὐτιά μας. Ὅλοι δὲ οἱ Ἀθηναῖοι καὶ οἱ ξένοι ποὺ διέμεναν ἐκεῖ σὲ τίποτε ἄλλο δὲν διέθεταν τὸ χρόνο τους παρὰ στὸ νὰ λένε καὶ ν' ἀκοῦν κάτι τὸ καινούργιο»[22]. Ἐδῶ γίνεται φανερὸ ἐκεῖνο, ὅτι δηλαδή, ἂν καὶ πάντοτε μὲ αὐτὸ ἀσχολοῦνταν, μὲ τὸ νὰ ὁμιλοῦν καὶ ν' ἀκοῦν, ὅμως θεωροῦσαν ὅτι εἶναι παράξενα πράγματα ἐκεῖνα γιὰ τὰ ὁποῖα ποτὲ δὲν ἄκουσαν κάτι.

«Ἀφοῦ στάθηκε ὁ Παῦλος στὸ μέσο τοῦ Ἀρείου πάγου εἶπε· Ἄνδρες Ἀθηναῖοι, βλέπω ὅτι εἶστε καθ' ὅλα οἱ πιὸ θρῆσκοι ἀπὸ ὅλους· διότι καθὼς περνοῦσα καὶ ἔβλεπα τὰ ἱερά σας»[23]. Δὲν εἶπε ἁπλῶς τοὺς δαίμονες, ἀλλὰ προετοιμάζει μὲ τὸ λόγο αὐτὸ ποὺ θέλει νὰ πεῖ. Γι' αὐτὸ εἶπε, «Βλέπω ὅτι εἶστε οἱ πιὸ θρῆσκοι», ἐξ αἰτίας τοῦ βωμοῦ.

«Ὁ Θεός», λέγει, «ποὺ δημιούργησε τὸν κόσμο καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτόν»[24]. Εἶπε ἕνα λόγο, μὲ τὸν ὁποῖο κατέστρεψε ὅλα τὰ διδάγματα τῶν φιλοσόφων· διότι οἱ μὲν Ἐπικούρειοι λένε ὅτι τὰ πάντα εἶναι αὐτόματα καὶ ὅτι ἀποτελοῦνται ἀπὸ ἄτομα, ἐνῶ οἱ Στωικοὶ ὅτι ἀποτελοῦνται ἀπὸ ὕλη καὶ πῦρ, ὁ δὲ Παῦλος λέγει ὅτι ὁ κόσμος εἶναι ἔργο τοῦ Θεοῦ, καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτόν. Βλέπεις συντομία καὶ μέσα στὴ συντομία σαφήνεια; Καὶ πρόσεχε ποιὰ ἦταν τὰ παράξενα πράγματα γι' αὐτούς· τὸ ὅτι δηλαδὴ ὁ Θεὸς δημιούργησε τὸν κό-

ὅτι ὁ Θεὸς τὸν κόσμον ἐποίησεν. Ἃ καὶ τῶν τυχόντων ἴσασί τινες νῦν, ταῦτα οὐκ ᾔδεσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων οἱ σοφοί· εἰ γὰρ ἐποίησε, δῆλον ὅτι καὶ Κύριος.

Ὅρα τί φησι θεότητος εἶναι γνώρισμ, τὸ δημιουργικόν· ὅπερ ἔχει καὶ ὁ Υἱός. Καὶ γὰρ οἱ προφῆται πανταχοῦ τοῦτο λέγουσι, Θεοῦ εἶναι τὸ δημιουργεῖν· οὐχ ὥσπερ ἐκεῖνοι, ἄλλον μὲν εἶναι τὸν ποιητήν, οὐ κύριον δέ, τὴν δὲ ἀγένητον ὕλην ὑποτιθέντες. Ἐνταῦθα λοιπὸν αἰνιγματωδῶς εἶπε τὸ αὐτοῦ καὶ ἔστησε, καὶ καθαιρεῖ τὸ ἐκείνων. «Οὐκ ἐν χειροποιήτοις», φησί, «κατοικεῖ»· οἰκεῖ μὲν γὰρ ἐν ναοῖς, ἀλλ' οὐκ ἐν τοιούτοις, ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. Ὅρα, τὴν σωματικὴν ἀνεῖλε λατρείαν. Τί οὖν; οὐ κατῴκει ἐν τῷ ναῷ τῶν ἐν Ἱεροσολύμοις; Οὐ δῆτα, ἀλλ' ἐνήργει. Πῶς οὖν ἐθεραπεύετο ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις; Οὐχ ὑπὸ χειρῶν, ἀλλ' ὑπὸ διανοίας, ἐπεὶ ἐκεῖνά γε οὐκ ἐζήτει οὕτως, ὡς προσδεόμενος. «Μὴ φάγομαι» γάρ, φησί, «κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;».

Εἶτα, εἰπών, «Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος», (ἐπεὶ οὐδὲ τοῦτο ἤρκει, τὸ μηδενὸς δεῖσθαι, ὅπερ ἀπεφήνατο θεῖον μὲν γὰρ καὶ τοῦτο, ἀλλὰ δεῖ καὶ ἕτερον προσεῖναι), ἐπάγει τὸ «αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα». Δύο τεκμήρια θεότητος δείκνυσι, τὸ αὐτόν τε μηδενὸς δεῖσθαι, καὶ πᾶσι πάντα παρέχειν. Πάραγε ἐνταῦθα, ὅσα περὶ Θεοῦ Πλάτων ἐφιλοσόφησεν, ὅσα Ἐπίκουρος, καὶ τὰ πάντα λῆρος πρὸς ταῦτα.

------

25. Πράξ. 17, 24
26. Ψαλμ. 49, 13
27. Πράξ. 17, 25

σμο. Αὐτὰ ποὺ σήμερα τὰ γνωρίζουν καὶ μερικοὶ ἀπὸ τοὺς τυχόντες, αὐτὰ δὲν τὰ γνώριζαν οἱ Ἀθηναῖοι, καὶ μάλιστα οἱ σοφοὶ τῶν Ἀθηναίων· διότι, ἐὰν τὰ δημιούργησε, εἶναι φανερὸ ὅτι εἶναι καὶ Κύριος.

Πρόσεχε ποιὸ λέγει ὅτι εἶναι τὸ γνώρισμα τῆς θεότητας, δηλαδὴ τὸ δημιουργικό, πράγμα ποὺ ἔχει καὶ ὁ Υἱός. Καθόσον οἱ προφῆτες παντοῦ αὐτὸ λένε, ὅτι τοῦ Θεοῦ εἶναι τὸ ἔργο τῆς δημιουργίας· ὄχι ὅπως ἀκριβῶς ἐκεῖνοι, ποὺ νομίζουν ὅτι ἄλλος εἶναι ὁ δημιουργός, ἀλλὰ δὲν εἶναι κύριος, καὶ ὅτι ἡ ὕλη εἶναι ἀδημιούργητη. Ἐδῶ λοιπὸν εἶπε κατὰ τρόπο αἰνιγματικὸ ἐκεῖνο ποὺ ἤθελε καὶ τὸ ἀντιπαρέταξε σ' ἐκεῖνο ποὺ ἔλεγαν ἐκεῖνοι, καθαιρώντας αὐτό. «Δὲν κατοικεῖ», λέγει, «μέσα σὲ ναοὺς κατασκευασμένους ἀπὸ ἀνθρώπινα χέρια»[25]· κατοικεῖ βέβαια μέσα σὲ ναούς, ὅμως ὄχι μέσα σὲ τέτοιους, ἀλλὰ μέσα στὴν ἀνθρώπινη ψυχή. Πρόσεχε, ἀναίρεσε τὴ σωματικὴ λατρεία. Τί λοιπόν; δὲν κατοικεῖ στὸ ναὸ τῶν Ἱεροσολύμων; Ὄχι, βέβαια, ἀλλ' ἐνεργοῦσε ἐκεῖ. Πῶς λοιπὸν στοὺς Ἰουδαίους ὑπηρετοῦνταν ἀπὸ ἀνθρώπινα χέρια; Ὄχι ἀπὸ χέρια, ἀλλ' ἀπὸ τὴ διάνοια, διότι ἐκεῖνα δὲν τὰ ζητοῦσε τόσο πολύ, σὰν κάτι ποὺ νὰ τὰ εἶχε ἀνάγκη· Διότι, λέγει, «Μήπως θὰ φάγω κρέατα ταύρων ἢ θὰ πιῶ αἷμα τράγων;»[26].

Ἔπειτα, ἀφοῦ εἶπε, «Οὔτε ὑπηρετεῖται ἀπὸ χέρια ἀνθρώπινα, σὰν νὰ ἔχει ἀνάγκη ἀπὸ κάτι», (ἐπειδὴ οὔτε αὐτὸ ποὺ εἶπε ἦταν ἀρκετό, τὸ ὅτι δηλαδὴ δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε, διότι εἶναι μὲν καὶ αὐτὸ θεῖο, ἀλλὰ πρέπει καὶ ἄλλο νὰ ὑπάρχει μαζὶ μ' αὐτό), προσθέτει τὸ «Αὐτὸς ποὺ δίνει ζωὴ καὶ πνοὴ σ' ὅλα καὶ γενικὰ ὅλα»[27]. Δύο ἀποδείξεις θεότητας προβάλλει, καὶ τὸ ὅτι αὐτὸς δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε, καὶ τὸ ὅτι χορηγεῖ σ' ὅλους τὰ πάντα. Φέρε ἐδῶ ὅσα φιλοσόφησε ὁ Πλάτων γιὰ τὸ Θεό, ὅσα ὁ Ἐπίκουρος, καὶ ὅλα αὐτὰ συγκρινόμενα μὲ αὐτὰ ἀποτελοῦν φλυαρία.

«Διδούς», φησί, «ζωὴν καὶ πνοήν». Ἰδοὺ καὶ τῆς ψυχῆς δημιουργὸν αὐτὸν ποιεῖ, οὐ γεννήτορα. Ὅρα πάλιν πῶς καθαιρεῖ τὸν περὶ τῆς ὕλης λόγον, «ἐποίησέ τε», εἰπών, «ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς». Ταῦτα βελτίω ἐκείνων, καὶ κατηγορία τῶν τε ἀτόμων καὶ τῆς ὕλης. Ἐνταῦθα δείκνυσιν ὅτι οὐκ ἔστι μερική, οὐδὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου. Ὅπερ δὲ ἐκεῖνοί φασιν, οὐκ ἔστι τοῦτο δημιουργὸν εἶναι. Λέγων δὲ μὴ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεσθαι τὸν Θεόν, αἰνίττεται ὅτι διανοίᾳ καὶ νῷ θεραπεύεται.

«Οὗτος», φησίν, «οὐρανοῦ καὶ γῆς κύριος». Οὐκοῦν οὐχ οἱ μερικοὶ δαίμονες. «Ὁ Θεός, ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ». Πῶς οὐρανὸς γέγονε πρότερον δείξας, τότε ἀπεφήνατο ὅτι οὐκ ἐν χειροποιήτοις κατοικεῖ, ὡσεὶ ἔλεγεν· 'Εἰ Θεός, πάντα ἐποίησε δηλονότι, εἰ δὲ μὴ ἐποίησεν, οὐ Θεός'. «Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν», φησίν, «οὐκ ἐποίησαν, ἀπολέσθωσαν». Πολλὰ μείζονα ἐκείνων δόγματα εἰσάγει (καίτοι οὐδέπω τὰ μεγάλα εἶπεν· οὔπω γὰρ καιρός· ἀλλ' ὡς παισὶ διελέγετο), τὴν δημιουργίαν, τὴν κυριότητα, τὸ ἀνενδεές.

3. Εἰπὼν δὲ ὅτι «πᾶν ἔθνος ἀνθρώπων ἐξ ἑνὸς αἵματος ἐποίησε», τὸ πάντων αἴτιον τῶν ἀγαθῶν ἐδήλωσε. Τί τούτου τοῦ ὑψηλοῦ ἴσον; Θαυμαστὸν μὲν γὰρ καὶ τὸ ἐξ ἑνὸς ποιῆσαι τοσούτους, τὸ δὲ πάντας αὐτὸν συγκρατεῖν, ἔτι πολλῷ θαυμαστότερον· «Διδοὺς» γάρ, φησί, «πᾶσι πνοὴν καὶ ζωήν».

Τί ἐστιν, «Ὁρίσας προστεταγμένους καιρούς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν

------

28. Πράξ. 17, 26
29. Πράξ. 17, 24
30. Πράξ. 17, 25

«Αὐτὸς ποὺ δίνει», λέγει, «ζωὴ καὶ πνοή». Νὰ παρουσιάζει αὐτὸν καὶ τῆς ψυχῆς δημιουργό, καὶ ὄχι γεννήτορα. Πρόσεχε πάλι πῶς καταργεῖ τὴν περὶ ὕλης διδασκαλία, λέγοντας, «Δημιούργησε ὁλόκληρο τὸ ἀνθρώπινο γένος ἀπὸ ἕνα αἷμα γιὰ νὰ κατοικεῖ σ' ὅλη τὴ γῆ»[28]. Αὐτὰ εἶναι καλύτερα ἀπὸ ἐκεῖνα καὶ ἀποτελοῦν κατηγορία καὶ τῶν ἀτόμων καὶ τῆς ὕλης. Ἐδῶ δείχνει ὅτι οὔτε ἡ ψυχὴ τοῦ ἀνθρώπου μερίζεται. Ἐκεῖνο ἀκριβῶς ποὺ λένε ἐκεῖνοι, δὲν εἶναι δυνατὸ αὐτὸ νὰ εἶναι δημιουργός· Λέγοντας δὲ ὅτι ὁ Θεὸς δὲν ὑπηρετεῖται ἀπὸ χέρια ἀνθρώπινα, ὑπαινίσσεται ὅτι λατρεύεται μὲ τὴ διάνοια καὶ τὸ νοῦ.

«Αὐτός», λέγει, «εἶναι Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς». Ὄχι βέβαια οἱ ἐπὶ μέρους δαίμονες. «Ὁ Θεός, πο δημιούργησε τὸν κόσμο καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτόν»[29]. Ἀφοῦ ἔδειξε πρῶτα πῶς ἔγινε ὁ οὐρανός, τότε ἀνέφερε ὅτι δὲν κατοικεῖ σὲ ναοὺς κατασκευασμένους ἀπὸ χέρια ἀνθρώπινα, σὰν δηλαδὴ νὰ ἔλεγε· "Ἐὰν εἶναι Θεός, εἶναι φανερὸ ὅτι τὰ δημιούργησε ὅλα, ἐὰν δὲ δὲν τὰ δημιούργησε, δὲν εἶναι Θεός". «Θεοί», λέγει, «ποὺ δὲν δημιούργησαν τὸν οὐρανὸ καὶ τὴ γῆ ἂς καταστραφοῦν». Πολὺ πιὸ ἀνώτερα δόγματα εἰσάγει ἀπὸ τὰ διδάγματα ἐκείνων (ἂν καὶ βέβαια δὲν εἶπε ἀκόμα τὰ μεγαλύτερα· διότι δὲν ἦταν ἀκόμα ὁ κατάλληλος καιρός, ἀλλὰ μιλοῦσε σὰν νὰ μιλοῦσε πρὸς παιδιά), τὴ δημιουργία, τὴν κυριότητα, τὸ ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε.

3. Λέγοντας δὲ ὅτι «Δημιούργησε ὁλόκληρο τὸ ἀνθρώπινο γένος ἀπὸ ἕνα αἷμα», δήλωσε τὸ αἴτιο ὅλων τῶν ἀγαθῶν. Τί μπορεῖ νὰ ἐξισωθεῖ μὲ αὐτὸ τὸ τόσο ὑψηλό; Διότι εἶναι μὲν ἄξιο θαυμασμοῦ καὶ τὸ ὅτι ἀπὸ τὸν ἕνα δημιούργησε τόσους πολλούς, τὸ νὰ συγκρατεῖ ὅμως αὐτὸς ὅλους, αὐτὸ εἶναι πολὺ περισσότερο ἄξιο θαυμασμοῦ· διότι, λέγει, «Δίνει ζωὴ καὶ πνοὴ σ' ὅλα»[30].

Τί σημαίνει, «Ὅρισε ὁρισμένες ἐποχὲς καὶ τὰ ὁρόσημα τῆς κατοικίας τους, γιὰ νὰ ἀναζητοῦν τὸν Κύριο, μὴ

Θεόν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν»; Ὅτι οὐκ ἠναγκάζετό τις, φησί, περιϊέναι καὶ ζητεῖν τὸν Θεόν· ἤ, εἰ μὴ τοῦτο, ὅτι ὥρισε ζητῆσαι τὸν Θεόν. Ἀλλ' οὐ διὰ παντὸς τοῦτο ὥρισεν, ἀλλὰ «προστεταγμένους καιρούς». Τοῦτο δὲ λέγει, δεικνὺς ὅτι οὐδὲ νῦν ζητήσαντες εὗρον, καίτοι οὕτως ἦν φανερῶς πρὸς τὸ εὑρίσκεσθαι, ὥσπερ ἂν εἰς μέσον τι ψηλαφώμενον· οὐδὲ γὰρ ἐνταῦθα μὲν ἦν οὐρανός, ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ τῷ χρόνῳ ἦν, ἐν ἄλλῳ δὲ οὔ. Ὥστε καὶ κατὰ πάντα καιρόν, καὶ κατὰ πᾶσαν ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν. Οὕτως ᾠκονόμησε τὸ ζητεῖσθαι, ὥστε μήτε τόπῳ κωλύεσθαι, μήτε χρόνῳ. Καὶ αὐτὸ δὴ τοῦτο μάλιστα αὐτοῖς συνεβάλλετο, εἴ γε ἠβούλοντο, τὸ πανταχοῦ εἶναι τὸν οὐρανόν, τὸ ἐν παντὶ χρόνῳ ἑστάναι. Διὸ καὶ οὕτως εἶπε· «Καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα», ἀλλ' ἐγγὺς ὄντα πᾶσιν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Οὐ μόνον τὴν ζωὴν ἔδωκε καὶ τὴν πνοὴν καὶ τὰ πάντα, ἀλλὰ καί, τὸ κεφάλαιον ἁπάντων, εἰς γνῶσιν ἤγαγεν αὐτοῦ, δοὺς ταῦτα, δι' ὧν δυνάμεθα εὑρεῖν αὐτὸν καὶ καταλαβεῖν. Ἀλλ' οὐκ ἠθελήσαμεν ζητῆσαι, καίτοι πρὸ ποδῶν ὄντα.

«Οὐ μακράν», φησίν, «ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα». Βαβαί! πᾶσιν ἐγγὺς εἶναι λέγει τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι. Τί τούτου μεῖζον; Ὅρα πῶς καὶ καθαιρεῖ τοὺς μερικούς. Τί λέγω μακράν; Οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν· «Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν». Ὡς ἐν σωματικῷ ὑποδείγματι τοιοῦτόν τι λέγει· Ὥσ-

31. Πράξ. 17, 26 - 27
32. Πράξ. 17, 27
33. Πράξ. 17, 28

τυχὸν καὶ τὸν βροῦν καὶ τὸν ψηλαφήσουν»[31]; Ὅτι δὲν ἦταν, λέγει, κάποιος ἀναγκασμένος νὰ περιφέρεται καὶ νὰ ζητεῖ τὸ Θεό· ἤ, ἐὰν ὄχι αὐτό, ὅτι ὅρισε αὐτοὺς ὥστε ν' ἀναζητήσουν τὸ Θεό. Ὅμως δὲν τὸ ὅρισε αὐτὸ γιὰ πάντα, ἀλλὰ «γιὰ ὁρισμένες ἐποχές». Αὐτὸ τὸ λέγει γιὰ νὰ δείξει ὅτι οὔτε τώρα ποὺ τὸν ἀναζήτησαν τὸν βρῆκαν, ἂν καὶ βέβαια ἦταν τόσο εὔκολη ἡ ἀνεύρεσή του, σὰν νὰ ἦταν δηλαδὴ κάτι μπροστά μας ποὺ μπορούσαμε νὰ τὸ ψηλαφοῦμε· διότι ὁ οὐρανὸς δὲν ἦταν μόνο σ' ἕνα μέρος, ἐνῶ στὸ ἄλλο δὲν ὑπῆρχε· οὔτε ὅτι κατὰ τὸν χρόνο αὐτὸ ὑπῆρχε, ἐνῶ κατὰ τὸν ἄλλο δὲν ὑπῆρχε. Ἐπομένως σὲ κάθε ἐποχὴ καὶ σὲ κάθε καθορισμένο μέρος μποροῦσε ὁ ἄνθρωπος νὰ βρεῖ αὐτόν. Ἔτσι ρύθμισε τὴν ἀναζήτησή του, ὥστε οὔτε ἀπὸ τὸν τόπο νὰ ἐμποδίζεται αὐτή, οὔτε ἀπὸ τὸ χρόνο. Καὶ αὐτὸ τὸ πράγμα βέβαια βοηθοῦσε αὐτοὺς πάρα πολύ, ἐὰν φυσικὰ ἤθελαν, τὸ ὅτι ὑπάρχει δηλαδὴ παντοῦ ὁ οὐρανός, τὸ ὅτι αὐτὸς ὑπάρχει σὲ κάθε ἐποχή. Γι' αὐτὸ καὶ εἶπε τὸ ἑξῆς· «Ἂν καὶ βέβαια δὲν βρίσκεται μακριὰ ἀπὸ τὸν καθένα μας»[32], ἀλλὰ βρίσκεται κοντὰ σ' ὅλους. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ὄχι μόνο ἔδωσε τὴ ζωὴ καὶ τὴν πνοὴ καὶ ὅλα γενικά, ἀλλὰ καὶ αὐτὸ ποὺ εἶναι τὸ σπουδαιότερο ἀπὸ ὅλα, δηλαδὴ ὁδήγησε τὸν ἄνθρωπο στὸ νὰ γνωρίσει αὐτόν, δίνοντας αὐτὰ μὲ τὰ ὁποῖα μποροῦμε νὰ βροῦμε αὐτὸν καὶ νὰ τὸν κατανοήσομε. Ἀλλ' ὅμως δὲν θελήσαμε νὰ τὸν ἀναζητήσομε, ἂν καὶ βρίσκεται μπροστὰ στὰ πόδια μας.

«Δὲν βρίσκεται», λέγει, «μακριὰ ἀπὸ τὸν καθένα μας». Πὼ πώ! βρίσκεται λέγει κοντὰ σ' ὅλους ποὺ βρίσκονται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Τί ὑπάρχει μεγαλύτερο ἀπ' αὐτό; Πρόσεχε πῶς καταργεῖ τοὺς ἐπὶ μέρους θεούς. Γιατί λέγω μακριά; Τόσο κοντά μας εἶναι, ὥστε χωρὶς αὐτὸν νὰ μὴ ζοῦμε· «Διότι μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχομε»[33]. Σὰν νὰ λέγει κάτι

περ ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα, πανταχοῦ κεχυμένον, καὶ οὐ μακρὰν ἀφ' ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα, οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργόν'.

Ὅρα πῶς πάντα αὐτοῦ λέγει εἶναι· τὴν πρόνοιαν αὐτοῦ, φησί, καὶ τὴν συγκράτησιν, τὸ εἶναι παρ' αὐτοῦ, τὸ ἐνεργεῖν, τὸ μὴ ἀπολέσθαι. Καὶ οὐκ εἶπε, 'Δι' αὐτοῦ', ἀλλά, ὃ ἐγγύτερον ἦν· «Ἐν αὐτῷ». Οὐδὲν ἴσον εἶπεν ὁ ποιητὴς ἐκεῖνος, «τοῦ γὰρ καὶ γένος», εἰπών, «ἐσμέν»· ἀλλ' ἐκεῖνος μὲν περὶ τοῦ Διὸς εἶπεν, οὗτος δὲ περὶ Δημιουργοῦ αὐτὸ λαμβάνει, οὐ τὸν αὐτὸν ἐκείνῳ λέγων, μὴ γένοιτο! ἀλλὰ τὰ κυρίως ἐπ' αὐτῷ εἰρημένα ἁρμόζων· ἐπεὶ καὶ βωμὸν τούτου εἶπεν, οὐκ ἐκείνου, ὃν ἐσέβοντο· εἴρηται μὲν γάρ τινα καὶ πράττεται εἰς τοῦτον, ἀλλ' οὐκ ἴσασιν Ἕλληνες ὅτι εἰς αὐτόν, ἀλλ' εἰς ἕτερον αὐτὰ νενοήκασιν. Εἰπὲ γάρ μοι περὶ τίνος ἂν λεχθείη κυρίως, «ἀγνώστῳ Θεῷ», περὶ τοῦ Δημιουργοῦ, ἢ περὶ τοῦ δαίμονος; Δῆλον ὅτι περὶ τοῦ Δημιουργοῦ, εἰ καὶ τὸν μὲν ἠγνόουν, τὸν δὲ ᾔδεσαν. Ὁμοίως καὶ ὅτι πάντα πεποίηκε, περὶ τοῦ Θεοῦ ἂν εἰρῆσθαι κυρίως ἁρμόσειεν, ἢ τοῦ Διός, μιαροῦ τινος ἀνθρώπου, καὶ καταπτύστου, καὶ γόητος.

Οὕτως οὐχ ὁμοίως ἐκείνῳ Παῦλος εἶπε, μὴ γένοιτο! καὶ τὸ «τοῦ γὰρ καὶ γένος ἐσμέν», ἀλλ' ἑτέρῳ νῷ· γένος γὰρ Θεοῦ εἶπεν ἡμᾶς εἶναι· τουτέστιν, 'οἰκείους, ἐγγυτάτους'· ἤ, ὡς ἄν τις εἴποι· 'Παροίκους καὶ γείτονας'. Ἵνα γὰρ μὴ πάλιν λέγωσι, «Ξενίζον-

34. Δηλαδὴ ὁ Ἄρατος

παρόμοιο χρησιμοποιώντας σωματικὸ παράδειγμα. Ὅπως ἀκριβῶς εἶναι ἀδύνατο ν' ἀγνοήσομε τὸν ἀέρα, ποὺ εἶναι παντοῦ διάχυτος, καὶ δὲν βρίσκεται μακριὰ ἀπὸ τὸν καθένα μας, ἢ καλύτερα καὶ μέσα μας βρίσκεται, ἔτσι λοιπὸν καὶ τὸν δημιουργὸ τῶν ὅλων.

Πρόσεχε πῶς λέγει ὅτι ὅλα εἶναι αὐτοῦ· ἡ πρόνοια, λέγει, εἶναι δική του, ἡ συγκράτηση, ἡ ὕπαρξή μας προέρχεται ἀπ' αὐτόν, καὶ τὸ ὅτι ἐνεργοῦμε καὶ τὸ ὅτι δὲν καταστρεφόμαστε, ὀφείλεται σ' αὐτόν. Καὶ δὲν εἶπε, 'Εξ αἰτίας αὐτοῦ', ἀλλ' αὐτὸ ποὺ ἦταν πλησιέστερο· «Μέσα σ' αὐτόν». Τίποτε τὸ ἴσο δὲν εἶπε ὁ ποιητὴς ἐκεῖνος, λέγοντας, «Διότι γένος αὐτοῦ εἴμαστε»[33]· ἀλλ' ἐκεῖνος μὲν[34] τὸ εἶπε γιὰ τὸν Δία, ἐνῶ αὐτὸς τὸ παίρνει ἀπ' αὐτὸν καὶ τὸ λέγει γιὰ τὸν Δημιουργό, χωρὶς νὰ ἐννοεῖ τὸν ἴδιο μὲ ἐκεῖνον, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλὰ προσαρμόζοντας πολὺ ὀρθὰ ἐκεῖνα ποὺ λέχθηκαν σ' αὐτόν· καθόσον μίλησε καὶ γιὰ βωμὸ αὐτοῦ, ὄχι βέβαια ἐκείνου ποὺ λάτρευαν ἐκεῖνοι· διότι ἔχουν λεχθεῖ μερικὰ καὶ ἀποδίδονται σ' αὐτόν, ὅμως δὲν γνωρίζουν οἱ Ἕλληνες ὅτι ἀναφέρονται σ' αὐτόν, ἀλλ' ἀπέδωσαν αὐτὰ σ' ἄλλον. Διότι πές μου σὲ παρακαλῶ γιὰ ποιὸν θὰ μποροῦσε νὰ λεχθεῖ κυρίως τὸ «Στὸν ἄγνωστο Θεό», γιὰ τὸν Δημιουργὸ ἢ γιὰ τὸν δαίμονα; Εἶναι φανερὸ ὅτι θὰ μποροῦσε νὰ λεχθεῖ γιὰ τὸν Δημιουργό, ἂν καὶ τὸν μὲν Δημιουργὸ τὸν ἀγνοοῦσαν, ἐνῶ τὸν δαίμονα τὸν γνώριζαν. Κατὰ τὴν ἴδια σκέψη καὶ τὸ ὅτι δημιούργησε τὰ πάντα ταιριάζει νὰ λεχθεῖ κυρίως γιὰ τὸ Θεό, παρὰ γιὰ τὸν Δία, ποὺ ἦταν κάποιος ἄνθρωπος μιαρός, βδελυρὸς καὶ ἀγύρτης·

Κατὰ τὸν ἴδιο τρόπο οὔτε καὶ τὸ «Διότι γένος αὐτοῦ εἴμαστε» τὸ εἶπε ὁ Παῦλος γιὰ ἐκεῖνον, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλὰ τὸ εἶπε μὲ ἄλλη ἔννοια· διότι εἶπε ὅτι εἴμαστε γένος τοῦ Θεοῦ· δηλαδὴ εἴμαστε δικοί του καὶ βρισκόμαστε πολὺ κοντά του· ἤ, ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος· 'Εἴμαστε πάροικοι καὶ γείτονές του'. Διότι,

τα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν» (οὐδὲν γὰρ οὕτως ἀνθρώποις ἐναντίον), ἄγει τὸν ποιητὴν εἰς μέσον. Καὶ οὐκ εἶπεν, 'Οὐκ ὀφείλετε νομίζειν χρυσῷ ἢ ἀργύρῳ τὸ Θεῖον εἶναι ὅμοιον, ὦ μιαροὶ καὶ παμμίαροι!, ἀλλὰ ταπεινότερον, τοῦτο «οὐκ ὀφείλομεν νομίζειν», φησίν, ἀλλ' ὑπὲρ τοῦτο. Τί δαὶ τὸ ὑπὲρ τοῦτο; Θεός· ἀλλ' οὐδὲ τοῦτο (ἐνεργείας γάρ ἐστιν ὄνομα), ἀλλὰ τέως τοῦτο· πλὴν οὐ λέγομεν τούτῳ τὸ Θεῖον εἶναι ὅμοιον· τίς γὰρ ἂν εἴποι;

Ὅρα πῶς τὸ ἀσώματον εἰσήγαγεν· ἡ γὰρ διάνοια, ὅταν ὑποπτεύσῃ σῶμα, καὶ διάστημα ὑπονοεῖ. «Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν», φησί, «χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ Θεῖον εἶναι ὅμοιον'. 'Αλλ' εἴποι ἄν τις· 'Οὐ τοῦτο νομίζομεν· τί οὖν ταῦτα λέγει;'. 'Αλλὰ πρὸς τοὺς πολλοὺς ὁ λόγος ἦν αὐτῷ· καλῶς οὕτως εἶπεν. Εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ὅμοιοι ἐκείνοις τὸ κατὰ ψυχήν, πολλῷ μᾶλλον ὁ Θεός. Τέως ἀπάγει αὐτοὺς τῆς ὑπονοίας. Οὐ μόνον δὲ χαράγματι τέχνης τὸ Θεῖον οὐκ ἔστιν ὅμοιον, ἀλλ' οὐδὲ ἄλλῃ τινὶ ἀνθρωπίνῃ ὑπονοίᾳ ὑποβάλλεται· ἣ γὰρ τέχνη, ἢ διάνοια εὗρε. Διὰ τοῦτο οὕτως εἶπεν· '"Οπερ οὖν τέχνη ἀνθρωπίνη, ἢ διάνοια εὗρε, τοῦτο ὁ Θεός, καὶ ἐν λίθῳ οὐσία Θεοῦ, πῶς οὖν, εἰ ἐν αὐτῷ ζῶμεν, οὐχ εὑρίσκομεν αὐτόν;'. Διπλοῦν τὸ ἔγκλημα, ὅτι τε ἐκεῖνον οὐχ εὗρον, καὶ ὅτι τοιούτους εὗρον. Οὐδαμοῦ ἡ διάνοια ἀξιόπιστος καθ' ἑαυτήν. 'Αλλά, ἐ-

------

35. Πράξ. 17, 20
36. Πράξ. 17, 29

γιὰ νὰ μὴ λένε πάλι, «Περίεργα πράγματα φέρνεις στ' αὐτιά μας»[35] (διότι τίποτε δὲν ὑπάρχει γιὰ τοὺς ἀνθρώπους τόσο ἀντίθετο), τοὺς ἀναφέρει τὸν ποιητή. Καὶ δὲν εἶπε, 'Δὲν πρέπει νὰ νομίζετε ὅτι ὁ Θεὸς εἶναι ὅμοιος μὲ χρυσὸ καὶ ἄργυρο, μιαροὶ καὶ παμμίαροι!', ἀλλὰ μὲ τρόπο πιὸ μαλακὸ λέγει αὐτὸ «Δὲν πρέπει νὰ νομίζομε», ἀλλ' ὅτι εἶναι κάτι ποὺ βρίσκεται πιὸ πάνω ἀπ' αὐτό. Ποιὸ δὲ εἶναι αὐτὸ ποὺ βρσκεται πιὸ πάνω ἀπ' αὐτό; 'Ο Θεός' ἀλλ' οὔτε αὐτὸ λέγει (διότι τὸ ὄνομα δηλώνει ἐνέργεια), ἀλλὰ πρῶτα λέγει αὐτό· πλὴν ὅμως δὲν λέμε ὅτι ὁ Θεὸς εἶναι ὅμοιος μὲ αὐτό· διότι ποιὸς θὰ μποροῦσε νὰ τὸ πεῖ αὐτό;

Πρόσεχε πῶς διακήρυξε ὅτι τὸ θεῖο εἶναι ἀσώματο· διότι ὁ νοῦς τοῦ ἀνθρώπου ὅταν σκεφθεῖ σῶμα ὑπονοεῖ καὶ διάστημα. «Ἀφοῦ λοιπὸν εἴμαστε γένος τοῦ Θεοῦ, δὲν πρέπει», λέγει, «νὰ νομίζομε ὅτι ὁ Θεὸς εἶναι ὅμοιος μὲ χρυσὸ ἢ ἄργυρο ἢ λίθο, μὲ τὸ σκαλιστὸ ἔργο τέχνης καὶ ἀνθρώπινης ἐπινοήσεως»[36]. Ἀλλὰ θὰ μποροῦσε νὰ πεῖ κάποιος· 'Δὲν τὸ νομίζομε αὐτό· γιατί λοιπὸν τὰ λέγει αὐτά;'. Ὅμως τὰ λόγια αὐτὰ ἀπευθύνονταν πρὸς τοὺς πολλούς· πολὺ σωστὰ τὸ εἶπε αὐτό· Διότι, ἐὰν ἐμεῖς δὲν εἴμαστε ὅμοιοι μὲ ἐκείνους ὡς πρὸς τὴν ψυχή, πολὺ περισσότερο δὲν εἶναι ὁ Θεός. Κατ' ἀρχὴ ἀπομακρύνει αὐτοὺς ἀπὸ τὸ νὰ σκεφθοῦν κάτι παρόμοιο. Ὄχι δὲ μόνο ὁ Θεὸς δὲν εἶναι ὅμοιος μὲ τὸ σκαλιστὸ ἔργο τέχνης, ἀλλ' οὔτε ὑποκαθίσταται μὲ κάποια ἄλλη ἀνθρώπινη σκέψη· διότι καὶ ἡ τέχνη καὶ ἡ σκέψη τὸν βρῆκε. Γι' αὐτὸ μίλησε ἔτσι· ἐὰν λοιπὸν ἐκεῖνο ποὺ βρῆκε ἡ ἀνθρώπινη τέχνη καὶ ὁ νοῦς τοῦ ἀνθρώπου, αὐτὸ εἶναι ὁ Θεός, καὶ ἐὰν καὶ στὸν λίθο ὑπάρχει ἡ οὐσία τοῦ Θεοῦ, πῶς λοιπόν, ἐὰν ζοῦμε μέσα σ' αὐτόν, δὲν βρίσκομε αὐτόν; Διπλὴ ἡ κατηγορία, καὶ διότι δὲν βρῆκαν ἐκεῖνον, καὶ διότι βρῆκαν τέτοιους θεούς. Πουθενὰ ὁ νοῦς τοῦ ἀνθρώπου δὲν εἶναι μόνος του ἄξιος ἐμπιστοσύνης. Ὅμως,

πειδὴ κατέσεισεν αὐτῶν τὴν ψυχήν, δείξας ἀναπολογήτους, ὅρα τί ἐπάγει.

«Τοὺς μὲν χρόνους τῆς ἀγνοίας ὑπεριδών, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν». Τί οὖν; Οὐδεὶς κολάζεται τούτων; Οὐδεὶς τῶν θελόντων μετανοεῖν. Περὶ τούτων λέγει, οὐ περὶ τῶν ἀπελθόντων, ἀλλ' οἷς παραγγέλλει. Οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς, φησίν. Οὐκ εἶπεν, ''Εκεῖνος παρεῖδεν', οὐκ εἶπεν, 'Εἴασεν', ἀλλ' 'ὑμεῖς ἠγνοήσατε. 'Υπερεῖδε· τουτέστιν, 'οὐκ ἀπαιτεῖ κόλασιν ὡς ἀξίους ὄντας κολάσεως'. 'Ηγνοήσατε. Καὶ οὐ λέγει, ''Εκόντες ἐκακουργήσατε', ἀλλὰ τοῦτο διὰ τῶν ἄνω ἔδειξε, «πανταχοῦ μετανοεῖν», εἰπών. 'Ενταῦθα πᾶσαν τὴν οἰκουμένην αἰνίττεται.

4. Ὅρα πῶς αὐτοὺς ἀπάγει τῶν μερικῶν. «Διότι ἔστησεν ἡμέραν», φησίν, ἐν ᾗ μέλλει κρίνειν ἐν δικαιοσύνῃ». Ὅρα, πάλιν τὴν οἰκουμένην εἶπεν, οὕτω τοὺς ἀνθρώπους καλῶν.

«'Εν ἀνδρί, ᾧ ὥρισεν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν». Ὅρα πῶς πάλιν τὸ πάθος ἐδήλωσεν, ἀναστάσεως μνημονεύσας. Ὅτι δὲ ἀληθὴς ἡ κρίσις, δῆλον ἐκ τῆς ἀναστάσεως· συγκατασκευάζεται γάρ· καὶ ὅτι πάντα ἀληθείᾳ εἶπε, δῆλον ἐξ ὧν ἀνέστη. Ὅτι δὲ καὶ πᾶσι ταύτην παρεῖχον πίστιν, τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ τοῦτο λοιπὸν δῆλον. Ταῦτα εἴρηται μὲν πρὸς 'Αθηναίους, καιρὸν δ' ἂν ἔχοι καὶ πρὸς ἡμᾶς λέγεσθαι ὅτι πάντας πανταχοῦ μετανοεῖν δεῖ, ὅτι ὥρισεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. Ὅρα πῶς καὶ δικαστὴν αὐτὸν εἰσάγει, καὶ

------

37. Πράξ. 17, 30
38. Πράξ. 17, 31
39. Ρωμ. 14, 9

ἐπειδὴ ἔβαλε ἀνησυχία μέσα στὴν ψυχή τους, δείχνοντας ὅτι εἶναι ἀδικαιλόγητοι, πρόσεχε τί προσθέτει.

«Παραβλέποντας λοιπὸν ὁ Θεὸς τὰ χρόνια ἐκεῖνα τῆς ἄγνοιας, παραγγέλλει τώρα παντοῦ σ' ὅλους τοὺς ἀνθρώπους νὰ μετανοοῦν»[37]. Τί λοιπόν; κανένας δὲν τιμωρεῖται ἀπὸ αὐτούς; Κανένας ἀπὸ ἐκείνους ποὺ θέλουν νὰ μετανοήσουν. Γι' αὐτοὺς λέγει, ὄχι γιὰ ἐκείνους ποὺ πέθαναν, ἀλλὰ γι' αὐτοὺς στοὺς ὁποίους ἀπευθύνεται ἡ παραaγγελία του. Δὲν ζητᾶ λόγο ἀπὸ σᾶς, λέγει. Δὲν εἶπε, ''Ἐκεῖνος σᾶς παρέβλεψε', δὲν εἶπε, 'Σᾶς ἐγκατέλειψε', ἀλλὰ 'Σεῖς τὸν ἀγνοήσατε'. «Ὑπερεῖδε»· δηλαδή, 'δὲν ζητᾶ τιμωρία, ἂν καὶ εἶστε ἄξιοι τιμωρίας'. Τόν ἀγνοήσατε. Καὶ δὲν λέγει, «Μὲ τὴ θέλησή σας διεπράξατε τὸ κακούργημα', ἀλλ' αὐτὸ τὸ φανέρωσε μὲ τὰ ὅσα εἶπε προηγουμένως, λέγοντας, «Νὰ μετανοοῦν παντοῦ». Ἐδῶ ὑπαινίσσεται ὁλόκληρη τὴν οἰκουμένη.

4. Πρόσεχε πῶς ἀπομακρύνει αὐτοὺς ἀπὸ τοὺς ἐπὶ μέρους θεούς· «Διότι ὅρισε», λέγει, «ἡμέρα, κατὰ τὴν ὁποία πρόκειται νὰ κρίνει τὴν οἰκουμένη μὲ δικαιοσύνη»[38]. Πρόσεχε, πάλι ἀνέφερε τὴν οἰκουμένη, ὀνομάζοντας ἔτσι τοὺς ἀνθρώπους.

«Μὲ ἄνδρα ποὺ ὅρισε καὶ τὸν ὁποῖο ἀνέστησε ἀπὸ τοὺς νεκρούς»[39]. Πρόσεχε πῶς πάλι δήλωσε τὸ πάθος, ἀναφέροντας τὴν ἀνάσταση. Τὸ ὅτι δὲ εἶναι ἀληθινὴ ἡ κρίση, γίνεται φανερὸ ἀπὸ τὴν ἀνάσταση· διότι διενεργοῦνται μαζί. Καὶ τὸ ὅτι ὅσα εἶπε εἶναι ἀληθινά, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι ἀναστήθηκε. Τὸ ὅτι δὲ καὶ σ' ὅλους δίδασκαν αὐτὴν τὴν πίστη, τὸ ὅτι δηλαδὴ αὐτὸς ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς, καὶ αὐτὸ βέβαια εἶναι φανερό. Αὐτὰ μὲν ἔχουν λεχθεῖ πρὸς τοὺς Ἀθηναίους, θὰ ἦταν κατάλληλο ὅμως νὰ λεχθοῦν καὶ πρὸς ἐμᾶς, ὅτι πρέπει παντοῦ ὅλοι μας νὰ μετανοήσομε, διότι ὅρισε ἡμέρα, κατὰ τὴν ὁποία πρόκειται νὰ κρίνει τὴν οἰκουμένη. Πρόσεχε πῶς παρουσιάζει αὐτὸν καὶ δικαστή, καὶ νὰ φροντίζει γιὰ

προνοοῦντα τοῦ κόσμου, καὶ φιλάνθρωπον, καὶ συγγνωμονικόν, καὶ δυνατόν, καὶ σοφόν, καὶ πάντα ἁπλῶς Δημιουργοῦ ἔχοντα. Ἀπόδειξιν ἔδωκε τοῦ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν τὰ εἰρημένα.

Μετανοήσωμεν οὖν· πάντως γὰρ κριθῆναι δεῖ. Εἰ μὴ ἀνέστη ὁ Χριστός, οὐ κρινόμεθα, εἰ δὲ ἀνέστη, πάντως κρινόμεθα· «Εἰς τοῦτο γὰρ καὶ ἀπέθανεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ», φησί· καὶ πάλιν· «Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται πρὸς ἃ ἔπραξε». Μὴ δὴ νομίσητε ῥήματα μόνον εἶναι ταῦτα· ἰδοὺ καὶ τὸν περὶ τῆς ἀναστάσεως τῶν πάντων εἰσήγαγε λόγον· οὐ γὰρ ἄλλως κρίνεται ἡ οἰκουμένη. Καὶ τὸ «ἀναστήσας δὲ αὐτὸν ἐκ νεκρῶν», περὶ σώματός ἐστιν εἰρημένον· τοῦτο γὰρ καὶ νεκρόν, τοῦτο καὶ πέπτωκε. Παρὰ Ἕλλησιν ὥσπερ τὰ τῆς δημιουργίας, οὕτω καὶ τὰ τῆς κρίσεως ἀθετεῖται. Ταῦτα δὲ παίδων εὑρήματα, καὶ μεθυόντων ἀνθρώπων ἐστίν.

Ἀλλ' ἡμεῖς, οἱ περὶ τούτων ἀκριβῶς εἰδότες, πράττωμέν τι τῶν χρησίμων, καὶ σπουδάζωμεν οἰκειωθῆναι τῷ Χριστῷ. Μέχρι πότε ἐχθραίνομεν πρὸς αὐτόν; μέχρι πότε πρὸς αὐτὸν ἀηδῶς ἔχομεν; Μὴ γένοιτο! φησί· τί ταῦτα λέγεις; Οὐκ ἐβουλόμην ταῦτα λέγειν, εἰ μὴ ταῦτα ἔπραττε ὑμεῖς· νυνὶ δὲ τί τὸ κέρδος τῆς τῶν λόγων σιγῆς, τῶν πραγμάτων οὕτω βοώντων μετὰ πάσης περιφανείας; Πῶς οὖν αὐτὸν φιλήσομεν; Εἶπον μὲν μυριάκις μυρία, ἐροῦμεν δὲ καὶ νῦν. Τρόπον ἕνα εἰρηκέναι μοι δοκῶ, πολὺ μέγαν καὶ θαυμαστόν· μετὰ τοῦ τὰ κοινῇ γινόμενα λογίζεσθαι ὑπὸ τοῦ Θεοῦ τοσαῦτα ὄντα, ὅσα οὐδὲ ἀριθμεῖν τις δύναται, καὶ ὑπὲρ τούτων ἁπάντων χάριτας εἰδέναι αὐτῷ, καὶ τὰ ἑκάστῳ ἡμῶν γεγενημένα

------

40. Ρωμ. 14, 10 καὶ Β΄ Κορ. 5, 10

τὸν κόσμο, καὶ φιλάνθρωπο, καὶ νὰ παρέχει συγχώρηση, καὶ δυνατό, καὶ σοφό, καὶ γενικὰ ὅτι ἔχει ὅλα τὰ γνωρίσματα τοῦ Δημιουργοῦ. Ἀπέδειξαν ὅτι αὐτὸς ἀναστήθηκε ἀπὸ τοὺς νεκροὺς τὰ ὅσα ἔχουν λεχθεῖ.

Ἂς μετανοήσομε λοιπόν· διότι ὁπωσδήποτε πρέπει νὰ κριθοῦμε· Ἐὰν δὲν ἀναστήθηκε ὁ Χριστός, δὲν κρινόμαστε, ἐὰν ὅμως ἀναστήθηκε, ὁπωσδήποτε τότε κρινόμαστε· «Διότι γι' αὐτό», λέγει, «καὶ πέθανε γιὰ νὰ γίνει Κύριος καὶ τῶν νεκρῶν καὶ τῶν ζώντων»[39]· καὶ πάλι· «Διότι ὅλοι θὰ παρουσιασθοῦμε μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, γιὰ νὰ λάβει ὁ καθένας ἐκεῖνα ποὺ ἔπραξε»[40]. Μὴ λοιπὸν νομίσετε ὅτι αὐτὰ εἶναι μόνο λόγια· νὰ καὶ τὴ διδασκαλία γιὰ τὴν ἀνάσταση ὅλων κήρυξε· διότι ἀλλιῶς δὲν κρίνεται ἡ οἰκουμένη. Καὶ τὸ «Ἀνασταίνοντας αὐτὸν ἀπὸ τοὺς νεκρούς», ἔχει λεχθεῖ γιὰ τὸ σῶμα· διότι αὐτὸ εἶναι νεκρό, αὐτὸ ἔχει πέσει στὴν ἁμαρτία. Ἀπὸ τοὺς Ἕλληνες ὅπως ἀκριβῶς ἀπορρίπτονται τὰ τῆς δημιουργίας, ἔτσι καὶ τὰ τῆς κρίσεως. Αὐτὰ εἶναι ἐπινοήματα παιδιῶν καὶ μεθυσμένων ἀνθρώπων.

Ἀλλ' ἐμεῖς, ποὺ γνωρίζομε αὐτὰ μὲ ἀκρίβεια, ἂς πράττομε κάτι ἀπὸ τὰ χρήσιμα, καὶ ἂς φροντίζομε νὰ κάνομε φίλο μας τὸ Χριστό. Μέχρι πότε θὰ εἴμαστε ἐχθροὶ πρὸς αὐτόν; μέχρι πότε θὰ ἀποστρεφόμαστε αὐτόν; Μὴ γένοιτο! λέγει· γιατί τὰ λὲς αὐτά; Δὲν ἤθελα νὰ τὰ λέγω αὐτά, ἐὰν δὲν κάμνατε σεῖς αὐτά· τώρα ὅμως ποιὸ εἶναι τὸ κέρδος ἀπὸ τὸ σταμάτημα τῶν λόγων, τὴ στιγμὴ ποὺ τὰ γεγονότα κραυγάζουν τόσο πολὺ καὶ τόσο ὁλοκάθαρα; Πῶς λοιπὸν θ' ἀγαπήσομε αὐτόν; Σᾶς εἶπα πάρα πολλὰ ἀμέτρητες φορές, θὰ σᾶς πῶ δὲ καὶ τώρα. Νομίζω ὅτι ἔχω βρεῖ ἕναν τρόπο πολὺ σπουδαῖο καὶ ἀξιοθαύμαστο· μαζὶ δηλαδὴ μὲ τὸ νὰ σκεπτόμαστε τὰ ὅσα γίνονται ἀπὸ τὸ Θεὸ πρὸς ὅλους μας καὶ τὰ ὁποῖα εἶναι τόσα πολλά, ὅσα δὲν μπορεῖ κανεὶς οὔτε καὶ νὰ τὰ μετρήσει, καὶ γιὰ ὅλα αὐτὰ πρέπει νὰ εὐγνωμονοῦμε αὐτόν, ἂς σκεπτό-

ἐννοῶμεν πάντες, καὶ καθ' ἑκάστην ἀναλογιζώμεθα τὴν ἡμέραν.

Ἐπειδὴ τοίνυν μεγάλην ἔχει τὴν ἰσχὺν ταῦτα, ἕκαστος ἡμῶν ἀναλογιζέσθω παρ' ἑαυτῷ, καὶ μετὰ ἀκριβείας ἀνερευνάτω, εἴ ποτε εἰς κινδύνους προσπεσὼν διέφυγε τὰς τῶν ἐναντίων χεῖρας, καὶ καθάπερ ἐν βίβλῳ τὰς εὐεργεσίας ἀναγράπτους ἐχέτω τοῦ Θεοῦ· οἷον, εἴ ποτε ἐξελθὼν εἰς ὁδὸν ἀωρίᾳ, διέφυγε κίνδυνον· εἴ ποτε πονηροῖς ἀνθρώποις συμβαλὼν ἀνώτερος αὐτῶν γέγονεν· εἴ ποτε νόσῳ περιπεσών, πάντων ἀπεγνωκότων, ἀνήνεγκε· μέγα γὰρ τοῦτο δύναται πρὸς τὸ οἰκειοῦν ἡμᾶς τῷ Θεῷ. Εἰ γὰρ δὴ Μαρδοχαῖος ἐκεῖνος, τὰ ὑπ' αὐτοῦ γεγενημένα ἀγαθὰ ἔργα εἰς μνήμην ἐλθόντα τοῦ βασιλέως, οὕτως ἔσχε προϊστάμενα, ὡς πάλιν ἐπὶ τὴν λαμπρότητα ἐκείνην ἐλθεῖν, πολλῷ μᾶλλον ἡμεῖς, ἂν ἀναμνησθῶμεν, καὶ δύο τούτων ἀκριβῆ ποιησώμεθα ἐξέτασιν τῶν πραγμάτων, τί μὲν ἡμάρτομεν ἡμεῖς εἰς Θεόν, τί δὲ αὐτὸς εἰς ἡμᾶς ἀγαθὸν εἴργασται· οὕτω καὶ εὐχάριστοι ἐσόμεθα, καὶ πάντα προησόμεθα.

Ἀλλ' οὐδεὶς τούτων οὐδενὸς ποιεῖται μνήμην· ἀλλ' ὥσπερ περὶ ἁμαρτημάτων λέγομεν ὅτι ἁμαρτωλοί ἐσμεν, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζοντες, οὕτω καὶ περὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ὅτι εὐηργέτησεν ἡμᾶς, λέγοντες, ὁ Θεός, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζομεν, οὐ λέγομεν ποῦ, καὶ πόσα, καὶ ἐν ποίῳ καιρῷ. Ἀλλ' ἀπὸ τοῦ νῦν πολλὴν ποιησώμεθα τὴν ἀκρίβειαν· εἰ μὲν γάρ τις καὶ τὰ πάλαι ἀναλαβεῖν δύναται, πάντα ἀναλογιζέσθω ἀκριβῶς, ὡς μέγαν εὑρήσων θησαυρόν. Τοῦτο καὶ πρὸς τὸ μὴ ἀπογινώσκειν χρή-

41. Διάβασε Ἐσθήρ 6, 1 ἑ.

μαστε ὅλοι μας καὶ ἐκεῖνα ποὺ ἔχουν γίνει στὸν καθένα καὶ ξεχωριστά, καὶ ἂς ἀναλογιζόμαστε αὐτὰ καθημερινά.

Ἐπειδὴ λοιπὸν αὐτὰ ἔχουν μεγάλη δύναμη, ὁ καθένας μας ἂς σκέφτεται μόνος του καὶ ἂς ἐξετάζει αὐτὰ μὲ προσοχή, ἐὰν κάποτε συνέβηκε νὰ περιέπεσε σὲ κινδύνους καὶ νὰ διέφυγε τὰ χέρια τῶν ἐχθρῶν, καὶ ἂς ἔχει σὰν σὲ βιβλία γραμμένες τὶς εὐεργεσίες τοῦ Θεοῦ˙ γιὰ παράδειγμα, ἐὰν κάποτε βγῆκε στὸ δρόμο σὲ ἀκατάλληλη ὥρα καὶ διέφυγε τὸν κίνδυνο˙ ἐὰν κάποτε ἦρθε σὲ σύγκρουση μὲ κακοὺς ἀνθρώπους καὶ ὑπερίσχυσε αὐτῶν˙ ἐὰν κάποτε περιέπεσε σὲ ἀσθένεια, καί, ἐνῶ ὅλοι ἀπελπίσθηκαν, ξαναβρῆκε τὶς δυνάμεις του˙ διότι αὐτὸ μπορεῖ σὲ μεγάλο βαθμὸ νὰ μᾶς συμφιλιώσει μὲ τὸ Θεό. Πράγματι λοιπὸν ἐὰν ὁ Μαρδοχαῖος ἐκεῖνος, τὰ ἀγαθὰ ἔργα ποὺ εἶχαν γίνει ἀπ' αὐτόν, ἀφοῦ τὰ θυμήθηκε ὁ βασιλιάς, τόσο πολὺ βοήθησαν αὐτόν, ὥστε πάλι νὰ ἐπανέλθει στὴν προηγούμενη ἐκείνη λαμπρότητά του[41], πολὺ περισσότερο ἐμεῖς, ἂν φέρομε στὴ μνήμη μας καὶ ἐξετάσομε μὲ προσοχὴ δύο ἀπὸ αὐτὰ τὰ πράγματα, ποιὰ μὲν ἁμαρτήματα διαπράξαμε ἐμεῖς πρὸς τὸ Θεό, ποιὰ δὲ ἀγαθὰ μᾶς χάρισε αὐτός˙ ἔτσι καὶ θὰ εὐχαριστήσομε αὐτὸν καὶ ὅλα τὰ ἁμαρτήματά μας θὰ τὰ ἐξαλείψομε.

Ὅμως κανένας δὲν θυμᾶται τίποτε ἀπ' αὐτά, ἀλλ' ὅπως ἀκριβῶς λέμε, σχετικὰ μὲ τὰ ἁμαρτήματά μας, ὅτι εἴμαστε ἁμαρτωλοί, χωρὶς νὰ ἐξετάζομε ξεχωριστὰ τὸ καθένα ἀπ' αὐτά, ἔτσι καὶ σχετικὰ μὲ τὶς εὐεργεσίες τοῦ Θεοῦ, λέμε μὲν ὅτι ὁ Θεὸς μᾶς εὐεργέτησε, δὲν ἐξετάζομε ὅμως ξεχωριστὰ μιὰ-μιὰ τὶς εὐεργεσίες, δὲν λέμε ποῦ, πόσες εὐεργεσίες δεχθήκαμε καὶ σὲ ποιὸν καιρό· Ὅμως ἀπὸ τώρα καὶ στὸ ἑξῆς ἂς ἐξετάζομε μὲ πολλὴ προσοχὴ ὅλα αὐτά· διότι, ἐὰν κάποιος μπορεῖ νὰ φέρει στὴ μνήμη του καὶ τὰ ὅσα συνέβηκαν σ' αὐτὸν παλαιότερα, ἂς τὰ σκέπτεται ὅλα μὲ προσοχή, διότι θὰ βρεῖ μεγάλο θησαυρό. Αὐτὸ μᾶς εἶναι χρήσιμο καὶ γιὰ νὰ μὴ ἀπελ-

σιμον ἡμῖν· ὅταν γὰρ ἴδωμεν ὅτι προέστη πολλάκις ἡμῶν, οὐκ ἀπογνωσόμεθα, οὐδὲ ἡγησόμεθα ἀπερρῖφθαι, ἀλλ' ἐνέχυρον αὐτοῦ μέγα ληψόμεθα τῆς περὶ ἡμῶν κηδεμονίας, ὅταν ἐννοήσωμεν ὅτι ἁμαρτόντες οὐ κολαζόμεθα, ἀλλὰ καὶ προστασίας ἀπολαύομεν.

5. Εἴπω δή τι κἀγὼ ὅπερ ἀκήκοα παρά τινος· Γέγονέ πού τις παῖς, καί ποτε συνέβη αὐτὸν εἶναι ἐν ἀγρῷ μετὰ τῆς μητρός, οὔπω πεντεκαιδεκαέτη γεγονότα· τότε δή, χαλεποῦ τινος ἀέρος συμβάντος, πυρετὸς ἐπέπεσεν ἀμφοτέροις· καὶ γὰρ τὸ μετόπωρον ἦν. Τότε δὴ ἡ μὲν μήτηρ ἔφθασεν εἰσελθεῖν ἐπὶ τῆς πόλεως, ὁ δὲ παῖς, τῶν ἰατρῶν ἐκεῖ κελευόντων μένειν, καὶ τοῦ πυρετοῦ καίοντος, ἀνακογχυλίζειν ἤρξατο, δῆθεν φιλοσοφῶν, μᾶλλον τὸ πῦρ σβεννύναι οἰόμενος, εἰ μηδ' ὁτιοῦν λάβοι. Ἅτε δὴ οὖν παῖς, ὑπὸ φιλονεικίας ἀκαίρου οὐ προσήκατο. Ὡς δὲ ἐπέβη τῆς πόλεως, παρέθη τὰ τῆς γλώττης, καὶ ἄλαλος ἦν ἐπὶ πολύ, οὐδὲν ἔναρθρον φθεγγόμενος, ἀλλὰ ἀνεγίνωσκε μέν, καὶ εἰς διδασκάλους ἐφοίτα ἐπὶ πολὺν χρόνον, ἁπλῶς δὲ καὶ ἄσημα. Πάντα οὖν αὐτῷ τὰ τῆς ἐλπίδος ἐκκέκοπτο, καὶ ὀδύνης ἦν ἡ μήτηρ μεστή· καὶ πολλὰ μὲν ἐπενόησαν ἰατροί, πολλὰ δὲ ἄλλα πολλοί, ἴσχυε δὲ οὐδείς, ἕως ὅτε ὁ φιλάνθρωπος Θεὸς ἰάσατο τὸν τῆς γλώττης δεσμόν, καὶ τότε ἀνήνεγκε, καὶ εἰς τὴν προτέραν ἐπανήγαγεν εὐγλωττίαν αὐτὸν καὶ τρανότητα.

Διηγήσατο δὲ αὐτοῦ ἡ μήτηρ, καὶ ὅτι δὴ καὶ παιδίον ὂν σφόδρα μικρόν, περὶ τὴν ῥῖνα πάθος ἔσχεν,

πιζόμαστε· διότι, ὅταν δοῦμε ὅτι μᾶς βοήθησε πολλὲς φορές, δὲν θ' ἀπελπισθοῦμε, οὔτε θὰ νομίσομε ὅτι περιφρονηθήκαμε, ἀλλὰ θὰ λάβομε μεγάλη ἐγγύηση τῆς φροντίδας του γιὰ μᾶς, ὅταν σκεφθοῦμε ὅτι, ἂν καὶ ἁμαρτήσαμε, ὄχι μόνο δὲν τιμωρούμαστε, ἀλλὰ καὶ ἀπολαμβάνομε καὶ τὴν προστασία του.

5. Θὰ πῶ λοιπὸν καὶ ἐγὼ κάτι ποὺ ἄκουσα ἀπὸ κάποιον· Ὑπῆρχε κάπου κάποιο παιδί, καὶ συνέβηκε κάποτε αὐτὸ νὰ βρίσκεται στὸν ἀγρὸ μαζὶ μὲ τὴ μητέρα του, χωρὶς νὰ εἶχε ἀκόμα κλείσει τὰ δεκαπέντε χρόνια του· τὴ στιγμὴ λοιπὸν ἐκείνη συνέβηκε νὰ φυσήξει φοβερὸς ἀέρας καὶ προσβλήθηκαν καὶ οἱ δύο ἀπὸ πυρετό· καθόσον ἦταν φθινόπωρο. Τότε λοιπὸν ἡ μὲν μητέρα πρόλαβε νὰ μπεῖ στὴν πόλη, τὸ δὲ παιδί, ἐπειδὴ οἱ γιατροὶ ἔδωσαν ἐντολὴ νὰ μείνει ἐκεῖ καὶ ἐπειδὴ ὁ πυρετὸς τὸ ἔκαιγε, ἄρχισε νὰ κάνει μὲ νερὸ γαργάρα στὸ στόμα του, τάχα ἀσκώντας ἐγκράτεια, στὴν πραγματικότητα ὅμως νομίζοντας ὅτι θὰ σβήσει τὴ φωτιὰ ποὺ τὸ ἔκαιγε, μὴ παίρνοντας τίποτε ἄλλο. Ἐπειδὴ λοιπὸν ἦταν παιδί, ἀπὸ ὑπέρμετρο πεῖσμα δὲν σταματοῦσε αὐτὸ ποὺ ἔκαμνε. Ὅταν δὲ ἔφθασε στὴν πόλη, δέθηκε ἡ γλώσσα του καὶ ἦταν ἄλαλο γιὰ πολὺ καιρό, χωρὶς νὰ λέγει οὔτε μιὰ κουβέντα, ἀλλὰ διάβαζε μὲν καὶ φοιτοῦσε σὲ δασκάλους γιὰ πολὺ χρόνο, ἄσκοπα ὅμως καὶ χωρὶς νὰ ὑπάρχει κανένα σημάδι βελτιώσεώς του. Ὅλες λοιπὸν οἱ ἐλπίδες αὐτοῦ κόβονταν καὶ ἡ μητέρα του ἦταν γεμάτη ἀπὸ ἀνυπόφορο πόνο· καὶ πολλὰ ἐπινόησαν οἱ γιατροί, πολλὰ ἄλλα δὲ καὶ πολλοὶ ἄλλοι, κανένας ὅμως δὲν κατόρθωνε νὰ κάνει κάτι, μέχρις ὅτου ὁ φιλάνθρωπος Θεὸς θεράπευσε τὸ δέσιμο τῆς γλώσσας του, καὶ τότε ἔδωσε σ' αὐτὸ καὶ πάλι τὴ δυνατότητα νὰ ὁμιλεῖ καὶ τὸ ἐπανέφερε στὴν προηγούμενη εὐγλωττία καὶ δυνατότητά του.

Διηγήθηκε δὲ ἡ μητέρα του ὅτι καὶ ὅταν ἦταν παιδί, πολὺ μικρὸ παιδί, εἶχε πάθει κάτι στὴ μύτη του, ποὺ τὸ

ὃ καλοῦσι πολύπουν· καὶ πάλιν ἰατροὶ ἀπεγνώκεισαν, καὶ τελευτῆσαι ηὔχετο ἡ μήτηρ, καὶ ὁ πατὴρ αὐτῷ κατηρᾶτο (ἔτι γὰρ ἔτυχε ζῶν), καὶ πάλιν πάντα ἐν ἀπορίᾳ ἦν. Ὁ δὲ εὐθέως ϐήξας, ἀπὸ μύγματος τὸ θηρίον ἐκεῖνο τῇ ῥύμῃ τοῦ πνεύματος ἐξέωσεν ἀπὸ τῶν ῥινῶν, καὶ πάντα λέλυτο τὰ δεινά. Τούτου δὲ σϐεσθέντος, ῥεῦμα κατὰ τῶν ὀφθαλμῶν δριμὺ καὶ γλίσχρον ἐπιρρέον ἀεί, τοσαύτας ἐποίει τὰς λήμας καὶ οὕτω παχείας, ὡς ἀντὶ διαφράγματος γενέσθαι τῇ κόρῃ, καὶ τὸ δεινόν, πήρωσιν ἐμελέτα, καὶ πάντες ἔλεγον τοῦτο συμϐήσεσθαι. Ἀλλὰ καὶ τούτου χάριτι τοῦ Θεοῦ ταχέως ἀπηλλάγη τοῦ πάθους.

Καὶ ταῦτα μέν, ἅπερ ἤκουσα, ἃ δὲ αὐτὸς ἐπίσταμαι, ἐρῶ πρὸς ὑμᾶς· Ἐκινήθη ποτὲ τυράννων ὑποψία ἐν τῇ πόλει τῇ ἡμετέρᾳ (τότε δὲ ἔτι μειράκιον ἤμην), καὶ πάντων ἔξωθεν τὴν πόλιν παρακαθημένων τῶν στρατιωτῶν, τυχὸν ἀπλάστως ϐιϐλία ἐζήτουν γοητικὰ καὶ μαγικά. Καὶ ὁ γράψας τὸ ϐιϐλίον, ῥίψας ἀκατασκεύαστον εἰς ποταμόν, ἑάλω, καὶ ἀπαιτούμενος, οὐκ εἶχε δοῦναι, ἀλλὰ περιήγετο τὴν πόλιν ἅπασαν δέσμιος· ὡς δὲ τῶν ἐλέγχων ἐπιτεινομένων δέδωκε δίκην, τότε ἐγὼ εἰς μαρτύριον ἀπιέναι ϐουλόμενος, ἐπανήειν διὰ τῶν κήπων παρὰ ποταμὸν μετὰ καὶ ἑτέρου τινός. Ἰδὼν δὲ ἐκεῖνος τὸ ϐιϐλίον ἄνω ἐπιπλέον, τὸ μὲν πρῶτον ἐνόμιζεν ὀθόνην εἶναι, γενόμενος δὲ ἐγγύς, ἔγνω ὅτι ϐιϐλίον ἦν, καὶ καταϐὰς ἀνείλετο. Ἐγὼ δὲ ἐφιλονείκουν, ὥστε κοινὴν εἶναι τὴν εὕρεσιν, καὶ ἐγέλων. Ἀλλ' ἴδωμεν, φησίν, ὅ,τί ποτε καὶ ἔστιν. Ἀνακλᾷ μέρος τῆς σε-

ὀνομάζουν πολύποδα· καὶ πάλι οἱ γιατροὶ εἶχαν ἀπελπισθεῖ καὶ ἡ μητέρα του προσευχόταν νὰ πεθάνει, ὁ δὲ πατέρας του καταριόταν (διότι συνέβαινε ἀκόμα νὰ ζεῖ), καὶ πάλι ὅλα βρίσκονταν σὲ πολὺ δύσκολη κατάσταση. Αὐτὸ δὲ ἀφοῦ ἔβηξε ἀμέσως, μὲ τὸ βογγητὸ ποὺ δημιουργήθηκε ἀπὸ τὴν ὁρμὴ τοῦ ἀέρα ἔβγαλε ἔξω ἀπὸ τὴ μύτη του τὸ θηρίο ἐκεῖνο, καὶ διαλύθηκαν ὅλα τὰ κακά· Ἀφοῦ σταμάτησε αὐτὸ τὸ κακό, συνέβηκε νὰ τρέχει ἀπὸ τὰ μάτια του ἀδιάκοπα ἕνα ὑγρὸ ἐρεθιστικὸ καὶ γλοιῶδες, ποὺ δημιουργοῦσε τόση πολλὴ καὶ παχειὰ τσίμπλα, ὥστε νὰ φθάσει νὰ γίνει σὰν κάποιο διάφραγμα τῆς κόρης, καὶ τὸ φοβερὸ εἶναι ὅτι τὸ κακὸ προχωροῦσε στὸ νὰ προξενηθεῖ τύφλωση, καὶ ὅλοι ἔλεγαν ὅτι αὐτὸ θὰ συμβεῖ. Ἀλλὰ μὲ τὴ χάρη τοῦ Θεοῦ ἀμέσως ἀπαλλάχθηκε καὶ ἀπὸ αὐτὸ τὸ πάθος.

Καὶ αὐτὰ μὲν εἶναι ἐκεῖνα ποὺ ἄκουσα, θὰ σᾶς πῶ ὅμως τώρα καὶ αὐτὰ ποὺ γνωρίζω ἐγὼ ὁ ἴδιος. Δημιουργήθηκε κάποτε στὴν πόλη μας ὑποψία τυράννων (τότε δὲ ἤμουν ἀκόμα νεαρός), καὶ εἶχαν στρατοπεδεύσει οἱ στρατιῶτες ἔξω ἀπὸ τὴν πόλη, ψάχνοντας νὰ βροῦν στὴν πραγματικότητα βιβλία ἀγύρτικα καὶ μαγικά. Καὶ ἐκεῖνος ποὺ ἔγραψε τὸ βιβλίο, ἀφοῦ τὸ ἔρριξε ἄφτειαχτο σὲ κάποιο ποτάμι, συνελήφθηκε, καί, ζητώντας αὐτοὶ νὰ τοὺς τὸ δώσει, δὲν τὸ εἶχε νὰ τὸ δώσει, καὶ περιφέρονταν ἀπ' αὐτοὺς ἁλυσοδεμένος σ' ὅλη τὴν πόλη· καὶ ἐνῶ δὲ ἡ ἐξέταση συνεχιζόταν καὶ αὐτὸς εἶχε τιμωρηθεῖ, θέλοντας ἐγὼ νὰ μεταβῶ στὸ μαρτύριο, βάδιζα μαζὶ μὲ κάποιον ἄλλο μέσα ἀπὸ τοὺς κήπους καὶ δίπλα ἀπὸ τὸ ποτάμι. Ὅταν ἐκεῖνος εἶδε τὸ βιβλίο νὰ ἐπιπλέει ἐπάνω στὸ νερό, στὴν ἀρχὴ μὲν νόμιζε ὅτι ἦταν κάποιο λευκὸ ὕφασμα, μόλις ὅμως τὸ πλησίασε, κατάλαβε ὅτι ἦταν βιβλίο, καὶ κατέβηκε καὶ τὸ πῆρε. Ἐγὼ δὲ λογομαχοῦσα, λέγοντας ὅτι ἦταν κοινὸ αὐτὸ ποὺ βρήκαμε, καὶ γελοῦσα ἀπὸ χαρά. Ἀλλ' ἄς δοῦμε, λέγει, τί τέλος πάντων εἶναι αὐτό. Ἀ-

λίδος, καὶ εὑρίσκει ἐγγεγραμμένα μαγικά. Συνέβη δὲ κατὰ ταὐτὸν στρατιώτην παριέναι. Εἶτα ἔνδοθεν λαβὼν ἀπῄει, καὶ ἐπεπήγει τῷ δέει. Τίς γὰρ ἂν καὶ ἐπίστευσεν ὅτι ἀπὸ τοῦ ποταμοῦ λαβόντες ἀνειλόμεθα, πάντων τότε καὶ τῶν ἀνυπόπτων κατεχομένων; Καὶ ῥῖψαι οὐκ ἐτολμῶμεν, μὴ ὀφθῶμεν, καὶ καταμερίσαι αὐτὸ πάλιν ὅμοιον δέος ἦν. Ἔδωκε γοῦν ὁ Θεός, καὶ ἐρρίψαμεν, καὶ ἔσχατον ἀπηλλάγημεν τότε τῶν κινδύνων.

Καὶ μυρία ἂν ἔχοιμι λέγειν, εἰ πάντα καταλέγειν ἐθέλοιμι. Καὶ ταῦτα δὲ ὑμῶν ἕνεκεν εἶπον, ὥστε, εἴ τις κἂν μὴ τοιαῦτα, ἀλλ' ἕτερά τινα ἔχοι, ταῦτα μεμνήσθω διηνεκῶς· οἷον, εἴ ποτε λίθος τις ἐνεχθείς, μέλλων σὲ ἔρχεσθαι, καὶ οὐκ ἐπὶ σὲ ἦλθε, τοῦτο ἀείμνηστον ἔχε· μεγάλην ταῦτα ποιεῖ πρὸς Θεὸν φιλίαν ἡμῖν. Εἰ γὰρ ἀνθρώπων ἀναμνησθέντες τῶν διασωσάντων ἡμᾶς, πάνυ δακνόμεθα, ὅταν αὐτοὺς ἀμείψασθαι μὴ δυνηθῶμεν, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. Τοῦτο καὶ ἀλλαχοῦ χρήσιμον. Ὅταν οὖν βουλώμεθα μὴ ἀλύειν, λέγωμεν δή· «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;».

«Καὶ Παῦλος διὰ τοῦτο ἔλεγεν ὅθεν ἐρρύσθη, ἵνα κἀκείνους ἀναμνήσῃ. Ὅρα καὶ ὁ Ἰακὼβ πῶς πάντα ταῦτα ἐν νῷ εἶχε, διὸ καὶ ἔλεγεν· «Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου». Καὶ μὴ μόνον ὅτι ἐρρύσατο, ἀλλὰ πῶς, καὶ ἐπὶ τίνι ἐννοῶμεν. Ὅρα γοῦν

42. Ἰὼβ 2, 10
43. Γεν. 48, 16

νοίγει κάποια ἀπὸ τίς σελίδες του καὶ βρίσκει νὰ εἶναι γραμμένα μαγικά. Συνέβηκε δὲ τὴν ἴδια στιγμὴ νὰ περνᾶ κάποιος στρατιώτης. Στὴ συνέχεια, ἀφοῦ τὸ ἔβαλε μέσα στὰ ροῦχα του, συνέχισε τὸ δρόμο του καὶ εἶχε παγώσει ἀπὸ τὸ φόβο· Διότι ποιὸς θὰ μποροῦσε νὰ πιστέψει ὅτι τὸ περισυλλέξαμε μέσα ἀπὸ τὸ ποτάμι, τὴ στιγμὴ ποὺ τότε ὅλοι ἐπέσυραν τὴν προσοχὴ τῶν ἀρχῶν καὶ ἀπὸ τοὺς ἀνύποπτους ἀκόμα; Καὶ νὰ τὸ ρίξομε δὲν τολμούσαμε, μὴ τυχόν καὶ μᾶς δοῦν, καὶ νὰ τὸ ξεσχίσομε πάλι δημιουργοῦσε τὸν ἴδιο φόβο. Μᾶς ἔδωσε λοιπὸν ὁ Θεὸς τὴ δύναμη καὶ τὸ πετάξαμε, καὶ τελικὰ ἀπαλλαχθήκαμε τότε ἀπὸ τοὺς κινδύνους.

Καὶ θὰ μποροῦσα νὰ πῶ ἀμέτρητα τέτοια, ἂν θὰ ἤθελα νὰ τὰ ἀναφέρω ὅλα. Ἀλλὰ καὶ αὐτὰ τὰ εἶπα γιὰ χάρη σας, ὥστε, ἐὰν κάποιος, καὶ ἂν ἀκόμα συμβαίνει νὰ μὴ ἔχει τέτοια, ἀλλὰ κάποια ἄλλα, αὐτὰ νὰ θυμᾶται συνέχεια· γιὰ παράδειγμα, ἐὰν κάποτε κάποια πέτρα ποὺ ρίχτηκε καὶ ἐπρόκειτο νὰ ἔρθει ἐπάνω σου, ἀλλ' ὅμως δὲν ἦρθε, αὐτό φέρνε το στὴ σκέψη σου πάντοτε· αὐτὰ γίνονται σ' ἐμᾶς αἰτία νὰ συνάψομε μεγάλη φιλία μὲ τὸ Θεό. Διότι, ἐὰν ὅταν θυμηθοῦμε ἀνθρώπους ποὺ μᾶς διέσωσαν, πάρα πολὺ στενοχωρούμαστε, ὅταν δὲν μπορέσομε νὰ τοὺς ἀμείψομε γι' αὐτὸ ποὺ μᾶς ἔκαναν, πολὺ περισσότερο πρέπει νὰ συμβαίνει αὐτὸ στὴν περίπτωση τοῦ Θεοῦ. Αὐτὸ εἶναι χρήσιμο καὶ ἀλλοῦ. Ὅταν λοιπὸν θέλομε νὰ μὴ στενοχωρούμαστε, ἂς λέμε αὐτὸ πρὸ πάντων· «Ἐὰν τὰ ἀγαθὰ τὰ δεχθήκαμε ἀπὸ τὸν Κύριο, τὰ κακὰ δὲν θὰ τὰ ὑποφέρομε;»[42].

Καὶ ὁ Παῦλος γι' αὐτὸ ἔλεγε ἀπὸ ποῦ λυτρώθηκε, γιὰ νὰ ὑπενθυμίσει καὶ ἐκείνους. Πρόσεχε καὶ ὁ Ἰακὼβ πῶς εἶχε στὴ σκέψη του ὅλα αὐτά, γι' αὐτὸ καὶ ἔλεγε· «Ὁ ἄγγελος ποὺ μὲ σώζει ἀπὸ τὰ νεανικά μου χρόνια»[43]. Καὶ ὄχι μόνο νὰ σκεπτόμαστε ὅτι μᾶς ἔσωσε, ἀλλὰ πῶς καὶ μὲ ποιό τρόπο. Πρόσεχε λοιπὸν καὶ ἐκεῖνον ποὺ ἐντελῶς

κἀκεῖνον ἰδικῶς μνημονεύοντα τῶν εὐεργεσιῶν. «Ἐν τῇ ῥάβδῳ μου», φησί, «διῆλθον τὸν Ἰορδάνην». Οἱ δὲ Ἰουδαῖοι καὶ τῶν ἐπὶ προγόνων μέμνηνται ἀεί, τὰ κατὰ τὴν Αἴγυπτον στρέφοντες. Οὐκοῦν πολλῷ μᾶλλον ἡμεῖς τῶν οἰκείων καὶ εἰς ἡμᾶς συμβεβηκότων, ποσάκις εἰς ἐπηρείας καὶ συμφορὰς ἐμπεπτώκαμεν, καὶ εἰ μὴ ὁ Θεὸς χεῖρα ὑπερέσχε, πάλαι ἂν ἀπολώλειμεν.

Ταῦτα ἐννοοῦντες ἅπαντες, καὶ ἀναλεγόμενοι καθ' ἑκάστην, χάριν εἰδῶμεν διηνεκῶς τῷ Θεῷ, καὶ πάντες κοινῇ δόξαν αὐτῷ ἀναπέμψωμεν, καὶ δοξάζοντες αὐτὸν μὴ διαλιμπάνωμεν, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν τὴν ἀμοιβὴν κομισώμεθα χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἰδιαίτερα μνημονεύει τὶς εὐεργεσίες. «Μὲ τὴ ράβδο μου», λέγει, «διέβησαν τὸν Ἰορδάνη». Οἱ Ἰουδαῖοι πάλι θυμοῦνται πάντοτε καὶ τὰ ὅσα συνέβηκαν στοὺς προγόνους τους, στρέφοντας τὴ σκέψη τους στὰ ὅσα συνέβηκαν στὴν Αἴγυπτο. Ἑπομένως πρέπει πολὺ περισσότερο νὰ θυμούμαστε ἐμεῖς τὰ δικά μας καὶ τὰ ὅσα συνέβηκαν σ' ἐμᾶς, τὸ πόσες φορὲς περιπέσαμε σὲ δοκιμασίες καὶ συμφορές, καί, ἐὰν ὁ Θεὸς δὲν ἔβαζε ἀπὸ πάνω τὸ χέρι του, θὰ εἴχαμε καταστραφεῖ πρὶν ἀπὸ πολὺ καιρό.

Σκεπτόμενοι ὅλοι αὐτὰ καὶ μελετώντας τα καθημερινὰ στὸ νοῦ μας, ἂς εὐγνωμονοῦμε διαρκῶς τὸ Θεό, καὶ ὅλοι μαζὶ ἂς ἀναπέμψομε δόξα σ' αὐτόν, καὶ ἂς μὴ σταματοῦμε νὰ δοξάζομε αὐτόν, γιὰ νὰ λάβομε μεγάλη ἀμοιβὴ γιὰ τὴν εὐγνωμοσύνη μας αὐτὴ μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΘ΄

(Πράξ. 17, 32 - 18, 17)

«Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου πάλιν περὶ τούτου. Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν».

1. Τί δήποτε, πείσαντος οὕτως αὐτοῦ, ὡς καὶ εἰπεῖν Ἀθηναίους, «Ἀκουσόμεθά σου πάλιν περὶ τούτου», καὶ κινδύνων οὐκ ὄντων, ἐπείγεται τὰς Ἀθήνας ἀφεῖναι ὁ Παῦλος; Ἴσως ᾔδει οὐ μέγα ὀνήσων· ἄλλως τε καὶ ὑπὸ τοῦ Πνεύματος εἰς Κόρινθον ἤγετο.

«Τινὲς δὲ ἄνδρες, κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς».

«Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον. Καὶ εὑρών τινα Ἰουδαῖον, ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ρώμης, προσῆλθεν αὐτοῖς· καὶ διὰ τὸ ὁμότεχνον εἶναι ἔμεινε παρ' αὐτοῖς, καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ». Εἰκότως εἰς Κόρινθον, ὡς ἔφην, ὑπὸ τοῦ Πνεύματος ἤγετο, ἐν ᾗ μένειν ἔδει· οἱ γὰρ Ἀθηναῖ-

------

1. Πράξ. 17, 32 - 33 2. Πράξ. 17, 34 3. Πράξ. 18, 1 - 3

Ο Μ Ι Λ Ι Α ΛΘ΄

(Πράξ. 17, 32 - 18, 17)

«Ὅταν ἄκουσαν γιὰ ἀνάσταση νεκρῶν, οἱ μὲν τοὺς εἰρωνεύονταν, ἄλλοι δὲ εἶπαν· Θὰ σ' ἀκούσομε καὶ πάλι γιὰ τὸ θέμα αὐτό. Καὶ ἔτσι ὁ Παῦλος ἔφυγε ἀπὸ ἀνάμεσά τους»[1].

1. Γιατί τέλος πάντων, ἀφοῦ τόσο πολὺ αὐτὸς τοὺς ἔπεισε, ὥστε καὶ νὰ ποῦν οἱ Ἀθηναῖοι, «Θὰ σ' ἀκούσομε καὶ πάλι γιὰ τὸ θέμα αὐτό, καὶ ἐνῶ κίνδυνοι δὲν ὑπάρχουν, βιάζεται ὁ Παῦλος ν' ἀναχωρήσει ἀπὸ τὴν Ἀθήνα; Ἴσως γνώριζε ὅτι δὲν θὰ τοὺς ὠφελήσει καὶ πολύ· ἄλλωστε ὁδηγοῦνταν ἀπὸ τὸ Πνεῦμα στὴν Κόρινθο·

«Μερικοὶ δὲ πίστεψαν καὶ προσκολλήθηκαν σ' αὐτόν, μεταξὺ τῶν ὁποίων καὶ ὁ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ κάποια γυναίκα μὲ τὸ ὄνομα Δάμαρις, καθὼς καὶ ἄλλοι μαζὶ μὲ αὐτούς»[2].

«Μετὰ ἀπ' αὐτὰ ἀναχώρησε ὁ Παῦλος ἀπὸ τὴν Ἀθήνα καὶ ἦρθε στὴν Κόρινθο. Ἐκεῖ βρῆκε κάποιον Ἰουδαῖο, μὲ τὸ ὄνομα Ἀκύλας, ποὺ καταγόταν ἀπὸ τὸν Πόντο, ποὺ πρόσφατα εἶχε ἔρθει ἀπὸ τὴν Ἰταλία, καὶ τὴ γυναίκα του τὴν Πρίσκιλλα, ἐπειδὴ ὁ Κλαύδιος εἶχε διατάξει νὰ φύγουν οἱ Ἰουδαῖοι ἀπὸ τὴ Ρώμη, τοὺς ὁποίους ἐπισκέφθηκε, καί, ἐπειδὴ εἶχε τὴν ἴδια τέχνη μὲ αὐτούς, ἔμεινε μαζί τους καὶ ἐργαζόταν· διότι ἦταν σκηνοποιοί»[3]. Πολὺ σωστά, ὅπως προανέφερα, ὁδηγοῦνταν ἀπὸ τὸ Πνεῦμα στὴν Κόρινθο, στὴν ὁποία ἔπρεπε νὰ μείνει· διότι οἱ Ἀ-

οι, καίτοι ξένης ὄντες ἀκροάσεως ἐρασταί, ὅμως οὐ προσεῖχον· οὐ γὰρ τοῦτο ἐσπούδαζον, ἀλλ' ὥστε ἀεί τι ἔχειν εἰπεῖν, ὅπερ αὐτοὺς καὶ ἀποσχέσθαι ἐποίησεν. Εἰ δὲ τοῦτο ἦν αὐτοῖς ἔθος, πῶς ἐγκαλοῦσιν ὅτι «ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι»; Ἀλλὰ ταῦτα σφόδρα ἦν ἄπορα.

Ἀλλ' ὅμως ἔπεισε τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην καὶ ἑτέρους τινάς· οἱ μὲν γὰρ ἐπιμελούμενοι βίου ταχέως ἐδέξαντο τὸν λόγον, οἱ δὲ λοιποὶ οὐκ ἔτι. Ἱκανῶς οὖν ἔχειν ἔδοξε τῷ Παύλῳ τὸ καταβαλεῖν τέως τὰ σπέρματα· τὸ γὰρ πλέον αὐτοῦ τῆς ζωῆς ἐνταῦθα προκεχωρήκει· ἐπὶ μὲν γὰρ Νέρωνος ἐτελειώθη, ἀπὸ δὲ Κλαυδίου ἀνερριπίζετο λοιπὸν ὁ πρὸς Ἰουδαίους πόλεμος, μακρόθεν μέν, οὐκ ἀπεικὼς δέ, ὥστε κἂν οὕτω σωφρονῆσαι, καὶ ἀπὸ Ῥώμης ὡς λυμεῶνες ἠλαύνοντο. Διὰ τοῦτο οἰκονομεῖται τοῦτον ὡς δέσμιον ἀπαχθῆναι ἐκεῖ, ἵνα μὴ ὡς Ἰουδαῖος ἀπελαύνηται, ἀλλ' ὡς ὑπὸ τῇ τάξει πράττων καὶ φυλάττηται ἐκεῖ.

«Καὶ ἔμεινε», φησί, «παρ' αὐτοῖς». Βαβαί, ποῖον δικαίωμα τοῦ συνοικῆσαι εὗρεν! Ἐπειδὴ γὰρ ἐνταῦθα μάλιστα ἔδει αὐτὸν μὴ λαβεῖν, καθώς φησιν, «Ἵνα, ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς», οἰκονομεῖται αὐτὸν μένειν ἐκεῖ.

«Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν Σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας. Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν»· τουτέ-

------

4. Πράξ. 17, 18
5. Β΄ Κορ. 11, 12
6. Πράξ. 18, 4 - 5

θηναῖοι, ἄν καὶ ἀγαποῦσαν ν' ἀκοῦν παράξενα πράγματα, ὅμως δὲν πρόσεχαν· διότι δὲν φρόντιζαν γι' αὐτό, ἀλλὰ μὲ σκοπὸ νὰ ἔχουν πάντοτε κάτι νὰ ποῦν, πράγμα ποὺ τοὺς ἔκανε ν' ἀπομακρυνθοῦν. Ἐὰν δὲ αὐτὸ ἦταν συνήθεια σ' αὐτούς, πῶς διατυπώνουν τὴν κατηγορία λέγοντας, «φαίνεται νὰ εἶναι κήρυκας ξένων θεῶν»[4]; Καθόσον αὐτὰ ἦταν πάρα πολὺ ἀκατανόητα.

Ἀλλ' ὅμως ἔπεισε τὸν Διονύσιο τὸν Ἀρεοπαγίτη καὶ μερικοὺς ἄλλους· διότι, ἐκεῖνοι μὲν ποὺ φρόντιζαν γιὰ τὴ ζωή τους ἀμέσως ἀποδέχθηκαν τὸ λόγο, ἐνῶ οἱ ὑπόλοιποι ὄχι ἀκόμα· Φάνηκε λοιπὸν ἀρκετὸ στὸν Παῦλο τὸ νὰ σπείρει στὴν ἀρχὴ τὰ σπέρματα· διότι τὸ περισσότερο μέρος τῆς ζωῆς του ἐδῶ τὸ εἶχε περάσει· καθόσον πέθανε ὅταν κυβερνοῦσε ὁ Νέρωνας, ἀπὸ τὴν ἐποχὴ τοῦ Κλαυδίου ὅμως ἄναβε πλέον σιγὰ-σιγὰ ὁ πόλεμος ἐναντίον τῶν Ἰουδαίων, ἀπὸ μακριὰ μέν, ἀλλ' ὁπωσδήποτε ἀνένδοτος, ὥστε ἔστω καὶ ἔτσι νὰ τοὺς σωφρονίσουν, καὶ ἀπὸ τὴ Ρώμη σὰν καταστροφεῖς διώχνονταν. Γι' αὐτὸ ρυθμίζεται ἀπὸ τὴ θεία πρόνοια νὰ ὁδηγηθεῖ αὐτὸς ἐκεῖ σὰν φυλακισμένος, ὥστε νὰ μὴ εἶναι δυνατὸ νὰ διωχθεῖ σὰν Ἰουδαῖος, ἀλλὰ σὰν κάποιος ποὺ ἐνεργεῖ ὑπακούοντας στοὺς νόμους τῆς πολιτείας, καὶ γιὰ νὰ φυλάσσεται ἐκεῖ.

«Καὶ ἔμεινε», λέγει, «μαζί τους». Πώ, πώ, ποιὰ ὀρθὴ λύση βρῆκε γιὰ νὰ κατοικήσει μαζί τους. Ἐπειδὴ δηλαδὴ ἐδῶ πρὸ πάντων ἔπρεπε νὰ μὴ λάβει αὐτὸς δωρεὰ τροφὴ ἀπὸ τοὺς πιστούς, καθὼς λέγει, «Γιὰ νὰ φανοῦν ὅτι εἶναι σὰν ἐμᾶς στὸ ἔργο γιὰ τὸ ὁποῖο καυχιένται»[5], ρυθμίζεται ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ νὰ μείνει αὐτὸς ἐκεῖ·

«Συνομιλοῦσε δὲ κάθε Σάββατο στὴ συναγωγὴ καὶ ἔπειθε καὶ Ἰουδαίους καὶ Ἕλληνες. Ὅταν δὲ κατέβηκαν ἀπὸ τὴ Μακεδονία ὁ Σίλας καὶ ὁ Τιμόθεος, ὁ Παῦλος ἦταν πολὺ στενοχωρημένος μὲ τὴν ἀπροθυμία τῶν Ἰουδαίων, ἐπιβεβαιώνοντας αὐτό· ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Χριστός»[6]· δηλαδὴ τὸν ἐνοχλοῦσαν, τοῦ πρόβαλλαν ἐμπόδια

στιν, ἐπηρέαζον αὐτῷ, ἐφίσταντο αὐτῷ. Ἀλλ' οἱ μὲν οὕτω, τί δὲ ὁ Παῦλος; Ἀφίσταται αὐτῶν, καὶ μετὰ πολλοῦ τοῦ φόβου. Οὐκ ἔτι γὰρ ὑμῖν, φησίν, ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον· ἀλλὰ καὶ αἰνίττεται αὐτούς.

Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. Καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς οἰκίαν τινός, ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο». Ὅρα πῶς πάλιν, εἰπών, «Ἀπὸ τοῦ νῦν», οὐδὲ οὕτως αὐτῶν ἀμελεῖ· ὥστε τοῦ διεγεῖραι ἕνεκεν εἶπε τοῦτο. Καὶ λοιπὸν ἦλθε πρὸς Ἰοῦστον, οὗ ἦν ἡ οἰκία ὁμοροῦσα τῇ συναγωγῇ. Ἐγειτνίαζεν ὥστε καὶ ζῆλον ἔχειν ἀπὸ τῆς γειτνιάσεως, εἴ περ ἤθελον.

«Κρίσπος δέ», φησίν, «ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Καὶ τοῦτο μάλιστα ἱκανὸν πρὸς τὸ ἐπαγαγέσθαι.

«Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς, διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστι μοι πολὺς ἐν τῇ πόλει ταύτῃ». Ὅρα διὰ πόσων αὐτὸν πείθει, καὶ πῶς, ὃ μάλιστα αὐτὸν ἤρει, τοῦτο ὕστερον αὐτῷ λέγει· «Ὅτι λαός ἐστι μοι πολὺς ἐν τῇ πόλει ταύτῃ». Πῶς οὖν συνεπέθεντο αὐτῷ, εἴποι τις ἄν; Καὶ μὴν οὐδὲν ἴ-

7. Πράξ. 18, 6 - 8
8. Πράξ. 18, 9 - 10

στὸ ἔργο του. Καὶ αὐτοὶ μὲν συμπεριφέρονταν πρὸς αὐτὸν ἔτσι· τί κάνει δὲ ὁ Παῦλος; Ἀπομακρύνεται ἀπὸ αὐτοὺς καὶ μὲ πολὺ μάλιστα φόβο. Διότι, λέγε, δὲν ἔπρεπε νὰ κηρυχθεῖ σ' ἐσᾶς ὁ λόγος τοῦ Θεοῦ· ἀλλ' ὅμως ὁμιλεῖ πρὸς αὐτοὺς αἰνιγματικά.

«Ἐπειδὴ ὅμως αὐτοὶ ἀντιτάσσονταν στὸ κήρυγμα καὶ βλασφημοῦσαν τὸν Χριστό, ἀφοῦ τίναξε τὰ ἐνδύματά του, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα σας ἂς πέσει στὰ κεφάλια σας. Ἐγὼ εἶμαι καθαρός, καὶ ἀπὸ τώρα φεύγω γιὰ νὰ κηρύξω στοὺς Ἐθνικούς· Καὶ ἔφυγε ἀπὸ ἐκεῖ καὶ ἦρθε στὴν οἰκία κάποιου ποὺ ὀνομαζόταν Ἰοῦστος, καὶ σεβόταν τὸ Θεό, καὶ ἡ οἰκία του συνόρευε μὲ τὴ συναγωγή. Ὁ δὲ Κρίσπος ὁ ἀρχισυνάγωγος πίστεψε στὸν Κύριο μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του, καθὼς καὶ πολλοὶ ἀπὸ τοὺς Κορινθίους ἀκούοντας τὸ κήρυγμά του πίστευαν καὶ βαπτίζονταν»[7]· Πρόσεχε πῶς πάλι, λέγοντας, «Ἀπὸ τώρα», οὔτε καὶ ἔτσι δείχνει ἀδιαφορία γι' αὐτούς· ὥστε τὸ εἶπε αὐτὸ μὲ σκοπὸ νὰ τοὺς διεγείρει. Καὶ στὴ συνέχεια ἦρθε πρὸς τὸν Ἰοῦστο, τοῦ ὁποίου ἡ οἰκία συνόρευε μὲ τὴ συναγωγή. Συνόρευε μὲ τὴ συναγωγή, ὥστε καὶ ζῆλο νὰ ἔχουν ἀπὸ τὸ συνόρευμα αὐτό, ἐὰν φυσικὰ τὸ ἤθελαν.

«Ὁ δὲ Κρίσπος», λέγει, «ὁ ἀρχισυνάγωγος πίστεψε στὸν Κύριο μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του». Καὶ αὐτὸ κατ' ἐξοχὴ ἦταν ἱκανὸ νὰ τοὺς πείσει.

«Εἶπε δὲ ὁ Κύριος στὸν Παῦλο μὲ ὅραμα τὴ νύχτα· Μὴ φοβᾶσαι, ἀλλὰ κήρυττε, καὶ μὴ σιωπήσεις, διότι ἐγὼ εἶμαι μαζί σου, καὶ κανένας δὲν θὰ σηκώσει ἐπάνω σου χέρι γιὰ νὰ σὲ κακοποιήσει, διότι ὑπάρχουν πολλοὶ ἄνθρωποί μου σ' αὐτὴ τὴν πόλη»[8]. Πρόσεχε μὲ πόσα πείθει αὐτὸν καὶ πῶς, ἐκεῖνο ποὺ κατ' ἐξοχὴ τὸν ἐνδυνάμωνε, αὐτὸ τοῦ τὸ λέγει τελευταῖο· «Διότι ὑπάρχουν πολλοὶ ἄνθρωποί μου σ' αὐτὴ τὴν πόλη». Πῶς λοιπὸν τότε, θὰ μποροῦσε νὰ πεῖ κάποιος, ἐπιτέθηκαν ἐναντίον αὐτοῦ ὅλοι

σχυσαν, ἀλλ' ἤγαγον αὐτὸν μόνον πρὸς τὸν ἀνθύπατον.

«Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα, λέγοντες ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν». Ὁρᾷς διὰ τί ἐκεῖνοι ἀεὶ δημοσίᾳ ἔπλεκον κατηγορήματα; Ὅρα γοῦν, ἐνταῦθα εἰπόντων τούτων ὅτι «παρὰ τὸν νόμον ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν», οὐδὲν τούτων ἐμέλησε τῷ ἀνθυπάτῳ, ἀλλ' ὑπὲρ Παύλου μᾶλλον ἀπολογεῖται. Καὶ ἄκουε πῶς ἀποκρίνεται· «Εἰ μὲ ἦν τῶν τῆς πόλεως ἁπτόμενον ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν». Ἐπιεικής τις ἄνθρωπος οὗτος εἶναί μοι δοκεῖ, καὶ δῆλον ἐξ ὧν ἀποκρίνεται συνετῶς.

«Μέλλοντος δὲ τοῦ Παύλου», φησίν, «ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν, εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελε». Καὶ ἐντεῦθεν πάλιν τὸ ἐπιεικὲς τοῦ ἀνδρὸς δείκνυται· τυπτομένου γὰρ αὐτοῦ, οὐχ ἡγήσατο ἰδίαν ὕβριν εἶναι· οὕτως ἦσαν

---

9. Πράξ. 18, 11 - 13
10. Πράξ. 18, 14 - 17

μαζί; Καὶ ὅμως τίποτε δὲν κατόρθωσαν, ἀλλὰ μόνο ὁδήγησαν αὐτὸν πρὸς τὸν ἀνθύπατο.

«Παρέμεινε ἐκεῖ ὁ Παῦλος ἕνα χρόνο καὶ ἕξη μῆνες, διδάσκοντας σ' αὐτοὺς τὸ λόγο τοῦ Θεοῦ. Κατὰ τὸ χρόνο δὲ ποὺ ἀνθύπατος τῆς 'Αχαΐας ἦταν ὁ Γαλλίων, ἐξεγέρθηκαν οἱ 'Ιουδαῖοι μὲ σύμφωνη ἀπόφαση ἐναντίον τοῦ Παύλου καὶ τὸν ὁδήγησαν μπροστὰ στὸ δικαστικὸ βῆμα, λέγοντας ὅτι αὐτὸς παρασύρει καὶ πείθει τοὺς ἀνθρώπους νὰ σέβονται τὸ Θεὸ ἀντίθετα μὲ τὸ Μωσαϊκὸ νόμο»[9]. Βλέπεις γιατί ἐκεῖνοι ἔπλεκαν πάντοτε δημόσια τὶς κατηγορίες τους; Πρόσεχε λοιπόν, λέγοντας αὐτοὶ ἐδῶ, ὅτι «αὐτὸς παρασύρει καὶ πείθει τοὺς ἀνθρώπους νὰ σέβονται τὸ Θεὸ ἀντίθετα μὲ τὸ Μωσαϊκὸ νόμο», κανένα ἐνδιαφέρον δὲν ἔδειξε γι' αὐτὸ ὁ ἀνθύπατος, ἀλλ' ἡ ἀπολογία του εἶναι μᾶλλον ὑπὲρ τοῦ Παύλου. Καὶ ἄκου πῶς ἀπομακρίνεται· «'Εὰν μὲν αὐτό, 'Ιουδαῖοι, ἦταν κάποιο ἀδίκημα ἢ κακούργημα στρεφόμενο ἐναντίον τῶν νόμων τῆς πόλεως, δικαιολογημένα θὰ ἔπρεπε νὰ σᾶς δεχθῶ καὶ νὰ σᾶς ἀκούσω». Μοῦ φαίνεται αὐτὸς ὅτι εἶναι ἕνας ἄνθρωπος μὲ πολλὴ καλωσύνη, καὶ γίνεται αὐτὸ φανερὸ ἀπὸ ἐκεῖνα ποὺ μὲ σύνεση ἀποκρίνεται.

«'Ενῶ δὲ ὁ Παῦλος ἐπρόκειτο ν' ἀρχίσει νὰ ὁμιλεῖ, εἶπε ὁ Γαλλίων πρὸς τοὺς 'Ιουδαίους 'Εὰν μὲν αὐτό, 'Ιουδαῖοι, ἦταν κάποιο ἀδίκημα ἢ κακούργημα, δικαιολογημένα θὰ ἔπρεπε νὰ δεχθῶ νὰ σᾶς ἀκούσω, ἐφόσον ὅμως εἶναι θέμα διδασκαλίας, ὀνομάτων καὶ τοῦ δικοῦ σας νόμου, ἐξετάστε μόνοι σας τὸ θέμα· διότι ἐγὼ δὲν θέλω νὰ εἶμαι δικαστὴς γιὰ τέτοια θέματα. Καὶ ἀπομάκρυνε αὐτοὺς ἀπὸ τὸ δικαστικὸ βῆμα. Τότε ὅλοι οἱ "Ελληνες, ἀφοῦ ἔπιασαν τὸν Σωσθένη τὸν ἀρχισυνάγωγο, τὸν χτυποῦσαν μπροστὰ στὸ δικαστικὸ βῆμα, καὶ ὁ Γαλλίων ἔμενε τελείως ἀδιάφορος»[10]. Καὶ ἀπὸ ἐδῶ πάλι γίνεται φανερὴ ἡ ἐπιείκεια τοῦ ἀνθρώπου· διότι, ἐνῶ αὐτὸς δεχόταν χτυπήματα, δὲν τὸ θεώρησε αὐτὸ καθόλου σὰν δική του προσ-

ἰταμοὶ οἱ Ἰουδαῖοι. Ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα.

2. Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου πάλιν». Πόσα μεγάλα καὶ ὑψηλὰ ἀκούσαντες, οὐδὲ προσεῖχον, ἀλλ' ἐχλεύαζον! Τὴν ἀνάστασιν δὲ ἐχλεύαζον· «ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος». «Καὶ οὕτω», φησίν, «ἐξῆλθεν ὁ Παῦλος ἐκ μέσου αὐτῶν». «Οὕτω»· πῶς; Τοὺς μὲν πείσας, ὑπὸ δὲ τῶν γελώμενος.

«Χωρισθεὶς δὲ ἀπὸ Ἀθηνῶν», φησίν, «ἦλθεν εἰς Κόρινθον. Καὶ εὑρών τινα Ἰουδαῖον, ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, ἔμεινε παρ' αὐτοῖς καὶ εἰργάζετο». Ὅρα πῶς ὁ νόμος ἄρχεται καταλύεσθαι λοιπόν· κειράμενος γὰρ Ἰουδαῖος ὢν οὗτος ἐν Κεγχρεαῖς, μετὰ ταῦτα εἰς Συρίαν συναπέρχεται Παύλῳ· Ποντικὸς ὤν, οὐκ ἐν Ἱεροσολύμοις οὐδὲ πλησίον ἔσπευδεν ἐλθεῖν, ἀλλὰ μακροτέρῳ. Παρ' αὐτῷ γοῦν μένει, καὶ οὐκ αἰσχύνεται μένων, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μένει, ὡς ἐπιτήδειον εὑρὼν καταγώγιον· πολλῷ γὰρ αὐτῷ τῶν βασιλείων ἐπιτηδειότερον ἦν. Καὶ μὴ γελάσῃς ἀκούων, ἀγαπητέ· καθάπερ γὰρ ἀθλητῇ ἡ παλαίστρα τῶν ἁπαλῶν στρωμάτων μᾶλλον χρήσιμον, οὕτω καὶ τῷ πολεμιστῇ τὸ ξίφος τὸ σιδηροῦν, ἀλλ' οὐ τὸ χρυσοῦν. Καὶ εἰργάζετο κηρύττων. Αἰσχυνθῶμεν ἡμεῖς, οἱ καὶ χωρὶς τοῦ κηρύττειν ἀργῶς ζῶντες.

«Διελέγετο δὲ ἐν τῇ συναγωγῇ», φησί, «κατὰ πᾶν Σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας. Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων», ἀ-

---

11. Πράξ. 17, 32 12. Α' Κορ. 2, 14
13. Πράξ. 17, 33 14. Πράξ. 18, 1-3

βολή· τόσο πολὺ ἀδιάντροποι ἦταν οἱ Ἰουδαῖοι. Ἂς ἐξετάσομε ὅμως ἀπὸ τὴν ἀρχὴ αὐτὰ ποὺ ἀναγνώσθηκαν·

2. «Ὅταν δὲ ἄκουσαν γιὰ ἀνάσταση νεκρῶν, ἄλλοι μὲν τὸν εἰρωνεύονταν, ἄλλοι δὲ εἶπαν· Θὰ σ' ἀκούσομε καὶ πάλι γι' αὐτὸ τὸ θέμα»[11]. Πόσες μεγάλες καὶ ὑψηλὲς ἀλήθειες ἄκουσαν καὶ ὅμως δὲν πρόσεχαν, ἀλλὰ τὸν χλεύαζαν! Χλεύαζαν δὲ τὴν ἀνάσταση· «Διότι ὁ ψυχικὸς ἄνθρωπος δὲν δέχεται τὰ τοῦ Πνεύματος»[12]. «Καὶ ἔτσι», λέγει, «ἔφυγε ὁ Παῦλος ἀπὸ ἀνάμεσά τους»[13]. «Ἔτσι»· πῶς; πείθοντας τοὺς μέν, ἀπὸ δὲ τοὺς ἄλλους χλευαζόμενος.

«Ἀφοῦ», λέγει, «ἀναχώρησε ὁ Παῦλος ἀπὸ τὴν Ἀθήνα, ἦρθε στὴν Κόρινθο. Ἐκεῖ βρῆκε κάποιον Ἰουδαῖο, μὲ τὸ ὄνομα Ἀκύλας, καταγόμενο ἀπὸ τὸν Πόντο, καὶ ποὺ εἶχε ἔρθει πρόσφατα ἀπὸ τὴν Ἰταλία, καὶ ἔμεινε μαζὶ μὲ αὐτοὺς καὶ ἐργαζόταν»[14]. Πρόσεχε πῶς ἀρχίζει πλέον ὁ νόμος τοῦ Μωϋσῆ καὶ καταργεῖται· διότι, ἐνῶ ἦταν αὐτὸς Ἰουδαῖος ποὺ ἔμενε στὶς Κεχρεές, ἀφοῦ ἔκοψε τὰ μαλλιά του, στὴ συνέχεια ἔρχεται μαζὶ μὲ τὸν Παῦλο στὴ Συρία· καὶ ἐνῶ καταγόταν ἀπὸ τὸν Πόντο, δὲν ἐπιδίωκε νὰ ρθεῖ στὰ Ἱεροσόλυμα, οὔτε κάπου πιὸ κοντά, ἀλλὰ πολὺ πιὸ μακριά. Κοντὰ σ' αὐτὸν λοιπὸν μένει, καὶ δὲν ντρέπεται νὰ μείνει, ἀλλὰ καὶ ἀκριβῶς γι' αὐτὸ μένει, διότι βρῆκε κατάλληλο κατάλυμα· διότι αὐτὸ ἦταν γι' αὐτὸν πολὺ πιὸ κατάλληλο ἀπὸ τὰ βασιλικὰ ἀνάκτορα. Καὶ μὴ γελάσεις, ἀγαπητέ, ἀκούοντας αὐτό· διότι, ὅπως ἀκριβῶς στὸν ἀθλητὴ ἡ παλαίστρα εἶναι περισσότερο χρήσιμη ἀπὸ τὰ μαλακὰ στρώματα, ἔτσι καὶ στὸν πολεμιστὴ τὸ ξίφος τὸ σιδερένιο, καὶ ὄχι τὸ χρυσό. Καὶ ἐργαζόταν παράλληλα μὲ τὸ κήρυγμα· Ἂς νιώσομε ντροπὴ ἐμεῖς, οἱ ὁποῖοι χωρὶς νὰ κηρύττομε, ζοῦμε γεμάτοι ἀπὸ ὀκνηρία.

«Συνομιλοῦσε δέ», λέγει, «στὴ συναγωγὴ κάθε Σάββατο καὶ ἔπειθε καὶ Ἰουδαίους καὶ Ἕλληνες. Ἐπειδὴ ὅμως ἐκεῖνοι ἀντιτάσσονταν στὸ κήρυγμα τοῦ Παύλου καὶ βλασ-

πέστη. Ταύτῃ προσδοκῶν αὐτοὺς ἕλξειν μᾶλλον, ἀφίσταται. Διὰ τί γὰρ ἀφεὶς τὴν οἰκίαν, ἦλθε πλησίον τῆς συναγωγῆς; ἆρ' οὐχὶ διὰ τοῦτο; οὐδὲ γὰρ κίνδυνον ἑώρα ἐνταῦθα.

«Διαμαρτυρόμενος αὐτοῖς», φησίν. Οὐκ ἔτι διδάσκει, ἀλλὰ διαμαρτύρεται.

«'Αντιτασσομένων δὲ αὐτῶν», φησί, «καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν». Τοῦτο ποιεῖ, ὥστε μὴ ῥήματι μόνον, ἀλλὰ καὶ πράγματι φοβῆσαι· καὶ σφοδρότερον διαλέγεται, ἅτε καὶ πολλοὺς πεπεικώς.

«Καθαρός εἰμι», φησίν, ἐγώ· ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι». Ἄρα καὶ ἡμεῖς ὑπεύθυνοί ἐσμεν τοῦ αἵματος τῶν ἡμῖν ἐγκεχειρισμένων, ἀμελοῦντες αὐτῶν. Ὥστε, καὶ ὅταν λέγῃ, «Τὸ λοιπὸν κόπους μοι μηδεὶς παρεχέτω», φοβῶν φησιν· οὐ γὰρ οὕτως αὐτοὺς ἐφόβει ἡ τιμωρία, ὡς ἔδακνε τοῦτο.

«Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν 'Ιούστου». Μεταβαίνει, βουλόμενος αὐτοὺς πεῖσαι ὅτι πρὸς τὰ ἔθνη ἠπείγετο.

«Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος», φησίν, «ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Ὅρα τοὺς πιστοὺς τότε μετὰ τῆς οἰκίας τοῦτο ποιοῦντας ὁλοκλήρου. Τούτου δὲ γενομένου, εὐθέως καὶ ἕτεροι πολλοὶ πιστεύσαντες ἐβαπτίσθησαν. Τοῦτον Κρίσπον λέγει τὸν ἀρχισυνάγωγον, περὶ οὗ φησι γράφων· «Οὐδένα ἄλλον ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον». Οἶμαι δὲ τοῦτον καὶ Σωσθένην λέγεσθαι, ὃς τοσοῦτον

---

15. Πράξ. 18, 4 - 6
16. Πράξ. 18, 5
17. Πράξ. 18, 6
18. Πράξ. 18, 6
19. Γαλ. 6, 17
20. Πράξ. 18, 7
21. Πράξ. 18, 8
22. Α' Κορ. 1, 14

φημοῦσαν τὸ Χριστό»[15], ἀπομακρύνθηκε. Ἀπομακρύνεται ἐλπίζοντας μὲ τὴν ἐνέργειά του αὐτὴ ὅτι θὰ τοὺς προσελκύσει περισσότερο. Γιατί δηλαδὴ ἀφοῦ ἄφησε ἐκείνη τὴν οἰκία, ἦρθε κοντὰ στὴ συναγωγή; ἄραγε δὲν ἦρθε γι' αὐτό; βέβαια οὔτε κίνδυνο ἔβλεπε ἐδῶ.

«Διαμαρτυρόμενος πρὸς αὐτούς»[16]. Δὲν διδάσκει ἀκόμα, ἀλλὰ διαμαρτύρεται.

«Ἐπειδὴ ὅμως αὐτοὶ ἀντιτάσσονταν», λέγει, «καὶ βλασφημοῦσαν τὸν Χριστό, ἀφοῦ τίναξε τὰ ἐνδύματά του, εἶπε· Τὸ αἷμα σας ἂς πέσει ἐπάνω στὰ κεφάλια σας»[17]. Αὐτὸ τὸ κάνει, ὥστε ὄχι μόνο μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὸ πράγματα αὐτὸ νὰ τοὺς φοβήσει· καὶ ὁμιλεῖ πρὸς αὐτοὺς μὲ μεγαλύτερη σφοδρότητα, καθόσον πολλοὺς τοὺς ἔχει πείσει.

«Καθαρός», λέγει, «εἶμαι ἐγώ· ἀπὸ τὴ στιγμὴ αὐτὴ θὰ μεταβῶ νὰ κηρύξω στοὺς Ἐθνικούς»[18]. Ἑπομένως καὶ ἐμεῖς εἴμαστε ὑπεύθυνοι τοῦ αἵματος ἐκείνων ποὺ μᾶς ἐμπιστεύθηκαν, ἐφόσον τοὺς παραμελοῦμε. Ὥστε καὶ ὅταν λέγει, «Στὸ ἑξῆς ἂς μὴ μὲ ἐνοχλεῖ κανένας»[19], τὸ λέγει γιὰ νὰ τοὺς φοβήσει· διότι δὲν τοὺς φόβιζε τόσο πολὺ ἡ τιμωρία, ὅσο τοὺς πλήγωνε αὐτό.

«Καὶ ἀφοῦ ἔφυγε ἀπὸ ἐκεῖ, ἦρθε στὴν οἰκία τοῦ Ἰούστου»[20]. Πηγαίνει ἐκεῖ ἐπειδὴ θέλει νὰ τοὺς πείσει ὅτι βιάζεται νὰ μεταβεῖ πρὸς τοὺς Ἐθνικούς.

«Ὁ Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος», λέγει, «πίστεψε στὸν Κύριο μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του»[21]. Πρόσεχε τοὺς πιστοὺς τότε ποὺ τὸ κάμνουν αὐτὸ μαζὶ μὲ ὁλόκληρη τὴν οἰκογένειά τους. Ἀφοῦ δὲ ἔγινε αὐτό, ἀμέσως καὶ πολλοὶ ἄλλοι πίστεψαν καὶ βαπτίσθηκαν. Αὐτὸν τὸν Κρίσπο τῶν ἀρχισυνάγωγο ἐννοεῖ, γιὰ τὸν ὁποῖο λέγει γράφοντας τὴν ἐπιστολή του· «Κανένα ἄλλο δὲν βάπτισα, παρὰ μόνο τὸν Κρίσπο καὶ τὸν Γάϊο»[22]. Νομίζω δὲ ὅτι αὐτὸς ὀνομαζόταν καὶ Σωσθένης, ὁ ὁποῖος ἦταν τόσο πο-

ἀνὴρ πιστὸς ἦν, ὥστε καὶ τύπτεσθαι καὶ παρεῖναι ἀεὶ τῷ Παύλῳ.

«Εἶπε δέ», φησίν, «ὁ Κύριος δι' ὁράματος τῷ Παύλῳ· Μὴ φοβοῦ, ἀλλὰ λάλει». Διὰ τοῦτο πολὺν χρόνον μένει ἐκεῖ· ἔπειθε μὲν γὰρ αὐτὸν καὶ τὸ πλῆθος, ἡ δὲ οἰκείωσις τοῦ Χριστοῦ πλέον· μείζων γὰρ ὁ κίνδυνος ἐγένετο λοιπὸν καὶ τῶν πλειόνων πιστευόντων καὶ τοῦ ἀρχισυναγώγου. «Μὴ φοβοῦ», φησί. Τοῦτο ἱκανὸν αὐτὸν διαναστῆσαι, ὅτι ἠλέγχθη φοβούμενος, ἢ οὐκ ἠλέγχθη μέν, ἀλλά, ὥστε μηδὲ τοῦτο παθεῖν, παραθαρρύνεται· οὐ γὰρ ἀεὶ αὐτοὺς πάσχειν εἴα κακῶς, ὥστε μὴ ἀσθενεστέρους γενέσθαι· οὐδὲν γὰρ οὕτως ἐλύπει τὸν Παῦλον, ὡς οἱ ἀπειθοῦντες, ὡς οἱ ἀντιτασσόμενοι. Τοῦτο καὶ τῶν κινδύνων αὐτῷ χαλεπώτερον ἦν.

«Καὶ μὴ σιωπήσῃς», φησί, «διότι λαὸς πολὺς ἔστι μοι ἐν τῇ πόλει ταύτῃ». Τάχα διὰ τοῦτο αὐτῷ καὶ φαίνεται ὁ Χριστός.

«Γαλλίωνος δέ», φησίν, «ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ». Ὅρα, μετὰ τὸν ἐνιαυτὸν καὶ τοὺς ἓξ μῆνας ἐπιτίθενται, ὅτε οὐκ ἔτι ἴσχυον νόμοις χρῆσθαι ἰδίοις. Τοῦτο μάλιστα ἐπῆρε Κορινθίους, τὸ μάλιστα πεισθῆναι ὅτι οὐδὲ καθίησιν ἑαυτὸν ὁ ἄρχων· οὐ γὰρ ἦν ἴσον ἐξ ἀντιλογίας νικῆσαι, καὶ μαθεῖν ἐκείνους ὅτι οὐδὲν μέλει αὐτῷ τὰ τοῦ πράγματος. Καὶ σκόπει ἐκεῖνος πῶς ἦν συνετός· οὐ γὰρ εἶπεν, εὐθέως ἀποκρινόμενος, 'Οὐ μέλει μοι', ἀλλὰ τί; «Εἰ μὲν ἦν τι ἀδίκημα ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ

------

23. Πράξ. 18, 9
24. Πράξ. 18, 10
25. Πράξ. 18, 12

λὺ πιστὸς ἄνθρωπος, ὥστε καὶ νὰ δέχεται χτυπήματα καὶ νὰ παραβρίσκεται πάντοτε κοντὰ στὸν Παῦλο·

«Εἶπε δέ», λέγει, «ὁ Κύριος στὸν Παῦλο μὲ ὅραμα· Μὴ φοβᾶσαι, ἀλλὰ κήρυττε»[23]. Γι' αὐτὸ μένει ἐκεῖ πολὺ χρόνο· τὸν ἔπειθε βέβαια νὰ μείνει ἐκεῖ καὶ τὸ πλῆθος τῶν πιστῶν, ἀλλὰ πολὺ περισσότερο ἡ στενὴ σύνδεσή του μὲ τὸν Χριστό· διότι ὁ κίνδυνος ἔγινε μεγαλύτερος πλέον καὶ ἐξ αἰτίας τῶν πολλῶν ποὺ πίστευαν καὶ λόγω τῆς πίστεως τοῦ ἀρχισυνάγωγου. «Μὴ φοβᾶσαι», λέγει. Αὐτὸ ἦταν ἱκανὸ νὰ τὸν ἐνθαρρύνει, διότι φάνηκε νὰ φοβᾶται, ἢ δὲν φοβήθηκε μέν, ἀλλ' ἐνθαρρύνεται, ὥστε νὰ μὴ τὸ πάθει αὐτό· καθόσον δὲν τοὺς ἄφηνε πάντοτε νὰ κακοπαθοῦν, γιὰ νὰ μὴ γίνει ἀσθενέστερο τὸ θάρρος τους· διότι τίποτε δὲν λυποῦσε τόσο πολὺ τὸν Παῦλο, ὅσο ἐκεῖνοι ποὺ δὲν πείθονταν, ὅσο ἐκεῖνοι ποὺ ἀντιτάσσονταν στὸ κήρυγμα. Αὐτὸ ἦταν γι' αὐτὸν φοβερότερο καὶ ἀπὸ τοὺς κινδύνους.

«Καὶ μὴ σταματήσεις τὸ κήρυγμα», λέγει, «διότι ὑπάρχει πολὺς λαός μου σ' αὐτὴ τὴν πόλη»[24]. Ἴσως γι' αὐτὸ παρουσιάζεται ὁ Χριστὸς σ' αὐτόν.

«Κατὰ τὴ διάρκεια», λέγει, «ποὺ ἀνθύπατος τῆς Ἀχαΐας ἦταν ὁ Γαλλίων, ἐπιτέθηκαν ὅλοι οἱ Ἰουδαῖοι μὲ σύμφωνη ἀπόφασή τους ἐναντίον τοῦ Παύλου»[25]. Πρόσεχε, ἐπιτίθενται ἐναντίον του μετὰ τὸν ἕνα χρόνο καὶ τοὺς ἕξη μῆνες ποὺ ἔμεινε ἐκεῖ, ὅταν δὲν μποροῦσαν πλέον νὰ χρησιμοποιήσουν τοὺς νόμους τους. Αὐτὸ πρὸ πάντων ξεσήκωσε τοὺς Κορινθίους, κυρίως τὸ ὅτι πείσθηκαν ὅτι οὔτε ὁ ἄρχοντας ἤθελε ν' ἀναμειχθεῖ στὴν ὑπόθεση αὐτή· διότι δὲν ἦταν τὸ ἴδιο τὸ νὰ τοὺς νικήσει μὲ τὴ συζήτηση, καὶ νὰ μάθουν ἐκεῖνοι ὅτι δὲν ἐνδιέφεραν καθόλου σ' αὐτὸν τὰ σχετικὰ μὲ τὴν ὑπόθεση αὐτή. Καὶ πρόσεχε πόσο συνετὸς ἦταν ἐκεῖνος· διότι δὲν εἶπε, ἀπαντώντας ἀμέσως, 'Δὲν μὲ ἐνδιαφέρει', ἀλλὰ τί λέγει; «Ἐὰν μὲν ἐπρόκειτο, Ἰουδαῖοι, γιὰ κάποιο ἀδίκημα ἢ κακούργημα,

λόγον ἂν ἠνεσχόμην ὑμῶν, εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων, καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. 'Απετείχισεν αὐτοῖς τὸ δικαστήριον. Λαμπρὰ γέγονεν ἡ νίκη.

«'Επιλαβόμενοι δὲ Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν». Ὢ τῆς αἰσχύνης, ἣν ᾐσχύνθησαν! «Καὶ οὐδὲν τούτων», φησί, «τῷ Γαλλίωνι ἔμελε», καίτοι εἰς τὴν ἑαυτοῦ ὕβριν τὸ πᾶν ἦν· ἀλλ' ὡς δῆθεν ἐξουσίαν λαβόντες αὐτοὶ τύπτουσιν, ἔργον ἀκρίτου θυμοῦ διὰ τὴν αἰσχύνην ποιοῦντες. Καὶ διὰ τί μὴ ἐκεῖνος ἀντετύπτησε, καίτοι καὶ αὐτὸς ἐξουσίαν εἶχεν; 'Αλλ' ἐπαιδεύοντο φιλοσοφεῖν. Οὐκ ἀντιτύπτει δέ, ὥστε καὶ τὸν δικαστὴν μαθεῖν τίς ἦν ὁ ἐπιεικέστερος. Οὐ μικρὰ τοῦτο ὤνησε τοὺς παρόντας· ἐδίδαξε γὰρ ἥ τε τούτων ἐπιείκεια καὶ ἡ ἐκείνων θρασύτης ὅτι τὰ τοιαῦτα δικαστικῆς ψήφου δεῖται.

'Αλλ' οὗτοι πάντα ἀτάκτως ποιοῦσι. Καὶ οὐκ εἶπεν. 'Οὐ δεῖ' ἵνα μὴ πάλιν κόπτωσιν αὐτόν, ἀλλ' «οὐ θέλω»· «Κριτὴς γάρ», φησίν, «ἐγὼ τούτων εἶναι οὐ βούλομαι»· οὕτως ἐπιεικὴς ἦν ὁ ἀνήρ. Τοῦτο καὶ Πιλάτος ἔλεγεν ἐπὶ τοῦ Χριστοῦ· «Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε». 'Ο μὲν κατὰ τὸν νόμον ἠξίου κρίνει αὐτούς, οἱ δέ, ὥσπερ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι, οὕτω διέκειντο. Διὰ τοῦτο ἐχωρίζετο τῶν 'Αθηνῶν, «ἐπειδὴ λαὸς ἦν ἐκεῖ πολύς». 'Ετύπτετο, καὶ οὐδὲν ἔλεγε.

3. Τοῦτον καὶ ἡμεῖς μιμώμεθα· ἀντιτυπτήσωμεν

------

26. Πράξ. 18, 17
27. Ἰω. 18, 31

δικαιολογημένα θὰ ἔπρεπε νὰ δεχθῶ νὰ σᾶς ἀκούσω, ἐφόσον ὅμως πρόκειται γιὰ θέμα διδασκαλίας καὶ ὀνομάτων καὶ τοῦ δικοῦ σας νόμου, ἐξετάστε το σεῖς οἱ ἴδιοι· διότι ἐγὼ δὲν θέλω νὰ εἶμαι δικαστὴς γιὰ τέτοια θέματα. Λαμπρὴ ἔγινε ἡ νίκη.

«Ἀφοῦ δὲ ἔπιασαν τὸν Σωσθένη τὸν ἀρχισυνάγωγο, τὸν χτυποῦσαν μπροστὰ στὸ δικαστικὸ βῆμα, καὶ ὁ Γαλλίων ἔδειχνε πλήρη ἀδιαφορία γι' αὐτό»[26]. Πώ, πὼ μέγεθος ντροπῆς ποὺ δοκίμασαν! «Καὶ ὁ Γαλλίων», λέγει, «ἔμεινε τελείως ἀδιάφορος γι' αὐτό», ἂν καὶ βέβαια ὅλα αὐτὰ ἀποτελοῦσαν προσβολὴ γι' αὐτὸν τὸν ἴδιο· ἀλλ' αὐτοὶ τοὺς χτυποῦν σὰν νὰ ἔλαβαν δῆθεν ἐξουσία, θέτοντας σὲ ἐνέργεια τὸν ἀνόητο καὶ ἀχαλίνωτο θυμό τους ἐξ αἰτίας τῆς αἰσχρῆς πράξεώς τους. Καὶ γιατί καὶ ἐκεῖνος δὲν τοὺς χτύπησε, ἂν καὶ εἶχε καὶ αὐτὸς ἐξουσία; Διότι διδάσκονταν σ' ἀσκοῦν ἐγκράτεια. Δὲν ἀνταποδίδει δὲ χτυπήματα, ὥστε καὶ ὁ δικαστὴς νὰ μάθει ποιὸς ἦταν ὁ πιὸ ἐπιεικής. Δὲν ἦταν μικρὴ ἡ ὠφέλεια ποὺ πρόσφερε αὐτὸ στοὺς παρόντες· διότι δίδαξε καὶ ἡ ἐπιείκεια αὐτῶν καὶ ἡ θρασύτητα ἐκείνων, ὅτι τὰ πράγματα αὐτὰ χρειάζονται δικαστικὴ ἀπόφαση.

Ἀλλ' αὐτοὶ ὅλα τὰ κάμνουν κατὰ τρόπο ἄτακτο. Καὶ δὲν εἶπε, 'Δὲν πρέπει', γιὰ νὰ μὴ τὸν βάζουν καὶ πάλι σὲ κόπο, ἀλλά, «Δὲν θέλω»· διότι, λέγει, «Ἐγὼ δὲν θέλω νὰ εἶμαι δικαστὴς γιὰ τέτοια θέματα»· τόσο πολὺ ἐπιεικὴς ἦταν ὁ ἄνθρωπος. Αὐτὸ καὶ ὁ Πιλάτος ἔλεγε στὴν περίπτωση τοῦ Χριστοῦ· «Πάρτε τον σεῖς καὶ δικάστε τον σύμφωνα μὲ τὸ νόμο σας»[27]. Αὐτὸς μὲν ζητοῦσε νὰ τὸν δικάσουν αὐτοὶ σύμφωνα μὲ τὸ νόμο τους, ἐνῶ αὐτοὶ συμπεριφέρονταν ὅπως ἀκριβῶς οἱ μεθυσμένοι καὶ οἱ μανιακοί. Γι' αὐτὸ ἔφευγε ἀπὸ τὴν Ἀθήνα, «Ἐπειδὴ ἐκεῖ ὑπῆρχε πολὺς λαός». Δεχόταν χτυπήματα καὶ δὲν ἔλεγε τίποτε.

3. Αὐτὸν ἂς μιμούμαστε καὶ ἐμεῖς· ἂς ἀνταποδώσομε

τοὺς τύπτοντας τῇ ἐπιεικείᾳ, τῇ σιγῇ, τῇ μακροθυμίᾳ. Χαλεπώτερα ταῦτα τὰ τραύματα, μείζων ἡ πληγὴ καὶ φορτικωτέρα· οὐ γὰρ τὸ πλήττεσθαι τὸ σῶμα, ἀλλὰ τὸ τὴν διάνοιαν χαλεπόν. Πολλοὺς πλήττομεν, ἀλλά, ἐπειδὴ ἐν τάξει φιλίας, καὶ ἥδονται· ἂν δὲ τὸν τυχόντα πλήξῃς ὑβριστικῶς, ἐπειδὴ τῆς καρδίας ἥψω, σφόδρα ἐλύπησας· οὕτω μᾶλλον τὴν καρδίαν αὐτῶν πλήττομεν. Ὅτι δὲ μειζόνως ἐπιείκεια πλήττει θρασύτητος, φέρε ἀποδείξωμεν ὡς δυνατὸν τῷ λόγῳ (ἡ μὲν γὰρ σαφὴς ἀπόδειξις διὰ τῶν ἔργων καὶ τῆς πείρας ἐστίν, εἰ δὲ δοκεῖ, καὶ τῷ λόγῳ τὴν ἐξέτασιν ποιησώμεθα, καίτοι πολλάκις ἤδη ἐποιησάμεθα)· ἐν γὰρ ταῖς ὕβρεσιν οὐδὲν οὕτως ἡμᾶς λυπεῖ, ὡς ἡ παρὰ τῶν ὁρώντων ψῆφος· οὐ γὰρ ἴσον δημοσίᾳ τε ὑβρίζεσθαι καὶ ἰδίᾳ, ἀλλ' ἐκείνας μὲν καὶ φέρομεν εὐκόλως τὰς ὕβρεις, ὅταν ἐπ' ἐρημίας, ὅταν, μηδενὸς ὄντος τοῦ μαρτυροῦντος, τοῦτο πάθωμεν, μηδὲ τοῦ συνειδότος. Οὕτως οὐχ ἡ τῆς ὕβρεως φύσις ἐστὶν ἡ δάκνουσα, ἀλλὰ τὸ ἐπὶ πάντων τοῦτο παθεῖν· ὡς εἴ γέ τις, τιμῶν ἐπὶ πάντων, ὑβρίζοι κατ' ἰδίαν, καὶ χάριν εἰσόμεθα. Οὐκοῦν οὐκ ἐν τῇ τῆς ὕβρεως φύσει τὸ λυπηρόν ἐστιν, ἀλλ' ἐν τῇ ψήφῳ τῶν ὁρώντων, ὥστε μὴ δόξαι εὐκαταφρόνητον εἶναι.

Τί οὖν, ἂν αὕτη ὑπὲρ ἡμῶν ᾖ; οὐχὶ μᾶλλον ὁ ὑβρίζων ὕβρισται, ὅταν ὑπὲρ ἡμῶν τὰς ψήφους φέρωσιν; Εἰπέ μοι, τίνος καταφρονοῦσιν οἱ παρόντες; τοῦ ὑβρίζοντος, ἢ τοῦ ὑβρισθέντος καὶ σιγῶντος; Ὁ μὲν γὰρ θυμὸς ὑποβάλλει ὅτι τοῦ ὑβριζομένου, νῦν

σ' ἐκείνους ποὺ μᾶς χτυποῦν χτυπήματα μὲ τὴν ἐπιείκεια, μὲ τὴ σιωπή, μὲ τὴ μακροθυμία. Εἶναι φοβερότερα αὐτὰ τὰ τραύματα, μεγαλύτερη ἡ πληγὴ καὶ πιὸ ἀνυπόφορη· διότι δὲν εἶναι φοβερὸ τὸ νὰ δέχεται χτυπήματα τὸ σῶμα, ἀλλὰ τὸ νὰ τὰ δέχεται ἡ διάνοια. Σὲ πολλοὺς δίνομε χτυπήματα, ἀλλ' ἐπειδὴ γίνεται αὐτὸ ὑπὸ μορφὴ φιλίας, καὶ εὐχαριστοῦνται· ἂν ὅμως τὸν τυχόντα τὸν χτυπήσεις μὲ ὕβρεις, ἐπειδὴ ἄγγισες τὴν καρδιά του, τὸν λύπησες πάρα πολύ· μὲ τὸν τρόπο αὐτὸ πλήττομε περισσότερο τὴν καρδιὰ αὐτῶν. Τὸ ὅτι δὲ ἡ ἐπιείκεια ἐπιφέρει μεγαλύτερα πλήγματα ἀπὸ τὴ θρασύτητα, ἐμπρὸς νὰ τὸ ἀποδείξομε μὲ τὸ λόγο ὅσο μᾶς εἶναι δυνατὸ (διότι ἡ μὲν σαφὴς ἀπόδειξη γίνεται μὲ τὰ ἔργα καὶ μὲ τὴν πείρα, ἐὰν τὸ νομίζετε ὅμως σωστό, ἂς ἐξετάσομε αὐτὴν καὶ μὲ τὸ λόγο, ἂν καὶ βέβαια πολλὲς φορὲς τὸ κάναμε μέχρι τώρα)· διότι στὴν περίπτωση τῶν ὕβρεων τίποτε δὲν μᾶς λυπεῖ τόσο πολύ, ὅσο ἡ γνώμη ἐκείνων ποὺ μᾶς βλέπουν· καθόσον δὲν εἶναι τὸ ἴδιο τὸ νὰ δεχόμαστε ὕβρεις δημόσια καὶ ὅταν εἴμαστε μόνοι, ἀλλ' ὑποφέρομε εὔκολα τὶς ὕβρεις ἐκεῖνες ποὺ τὶς δεχόμαστε σ' ἔρημο μέρος καὶ ὅταν δὲν ὑπάρχει κανένας μάρτυρας, καὶ κανένας ποὺ νὰ τὸ γνωρίζει αὐτό. Ἑπομένως δὲν εἶναι ἡ φύση τῆς ὕβρεως ποὺ μᾶς πληγώνει, ἀλλὰ τὸ νὰ τὸ πάθομε αὐτὸ μπροστὰ σ' ὅλους· διότι, ἐὰν βέβαια κάποιος μᾶς τιμᾶ μπροστὰ σ' ὅλους, μᾶς βρίζει δὲ ὅταν εἴμαστε μόνοι, θὰ τοῦ ὀφείλομε καὶ εὐγνωμοσύνη. Ἑπομένως τὸ λυπηρὸ δὲν βρίσκεται μέσα στὴ φύση τῆς ὕβρεως, ἀλλὰ στὴ γνώμη ἐκείνων ποὺ βλέπουν γιὰ νὰ μὴ θεωρηθεῖ κάποιος ὅτι περιφρονεῖται.

Τί λοιπὸν συμβαίνει, ὅταν ἡ γνώμη ἐκείνων ποὺ βλέπουν εἶναι μὲ τὸ μέρος μας; δὲν βρίζεται περισσότερο ἐκεῖνος ποὺ βρίζει, ὅταν οἱ γνῶμες ποὺ ἐκφέρουν εἶναι μὲ τὸ μέρος μας; Πές μου σὲ παρακαλῶ, ποιὸν περιφρονοῦν οἱ παρόντες; ἐκεῖνον ποὺ βρίζει ἢ ἐκεῖνον ποὺ βρίζεται καὶ σιωπᾶ; Διότι ὁ μὲν θυμὸς λέγει ὅτι περιφρο-

δέ, ὅτε καθαροὶ τοῦ πάθους ἐσμέν, ἴδωμεν μὴ τότε συνασπασθῶμεν. Τίνος οὖν καταγινώσκομεν ἅπαντες; Εὔδηλον ὅτι τοῦ ὑβρίζοντος· κἂν μὲν ἐλάττων ᾖ, καὶ μαίνεσθαι αὐτὸν φήσομεν, ἂν δὲ ὁμότιμος, ἀνοηταίνειν, ἂν δὲ μείζων, οὐδ' οὕτως ἀποδεξόμεθα· Τίς γάρ, εἰπέ μοι, ἀποδοχῆς ἄξιος; ὁ ταραττόμενος, ὁ χειμαζόμενος, ὁ ἐκθηριούμενος, ὁ πρὸς τὴν κοινὴν φύσιν οὕτω διακείμενος, ἢ ὁ ἐν γαλήνῃ καὶ λιμένι καὶ φιλοσοφίᾳ πολλῇ; οὐχ ὁ μὲν ἀγγέλῳ προσέοικεν, ὁ δὲ οὐδὲ ἀνθρώπῳ; Ὁ μὲν γὰρ οὐδὲ τὰ οἰκεῖα δύναται βαστάσαι κακά, ἐκεῖνος δὲ καὶ τὰ ἀλλότρια· οὗτος δὲ ἑαυτὸν ἐνεγκεῖν ἠδυνήθη, ἐκεῖνος δὲ καὶ ἕτερον· ὁ μὲν ἐν ναυαγίῳ ἐστίν, οὗτος δὲ ἐν ἀσφαλείᾳ πλεῖ, ἐξ οὐρίων αὐτῷ τῆς νηὸς φερομένης· οὐ γὰρ εἴασε τὸ τοῦ θυμοῦ πνεῦμα, τοῖς ἱστίοις ἐμπεσόν, ἀνατρέψει τῆς διανοίας τὸ σκάφος, ἀλλά λεπτή τις αὔρα καὶ ἡδεῖα προσπνεύσασα, τῆς ἀνεξικακίας ἡ πνοή, μετὰ πολλῆς αὐτῷ τῆς ἡσυχίας ἐπὶ τὸν τῆς φιλοσοφίας ἄγει λιμένα.

Καὶ καθάπερ ἐν πλοίῳ ναυαγοῦντι οἱ ναῦται οὐκ ἴσασιν ἅ ῥίπτουσιν, ἄν τε τῶν οἰκείων, ἄν τε τῶν ἀλλοτρίων λάβωσι παρακαταθήκας, ἀλλὰ πάντων ὁμοίως ἐκβολὴν ποιοῦνται τῶν ἐγκειμένων, τῶν τε τιμίων τῶν τε οὐ τοιούτων, ἐπειδὰν δὲ ὁ χειμὼν παύσηται, τότε, ἀναλογιζόμενοι ὅσα ἐξέβαλον, δακρύουσι, καὶ τῆς γαλήνης οὐκ αἰσθάνονται διὰ τὴν ζημίαν τῆς ἐκβολῆς, οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ὁ θυμὸς πνεύσῃ, καὶ ὁ χειμὼν αἴρηται, οὐκ ἴσασιν ἐν τάξει ἐκβάλλειν τὰ δέοντα, ὅταν δὲ παύσηται ὁ θυμός, τότε ἀναλογιζόμενοι ποῖα ἐξέβαλον, ἐννοοῦσι τὴν ζημίαν, καὶ οὐκ αἰσθάνονται τῆς ἀναπαύσεως, τῶν ῥη-

νοῦν ἐκεῖνον ποὺ βρίζεται, τώρα ὅμως, ποὺ εἴμαστε καθαροὶ ἀπὸ τὸ πάθος αὐτό, ἂς προσέξομε, ὥστε νὰ μὴ παρασυρθοῦμε τότε ἀπ' αὐτό. Ποιὸν λοιπὸν καταδικάζομε ὅλοι; Εἶναι ὁλοφάνερο ὅτι καταδικάζομε ἐκεῖνον ποὺ βρίζει· καὶ ἂν μὲν εἶναι κατώτερος, θὰ ποῦμε ὅτι αὐτὸς εἶναι τρελλός, ἂν δὲ ἰσότιμος, ὅτι εἶναι ἀνόητος, ἂν δὲ ἀνώτερος, οὔτε ἔτσι θὰ τὸ ἀποδεχθοῦμε. Διότι πές μου, ποιὸν παραδεχόμαστε; αὐτὸν ποὺ ταράσσεται, αὐτὸν ποὺ συγχύζεται, αὐτὸν ποὺ γίνεται σὰν θηρίο, αὐτὸν ποὺ φέρεται ἔτσι πρὸς τὴν κοινὴ φύση, ἢ ἐκεῖνον ποὺ εἶναι γαλήνιος, ἤρεμος καὶ γεμάτος ἀπὸ πολλὴ ἐγκράτεια; δὲν μοιάζει ὁ μὲν ἕνας μὲ ἄγγελο, ὁ δὲ ἄλλος οὔτε κἂν μὲ ἄνθρωπο; Διότι αὐτὸς μὲν δὲν μπορεῖ οὔτε τὰ δικά του κακὰ νὰ βαστάξει, ἐνῶ ἐκεῖνος καὶ τὰ ξένα· αὐτὸς δὲν μπόρεσε οὔτε καὶ τὸν ἑαυτό του νὰ ὑποφέρει, ἐνῶ ἐκεῖνος ὑποφέρει καὶ ἄλλον· ἐκεῖνος μὲν βρίσκεται μέσα σὲ ναυάγιο, ἐνῶ αὐτὸς πλέει μὲ ἀσφάλεια, καὶ τὸ πλοῖο του κατευθύνεται μὲ εὐνοϊκοὺς ἀνέμους· διότι δὲν ἄφησε τὸν ἄνεμο τοῦ θυμοῦ, ποὺ ἔπεσε στὰ πανιὰ τοῦ σκάφους, ν' ἀνατρέψει τῆς διάνοιας τὸ σκάφος, ἀλλά, ἀφοῦ ἔπνευσε κάποια λεπτὴ καὶ εὐχάριστη αὔρα, ἡ πνοὴ τῆς ἀνεξικακίας, μὲ πολλὴ ἡσυχία ὁδηγεῖ τὸ πλοῖο στὸ λιμάνι τῆς εὐσέβειας.

Καὶ ὅμως ἀκριβῶς σὲ πλοῖο ποὺ ναυαγεῖ οἱ ναῦτες δὲν γνωρίζουν ἐκεῖνα ποὺ ρίχνουν, εἴτε αὐτὰ εἶναι δικά τους, εἴτε τῶν ξένων ποὺ τὰ ἔλαβαν γιὰ φύλαξη, ἀλλ' ὅλα ποὺ βρίσκονται μέσα χωρὶς ἐξαίρεση τὰ ρίχνουν, καὶ τὰ πολύτιμα καὶ τὰ μὴ πολύτιμα, ὅταν δὲ ἡ κακοκαιρία περάσει, τότε, σκεπτόμενοι ἐκεῖνα ποὺ ἔρριξαν, δακρύζουν, καὶ δὲν αἰσθάνονται τὴ γαλήνη ἐξ αἰτίας τῆς ζημιᾶς ἐκείνων ποὺ ἔρριξαν, ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅταν ὁ θυμὸς πνεύσει καὶ δημιουργηθεῖ σύγχυση καὶ ταραχή, δὲν γνωρίζουν νὰ ἐκστομίζουν μὲ τάξη ἐκεῖνα ποὺ πρέπει, ὅταν δὲ παύσει ὁ θυμός, τότε, ἀναλογιζόμενοι ποιὰ λόγια ἐξεστόμισαν, ἀντιλαμβάνονται τὴ ζημιά, καὶ δὲν αἰσθάνονται τὴν ἀνάπαυση, ἐνθυμούμενοι τὰ λόγια ποὺ εἶπαν, μὲ τὰ ὁποῖα

μάτων μεμνημένοι, δι' ὧν κατήσχυναν ἑαυτούς, καὶ τὰ μέγιστα ἐζημιώθησαν, οὐ περὶ χρήματα, ἀλλὰ περὶ δόξαν ἐπιεικείας καὶ πραότητος.

Ὄντως σκότος ἐστὶν ὁ θυμός. «Εἶπεν ἄφρων», φησίν, «ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός». Τάχα καὶ περὶ τοῦ θυμουμένου τοῦτο εἰπεῖν εὔκαιρον, ὅτι εἶπεν ὁ θυμούμενος· «Οὐκ ἔστι Θεός»· «κατὰ γὰρ τὸ πλῆθος», φησί, «τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει». Ὅς γὰρ ἂν ἐπεισέλθῃ λογισμὸς εὐσεβής, πάντας διωθεῖται καὶ διακρούεται, πάντας ῥίπτει πλαγίους. Εἰ μὴ σὺ μᾶλλον ἀλγεῖς τοῦ ὑβρισθέντος, ὕβριζε, κἂν μηδεὶς ὁ ἐγκαλῶν, εἰ μὴ τὸ τοῦ συνειδότος δικαστήριον, ἰδίᾳ σε λαβόν, μαστίζει μυρία. Ὅταν οὖν ἀκούσῃς ὅτι ὁ ὑβριζόμενος οὐδὲν ἐξέβαλε ῥῆμα πικρόν, οὐχὶ ταύτῃ μᾶλλον ἀλγεῖς; Εἰπέ μοι, πῶς ἄνθρωπον πρᾶον, καὶ ταπεινόν, καὶ ἐπιεικῆ μυρίαις ἔπλυνας λοιδορίαις; Ταῦτα λέγομεν συνεχῶς, οὐχ ὁρῶμεν δὲ ἐπιδεικνύμενα διὰ τῶν ἔργων. Ἄνθρωπος ὤν, ἄνθρωπον ὑβρίζεις; δοῦλος ὤν, τὸν ὁμόδουλον; Ἀλλὰ τί τοῦτο θαυμάζω, ὅπου γε καὶ Θεὸν ὑβρίζουσι πολλοί;

4. Τοῦτο πρὸς ὑμᾶς ἔστω παραμυθία τοὺς ὑβριζομένους. Ὑβρίζεσθε; ὑβρίζεται καὶ Θεός. Ὀνειδίζεσθε; ὀνειδίζεται καὶ Θεός. Διαπτύεσθε; καὶ γὰρ καὶ ὁ Δεσπότης ὁ ἡμέτερος. Ἐν μὲν οὖν τούτοις ἡμῖν κοινωνεῖ, ἐν δὲ τοῖς ἐναντίοις οὐκ ἔτι· οὐ γὰρ ὕβρισεν ἀδίκως ποτέ, μὴ γένοιτο! οὐδὲ ὠνείδισεν ἁπλῶς, οὐδὲ ἠδίκησεν. Ὥστε ἡμεῖς ἐσμεν οἱ κοινωνοῦντες, οὐχ ὑμεῖς· τὸ μὲν γὰρ ὑβριζόμενον φέ-

------

28. Ψαλμ. 13, 1
29. Ψαλμ. 9, 25

καταντρόπιασαν τὸν ἑαυτό τους, καὶ ὑπέστησαν πάρα πολὺ μεγάλη ζημιά, ὄχι σχετικὰ μὲ χρήματα, ἀλλὰ σχετικὰ μὲ τὴ φήμη γιὰ ἐπιείκεια καὶ πραότητα.

Πραγματικὰ ὁ θυμὸς εἶναι σκοτάδι. «Εἶπε ὁ ἀνόητος», λέγει, «μέσα στὴν καρδιά του· Δὲν ὑπάρχει Θεός»[28]. Ἴσως μποροῦμε αὐτὸ νὰ τὸ ποῦμε καὶ γιὰ ἐκεῖνον ποὺ κυριεύεται ἀπὸ τὸ θυμό, ὅτι δηλαδὴ εἶπε ὁ ὀργιζόμενος· «Δὲν ὑπάρχει Θεός»· Διότι, λέγει, «Δὲν θὰ ζητήσει ὁ Θεὸς εὐθύνες ἀνάλογα μὲ τὸ μέγεθος τῆς ὀργῆς του»[29]. Ὁποιοσδήποτε δηλαδὴ εὐσεβὴς λογισμὸς συμβεῖ νὰ εἰσέλθει στὸ νοῦ μας, ὅλους τοὺς ἀπωθεῖ καὶ τοὺς ἀποκρούει, ὅλους τοὺς παραμερίζει. Ἐὰν σὺ δὲν πονᾶς περισσότερο ἀπὸ ἐκεῖνον ποὺ βρίζεται, βρίζε τότε, καὶ ἂν ἀκόμα δὲν ὑπάρχει κανένας ποὺ νὰ σὲ κατηγορεῖ, παρὰ μόνο τὸ δικαστήριο τῆς συνειδήσεως, τὸ ὁποῖο λαμβάνοντάς σε μόνο, σοῦ δίνει ἀμέτρητα μαστιγώματα. Ὅταν λοιπὸν ἀκούσεις ὅτι αὐτὸς ποὺ βρίζεται δὲν ἔβγαλε οὔτε ἕνα κακὸ λόγο, δὲν πονᾶς πολὺ περισσότερο γι' αὐτὸ τὸ λόγο; Πές μου, πῶς ἄνθρωπο πράο, ταπεινὸ καὶ ἐπιεική, τὸν περιέλουσες μὲ ἀμέτρητα κακόλογα; Αὐτὰ λέμε συνέχεια, δὲν βλέπομε ὅμως ν' ἀποδεικνύονται μὲ τὰ ἔργα. Ἐνῶ εἶσαι ἄνθρωπος, βρίζεις ἄνθρωπο; ἐνῶ εἶσαι δοῦλος, βρίζεις τὸν ὁμόδουλό σου; Ἀλλὰ γιατί ἀπορῶ μ' αὐτό, τὴ στιγμὴ βέβαια ποὺ πολλοὶ βρίζουν καὶ τὸ Θεό;

4. Αὐτὸ ἂς ἀποτελεῖ παρηγοριὰ γιὰ σᾶς ποὺ βρίζεσθε. Βρίζεσθε; βρίζεται καὶ ὁ Θεός. Χλευάζεσθε; χλευάζεται καὶ ὁ Θεός· Περιφρονεῖσθε; περιφρονεῖται καὶ ὁ Κύριός μας. Καὶ σ' αὐτὰ μὲν παίρνει μέρος μαζί μας καὶ αὐτός, ἐνῶ στ' ἀντίθετα ὄχι· διότι ποτὲ δὲν ἔβρισε ἄδικα, μακριὰ μιὰ τέτοια σκέψη! οὔτε γενικὰ χλεύασε, οὔτε ἀδίκησε. Ὥστε ἐμεῖς συμμετέχομε σ' αὐτὸ ποὺ κάνει αὐτός, ὄχι ἐσεῖς· διότι τὸ νὰ δείχνει κανεὶς ὑπομονὴ ὅταν βρίζεται, εἶναι γνώρισμα τοῦ Θεοῦ, ἐνῶ τὸ νὰ βρίζει γενικά, εἶναι

ρειν, Θεοῦ, τὸ δὲ ὑβρίζειν ἁπλῶς, δαίμονος. Ἴδετε τὰς δύο μερίδας. «Δαιμόνιον ἔχεις», ἤκουσεν ὁ Χριστός· ἐρραπίσθη ἀπὸ τοῦ δούλου τοῦ ἀρχιερέως. Οἱ ὑβρίζοντες τοίνυν ἀδίκως μετ' ἐκείνων ἑστήκασιν. Εἰκότως· εἰ γὰρ ὁ Πέτρος καὶ Σατανᾶς ἤκουσε δι' ἓν ῥῆμα, πολλῷ μᾶλλον οὗτοι Ἰουδαῖοι ἀκούσονται, ὅταν τὰ Ἰουδαίων ποιῶσιν, ὥσπερ κἀκεῖνοι διαβόλου τέκνα, ἐπειδὴ τὰ τοῦ διαβόλου εἰργάζοντο.

Ὑβρίζεις, τί ὤν; εἰπέ μοι. Μᾶλλον δὲ διὰ τοῦτο ὑβρίζεις, ἐπειδὴ οὐδὲν εἶ· οὐδεὶς γάρ, ἄνθρωπος ὤν, ὑβρίζει. Ὥστε, ὃ λέγεται ἐν ταῖς μάχαις, 'Σὺ τίς εἶ;' ἐξ ἐναντίας ἔδει λέγεσθαι· οἷον, 'ὕβριζε' λέγειν ἐχρῆν· οὐδὲν γὰρ εἶ· νῦν δέ, λεγόντων ἡμῶν, ''Ὡς τίς ὑβρίζεις;'. ''Ὡς βελτίων σου', διὰ πάντων ἀκούειν ἔστι. Καὶ μὴν τὸ ἐναντίον ἔδει λέγειν· ἀλλά, ἐπειδὴ ἡμεῖς κακῶς ἐρωτῶμεν, διὰ τοῦτο κἀκεῖνοι κακῶς ἀποκρίνονται, ὥστε ἡμεῖς αἴτιοι. Ὡς μεγάλων γὰρ ἀνδρῶν ὄντων τῶν ὑβριζόντων, οὕτω λέγομεν· ''Ὡς τὶς ὑβρίζεις;'. Διὰ τοῦτο κἀκεῖνοι οὕτως ἀποκρίνονται. Τοὐναντίον δὲ ἐχρῆν λέγειν· ''Ὑβρίζεις; ὕβριζε· οὐδεὶς γὰρ εἶ'. Πρὸς δὲ τοὺς οὐχ ὑβρίζοντας τοῦτο μᾶλλον ἔδει λέγεσθαι· ''Ὡς τίς οὐχ ὑβρίζεις; ὑπερέβης τὴν ἀνθρωπίνην φύσιν'. Τοῦτο εὐγένεια, τοῦτο ἐλευθερία, μηδὲν ἀνελεύθερον φθέγγεσθαι, κἂν ἄξιος ᾖ τις ἀκούειν.

Εἰπὲ δή μοι, πόσοι οὐχὶ ἄξιοί εἰσιν ἀναιρεῖσθαι; Ἀλλ' ὅμως οὐ ποιεῖ τοῦτο δι' ἑαυτοῦ ὁ δικαστής, ἀλλ' ἐρωτᾷ· καὶ οὐδὲ τοῦτο δι' ἑαυτοῦ. Εἰ δὲ διαλέ-

---

31. Ἰω. 18, 22
32. Μάρκ. 8, 33
33. Ἰω. 8, 44

γνώρισμα τοῦ δαίμονα· Προσέξτε τὶς δύο κατηγορίες. «Δαιμόνιο ἔχεις»[30], ἄκουσε ὁ Χριστός· ραπίσθηκε ἀπὸ τὸν δοῦλο τοῦ ἀρχιερέα[31]. Ἐκεῖνοι λοιπὸν ποὺ βρίζουν ἄδικα ἔχουν κατατάξει τὸν ἑαυτό τους μὲ ἐκείνους. Καὶ πολὺ σωστά· διότι, ἐὰν ὁ Πέτρος ἄκουσε νὰ ὀνομάζεται καὶ Σατανᾶς[32] γιὰ ἕνα μόνο λόγο, πολὺ περισσότερο θὰ ἀκούσουν αὐτοὶ οἱ Ἰουδαῖοι, ἐφόσον ἐκτελοῦν τὰ ἔργα τῶν Ἰουδαίων, ὅπως ἀκριβῶς καὶ ἐκεῖνος, νὰ ὀνομάζονται τέκνα τοῦ διαβόλου[33], ἐπειδὴ ἔπρατταν τὰ ἔργα τοῦ διαβόλου.

Βρίζεις· πές μου σὲ παρακαλῶ, ποιὸς εἶσαι; Ἢ καλύτερα γι' αὐτὸ βρίζεις, ἐπειδὴ δὲν εἶσαι τίποτε· διότι κανένας, ποὺ εἶναι ἄνθρωπος, δὲν βρίζει. Ὥστε, ἐκεῖνο ποὺ λέγεται στὶς λογομαχίες, 'Σὺ ποιὸς εἶσαι;', ἔπρεπε νὰ λέγεται τὸ ἀντίθετο· ὅπως, ἔπρεπε νὰ λέγει, 'βρίζε'· διότι δὲν εἶσαι τίποτε· ἐνῶ τώρα, λέγοντας ἐμεῖς, 'Σὰν ποιὸς βρίζεις;' 'Σὰν ἀνώτερός σου', μποροῦμε ν' ἀκούσομε νὰ λένε ὅλοι. Καὶ ὅμως ἔπρεπε νὰ λένε τὸ ἀντίθετο, ὅμως, ἐπειδὴ ἐμεῖς ρωτᾶμε λανθασμένα, γι' αὐτὸ καὶ ἐκεῖνοι ἀποκρίνονται λανθασμένα· ἐπομένως ἐμεῖς εἴμαστε αἴτιοι. Διότι, σὰν νὰ εἶναι σπουδαῖοι ἄνθρωποι ἐκεῖνοι ποὺ βρίζουν, λέμε τὸ ἑξῆς· 'Σὰν ποιὸς βρίζεις;'. Γι' αὐτὸ καὶ ἐκεῖνοι ἀποκρίνονται ἔτσι. Ἔπρεπε δὲ νὰ λέμε τὸ ἀντίθετο· 'Βρίζεις; βρίζε· διότι δὲν εἶσαι τίποτε'. Ἐνῶ πρὸς ἐκείνους ποὺ δὲν βρίζουν αὐτὸ μᾶλλον ἔπρεπε νὰ λέγεται· 'Σὰν νὰ εἶσαι ποιὸς δὲν βρίζεις; ὑπερέβηκες τὴν ἀνθρώπινη φύση'. Αὐτὸ εἶναι εὐγένεια, αὐτὸ ἐλευθερία, τὸ νὰ μὴ λὲς τίποτε τὸ δουλικό, καὶ ἂν ἀκόμα κάποιος εἶναι ἄξιος ν' ἀκούσει αὐτό.

Πές μου λοιπὸν σὲ παρακαλῶ, πόσοι δὲν εἶναι ἄξιοι νὰ θανατωθοῦν; Ἀλλ' ὅμως δὲν τὸ κάνει αὐτὸ μόνος του ὁ δικαστής, ἀλλ' ἐρωτᾶ· καὶ οὔτε αὐτὸ τὸ κάνει μόνος του. Ἐὰν δὲ δὲν εἶναι ἀνεκτὸ στὸν δικαστὴ νὰ συνομιλεῖ μὲ ἄνθρωπο κακό, ἀλλὰ χρησιμοποιεῖ κάποιο μέσο, πολὺ

γεσθαι ἀνθρώπῳ πονηρῷ οὐκ ἀνεκτὸν δικάζοντα, ἀλλὰ μέσῳ τινὶ κέχρηται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς ὁμοτίμους ὑβρίζειν οὐ χρή· οὐ γὰρ οὕτω τῷ ὑβρίσαι πλεονεκτήσομεν αὐτῶν, ὡς τῷ διδαχθῆναι ὅτι ὑβρίσαμεν ἑαυτούς. Τοὺς μὲν οὖν πονηροὺς διὰ τοῦτο οὔτε ὑβρίζειν χρή, τοὺς δὲ ἀγαθοὺς καὶ δι' ἕτερον, ὅτι οὐκ ἄξιοι· καὶ τρίτον, ὅτι ὑβριστὴν εἶναι οὐ χρή. Νῦν δὲ ὅρα ὅσα γίνεται· ὑβρίζεται καὶ ἐπηρεάζεται ἄνθρωπος, καὶ ὁ ἐπηρεάζων ἄνθρωπος, καὶ οἱ θεωροῦντες ἄνθρωποι. Τί οὖν; τὰ θηρία δεῖ εἰς μέσον ἐλθεῖν καὶ διαλῦσαι; τοῦτο γὰρ λείπεται. Ὅταν γὰρ οἱ τερπόμενοι τῇ ἀδικίᾳ ἄνθρωποι ὦσι, τοῖς θηρίοις ἡ καταλλαγὴ λείπεται· ὥσπερ οὖν, δεσποτῶν μαχομένων ἐν οἰκίᾳ, λείπεται τοὺς οἰκέτας καταλλάττειν (τοῦτο γὰρ ἡ τοῦ πράγματος φύσις ἀπαιτεῖ, εἰ καὶ ταύτῃ τάχα μὴ γίνεται), οὕτω καὶ ἐνταῦθα.

Ὑβρίζεις; εἰκότως· οὐδὲ γὰρ ἄνθρωπος εἶ. Διὰ τοῦτο ἔδοξε μέγα τι εἶναι ἡ ὕβρις, ἔδοξε τοῖς μεγάλοις προσήκειν· τὸ δὲ ἀνδραπόδοις μᾶλλον προσήκει, ὥσπερ τὸ εὐφημεῖν ἐλευθέροις ἐμπρέπει· ὥσπερ γὰρ τὸ κακῶς ποιεῖν ἐκείνων, οὕτω τὸ κακῶς πάσχειν τούτων. Οἷόν ἐστι κλέπτρια δούλη, τὰ τοῦ δεσπότου λαθραίως ὑφαιροῦσα, τοιοῦτόν τί ἐστι καὶ ὕβρις· καὶ ὡς ἂν εἴποι τις, καθάπερ ὁ κλέπτης, σπουδῇ εἰσιών, πανταχοῦ περιβλέπεται, ὑφελέσθαι τι σπουδάζων, οὕτω καὶ οὗτος πάντα περισκοπεῖ, ἐκβάλλειν τι θέλων.

Τάχα ἑτέρῳ τινὶ παραδείγματι αὐτὸν διαγράψωμεν. Ὥσπερ γὰρ εἴ τις, σκεύη ἀκάθαρτα κλέπτων ἐξ οἰκίας, καὶ ἐξάγων πάντων ἔμπροσθεν, οὐχὶ τὰ

περισσότερο ἐμεῖς δὲν πρέπει νὰ βρίζομε τοὺς ἰσότιμους μὲ ἐμᾶς· διότι δὲν θὰ καταστοῦμε τόσο πολὺ ἀνώτεροι ἀπὸ αὐτοὺς μὲ τὸ νὰ τοὺς βρίσομε, ὅσο μὲ τὸ νὰ διδαχθοῦν ὅτι βρίσαμε τὸν ἑαυτό μας. Τοὺς μὲν λοιπὸν κακοὺς γι' αὐτὸ πρέπει νὰ μὴ τοὺς βρίζομε, τοὺς δὲ ἀγαθοὺς καὶ γιὰ ἄλλο λόγο, διότι δὲν εἶναι ἄξιοι νὰ βρισθοῦν· καὶ τρίτο, ὅτι δὲν πρέπει νὰ εἶσαι ὑβριστής. Τώρα ὅμως πρόσεχε ὅσα συμβαίνουν· βρίζεται καὶ περιφρονεῖται ἄνθρωπος, καὶ ὁ περιφρονητὴς εἶναι ἄνθρωπος, καὶ οἱ θεατὲς ἄνθρωποι. Τί λοιπόν; πρέπει τὰ θηρία νὰ προσέλθουν ἐκεῖ καὶ νὰ τοὺς σταματήσουν; καθόσον αὐτὸ ὑπολείπεται· Διότι, ὅταν αὐτοὶ ποὺ εὐχαριστοῦνται μὲ τὴν ἀδικία εἶναι ἄνθρωποι, ἡ συμφιλίωση ἀπομένει νὰ γίνει ἀπὸ τὰ θηρία· ὅπως ἀκριβῶς δηλαδή, ὅταν λογομαχοῦν οἱ οἰκοδεσπότες στὴν οἰκία, ἐναπομένει στοὺς ὑπηρέτες νὰ τοὺς συμφιλιώσουν (διότι αὐτὸ ἀπαιτεῖ ἡ φύση τοῦ πράγματος, ἂν καὶ αὐτὸ ἐνδεχομένως δὲν γίνεται), ἔτσι καὶ ἐδῶ.

Βρίζεις; πολὺ σωστά· διότι δὲν εἶσαι οὔτε κἂν ἄνθρωπος. Γι' αὐτὸ θεωρήθηκε ὅτι εἶναι κάποιο πολὺ σπουδαῖο πράγμα ἡ ὕβρη, καὶ θεωρήθηκε ὅτι ταιριάζει στοὺς μεγάλους! ἀλλ' αὐτὸ ταιριάζει πολὺ περισσότερο στοὺς δούλους, ὅπως ἀκριβῶς οἱ ἔπαινοι ταιριάζουν στοὺς ἐλεύθερους· διότι, ὅπως ἀκριβῶς ἡ διάπραξη τῆς κακίας ἀνήκει σ' ἐκείνους, ἔτσι καὶ τὰ κακοπαθήματα ἀνήκουν σ' αὐτούς. Ὅ,τι ἀκριβῶς εἶναι ἡ κλέφτρα δούλη, ποὺ ἀφαιρεῖ κρυφὰ τὰ πράγματα τοῦ κυρίου της, κάτι παρόμοιο εἶναι καὶ ἡ ὕβρη· καί, ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, ὅπως ἀκριβῶς ὁ κλέφτης, ἐρχόμενος μὲ πολλὴ βιασύνη, ἐλέγχει παντοῦ τριγύρω του, προσπαθώντας κάτι νὰ κλέψει, ἔτσι καὶ αὐτὸς τὰ πάντα τριγύρω του ἐξετάζει μὲ προσοχή, θέλοντας νὰ ἐκστομίσει κάποια ὕβρη.

Μποροῦμε καὶ μὲ κάποιο ἄλλο παράδειγμα νὰ τὸν περιγράψομε. Ὅπως ἀκριβῶς δηλαδή, ἐὰν κάποιος, κλέβοντας σκεύη ἀκάθαρτα ἀπὸ κάποια οἰκία, καὶ παρουσιάζοντάς τα

ὑφαιρεθέντα ᾔσχυνε τοσοῦτον, ὅσον αὐτὸς ἑαυτόν, ταῦτα ὑφελόμενος καὶ ἐξάγων, οὕτω δὴ καὶ οὗτος, ἐκβαλὼν ἔμπροσθεν πάντων ἀκάθαρτα ῥήματα, οὐχὶ ἑτέρους ᾔσχυνεν, ἀλλ' ἑαυτὸν διὰ τῶν ῥημάτων, προαγαγὼν τοιαῦτα καὶ καταρρυπάνας αὐτοῦ καὶ τὴν γλῶτταν καὶ τὴν διάνοιαν· ταὐτὸν γὰρ γίνεται, ὅταν πρὸς τοὺς πονηροὺς μαχώμεθα, ὥσπερ ἄν, εἴ τις ἄνθρωπος τὸν ἐν σηπεδόνι ὄντα ὑπὲρ τοῦ πρῆξαι μολύνῃ ἑαυτόν, καθεὶς αὐτοῦ τὰς χεῖρας εἰς τὸν βόρβορον.

Ταῦτα δή, παρακαλῶ, πάντα ἀναλογιζόμενοι, φεύγωμεν τὴν ἐντεῦθεν βλάβην, καὶ εὔφημον ἔχωμεν γλῶτταν, ἵνα, καθαρεύοντες πάσης ὕβρεως, δυνηθῶμεν μετὰ ἀκριβείας τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μπροστὰ σ' ὅλους, δὲν ἀτιμάζει τόσο πολὺ τὰ κλοπιμαῖα, ὅσο τὸν ἑαυτό του, κλέβοντας αὐτὰ καὶ παρουσιάζοντας μπροστὰ σ' ὅλους, ἔτσι λοιπὸν καὶ αὐτός, ἐκστομίζοντας μπροστὰ σ' ὅλους ἀκάθαρτα λόγια, δὲν καταντρόπιασε ἄλλους, ἀλλὰ τὸν ἴδιο τὸν ἑαυτό του μὲ τὰ λόγια του, προβάλλοντας ἀπὸ τὸ στόμα του τέτοια λόγια καὶ καταλερώνοντας καὶ τὴ γλώσσα του καὶ τὴ διάνοιά του· διότι τὸ ἴδιο συμβαίνει, ὅταν φινονεικοῦμε μὲ τοὺς κακούς, ὅπως ἀκριβῶς δηλαδὴ ἂν κάποιος ἄνθρωπος μολύνει τὸν ἑαυτό του, θέλοντας νὰ χτυπήσει ἐκεῖνον ποὺ βρίσκεται μέσα στὴ σαπίλα, βουτώντας τὰ χέρια του μέσα στὸ βοῦρκο.

Σκεπτόμενοι λοιπόν, παρακαλῶ, ὅλα αὐτά, ἂς ἀποφύγουμε τὴ βλάβη ποὺ προέρχεται ἀπὸ αὐτά, καὶ ἂς ἔχομε τὴ γλώσσα μας ἕτοιμη νὰ ἐπαινεῖ, ὥστε, διατηρώντας τὸν ἑαυτό μας καθαρὸ ἀπὸ κάθε ὕβρη, νὰ μπορέσομε μὲ μεγάλη προσοχὴ νὰ διανύσομε τὴν παρούσα ζωή, καὶ νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Μ΄

(Πράξ. 18, 18 - 19, 7)

«Ὁ δὲ Παῦλος, ἔτι προσμείνας ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν».

1. Ὅρα πῶς ὁ νόμος καταλέλυται, ὅρα πῶς τῷ συνειδότι κατείχοντο. Τοῦτο Ἰουδαϊκὸν ἦν, τὸ κείρασθαι τὰς κεφαλὰς κατ' εὐχήν. Πλὴν ἔδει καὶ θυσίαν γενέσθαι, ἥτις οὐκ ἐγένετο μετὰ τὸ τυπτηθῆναι τὸν Σωσθένην. Ἔδει ἀπελθεῖν αὐτόν, διὸ καὶ ἐπείγεται. Καὶ παρακαλούμενος μεῖναι παρ' αὐτοῖς ἐν Ἐφέσῳ, οὐκ ἀνέχεται.

Τίνος οὖν ἕνεκεν πάλιν τὴν Ἀντιόχειαν καταλαμβάνει; «Ἀναβάς» γάρ, φησί, «καὶ ἀσπασάμενος τὴν Ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν». Ἐπιθυμίαν εἶχε τῆς πόλεως, παθών τι ἀνθρώπινον πρὸς αὐτήν· ἐνταῦθα γὰρ ἐσχηματίσθησαν οἱ μαθηταὶ καλεῖσθαι Χριστιανοί, ἐνταῦθα παρεδόθη τῇ χάριτι τοῦ Θεοῦ, ἐνταῦθα ἤνυσε πράγματα τὰ κατὰ τὸ δόγμα. Καὶ ὁ μὲν εἰς Συρίαν ἐξέπλει, τούτους δὲ ἀφῆκεν εἰς Ἔφεσον εἰκότως, ὡς διδάξοντας. Τοσοῦτον αὐτῷ συγγενόμενοι χρόνον, πολλὰ ἔμαθον· καὶ ὅμως τῆς συνη-

------

1. Πράξ. 18, 18   2. Πράξ. 18, 17   3. Πράξ. 18, 22

ΟΜΙΛΙΑ Μ΄
(Πράξ. 18, 18 - 19, 7)

«Ὁ Παῦλος δέ, ἀφοῦ ἔμεινε ἀκόμα ἀρκετὲς ἡμέρες, ἀποχαιρέτησε τοὺς ἀδελφοὺς καὶ ἀπέπλευσε πρὸς τὴ Συρία καὶ μαζὶ μ᾽ αὐτὸν καὶ ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας, ἀφοῦ ἔκοψε τὰ μαλλιά του στὶς Κεχρεές· διότι τὸ εἶχε κάνει τάξιμο»[1].

1. Πρόσεχε πῶς ὁ Μωσαϊκὸς νόμος καταργεῖται, πρόσεχε πῶς ἐξουσιάζονταν ἀπὸ τὴ συνείδηση. Αὐτὸ ἦταν ἰουδαϊκὴ συνήθεια, τὸ νὰ κουρέβουν τὰ κεφάλια τους σύμφωνα μὲ τὸ τάμα ποὺ ἔκαναν. Πλὴν ὅμως ἔπρεπε νὰ γίνει καὶ θυσία, ἡ ὁποία δὲν ἔγινε μετὰ τὰ χτυπήματα ποὺ δέχθηκε ὁ Σωσθένης[2]. Ἔπρεπε νὰ φύγει αὐτός, γι᾽ αὐτὸ καὶ βιάζεται. Καὶ παρακαλούμενος νὰ μείνει κοντά τους στὴν Ἔφεσο, δὲν δέχεται.

Γιὰ ποιὸ λόγο λοιπὸν ἐπιστρέφει καὶ πάλι στὴν Ἀντιόχεια; Διότι, λέγει, «Ἀφοῦ ἀνέβηκε καὶ χαιρέτησε τὴν Ἐκκλησία τῆς Καισάρειας, κατέβηκε στὴν Ἀντιόχεια»[3]. Ἐπιθυμοῦσε νὰ δεῖ τὴν πόλη, νιώθοντας κάτι τὸ ἀνθρώπινο πρὸς αὐτήν· διότι ἐδῶ οἱ μαθητὲς πῆραν ἐντολὴ νὰ ὀνομάζονται Χριστιανοί, ἐδῶ παραδόθηκε στὴ χάρη τοῦ Θεοῦ, ἐδῶ κατόρθωσε τὰ θαυμαστὰ ἐκεῖνα ἀποτελέσματα τοῦ κηρύγματος. Καὶ αὐτὸς μὲν ἀπέπλευσε πρὸς τὴ Συρία, ἐνῶ αὐτοὺς τοὺς ἄφησε στὴν Ἔφεσο, πολὺ σωστά, μὲ σκοπὸ νὰ διδάξουν. Διότι ἐπειδὴ τὸν συναναστράφηκαν τόσο πολὺ χρόνο, ἔμαθαν πολλά· καὶ ὅμως δὲν τοὺς

θείας αὐτοὺς οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς. Ἰδοὺ καὶ γυνή, τὸ ἴσον ἀνδράσι ποιοῦσα καὶ διδάσκουσα. Διὰ τοῦτο ἐκωλύετο εἰς τὴν Ἀσίαν ἐλθεῖν, πρὸς τὰ κατεπείγοντα, οἶμαι, ἐλαυνόμενος.

Ὅρα γοῦν ἐνταῦθα καὶ παρακαλούμενον αὐτὸν μεῖναι, καὶ οὐκ ἀνεχόμενον, ἐπειδὴ ἐπείγετο ἀπελθεῖν. Οὐ μὴν ἁπλῶς αὐτοὺς εἴασεν, ἀλλὰ μετὰ ὑποσχέσεως· καὶ ὅπως, ἄκουε· «Κατήντησε δέ», φησίν, «εἰς Ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δέ, εἰσελθὼν εἰς τὴν συναγωγήν, διελέχθη τοῖς Ἰουδαίοις. Ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν, ἀλλ' ἀπετάξατο αὐτοῖς, εἰπών· Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. Καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου, καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν Ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν· καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς». Καὶ ὅρα, ἐκείνους τοὺς τόπους κατελάμβανεν, οἷς ἐπέβη πρὸ τούτου.

«Ἰουδαῖος δέ τις, Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς Γραφαῖς». Ἰδοὺ καὶ λόγιοι ἠπείγοντο κηρύττειν, καὶ ἀποδημοῦσι λοιπὸν οἱ μαθηταί. Ὁρᾷς ἐπίδοσιν τοῦ κηρύγματος;

«Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα

------

4. Πράξ. 18, 19 - 23
5. Πράξ. 18, 24

ἀπάλλαξε ἀκόμα ἀπὸ τὴν ἰουδαϊκὴ συνήθεια. Νὰ καὶ ἡ γυναίκα, κάμνει τὰ ἴδια μὲ τὸν ἄνδρα καὶ διδάσκει· Γι' αὐτὸ ἐμποδιζόταν νὰ ρθεῖ στὴν 'Ασία, ὁδηγούμενος, κατὰ τὴ γνώμη μου, πρὸς ἐκεῖνα ποὺ ἦταν πιὸ βιαστικά.

Πρόσεχε λοιπὸν ἐδῶ ποὺ καὶ παρακαλεῖται νὰ μείνει, καὶ δὲν δέχεται, ἐπειδὴ βιαζόταν ν' ἀναχωρήσει. 'Αλλ' ὅμως δὲν τοὺς ἄφησε ἔτσι τυχαῖα, ἀλλὰ μὲ ὑπόσχεσή του· καὶ μὲ ποιὰ ὑπόσχεση, ἄκου· «"Εφθασε», λέγει, «στὴν "Εφεσο καὶ ἄφησε ἐκείνους ἐκεῖ, ὁ ἴδιος δὲ μπῆκε στὴ συναγωγὴ καὶ συνομίλησε μὲ τοὺς 'Ιουδαίους. "Οταν δὲ τὸν παρακάλεσαν νὰ μείνει κοντά τους περισσότερο χρόνο, δὲν δέχθηκε, ἀλλ' ἀρνήθηκε καὶ ἀποχαιρετώντας τους τοὺς εἶπε· Πρέπει ὁπωσδήποτε τὴν ἑορτὴ ποὺ ἔρχεται νὰ τὴν ἑορτάσω στὰ 'Ιεροσόλυμα, ἀλλὰ πάλι θὰ ἐπιστρέψω σ' ἐσᾶς, ἐὰν τὸ θέλει ὁ Θεός. 'Απέπλευσε τότε ἀπὸ τὴν "Εφεσο καὶ ἀποβιβάσθηκε στὴν Καισάρεια, καί, ἀφοῦ ἀνέβηκε καὶ χαιρέτησε τὴν 'Εκκλησία, κατέβηκε στὴν 'Αντιόχεια. 'Αφοῦ ἔμεινε ἐκεῖ λίγο χρόνο, ἀναχώρησε, διερχόμενος τὴ χώρα τῆς Γαλατίας καὶ τὴ Φρυγία, στηρίζοντας στὴν πίστη ὅλους τοὺς μαθητές»[4]. Καὶ πρόσεχε, ἐπισκεπτόταν ἐκείνους τοὺς τόπους, στοὺς ὁποίους πῆγε καὶ πιὸ μπροστά.

«Κάποιος 'Ιουδαῖος δέ, ὀνομαζόμενος 'Απολλώς, καταγόμενος ἀπὸ τὴν 'Αλεξάνδρεια, ἄνθρωπος μορφωμένος καὶ δυνατὸς στὶς Γραφές, ἔφθασε στὴν "Εφεσο»[5]. Νὰ καὶ λόγιοι ἄνθρωποι ἐκδήλωναν ὅλη τὴν προθυμία τους γιὰ νὰ κηρύττουν, καὶ ἀναχωροῦν πλέον οἱ μαθητὲς ἀπὸ τὸν τόπο τους μὲ σκοπὸ νὰ κηρύξουν. Βλέπεις πρόοδο τοῦ κηρύγματος;

«Αὐτὸς εἶχα κατηχηθεῖ στὴ διδασκαλία τοῦ Κυρίου, καὶ μιλοῦσε μὲ πολλὴ πνευματικὴ θέρμη καὶ ζῆλο καὶ δίδασκε μὲ ἀκρίβεια τὰ σχετικὰ μὲ τὸν Κύριο, γνωρίζοντας

'Ιωάννου. Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. 'Ακούσαντες δὲ αὐτοῦ 'Ακύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτόν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν». Εἰ τὸ βάπτισμα 'Ιωάννου μόνον ἠπίστατο οὗτος, πῶς τῷ Πνεύματι ἕξει; τὸ γὰρ Πνεῦμα οὐχ οὕτως ἐδίδετο. Εἰ δὲ καὶ οἱ μετὰ τοῦτον ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ, πολλῷ μᾶλλον οὗτος ἐδεήθη ἄν. Τί οὖν εἰπεῖν; οὐδὲ γὰρ ἁπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα ὁ συγγραφεύς. 'Εμοὶ δοκεῖ εἷς οὗτος εἶναι τῶν ἑκατὸν εἴκοσι τῶν μετὰ τῶν 'Αποστόλων βαπτισθέντων· ἤ, εἰ μὴ τοῦτο, ὅπερ ἐπὶ τοῦ Κορνηλίου γέγονε, γεγένηται καὶ ἐπὶ τούτου. 'Αλλ' οὐ βαπτίζεται, ἀλλ' ὅτε ἀκριβέστερον αὐτῷ ἐξέθεντο. Τοῦτο δὲ εἶναί μοι ἀληθὲς φαίνεται, ὅτι καὶ βαπτισθῆναι αὐτὸν ἔδει· ἐπεὶ οἱ δώδεκα οἱ ἄλλοι οὐδὲν ᾔδεσαν ἀκριβές, οὐδὲ τὰ περὶ τοῦ 'Ιησοῦ. Εἰκὸς δὲ αὐτὸν καὶ βαπτισθῆναι. Πλήν, εἰ καὶ αὐτοὶ οἱ 'Ιωάννου μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τοὺς μαθητὰς τοῦτο ποιῆσαι.

«Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς 'Αχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος· εὐτόνως γὰρ τοῖς 'Ιουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν Γραφῶν εἶναι τὸν Χριστὸν 'Ιησοῦν».

«'Εγένετο δὲ ἐν τῷ τὸν 'Απολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον, διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον. Καὶ εὑρών τινας μαθητάς, εἶπε πρὸς

---

6. Πράξ. 18, 25 - 26
7. Πράξ. 1, 15
8. Πράξ. 19, 1 - 8
9. Πράξ. 18, 27 - 28

μόνο τὸ βάπτισμα τοῦ Ἰωάννη. Αὐτὸς ἄρχισε μὲ θάρρος νὰ ὁμιλεῖ στὴ συναγωγή· Ὅταν τὸν ἄκουσαν ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα τὸν πῆραν κοντά τους καὶ ἀνέπτυξαν σ' αὐτὸν μὲ μεγαλύτερη ἀκρίβεια τὴ διδασκαλία τοῦ Θεοῦ»[6]. Ἐὰν αὐτὸς γνώριζε μόνο τὸ βάπτισμα τοῦ Ἰωάννη, πῶς διακατεχόταν ἀπὸ τὴ θέρμη τοῦ Πνεύματος; διότι τὸ Πνεῦμα δὲν χορηγοῦνταν ἔτσι. Ἐὰν δὲ καὶ οἱ μετὰ ἀπὸ αὐτὸν χρειάσθηκαν τὸ βάπτισμα τοῦ Χριστοῦ, πολὺ περισσότερο τὸ εἶχε ἀνάγκη αὐτός. Τί λοιπὸν μποροῦμε νὰ ποῦμε; διότι ὁ συγγραφέας δὲν ἀνέφερε τυχαῖα καὶ τὰ δύο ποὺ ἀκολουθοῦν στὴ συνέχεια. Ἐγὼ νομίζω ὅτι αὐτὸς εἶναι ἕνας ἀπὸ τοὺς ἑκατὸν εἴκοσι ποὺ βαπτίσθηκαν μαζὶ μὲ τοὺς Ἀποστόλους[7]· ἤ, ἐὰν δὲν εἶναι αὐτό, ἐκεῖνο ἀκριβῶς ποὺ συνέβηκε στὴν περίπτωση τοῦ Κορνηλίου, ἔχει συμβεῖ καὶ στὴν περίπτωση αὐτοῦ. Ὅμως δὲν βαπτίζεται, ἀλλ' ὅταν τοῦ ἀνέπτυξαν μὲ μεγαλύτερη ἀκρίβεια τὴ διδασκαλία. Αὐτὸ μοῦ φαίνεται ὅτι εἶναι σωστό, ὅτι δηλαδὴ ἔπρεπε αὐτὸς καὶ νὰ βαπτισθεῖ· διότι οἱ ἄλλοι δώδεκα δὲν γνώριζαν τίποτε μὲ ἀκρίβεια, οὔτε καὶ τὰ σχετικὰ μὲ τὸν Ἰησοῦ[8]. Πολὺ σωστὰ λοιπὸν αὐτὸς ἔπρεπε καὶ νὰ βαπτισθεῖ. Πλὴν ὅμως, ἐὰν καὶ οἱ ἴδιοι οἱ μαθητὲς τοῦ Ἰωάννη βαπτίζονταν πάλι μετὰ τὸ βάπτισμα ποὺ εἶχαν κάνει, ἔπρεπε καὶ οἱ μαθητὲς αὐτὸ νὰ κάνουν.

«Ἐπειδὴ ὅμως ἤθελε νὰ μεταβεῖ στὴν Ἀχαΐα, τὸν ἐνθάρρυναν σ' αὐτὸ οἱ ἀδελφοὶ καὶ ἔγραψαν στοὺς ἐκεῖ μαθητὲς νὰ τὸν δεχθοῦν· ὅταν δὲ αὐτὸς ἔφθασε ἐκεῖ, βοηθοῦσε πολὺ ἐκείνους ποὺ μὲ τὴ χάρη τοῦ Θεοῦ εἶχαν πιστέψει· διότι μὲ δύναμη ἔλεγχε δημόσια τοὺς Ἰουδαίους γιὰ τὴν μὴ ὀρθότητα τῶν ἀπόψεών τους καὶ μὲ τὶς Γραφὲς ἀποδείκνυε ὅτι ὁ Χριστὸς εἶναι ὁ Ἰησοῦς»[9].

«Ἐνῶ δὲ ὁ Ἀπολλὼς βρισκόταν στὴν Κόρινθο, ὁ Παῦλος, ἀφοῦ πέρασε τὰ μεσόγεια μέρη, ἦρθε στὴν Ἔφεσο· Ἐκεῖ βρῆκε μερικοὺς μαθητὲς καὶ εἶπε πρὸς αὐ-

αὐτούς· Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπαν πρὸς αὐτόν· Ἀλλ' οὐδὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν, ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον· Εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι· τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον. Ἦσαν δὲ πάντες οἱ ἄνδρες ὡσεὶ δέκα δύο». Πολλῷ οὗτοι ἐκείνου διεστήκασιν, οἱ μηδὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν εἰδότες. Οὗτοι οὖν, οἳ καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν τοῦ Κυρίου, καὶ προπέμπουσι, καὶ γράμματα ἐπιδιδόασιν. Ἐβούλετο μὲν οὖν καὶ αὐτὸς ἀπελθεῖν εἰς Ἀχαΐαν, πρὸ δὲ τοῦ προτρέψαι καὶ γράμματα δοῦναι αὐτῷ τοὺς ἀδελφοὺς οὐκ ἀναχωρεῖ.

«Ὃς παραγενόμενος συνεβάλετο», φησί, «τοῖς πεπιστευκόσιν· εὐτόνως γὰρ διακατηλέγχετο δημοσίᾳ ἐπιδεικνύων διὰ τῶν Γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν». Ἐντεῦθεν πῶς ἦν δυνατὸς ἐν ταῖς Γραφαῖς Ἀπολλὼς δείκνυσι· τοὺς μὲν γὰρ Ἰουδαίους σφόδρα ἐπεστόμιζε (τοῦτο γάρ ἐστι τὸ «διακατηλέγχετο»), τοὺς δὲ πιστεύοντας θαρρεῖν μᾶλλον ἐποίει, καὶ ἵστασθαι πρὸς τὴν πίστιν.

«Ἐγένετο δέ», φησί, «Παῦλον, διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον». Ταῦτα δὴ τὰ κατὰ Καισάρειαν καὶ τὰ λοιπά.

«Καὶ εὑρών τινας μαθητάς, εἶπε πρὸς αὐτούς·

---

10. Πράξ. 19, 1 - 8
11. Δηλαδὴ τὸν Ἀπολλώ.
12. Πράξ. 18, 27 - 28
13. Πράξ. 19, 1

τούς· Λάβατε Πνεῦμα ἅγιο ὅταν πιστέψατε; Ἐκεῖνοι δὲ εἶπαν πρὸς αὐτόν· οὔτε κἂν ἀκούσαμε ὅτι ὑπάρχει ἅγιο Πνεῦμα. Εἶπε πάλι πρὸς αὐτούς· Σὲ τί λοιπὸν βαπτισθήκατε; Ἐκεῖνοι δὲ εἶπαν· Στὸ βάπτισμα τοῦ Ἰωάννη. Εἶπε καὶ πάλι ὁ Παῦλος· Ὁ Ἰωάννης μὲν βάπτισε βάπτισμα μετανοίας, λέγοντας στὸ λαὸ νὰ πιστέψουν σ' ἐκεῖνον ποὺ ἔρχεται πίσω ἀπὸ αὐτόν, δηλαδὴ στὸν Ἰησοῦ Χριστό. Ὅταν τὸ ἄκουσαν αὐτὸ βαπτίσθηκαν στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἀφοῦ ὁ Παῦλος ἔθεσε τὰ χέρια του ἐπάνω σ' αὐτούς, ἦρθε τὸ ἅγιο Πνεῦμα σ' αὐτούς, καὶ μιλοῦσαν γλῶσσες καὶ προφήτευαν. Ἦταν δὲ ὅλοι μαζὶ περίπου δώδεκα»[10]. Πολὺ αὐτοὶ διέφεραν ἀπὸ ἐκεῖνον[11], αὐτοὶ ποὺ δὲν γνώριζαν οὔτε κἂν ὅτι ὑπάρχει ἅγιο Πνεῦμα. Αὐτοὶ λοιπόν, ποὺ ἀνέπτυξαν σ' αὐτὸν μὲ μεγαλύτερη ἀκρίβεια τὴ διδασκαλία τοῦ Κυρίου, καὶ τὸν στέλνουν μὲ τὶς εὐχές τους καὶ τοῦ δίνουν καὶ γράμματα συστατικά. Ἤθελε λοιπὸν καὶ αὐτὸς νὰ μεταβεῖ στὴν Ἀχαΐα, ἀλλ' ὅμως δὲν ἀναχωρεῖ προτοῦ τὸν ἐνθαρρύνουν οἱ ἀδελφοὶ καὶ τοῦ δώσουν γράμματα συστατικά.

«Ὅταν αὐτὸς ἔφθασε ἐκεῖ», λέγει, «βοήθησε ἐκείνους ποὺ εἶχαν πιστέψει· διότι μὲ δύναμη ἔλεγχε δημόσια τοὺς Ἰουδαίους γιὰ τὴ μὴ ὀρθότητα τῶν ἀπόψεών τους τους καὶ ἀποδείκνυε μὲ τὶς Γραφὲς ὅτι ὁ Χριστὸς εἶναι ὁ Ἰησοῦς»[12]. Μὲ αὐτὸ δείχνει πῶς ὁ Ἀπολλὼς ἦταν δυνατὸς στὶς Γραφές· διότι τοὺς μὲν Ἰουδαίους τοὺς ἀποστόμωνε ὑπερβολικὰ (διότι αὐτὸ σημαίνει τὸ «διακατηλέγχετο»), ἐκείνους δὲ ποὺ πίστευαν τοὺς ἐνθάρρυνε περισσότερο, καὶ τοὺς στερέωνε στὴν πίστη τους.

«Συνέβηκε», λέγει, «τότε νὰ περάσει ὁ Παῦλος τὰ μεσόγεια μέρη καὶ νὰ ρθεῖ στὴν Ἔφεσο»[13]. Αὐτὰ τὰ μέρη βέβαια εἶναι τὰ γύρω ἀπὸ τὴν Καισάρεια καὶ τὰ ὑπόλοιπα ποὺ ἐπισκέφθηκε.

«Ἐκεῖ βρῆκε μερικοὺς μαθητές, καὶ ρώτησε αὐτούς·

Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες;». Ὅτι οὐδὲ εἰς Χριστὸν ἐπίστευον οὗτοι διῆλθον ἐκ τοῦ εἰπεῖν· «Εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι». Καὶ οὐκ εἶπεν, 'Οὐδέν ἐστι τὸ βάπτισμα Ἰωάννου', ἀλλ' ὅτι 'ἀτελές'. Καὶ οὐδὲ τοῦτο προσέθηκεν ἁπλῶς, ἀλλ' ἵνα διδάξῃ καὶ πείσῃ αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ βαπτισθῆναι· ὃ καὶ ποιοῦσι, καὶ τὸ Πνεῦμα λαμβάνουσι τῇ ἐπιθέσει τῶν χειρῶν Παύλου. «Ἐπιθέντος» γάρ, φησίν, «αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς». Ὥστε, οἷς ἐπετίθει τὰς χεῖρας, τὸ Πνεῦμα ἐλάμβανον. Εἰκὸς τοίνυν ἦν Πνεῦμα μὲν αὐτοὺς ἔχειν, μὴ φαίνεσθαι δέ· ἀλλ' ἐκ τῆς ἐνεργείας καὶ ἀφ' ὧν γλώσσαις ἐλάλουν, τοῦτο ἐνέφαινον. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα.

2. «Ὁ δὲ Παῦλος ἐξέπλει εἰς τὴν Συρίαν», φησί, «καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας», οὓς καὶ καταντήσας εἰς Ἔφεσον κατέλιπεν αὐτοῦ. Ἢ ὅτι οὐκ ἐβούλετο περιάγειν αὐτούς, καὶ διὰ τοῦτο κατέλιπεν, ἢ μᾶλλον, ἵνα διδάσκαλοι μένωσι τοῖς ἐν Ἐφέσῳ. Αὐτοὶ δὲ μετὰ ταῦτα τὴν Κόρινθον ᾤκησαν, οἷς καὶ μεγάλα μαρτυρεῖ, καί, Ρωμαίοις ἐπιστέλλων, προσαγορεύει αὐτούς. Ὅθεν μοι δοκεῖ μετὰ ταῦτα αὐτοὺς εἰς Ρώμην ἀπελθεῖν, ἅτε ἐμφιλοχωροῦντας τοῖς τόποις ἐκείνοις, ὅθεν ἐξέπεσον ἐπὶ Νέρωνος.

«Καὶ καταβάς», φησίν, «εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν Ἐκκλησίαν, κατέβη εἰς Ἀν-

------

14. Πράξ. 19, 1 - 2
15. Πράξ. 19, 4
16. Πράξ. 19, 6
17. Πράξ. 18, 18
18. Ρωμ. 16, 3

Λάβατε Πνεῦμα ἅγιο ὅταν πιστέψατε;»[14]. Τὸ ὅτι αὐτοὶ οὔτε στὸν Χριστὸ πίστευαν γίνεται φανερὸ ἀπὸ αὐτὸ ποὺ εἶπε· «Γιὰ νὰ πιστέψουν σ' ἐκεῖνον ποὺ ἔρχεται μετὰ ἀπὸ αὐτόν»[15]. Καὶ δὲν εἶπε, 'Δὲν εἶναι τίποτε τὸ βάπτισμα τοῦ 'Ιωάννη', ἀλλ' ὅτι εἶναι 'ἀτελές'. Καὶ οὔτε αὐτὸ τὸ πρόσθεσε ἔτσι στὴν τύχη, ἀλλὰ γιὰ νὰ τοὺς διδάξει καὶ νὰ τοὺς πείσει νὰ βαπτισθοῦν στὸ ὄνομα τοῦ 'Ιησοῦ, πράγμα καὶ ποὺ κάμνουν, καὶ λαμβάνουν καὶ τὸ Πνεῦμα μὲ τὴν τοποθέτηση τῶν χεριῶν τοῦ Παύλου ἐπάνω τους· διότι, λέγει, «'Αφοῦ ὁ Παῦλος τοποθέτησε τὰ χέρια του ἐπάνω τους ἦρθε τὸ ἅγιο Πνεῦμα σ' αὐτούς»[16]. Ὥστε, σ' ἐκείνους ποὺ τοποθετοῦσε πάνω τους τὰ χέρια του, λάμβαναν τὸ Πνεῦμα. Φυσικὸ λοιπὸν ἦταν νὰ ἔχουν μὲν αὐτοὶ τὸ Πνεῦμα, ὅμως νὰ μὴ φαίνεται αὐτό, ἀλλὰ φανέρωναν αὐτὸ ἀπὸ τὴν ἐνέργεια καὶ ἀπὸ τὶς γλῶσσες ποὺ μιλοῦσαν· 'Αλλ' ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ αὐτὰ ποὺ ἀναγνώσαμε.

2. «Ὁ Παῦλος», λέγει, «ἀπέπλευσε γιὰ τὴ Συρία καὶ μαζὶ μὲ αὐτὸν ἡ Πρίσκιλλα καὶ ὁ 'Ακύλας»[17], τοὺς ὁποίους, ὅταν ἔφθασαν στὴν Ἔφεσο, τοὺς ἄφησε ἐκεῖ. Ἢ, ἐπειδὴ δὲν ἤθελε νὰ τοὺς περιφέρει μαζί του καὶ νὰ τοὺς ταλαιπωρεῖ, γι' αὐτὸ τοὺς ἄφησε ἐκεῖ, ἢ γιὰ νὰ μιλήσω σωστότερα, γιὰ νὰ μείνουν ἐκεῖ σὰν δάσκαλοι γιὰ τοὺς πιστοὺς τῆς 'Εφέσου. Αὐτοὶ δὲ ἀργότερα κατοίκησαν στὴν Κόρινθο, γιὰ τοὺς ὁποίους δίνει ὁ Παῦλος πολλὲς πληροφορίες, καί, γράφοντας τὴν ἐπιστολή του πρὸς τοὺς Ρωμαίους, στέλνει χαιρετισμὸ πρὸς αὐτούς[18]. Γι' αὐτὸ μοῦ φαίνεται ὅτι αὐτοὶ ἀργότερα ἔφυγαν καὶ ἦρθαν στὴ Ρώμη, ἐπειδὴ τοὺς ἄρεσε νὰ μένουν στὰ μέρη ἐκεῖνα, ἀπὸ τὰ ὁποῖα ἀπομακρύνθηκαν κατὰ τὴν ἐποχὴ τοῦ Νέρωνα.

«Καὶ ἀφοῦ κατέβηκε», λέγει, «στὴν Καισάρεια καὶ πῆγε καὶ χαιρέτησε τὴν 'Εκκλησία, κατέβηκε στὴν 'Αντιό-

τιόχειαν, καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε, διερχόμενος τὴν Γαλατικὴν καθεξῆς χώραν καὶ Φρυγίαν». Ἐμοὶ δοκοῦσι καὶ οἱ πιστοὶ ἔτι ἐκεῖ συνάγεσθαι· οὐ γὰρ εὐθέως αὐτοὺς ἀπέσπων. Ὅρα δὲ πῶς αὐτοὺς ἐπείγεται. Καὶ ταύτας τὰς χώρας πάλιν διέρχεται, ὥστε τῇ παρουσίᾳ βεβαιῶσαι τοὺς μαθητάς.

«Ἰουδαῖος δέ τις», φησίν, «Ἀπολλὼς ὀνόματι, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς Γραφαῖς». Διεγηγερμένος ἦν ὁ ἄνθρωπος, διὸ καὶ ἀποδημίας στέλλεται ὑπὲρ τούτου αὐτοῦ.

«Ὃς παραγενόμενος», φησίν, «εἰς Ἀχαΐαν, εὐτόνως διακατηλέγχετο τοῖς Ἰουδαίοις δημοσίᾳ». Περὶ τούτου γράφων, ἔλεγε· «Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ». Τῷ μὲν οὖν δημοσίᾳ ἐλέγχειν ἡ παρρησία ἐδείκνυτο, τῷ δὲ «εὐτόνως» ἡ δύναμις ἐδηλοῦτο, τῷ δὲ ἐκ τῶν θείων Γραφῶν ἐπιδεικνύειν ἡ ἐμπειρία· οὔτε γὰρ ἡ παρρησία τι συντελεῖ καθ' ἑαυτήν, οὐκ οὔσης δυνάμεως, οὔτε ἡ δύναμις, οὐκ οὔσης παρρησίας. Ἄρα οὐκ εἰκῇ Ἀκύλαν κατέλιπεν εἰς Ἔφεσον, ἀλλὰ διὰ τὸν Ἀπολλὼ τάχα τὸ Πνεῦμα τοῦτο ᾠκονόμησεν, ὥστε ἰσχυρότερον ἐπιβῆναι τῇ Κορίνθῳ. Καὶ τί δήποτε τούτῳ μὲν οὐδὲν ἐποίησαν, Παύλῳ δὲ ἐπιτίθενται; Ἤδεισαν ὅτι ἐκεῖνος ὁ κορυφαῖος ἦν, ἢ καὶ ὅτι πολὺ τὸ ὄνομα τοῦ ἀνδρὸς ἦν.

«Προσλαβόμενοι δέ», φησίν, «αὐτὸν Ἀκύλας καὶ Πρίσκιλλα, ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν». Ὅρα πῶς πάντα πίστει ἐγίνετο, καὶ οὐδα-

19. Πράθ. 18, 22 - 23
20. Πράξ. 18, 24
21. Πράξ. 18, 28
22. Α' Κορ. 16, 12
23. Πράξ. 18, 26

χεια, καί, ἀφοῦ ἔμεινε ἐκεῖ λίγο χρόνο, ἀναχώρησε, διερχόμενος κατὰ σειρὰ τὴ χώρα τῆς Γαλατίας καὶ τὴ Φρυγία»[19]. Ἐμένα μοῦ φαίνεται ὅτι καὶ πιστοὶ ἀκόμα συγκεντρώνονταν ἐκεῖ, διότι δὲν τοὺς ἀπομάκρυναν ἀμέσως. Πρόσεχε δὲ πόσο θερμὸς εἶναι ὁ πόθος του γι' αὐτούς. Ἐπισκέπτεται καὶ πάλι τὶς χῶρες αὐτές, ὥστε μὲ τὴν παρουσία του νὰ στηρίζει τοὺς μαθητὲς στὴν πίστη·

«Κάποιος ὅμως Ἰουδαῖος», λέγει, «ὀνομαζόμενος Ἀπολλὼς ποὺ ἦταν δυνατὸς στὴ γνώση τῶν Γραφῶν, ἔφθασε στὴν Ἔφεσο»[20]. Ἦταν ἄνθρωπος φωτισμένος ἀπὸ τὸ Πνεῦμα, καὶ γι αὐτὸ καὶ στέλλεται πρὸς τὸ σκοπὸ αὐτὸ σὲ ξένο μέρος.

«Αὐτός», λέγει, «ὅταν ἔφθασε στὴν Ἀχαΐα μὲ μεγάλη δύναμη ἀποστόμωνε δημόσια τοὺς Ἰουδαίους»[21]. Γι' αὐτὸν γράφοντας ὁ Παῦλος, ἔλεγε· «Σχετικὰ δὲ μὲ τὸν ἀδελφὸ τὸν Ἀπολλώ»[22]. Μὲ τὸ ὅτι λοιπὸν δημόσια ἔλεγχε τοὺς Ἰουδαίους φανερωνόταν τὸ θάρρος του, μὲ τὸ δὲ «εὐτόνως» δηλωνόταν ἡ δύναμή του, καὶ μὲ τὸ ὅτι ἀποδείκνυε αὐτὰ ποὺ ἔλεγε ἀπὸ τὶς θεῖες Γραφές, γινόταν φανερὴ ἡ ἐμπειρία του· διότι οὔτε τὸ θάρρος κατορθώνει κάτι ἀπὸ μόνο του, ὅταν δὲ ὑπάρχει δύναμη, οὔτε ἡ δύναμη ὅταν δὲν ὑπάρχει θάρρος. Ἐπομένως δὲν ἄφησε ἄσκοπα τὸν Ἀκύλα στὴν Ἔφεσο, ἀλλ' ἴσως ἐξ αἰτίας τοῦ Ἀπολλῶ τὸ Πνεῦμα ρύθμισε αὐτὸ ἔτσι, ὥστε νὰ μεταβεῖ κάποιος ἰσχυρότερος στὴν Κόρινθο. Καὶ γιὰ ποιὸ λόγο τέλος πάντων σ' αὐτὸν μὲν δὲν ἔκαναν τίποτε, ἐνῶ ἐπιτίθενται κατὰ τοῦ Παύλου; Γνώριζαν ὅτι ἐκεῖνος ἦταν ὁ κορυφαῖος, ἢ καὶ διότι τὸ ὄνομα τοῦ ἀνθρώπου αὐτοῦ ἦταν πολὺ ξακουστό.

«Ἀφοῦ», λέγει, «τὸν πῆραν κοντά τους ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα, δίδαξαν σ' αὐτὸν μὲ μεγαλύτερη ἀκρίβεια τὴν διδασκαλία τοῦ Θεοῦ»[23]. Πρόσεχε πῶς ὅλα γίνονταν μὲ πίστη, καὶ πουθενὰ δὲν ὑπάρχει φθόνος, που-

μοῦ φθόνος, οὐδαμοῦ βασκανία. 'Ακύλας διδάσκει, μᾶλλον δὲ καὶ οὗτος διδάσκεται· καὶ γὰρ χρόνον αὐτῷ συγγενόμενοι οὕτως ἐδιδάχθησαν, ὡς καὶ ἄλλους ἱκανοὺς εἶναι διδάσκειν.

«Βουλομένου δὲ αὐτοῦ διελθεῖν», φησίν, «εἰς τὴν 'Αχαΐαν, ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν». Τίνος ἕνεκεν γράμματα πέμπουσιν, ἑρμηνεύει· «Ἵνα», φησίν, «αὐτὸν ἀποδέξωνται». Καὶ πόθεν δῆλον ἐκείνους ἐν 'Εφέσῳ ὄντας τὸ βάπτισμα ἔχειν 'Ιωάννου; Ὅτι, ἐρωτώμενοι, «Εἰς τί ἐβαπτίσθητε;», «Εἰς τὸ 'Ιωάννου», λέγουσι, «βάπτισμα». Ἴσως ἐπεδήμησαν τοῖς 'Ιεροσολύμοις τότε, καὶ ἀπῆλθον, καὶ ἐβαπτίσαντο· ἀλλά, καὶ βαπτισθέντες, τὸν 'Ιησοῦν οὐκ ἠπίσταντο. Καὶ οὐ λέγει αὐτοῖς, 'Πιστεύετε εἰς τὸν 'Ιησοῦν;', ἀλλὰ τί; «Εἰ Πνεῦμα ἅγιον ἐλάβετε;»· ᾔδει γὰρ ὅτι οὐκ εἶχον. Καὶ βούλεται αὐτοὺς εἰπεῖν, ἵνα, μαθόντες ὧν ἀπεστέρηνται, αἰτήσωσι.

«Καὶ ἐπιθέντος αὐτοῖς», φησί, «τὰς χεῖρας τοῦ Παύλου, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, καὶ ἐλάλουν γλώσσαις, καὶ προεφήτευον». 'Απ' αὐτοῦ τοῦ βαπτίσματος προφητεύουσι. Τοῦτο δὲ τὸ 'Ιωάννου βάπτισμα οὐκ εἶχε, διὸ καὶ ἀτελὲς ἦν. Ἵνα δὲ τῶν τοιούτων ἀξιωθῶσι, προπαρεσκεύαζε μᾶλλον αὐτούς. Ὥστε τοῦτο ἐβούλετο 'Ιωάννης βαπτίζων, πιστεῦσαι εἰς τὸν ἐρχόμενον μετ' αὐτόν. 'Εντεῦθεν δείκνυται δόγμα μέγα, ὅτι τελείως καθαίρονται τῶν ἁμαρτημάτων οἱ βαπτιζόμενοι· εἰ μὴ γὰρ ἐκαθαίροντο, οὐκ ἂν τὸ Πνεῦμα ἐδέχοντο οὗτοι, οὐκ ἂν χαρισμάτων εὐθὺς ἠξιοῦντο. Καὶ ὅρα ὅτι διπλοῦν τὸ χάρισμα ἦν, καὶ γλῶσσαι καὶ προφητεῖαι. Καλῶς δὲ

24. Πράξ. 18, 27
25. Πράξ. 19, 3
26. Πράξ. 19, 2
27. Πράξ. 19, 6

θενὰ ζήλια. Ὁ Ἀκύλας διδάσκει, ἢ καλύτερα καὶ αὐτὸς διδάσκεται· καθόσον, ἐπειδὴ συναναστράφηκαν αὐτὸν πολὺ χρόνο, τόσο πολὺ διδάχθηκαν, ὥστε νὰ εἶναι ἱκανοὶ καὶ ἄλλους νὰ διδάσκουν.

«Ἐπειδὴ ὅμως αὐτός», λέγει, «ἤθελε νὰ μεταβεῖ στὴν Ἀχαΐα, ἔγραψαν στοὺς μαθητὲς νὰ δεχθοῦν αὐτόν»[24]. Γιὰ ποιὸ λόγο στέλνουν τὰ γράμματα, τὸ ἐξηγεῖ, λέγοντας, «Γιὰ νὰ δεχθοῦν αὐτόν». Καὶ ἀπὸ ποῦ εἶναι φανερὸ ὅτι, ἐνῶ ἐκεῖνοι ἦταν στὴν Ἔφεσο, ἔλαβαν τὸ βάπτισμα τοῦ Ἰωάννη; Διότι, ὅταν ρωτήθηκαν, «Σὲ τί βαπτισθήκατε;», ἀπαντοῦν, «Στὸ βάπτισμα τοῦ Ἰωάννη»[25]. Ἴσως πῆγαν τότε στὰ Ἱεροσόλυμα καὶ ἐπέστρεψαν ἀφοῦ βαπτίσθηκαν· ἀλλά, ἂν καὶ βαπτίσθηκαν, ὅμως δὲν γνώριζαν τὸν Ἰησοῦ. Καὶ δὲν λέγει σ' αὐτούς, 'Πιστεύετε στὸν Ἰησοῦ;', ἀλλὰ τί; «Λάβατε Πνεῦμα ἅγιο;»[26]· διότι γνώριζε ὅτι δὲν ἔλαβαν. Καὶ προτιμᾶ νὰ τοὺς ρωτήσει ἔτσι, ὥστε, ἀφοῦ μάθουν ἐκεῖνα ποὺ ἔχουν στερηθεῖ, νὰ τὰ ζητήσουν·

«Καὶ ἀφοῦ», λέγει, «ὁ Παῦλος ἔθεσε τὰ χέρια του ἐπάνω τους, ἦρθε σ' αὐτοὺς τὸ ἅγιο Πνεῦμα, καὶ μιλοῦσαν γλῶσσες καὶ προφήτευαν»[27]. Προφητεύουν ἀπὸ αὐτὸ τὸ βάπτισμα ποὺ ἔλαβαν. Αὐτὸ δὲν τὸ εἶχε τὸ βάπτισμα τοῦ Ἰωάννη, γι' αὐτὸ καὶ ἦταν ἀτελές. Μᾶλλον προετοίμαζε αὐτοὺς γιὰ νὰ ἀξιωθοῦν νὰ λάβουν τὰ χαρίσματα αὐτά. Ὥστε αὐτὸ ἐπιδίωκε ὁ Ἰωάννης βαπτίζοντας, νὰ πιστέψουν σ' ἐκεῖνον ποὺ ἐρχόταν πίσω ἀπὸ αὐτόν. Ἀπὸ ἐδῶ φανερώνεται μία μεγάλη ἀλήθεια, ὅτι δηλαδὴ οἱ βαπτιζόμενοι καθαρίζονται τελείως ἀπὸ τὰ ἁμαρτήματά τους· διότι, ἐὰν δὲν καθαρίζονταν, δὲν θὰ δέχονταν αὐτοὶ τὸ Πνεῦμα, δὲν θὰ ἀξιώνονταν ἀμέσως νὰ λάβουν τὰ χαρίσματα αὐτοῦ. Καὶ πρόσεχε ὅτι ἦταν διπλὸ τὸ χάρισμα, καὶ γλῶσσες μιλοῦσαν καὶ προφήτευαν. Πολὺ σωστὰ δὲ ὀνόμασε τὸ βάπτισμα τοῦ Ἰωάννη 'βάπτισμα μετανοίας',

εἶπε 'βάπτισμα μετανοίας' τὸ 'Ιωάννου, καὶ οὐκ 'ἀφέσεως', ἀνάγων αὐτούς, καὶ πείθων ὅτι τούτου ἔρημον ἦν ἐκεῖνο· τοῦ γὰρ ὕστερον δοθέντος ἔργον ἡ ἄφεσις γέγονε.

Καὶ πῶς οἱ λαβόντες τὸ Πνεῦμα οὐκ ἐδίδασκον, ἀλλ' 'Απολλώς, μήπω τὸ Πνεῦμα λαβών; "Οτι οὐκ ἦσαν οὕτω ζέοντες, οὐδὲ κατηχημένοι· ἐκεῖνος δὲ καὶ κατηχημένος ἦν, καὶ σφόδρα ζέων. 'Εμοὶ δὲ δοκεῖ ὅτι καὶ πολλὴ ἦν ἡ παρρησία τοῦ ἀνδρός. 'Αλλά, εἰ καὶ ἀκριβῶς ἐλάλει τὰ περὶ τοῦ 'Ιησοῦ, ὅμως ἐδεῖτο ἔτι ἀκριβεστέρας διδασκαλίας. Οὕτω, καίτοι οὐκ εἰδὼς πάντα, ἀπὸ τῆς προθυμίας ἐπεσπάσατο τὸ Πνεῦμα τὸ ἅγιον, καθάπερ οἱ περὶ Κορνήλιον.

Τάχα πολλοὶ ποθοῦσιν, εἰ καὶ νῦν ἦν, τὸ τοῦ 'Ιωάννου βάπτισμα. 'Αλλὰ πολλοὶ ἂν ἠμέλησαν βίου ἐναρέτου, ἢ καὶ ἐνομίσθη ἂν ἕκαστος διὰ τοῦτο, καὶ οὐ διὰ βασιλείαν οὐρανῶν ἐφίεσθαι τῆς ἀρετῆς· ἄλλως δὲ πολλοὶ ἂν ἐγένοντο ψευδοπροφῆται, καὶ οὐκ ἂν λοιπὸν οἱ δόκιμοι σφόδρα ἐφάνησαν, οὐδ' ἂν ἐμακαρίσθησαν οἱ τὴν πίστιν ἁπλῶς παραδεξάμενοι. "Ωσπερ οὖν «Οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες μακάριοι», οὕτως οἱ χωρὶς σημείων πιστεύοντες. Εἰπὲ δή μοι, οὐκ ὀνειδίζων 'Ιουδαίοις ἔλεγεν ὁ Χριστός, «'Εὰν μὴ σημεῖα ἴδητε, οὐ μὴ πιστεύσητε»;

Οὐκοῦν οὐδὲν παρεβλάβημεν, εἰ θέλομεν προσέχειν ἑαυτοῖς. Τὸ κεφάλαιον ἔχομεν τῶν ἀγαθῶν διὰ τοῦ βαπτίσματος· ἄφεσιν ἁμαρτημάτων ἐλάβομεν, ἁγιασμόν, Πνεύματος μετάληψιν, υἱοθεσίαν, ζωὴν αἰώνιον. Τί βούλεσθε πλέον; σημεῖα; 'Αλλὰ καταργεῖ-

------

28. Πράξ. 10, 44 - 48
29. 'Ιω. 20, 29
30. 'Ιω. 4, 48

καὶ ὄχι 'συγχωρήσεως', ὁδηγώντας αὐτοὺς ψηλότερα, καὶ πείθοντάς τους ὅτι ἐκεῖνο τὸ βάπτισμα δὲν εἶχε τὴ συγχώρηση· διότι ἡ συγχώρηση τῶν ἁμαρτημάτων ὑπῆρξε ἔργο τοῦ βαπτίσματος ποὺ δόθηκε ἀργότερα.

Καὶ πῶς ἐκεῖνοι ποὺ ἔλαβαν τὸ Πνεῦμα δὲν δίδασκαν, ἀλλὰ δίδασκε ὁ Ἀπολλώς, χωρὶς ἀκόμα νὰ εἶχε λάβει τὸ Πνεῦμα; Διότι δὲν διακατέχονταν ἀπὸ τόση θέρμη πίστεως, οὔτε ἦταν κατηχημένοι· ἐκεῖνος ὅμως καὶ κατηχημένος ἦταν καὶ ὑπερβολικὰ θερμὴ ἦταν ἡ πίστη του καὶ ὁ ζῆλος του. Ἐγὼ δὲ νομίζω ὅτι ἦταν καὶ πολὺ μεγάλο τὸ θάρρος αὐτοῦ τοῦ ἀνθρώπου. Ἀλλά, ἂν καὶ μὲ ἀκρίβεια δίδασκε τὰ σχετικὰ μὲ τὸν Ἰησοῦ, ὅμως εἶχε ἀνάγκη ἀπὸ πιὸ ἀκριβὴ ἀκόμα διδασκαλία. Ἔτσι, ἂν καὶ βέβαια δὲν τὰ γνώριζε ὅλα, ἔλαβε τὸ ἅγιο Πνεῦμα ἐξ αἰτίας τῆς προθυμίας του, ὅπως ἀκριβῶς οἱ γύρω ἀπὸ τὸν Κορνήλιο[28].

Ἴσως πολλοὶ ποθοῦν νὰ ὑπῆρχε καὶ σήμερα τὸ βάπτισμα τοῦ Ἰωάννη. Ἀλλὰ πολλοὶ θὰ παραμελοῦσαν τὴν ἐνάρετη ζωή, ἢ καὶ θὰ νομιζόταν ὅτι ὁ καθένας γι' αὐτὸ ἐπιθυμεῖ τὴν ἀρετὴ καὶ ὄχι γιὰ τὴ βασιλεία τῶν οὐρανῶν· ἄλλωστε δὲ θὰ ὑπῆρχαν πολλοὶ ψευδοπροφῆτες, καὶ δὲν θὰ διακρίνονταν πλέον οἱ ὑπερβολικὰ ἄξιοι, οὔτε θὰ μακαρίζονταν ἐκεῖνοι ποὺ γενικὰ δέχθηκαν τὴν πίστη. Ὅπως ἀκριβῶς λοιπὸν «Εἶναι μακάριοι ἐκεῖνοι ποὺ δὲν εἶδαν καὶ πίστεψαν»[29], ἔτσι εἶναι μακάριοι καὶ ἐκεῖνοι ποὺ πιστεύουν χωρὶς νὰ δοῦν θαύματα. Πές μου λοιπόν, δὲν ἔλεγε ὁ Χριστὸς κατηγορώντας τοὺς Ἰουδαίους, «Ἐὰν δὲν δεῖτε θαύματα, δὲν θὰ πιστεύσετε»[30];

Ἐπομένως δὲν πρόκειται νὰ ὑποστοῦμε καμιὰ βλάβη, ἐὰν θελήσομε νὰ προσέξομε τὸν ἑαυτό μας. Ἔχομε μὲ τὸ βάπτισμα τὸ σπουδαιότερο ἀπὸ ὅλα τὰ ἀγαθά· λάβαμε ἄφεση ἁμαρτημάτων, ἁγιασμό, κοινωνία Πνεύματος, υἱοθεσία, ζωὴ αἰώνια. Τί περισσότερο θέλετε; θαύματα;

ται. Πίστιν ἔχεις, ἐλπίδα, ἀγάπην, τὰ μένοντα· ταῦτα ζήτει, ταῦτα σημείων μείζω. Οὐδὲν ἀγάπης ἴσον. «Μείζων πάντων ἡ ἀγάπη», φησί. Νῦν δὲ ἡ ἀγάπη κινδυνεύει· ὄνομα γὰρ αὐτῆς ὑπολέλειπται μόνον, τὸ δὲ ἔργον οὐδαμοῦ, ἀλλὰ διῃρήμεθα ἀπ' ἀλλήλων.

3. Τί οὖν ἄν τις ἐργάσαιτο ὥστε συνάψαι; τὸ μὲν γὰρ ἐγκαλέσαι εὔκολον, ἀλλὰ τοῦτο ἥμισύ ἐστιν. Οὐκοῦν δεικνύναι δεῖ πῶς ἂν ἐργασθείη φιλία· τοῦτο γάρ ἐστι τὸ σπουδαζόμενον, πῶς τὰ μέλη τὰ διεσπαρμένα συναγάγωμεν· οὐ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον ἁπλῶς, εἰ μίαν Ἐκκλησίαν ἔχομεν, ἢ ἓν δόγμα, ἀλλὰ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι, ἐν τοῖς ἄλλοις κοινωνοῦντες ἀλλήλοις, ἐν τοῖς ἀναγκαίοις οὐ κοινωνοῦμεν, καὶ μετὰ πάντων εἰρηνεύοντες, ἐν ἀλλήλοις στασιάζομεν· μὴ γάρ, εἰ μὴ μάχας καθ' ἑκάστην ποιοῦμεν, σκόπει, ἀλλ' ὅτι οὐδὲ ἀγάπην γνησίαν ἔχομεν καὶ ἀκλινῆ. Ἐπιδέσμων χρεία καὶ ἐλαίου. Ἐννοήσωμεν ὅτι γνώρισμά ἐστιν ἡ ἀγάπη τῶν μαθητῶν τοῦ Χριστοῦ, ὅτι ταύτης χωρὶς οὐδὲν ἰσχύει τὰ ἄλλα· ὅτι ἄπονόν ἐστι πρᾶγμα, ἐὰν θέλωμεν.

Ναί, φησίν, οἴδαμεν ταῦτα, ἀλλὰ πῶς, ἵνα κατορθωθῇ; τί, ἵνα γένηται; πῶς, ἵνα φιλῶμεν ἀλλήλους; Πρότερον τὰ ἀναιρετικὰ τῆς ἀγάπης ἐξέλωμεν, καὶ τότε στήσομεν ταύτην. Μηδεὶς ἔστω μνησίκακος, μηδεὶς ἔστω βάσκανος, μηδεὶς χαιρέκακος· ταῦτά ἐστι τὰ κωλυτικά, τὰ δὲ ποιητικὰ ἕτερα. Οὐκ ἀρκεῖ τὰ κωλύοντα ἀνελεῖν, ἀλλὰ καὶ τὰ ἱστῶντα χρὴ ὑποδει-

------

31. Α' Κορ. 13, 13

Ἀλλ᾽ αὐτὰ καταργοῦνται. Ἔχεις πίστη, ἐλπίδα, ἀγάπη, ποὺ μένουν· αὐτὰ ζήτα, αὐτὰ εἶναι μεγαλύτερα ἀπὸ τὰ θαύματα· Τίποτε δὲν ὑπάρχει ἴσο μὲ τὴν ἀγάπη. «Μεγαλύτερο ἀπὸ ὅλα εἶναι ἡ ἀγάπη»[31], λέγει. Σήμερα ὅμως ἡ ἀγάπη κινδυνεύει· διότι ἔχει ἀπομείνει μόνο τὸ ὄνομα αὐτῆς, ἐνῶ πουθενὰ δὲν ὑπάρχει ἔμπρακτη ἐκδήλωση αὐτῆς, ἀλλ᾽ ἔχομε διαιρεθεῖ ἀναμεταξύ μας.

3. Τί λοιπὸν θὰ μποροῦσε νὰ κάνει κανεὶς γιὰ νὰ μᾶς συνενώσει; διότι τὸ νὰ κατηγορήσει κάποιος εἶναι εὔκολο, ἀλλ᾽ αὐτὸ εἶναι τὸ μισό. Πρέπει λοιπὸν νὰ δείξομε πῶς θὰ μποροῦσε νὰ δημιουργηθεῖ φιλία· διότι αὐτὸ εἶναι τὸ ἐπιζητούμενο, τὸ πῶς δηλαδὴ θὰ συγκεντρώσομε τὰ διαιρημένα μέλη· διότι δὲν εἶναι ἁπλῶς αὐτὸ τὸ ζητούμενο, ἐὰν δηλαδὴ ἔχομε μία Ἐκκλησία, ἢ ἕνα δόγμα, ἀλλὰ τὸ φοβερὸ αὐτὸ εἶναι, ὅτι, ἐνῶ στὰ ἄλλα συνεργαζόμαστε ἀναμεταξύ μας, στὰ ἀναγκαῖα δὲν συνεργαζόμαστε, καί, ἐνῶ μὲ ὅλους εἰρηνεύομε, ἀναμεταξύ μας βρισκόμαστε σὲ διαμάχη· διότι μὴ βλέπεις τὸ ἐὰν δὲν ἔχομε καθημερινὰ διαμάχες, ἀλλὰ τὸ ὅτι δὲν ἔχομε γνήσια ἀγάπη καὶ σταθερή. Χρειάζονται ἐπίδεσμοι καὶ λάδι. Ἂς σκεφθοῦμε ὅτι γνώρισμα τῶν μαθητῶν τοῦ Χριστοῦ εἶναι ἡ ἀγάπη, ὅτι χωρὶς αὐτὴν δὲν ἔχουν τὰ ἄλλα καμιὰ δύναμη, καὶ ὅτι εἶναι εὔκολο πράγμα ἂν θέλομε.

Ναί, λέγει, τὰ γνωρίζομε αὐτά, ἀλλὰ πῶς θὰ καταστεῖ δυνατὸ νὰ κατορθωθοῦν; τί πρέπει νὰ γίνει γιὰ νὰ πραγματοποιηθοῦν; πῶς θὰ καταστεῖ δυνατὸ ν᾽ ἀγαπᾶμε ὁ ἕνας τὸν ἄλλο; Πρῶτα πρῶτα ἂς ἐξαλείψομε αὐτὰ ποὺ καταστρέφουν τὴν ἀγάπη, καὶ τότε θὰ ἐγκαταστήσομε αὐτήν. Κανένας ἂς μὴ εἶναι μνησίκακος, κανένας ἂς μὴ εἶναι φθονερός, κανένας χαιρέκακος· αὐτὰ εἶναι τὰ ἐμπόδια, ἐνῶ ἐκεῖνα ποὺ τὴ δημιουργοῦν εἶναι ἄλλα. Δὲν ἀρκεῖ νὰ ἐξαλείψομε ἐκεῖνα ποὺ τὴν ἐμποδίζουν, ἀλλὰ πρέπει νὰ παρουσιάζομε καὶ νὰ θέτομε σὲ ἐφαρμογὴ καὶ ἐ-

κνῦναι. Ὁ μὲν οὖν Σιρὰχ λέγει τὰ ἀναιρετικά, καὶ οὐκ ἔτι τὰ συνάπτοντα, ὀνειδισμὸν φάσκων, καὶ μυστηρίου ἀποκάλυψιν, καὶ πληγὴν δολίαν.

Ἀλλ' ἐπ' ἐκείνων μὲν εἰκότως ταῦτα, ἅτε σαρκικῶν ὄντων, ἐφ' ἡμῶν δὲ μὴ γένοιτο! οὐκ ἀπὸ τούτων ὑμᾶς ἐνάγομεν, ἀλλ' ἀπὸ τῶν ἄλλων. Οὐδὲν ἡμῖν ἐστι χρηστὸν φιλίας χωρίς. Ἔστω μυρία ἀγαθά, ἀλλὰ τί τὸ ὄφελος; ἔστω πλοῦτος, ἔστω τρυφὴ φίλων χωρίς, ἀλλὰ τί τὸ κέρδος; Οὐδὲν κτῆμα τούτου κάλλιον καὶ ἐν τοῖς βιωτικοῖς πράγμασιν, ὥσπερ οὖν τῶν ἐχθραινόντων οὐδὲν χαλεπώτερον. «Ἀγάπη καλύπτει πλῆθος ἁμαρτημάτων», ἡ δὲ ἔχθρα καὶ τὰ οὐκ ὄντα ὑποπτεύει. Οὐκ ἀρκεῖ μὴ εἶναι ἐχθρόν, ἀλλὰ δεῖ καὶ φιλεῖν. Ἐννόησον ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ ἀρκεῖ τοῦτο. Καὶ θλῖψις ποιεῖ φιλίας, καὶ συνάγει.

Τί οὖν, φησί, νῦν, ὅτε θλῖψις οὐκ ἔστιν; εἰπέ, πῶς, ἵνα γενώμεθα φίλοι; Οὐκ ἔχετε φίλους ἄλλους; εἰπέ μοι· πῶς αὐτῶν ἐστε φίλοι; πῶς διαμένετε; Τέως μηδεὶς μηδένα ἐχθρὸν ἐχέτω (οὐκ ἔστι τοῦτο μικρόν)· μηδεὶς φθονείτω· οὐκ ἔνι τὸν μὴ φθονοῦντα κατηγορεῖν. Μίαν οἰκοῦμεν οἰκουμένην ἅπαντες, τοῖς αὐτοῖς τρεφόμεθα καρποῖς. Ἀλλὰ ταῦτα μικρά· τοῖς αὐτοῖς μυστηρίοις, τῆς αὐτῆς πνευματικῆς τροφῆς ἀπολαύομεν. Ταῦτα δήπου ἐστὶ δικαιώματα τοῦ φιλεῖν. Πῶς οὖν θερμῶς διακεισόμεθα; φησί· τί ποιεῖ σωμάτων ἔρωτα; Λαμπρότης σώματος. Οὐκοῦν καὶ

---

32. Σοφ. Σειρὰχ 22, 22
33. Α' Πέτρ. 4, 8

κεῖνα ποὺ τὴν πραγματοποιοῦν. Ὁ μὲν λοιπὸν Σιρὰχ λέγει ἐκεῖνα ποὺ τὴν καταστρέφουν, ἀναφέροντας τὴν κατηγορία, τὴ φανέρωση μυστικοῦ, καὶ τὸ χτύπημα μὲ δόλο[32], ἀλλὰ δὲν λέγει ἐκεῖνα ποὺ τὴ δημιουργοῦν.

Ἀλλὰ σ' ἐκείνους μὲν πολὺ σωστὰ ὑπῆρχαν αὐτά, ἐπειδὴ ἦταν σαρκικοί, σ' ἐμᾶς ὅμως, μὴ γένοιτο! δὲν σᾶς προτρέπομε ἀπὸ αὐτά, ἀλλὰ ἀπὸ τὰ ἄλλα. Δὲν μπορεῖ νὰ ὑπάρχει σ' ἐμᾶς κανένα καλὸ χωρὶς τὴ φιλία. Ἔστω ὅτι ὑπάρχουν ἀμέτρητα ἀγαθά, ποιὸ ὅμως τὸ ὄφελος; ἔστω ὅτι ὑπάρχει πλοῦτος, ἔστω ὅτι ὑπάρχει ἀπόλαυση ἀγαθῶν ἀλλὰ χωρὶς φίλους, ποιὸ τὸ κέρδος; Δὲν ὑπάρχει κανένα ἀπόκτημα καλύτερο ἀπὸ αὐτὸ καὶ στὰ βιωτικὰ πράγματα, ὅπως ἀκριβῶς βέβαια δὲν ὑπάρχει καὶ τίποτε χειρότερο ἀπὸ τοὺς ἐχθρούς. «Ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτημάτων»[33], ἐνῶ ἡ ἔχθρα βλέπει ὕποπτα καὶ ἐκεῖνα ποὺ δὲν ὑπάρχουν. Δὲν ἀρκεῖ νὰ μὴ εἶναι κάποιος ἐχθρός, ἀλλὰ πρέπει καὶ ν' ἀγαπᾶ. Σκέψου ὅτι ὁ Χριστὸς ἔδωσε τὴν ἐντολὴ αὐτή, καὶ ἀρκεῖ αὐτό. Καὶ ἡ θλίψη δημιουργεῖ φιλίες καὶ συνενώνει ἀνθρώπους.

Τί λοιπόν, λέγει, θὰ κάνομε τώρα, ποὺ δὲν ὑπάρχει θλίψη; Πές, πῶς θὰ ἐνεργήσομε, γιὰ νὰ γίνομε φίλοι; Πές μου, δὲν ἔχετε φίλους ἄλλους; Πῶς εἶστε φίλοι αὐτῶν; πῶς διατηρεῖτε τὴ φιλία σας; Κατ' ἀρχὴ κανένας νὰ μὴ ἔχει κανένα ἐχθρὸ (δὲν εἶναι αὐτὸ μικρὸ πράγμα)· κανένας νὰ μὴ φθονεῖ· δὲν εἶναι δυνατὸ νὰ κατηγορεῖ ἐκεῖνος ποὺ δὲν φθονεῖ. Ὅλοι μας κατοικοῦμε σὲ μιὰ οἰκουμένη, μὲ τοὺς ἴδιους καρποὺς τρεφόμαστε. Ἀλλ' αὐτὰ εἶναι ἀσήμαντα· μὲ τὰ ἴδια μυστήρια, τὴν ἴδια πνευματικὴ τροφὴ ἀπολαμβάνομε. Αὐτὰ ἀσφαλῶς εἶναι ἐκεῖνα ἀπὸ τὰ ὁποῖα ἀπορρέει ἡ ὑποχρέωση ν' ἀγαπᾶμε· Πῶς λοιπόν, λέγει, θὰ καταστεῖ θερμὴ ἡ συμπεριφορά μας; Τί εἶναι ἐκεῖνο ποὺ δημιουργεῖ ἔρωτα σωματικό; Ἡ λαμπρότητα τοῦ σώματος. Ἂς καταστήσομε λοιπὸν καὶ τὶς

τὰς ψυχὰς καλὰς ἐργασώμεθα, καὶ ἐσόμεθα ἀλλήλοις ἐπέραστοι· οὐ γὰρ δὴ φιλεῖν δεῖ μόνον, ἀλλὰ καὶ φιλεῖσθαι. Πρῶτον τοῦτο κατορθώσωμεν, ὥστε φιλεῖσθαι, καὶ ἐκεῖνο εὔκολον ἔσται.

Πῶς οὖν ἔσται ἵνα φιλώμεθα; Γενώμεθα καλοί, καὶ τοῦτο ἐργαζώμεθα, ὥστε ἐραστὰς ἔχειν ἀεί. Μηδεὶς σπουδαζέτω μὴ χρήματα κτᾶσθαι, μὴ ἀνδράποδα, μὴ οἰκίας, ὡς τὸ φιλεῖσθαι, ὡς ὄνομα χρηστὸν ἔχειν. «Κρεῖττον ὄνομα, ἢ πλοῦτος πολύς»· τὸ μὲν γὰρ μένει, ὁ δὲ ἀπόλλυται· καὶ τὸ μὲν δυνατὸν κτήσασθαι, ἐκεῖνο δὲ ἀδύνατον· ὁ μὲν γὰρ πονηρὰν δόξαν λαβὼν δυσκόλως αὐτὴν ἀποθήσεται, ὁ δὲ πένης ταχέως ἀπὸ τοῦ ὀνόματος ἔσται πλούσιος. Ἔστω τις μυρία τάλαντα ἔχων, ὁ δὲ φίλους ἑκατόν, οὗτος ἐκείνου εὐπορώτερος. Μὴ τοίνυν ἁπλῶς τοῦτο ποιῶμεν, ἀλλ' ἐργαζώμεθα ὡς εὐπορίαν τινά. Καὶ πῶς δυνάμεθα; φησί. «Λάρυγξ γλυκὺς πληθύνει φίλους αὐτοῦ, καὶ γλῶσσα εὐχάριστος». Στόμα εὔφημον κτησώμεθα, καὶ τρόπους καθαρούς. Οὐκ ἔνι λαθεῖν τὸν οὕτω διακείμενον.

4. Ὅρα πόσα οἱ ἔξωθεν ἐπενόησαν φιλικά, συντεκνίαν, γειτονίαν, συγγενείας. Ἀλλὰ τούτων πάντων τὰ παρ' ἡμῖν μείζονα, ἡ τράπεζα αὕτη αἰδεσιμωτέρα. Πολλοὶ δὲ τῶν προσιόντων οὐδὲ ἴσμεν ἀλλήλους. Τὸ πλῆθος τοῦτο ποιεῖ, φησίν. Οὐδαμῶς· ἀλλ' ἡ ἡμετέρα νωθεία. Τρισχίλιοι ἦσαν καὶ πεντακισχίλιοι, καὶ πάντες εἶχον ψυχὴν μίαν· νῦν δὲ ἕκαστος τὸν ἀδελφὸν ἀγνοεῖ, καὶ οὐκ αἰσχύνεται, τὸ πλῆθος

------

34. Παροιμ. 22, 1
35. Σοφ. Σειρὰχ 6, 5
36. Συντεκνία· εἶναι τὰ λεγόμενα κουμπαριὰ
37. Πράξ. 2, 41

ψυχές μας καλές καὶ θ' ἀγαπήσομε ὁ ἕνας τὸν ἄλλο· διότι δὲν πρέπει μόνο ν' ἀγαπᾶμε, ἀλλὰ καὶ ν' ἀγαπιόμαστε. Πρῶτα αὐτὸ ἄς κατορθώσομε, ὥστε ν' ἀγαπιόμαστε, καὶ ἐκεῖνο θὰ γίνει εὔκολο.

Πῶς λοιπὸν θὰ καταστεῖ δυνατὸ ν' ἀγαπιόμαστε; Ἄς γίνομε καλοί, καὶ αὐτὸ νὰ προσπαθοῦμε νὰ κάνομε, τὸ νὰ ἔχομε δηλαδὴ πάντοτε ἀνθρώπους ποὺ νὰ μᾶς ἀγαποῦν. Κανένας νὰ μὴ φροντίζει τόσο νὰ μὴ ἀποκτήσει χρήματα, νὰ μὴ ἀποκτήσει δούλους, οὔτε καὶ οἰκίες, ὅσο τὸ ν' ἀγαπιέται, ὅσο τὸ νὰ ἔχει ὄνομα καλό. «Εἶναι προτιμότερο τὸ καλὸ ὄνομα, παρὰ ὁ πλοῦτος ὁ πολύς»[34]· διότι τὸ μὲν ὄνομα μένει, ἐνῶ ὁ πλοῦτος χάνεται· καὶ τὸ μὲν ἕνα εἶναι δυνατὸ νὰ τὸ ἀποκτήσομε, ἐνῶ ἐκεῖνο ἀδύνατο· διότι ἐκεῖνος μὲν ποὺ θ' ἀποκτήσει κακὴ φήμη δύσκολα θ' ἀποβάλει αὐτήν, ἐνῶ ὁ φτωχὸς ἀμέσως ἀπὸ τὸ ὄνομά του θὰ εἶναι πλούσιος· Ἔστω ὅτι κάποιος ἔχει ἄπειρα τάλαντα, ἐνῶ ἕνας ἄλλος ἑκατὸ φίλους· αὐτὸς εἶναι πιὸ πλούσιος ἀπὸ ἐκεῖνον. Ἄς μὴ λοιπὸν τὸ κάμνομε αὐτὸ ἔτσι στὴν τύχη, ἀλλ' ἄς ἐνεργοῦμε ἔτσι σὰν νὰ πρόκειται γιὰ κάποιο πλοῦτο. Καὶ πῶς, λέγει, μποροῦμε; «Ὁ γλυκὸς λάρυγγας κάποιου καὶ ἡ εὐχάριστη γλώσσα αὐξάνει τοὺς φίλους αὐτοῦ»[35]. Ἄς ἀποκτήσομε στόμα ἐπαινετικὸ καὶ τρόπους καθαρούς. Δὲν εἶναι δυνατὸ νὰ μὴ προσεχθεῖ κάποιος ποὺ συμπεριφέρεται ἔτσι.

4. Πρόσεχε πόσα μέσα φιλίας ἐπινόησαν οἱ μὴ Χριστιανοί, συντεκνία[36] δηλαδή, γειτονιά, συγγένεια. Ἀλλὰ τὰ δικά μας εἶναι πολὺ πιὸ σπουδαιότερα, ἡ τράπεζα αὐτὴ εἶναι πιὸ σεβαστή. Πολλοὶ ὅμως ἀπὸ αὐτοὺς ποὺ προσέρχονται οὔτε κἄν γνωρίζονται ἀναμεταξύ τους· Αὐτό, λέγει, ὀφείλεται στὸ πλῆθος. Καθόλου, ἀλλ' ὀφείλεται στὴ δική μας ὀκνηρία. Τρεῖς χιλιάδες[37] καὶ πέντε χιλιάδες ἦταν καὶ ὅλοι εἶχαν μιὰ ψυχή· τώρα ὅμως ὁ καθένας ἀγνοεῖ τὸν ἀδελφό του καὶ δὲν ντρέπεται, κατηγορώντας τὸ πλῆ-

αἰτιώμενος. Ὁ μέντοι πολλοὺς φίλους ἔχων ἀνάλωτος ἅπασίν ἐστι, τυράννου παντὸς οὗτος ἰσχυρότερος. Οὐχ οὕτως ἐκεῖνον οἱ δορυφόροι φυλάττουσιν, ὡς τοῦτον οἱ φίλοι, καὶ λαμπρότερος οὗτος ἐκείνου· ὁ μὲν γὰρ παρὰ τῶν αὐτοῦ δούλων φυλάττεται, ὁ δὲ παρὰ τῶν ὁμοτίμων· καὶ ὁ μὲν παρὰ ἀκόντων καὶ δεδοικότων, οὗτος δὲ παρὰ ἑκόντων, καὶ οὐ δεδοικότων· καὶ ἔστιν ἰδεῖν πρᾶγμα θαυμαστόν, ἐν πολλοῖς ἕνα, καὶ ἐν ἑνὶ πολλούς. Καὶ καθάπερ ἐπὶ κιθάρας διάφοροι μὲν οἱ φθόγγοι, μία δὲ ἡ συμφωνία, εἷς δὲ ὁ μουσικὸς ὁ τὴν κιθάραν μεταχειρίζων, οὕτως ἐνταῦθα κιθάρα μέν ἐστιν αὐτὴ ἡ ἀγάπη, φθόγγοι δὲ ἠχοῦντες τὰ δι' ἀγάπης προφερόμενα ῥήματα φιλικά, μίαν καὶ τὴν αὐτὴν ἅπαντες ἀφιέντες ἁρμονίαν καὶ συμφωνίαν, ὁ δὲ μουσικὸς ἡ τῆς ἀγάπης δύναμις· αὕτη κρούει τὸ μέλος τὸ ἡδύ.

Ἐβουλόμην ὑμᾶς ἀγαγεῖν εἰς πόλιν τοιαύτην, εἴ γε δυνατόν, ἔνθα μία ψυχὴ ἦν, καὶ εἶδες ἂν ὅπως πάσης κιθάρας καὶ παντὸς αὐλοῦ ἁρμοδιωτέρα ἡ ἐκεῖ συμφωνία, οὐδὲν ἀπηχὲς ᾄδουσα μέλος. Τοῦτο καὶ ἀγγέλους καὶ τὸν ἀγγέλων Δεσπότην Θεὸν εὐφραίνει τὸ μέλος· τοῦτο ὅλον τὸ ἐν τῷ οὐρανῷ θέατρον διανίστησι· τοῦτο καὶ δαιμόνων κηλεῖ θυμόν, παθῶν καταθέλγει ὁρμάς. Τοῦτο τὸ μέλος οὐ μόνον πάθη κηλεῖ, ἀλλ' οὐδὲ διαναστῆναι ἀφίησι, καὶ πολλὴν τὴν σιγὴν ἐργάζεται· καθάπερ γὰρ ἐν θεάτρῳ χοροῦ μουσικῶν πάντες μετὰ σιγῆς ἐπακούουσι, καὶ οὐδεὶς ἐκεῖ θόρυβος, οὕτω καὶ ἐν τοῖς φίλοις, τῆς ἀγάπης

θος. Ἀλλ' ἐκεῖνος ποὺ ἔχει φίλους πολλοὺς εἶναι ἀνίκητος ἀπὸ ὅλους, εἶναι ἰσχυρότερος αὐτὸς ἀπὸ ὁποιονδήποτε τύραννο. Δὲν φρουροῦν τόσο πολὺ τὸν τύραννο οἱ σωματοφύλακές του, ὅσο αὐτὸν οἱ φίλοι, καὶ αὐτὸς εἶναι λαμπρότερος ἀπὸ ἐκεῖνον· διότι ὁ μὲν τύραννος φρουρεῖται ἀπὸ τοὺς δούλους του, ἐνῶ αὐτὸς ἀπὸ τοὺς ἰσότιμους του· καὶ ἐκεῖνος μὲν φυλάσσεται ἀπὸ ἀνθρώπους ποὺ τὸ κάνουν αὐτὸ χωρὶς νὰ τὸ θέλουν καὶ ἀπὸ φόβο, ἐνῶ αὐτὸς ἀπὸ ἀνθρώπους ποὺ τὸ θέλουν καὶ τὸ κάνουν ὄχι ἀπὸ φόβο· καὶ μπορεῖ κανεὶς νὰ δεῖ κάτι τὸ ἄξιο θαυμασμοῦ, νὰ δεῖ δηλαδὴ μέσα στοὺς πολλοὺς τὸν ἕνα καὶ μέσα στὸν ἕνα τοὺς πολλούς. Καὶ ὅπως ἀκριβῶς στὴν κιθάρα οἱ μὲν φθόγγοι εἶναι διάφοροι, μία ὅμως ἡ συμφωνία, ἕνας ὁ μουσικὸς ποὺ παίζει τὴν κιθάρα, ἔτσι ἐδῶ, κιθάρα μὲν εἶναι ἡ ἴδια ἡ ἀγάπη, φθόγγοι δὲ ποὺ δημιουργοῦν τὸν ἦχο εἶναι τὰ φιλικὰ λόγια ποὺ προφέρονται μὲ ἀγάπη, δημιουργώντας ὅλοι μαζὶ μία καὶ τὴν αὐτὴ ἁρμονία καὶ συμφωνία, ἐνῶ ὁ μουσικὸς εἶναι ἡ δύναμη τῆς ἀγάπης· αὐτὴ παράγει τὴ γλυκειὰ μελωδία.

Θὰ ἤθελα, ἐὰν βέβαια ἦταν δυνατό, νὰ σᾶς ὁδηγήσω σὲ μιὰ τέτοια πόλη, ὅπου θὰ ὑπῆρχε μία ψυχή, καὶ θὰ βλέπατε πῶς ἡ ἐκεῖ συμφωνία εἶναι ἡ πιὸ ταιριαστὴ ἀπὸ ὁποιαδήποτε κιθάρα καὶ ἀπὸ ὁποιοδήποτε αὐλό, χωρὶς ν' ἀφήνει ν' ἀκουσθεῖ ἀπὸ τὶς χορδές της καμιὰ κακόηχη μελωδία. Αὐτὴ ἡ μελωδία εὐφραίνει καὶ τοὺς ἀγγέλους καὶ τὸν Κύριο τῶν ἀγγέλων, τὸ Θεό· αὐτὴ ἡ μελωδία συναρπάζει ὅλους τοὺς οὐράνιους θεατές, αὐτὴ καὶ τὸν θυμὸ τῶν δαιμόνων καταβάλλει, καὶ ὑποτάσσει τὶς ὁρμὲς τῶν παθῶν. Αὐτὸ τὸ μέλος ὄχι μόνο ὑποτάσσει τὰ πάθη, ἀλλὰ δὲν τὰ ἀφήνει οὔτε κἂν νὰ ξεσηκωθοῦν, καὶ δημιουργεῖ μεγάλη σιγή· διότι, ὅπως ἀκριβῶς στὸ θέατρο ὅλοι ἀκοῦν μὲ σιγὴ τὴ μουσικὴ χορωδία, καὶ δὲν ὑπάρχει ἐκεῖ κανένας θόρυβος, ἔτσι καὶ στοὺς φίλους, ἐφόσον ἀντη-

κρουούσης, πάντα ἠρεμεῖ τὰ πάθη καὶ κατακοιμίζεται, καθάπερ θηρία κηλούμενα καὶ θελγόμενα, ὥσπερ οὖν ἔνθα ἔχθρα, πάντα τὰ ἐναντία. Ἀλλὰ μηδὲν περὶ ἔχθρας τέως εἴπωμεν· περὶ φιλίας λέγωμεν μόνον.

Ἂν εἴπῃς τι προπετές, οὐδεὶς ὁ ἐπιλαμβανόμενος, ἀλλὰ πάντες συγγινώσκουσιν· ἂν πράξῃς, οὐδεὶς ὑποπτεύει, ἀλλὰ πολλὴ ἡ συγγνώμη· πάντες οἱ χεῖρα ὀρέγοντες πίπτουσι πρόχειροι, πάντες οἱ βουλόμενοι στῆναι πρόθυμοι. Τεῖχος ὄντως ἀρραγὲς ἡ φιλία, καὶ οὐδὲ τῷ διαβόλῳ ἁλώσιμον, μήτι γε ἀνθρώποις. Οὐκ ἔνι κινδύνῳ περιπεσεῖν τὸν φίλους κεκτημένον πολλούς· οὐκ ἔνι ὀργῆς ὑπόθεσιν σχεῖν, ἀλλὰ θυμηδίας· ἐν γέλωτι ἀεί ἐστι καὶ τρυφῇ· οὐκ ἔνι βασκανίας ὑπόθεσιν σχεῖν, οὐκ ἔνι μνησικακίας ἀφορμήν. Ὅρα τὸν τοιοῦτον καὶ τὰ πνευματικὰ καὶ τὰ σαρκικὰ κατορθοῦντα μετ' εὐκολίας. Τί δὴ οὖν τούτου ἴσον γένοιτ' ἄν; Ὥσπερ πόλις τετειχισμένη πάντοθεν οὗτός ἐστιν, ἐκεῖνος δὲ ὥσπερ πόλις ἀτείχιστος. Μεγάλης σοφίας τὸ δύνασθαι φιλίας εἶναι δημιουργόν. Ἄνελε τὴν φιλίαν, καὶ πάντα ἀνεῖλες, πάντα συνέχεες. Εἰ δὲ εἰκὼν φιλίας τοσαύτην ἔχει τὴν ἰσχύν, αὐτὴ ἡ ἀλήθεια πόση τις ἂν εἴη; Κατασκευάσωμεν τοίνυν ἡμῖν φίλους, παρακαλῶ, καὶ ταύτην ἕκαστος ἐχέτω τὴν τέχνην.

Ἀλλ' ἰδού, φησίν, ἐγὼ σπουδάζω, ἐκεῖνος δὲ οὐ σπουδάζει. Πλείων ὁ μισθὸς οὕτως ἔσται σοι. Ναί,

χοῦν οἱ χορδὲς τῆς ἀγάπης, ἠρεμοῦν ὅλα τὰ πάθη καὶ ἀποκοιμίζονται, ὑποτασσόμενα καὶ σαγηνευόμενα σὰν ἀκριβῶς θηρία, ὅπως ἀκριβῶς πάλι ὅπου ὑπάρχει ἔχθρα, ἐκεῖ συμβαίνουν τὰ ἀντίθετα. Ἀλλὰ πρὸς τὸ παρὸν ἂς μὴ ποῦμε τίποτε γιὰ τὴν ἔχθρα, ἂς μιλήσομε μόνο γιὰ τὴ φιλία.

Ἂν πεῖς κάτι τὸ ἀπερίσκεπτο, κανένας δὲν σὲ προσβάλλει, ἀλλ᾽ ὅλοι σὲ συγχωροῦν· ἂν κάνεις κάτι, κανένας δὲν σὲ βλέπει ὕποπτα, ἀλλ᾽ ὑπάρχει πολλὴ συγγνώμη· ὅλοι εἶναι ἕτοιμοι νὰ δώσουν χέρι βοήθειας σ᾽ ἐκεῖνον ποὺ πέφτει, ὅλοι ἐκεῖνοι ποὺ θέλουν νὰ σταθεῖς ὄρθιος εἶναι πρόθυμοι γιὰ βοήθεια· Πράγματι ἡ φιλία εἶναι τεῖχος ἀρράγιστο, καὶ δὲν εἶναι δυνατὸ νὰ κυριευθεῖ οὔτε ἀπὸ τὸν διάβολο, οὔτε βέβαια καὶ ἀπὸ τοὺς ἀνθρώπους. Δὲν εἶναι δυνατὸ νὰ περιπέσει σὲ κινδύνους ἐκεῖνος ποὺ ἔχει ἀποκτήσει φίλους πολλούς· δὲν εἶναι δυνατὸ νὰ τοῦ δημιουργηθεῖ ἀφορμὴ γιὰ ὀργή, ἀλλ᾽ εἶναι γεμάτος ἀπὸ ἀνέκφραστη χαρά· εἶναι πάντοτε χαρούμενος καὶ εὐχαριστημένος· δὲν εἶναι δυνατὸ νὰ τοῦ δημιουργηθεῖ ἀφορμὴ γιὰ φθόνο, δὲν εἶναι δυνατὸ νὰ τοῦ δημιουργηθεῖ ἀφορμὴ γιὰ μνησικακία. Πρόσεχε τὸν παρόμοιο ἄνθρωπο ποὺ κατορθώνει μὲ εὐκολία καὶ τὰ πνευματικὰ καὶ τὰ σωματικά. Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει ἴσο μὲ αὐτόν; Αὐτὸς εἶναι σὰν ἀκριβῶς πόλη περιτειχισμένη ἀπὸ παντοῦ, ἐνῶ ἐκεῖνος σὰν ἀκριβῶς πόλη ἀτείχιστη. Εἶναι δεῖγμα μεγάλης σοφίας τὸ νὰ μπορεῖ κανεὶς νὰ εἶναι δημιουργὸς φιλίας. Κατάργησε τὴ φιλία καὶ ὅλα τὰ κατέστρεψες, ὅλα τὰ ἔκανες ἄνω κάτω. Ἐὰν δὲ ἡ ἔννοια τῆς φιλίας ἔχει τόση μεγάλη δύναμη, ἡ ἴδια ἡ ἀλήθεια πόση μεγάλη δύναμη θὰ μποροῦσε νὰ εἶναι; Ἂς δημιουργήσομε λοιπόν, παρακαλῶ, φίλους μας, καὶ ὁ καθένας ἂς ἔχει αὐτὴ τὴν τέχνη.

Ἀλλὰ νά, λέγει, ἐγὼ φροντίζω, ἐκεῖνος ὅμως δὲν φροντίζει. Περισσότερος θὰ εἶναι ἔτσι ὁ μισθός σου. Ναί,

φησίν, ἀλλὰ τὸ πρᾶγμα δυσκολώτερον. Πῶς; εἰπέ μοι. Ἰδοὺ διαμαρτύρομαι καὶ λέγω ὅτι, δέκα μόνον ἐὰν συμφράξητε ἑαυτούς, καὶ ἔργον τοῦτο θῆτε, καθάπερ οἱ Ἀπόστολοι τὸ κηρύττειν, καθάπερ οἱ προφῆται τὸ διδάσκειν, οὕτω καὶ ἡμεῖς τὸ φίλους ποιεῖν, μισθὸς ἔσται μέγας. Βασιλικὰς εἰκόνας ἡμῖν αὐτοῖς κατασκευάζωμεν· τοῦτο γνώρισμα μαθητῶν. Καὶ πῶς οὐ μεῖζον ἐργαζόμεθα, ἢ εἰ δύναμιν αὐτοῖς ἐνετίθεμεν νεκροὺς ἀνιστᾶν; Τὸ διάδημα καὶ ἡ ἁλουργὶς δείκνυσι τὸν βασιλέα, καί, τούτων οὐκ ὄντων, κἂν χρυσᾶ ἔχῃ ἱμάτια, οὔπω ὁ βασιλεὺς δῆλος. Οὕτω δὴ καὶ νῦν τὸ γνώρισμα σὺ ἐργάζου, καὶ ποιήσεις σεαυτῷ φίλους καὶ ἄλλοις. Οὐδείς ἐστιν ὅστις φιλούμενος θελήσει μισεῖν.

Μάθωμεν τὰ χρώματα, δι' ὧν κεράννυνται, δι' ὧν αὕτη συντίθεται ἡ εἰκών· εὐπροσήγοροι ὦμεν· μὴ περιμένωμεν τοὺς πλησίον. Μὴ εἴπῃς, ''Ἐὰν ἴδω τινὰ περιμένοντα, χείρων αὐτοῦ γίνομαι', ἀλλὰ μᾶλλον, ὅταν ἴδῃς, πρόλαβε καὶ σβέσον αὐτοῦ τὸ πάθος. Ὁρᾷς κάμνοντα, καὶ ἐπιτείνεις τὴν νόσον; Τοῦτο μάλιστα πρὸ πάντων κατορθώσωμεν, τὸ προηγεῖσθαι τῇ τιμῇ ἀλλήλους· τὸ ἡγεῖσθαι ἀλλήλους ὑπερέχοντας ἑαυτῶν μὴ νομίσῃς ἐλαττοῦσθαι. Ἂν ἄρα προηγήσῃ τῇ τιμῇ, σαυτὸν ἐτίμησας πλέον, εἰς τὸ πλέον τιμηθῆναι ἐπισπώμενος. Πανταχοῦ τῶν πρωτείων ἑτέροις παραχωρῶμεν. Μηδὲν τῶν εἰς ἡμᾶς εἰργασμένων δεινῶν μνημονεύωμεν, ἀλλ' εἴ τι ἀγαθόν. Οὐδὲν οὔ-

λέγει, ἀλλὰ τὸ πράγμα εἶναι πιὸ δύσκολο. Πές μου, πῶς; Νὰ σᾶς τὸ διαβεβαιώνω καὶ σᾶς λέγω ὅτι, ἐὰν μόνο δέκα συνενωθεῖτε καὶ θέσετε ἔργο σὰν αὐτό, ὅπως ἀκριβῶς οἱ Ἀπόστολοι τὸ κήρυγμα, καὶ ὅπως ἀκριβῶς οἱ προφῆτες τὴ διδασκαλία, ἔτσι καὶ σεῖς τὸ νὰ δημιουργεῖτε φίλους, θὰ εἶναι μεγάλος ὁ μισθός σας· Ἂς κατασκευάζομε γιὰ ἐμᾶς τοὺς ἴδιους βασιλικὲς εἰκόνες· αὐτὸ ἀποτελεῖ γνώρισμα τῶν μαθητῶν. Καὶ πῶς δὲν ἐπιτελοῦμε μεγαλύτερο ἔργο, ἐὰν βάζαμε μέσα σ' αὐτοὺς δύναμη νὰ ἀνασταίνουν νεκρούς; Τὸ βασιλικὸ στέμμα καὶ ἡ πορφύρα δείχνουν τὸ βασιλιά, καί, ἂν αὐτὰ δὲν ὑπάρχουν, καὶ ἂν ἀκόμα φορᾶ χρυσὰ ροῦχα, δὲν γίνεται φανερὸς ὁ βασιλιάς. Ἔτσι λοιπὸν καὶ τώρα νὰ φέρεις σὺ καὶ νὰ ἀσκεῖς τὸ γνώρισμα τῆς φιλίας καὶ θὰ δημιουργήσεις φίλους καὶ γιὰ τὸν ἑαυτό σου καὶ γιὰ τοὺς ἄλλους. Δὲν ὑπάρχει κανένας ποὺ θὰ θελήσει νὰ μισεῖ, ἐνῶ ἀγαπιέται.

Ἂς μάθομε τὰ χρώματα, μὲ τὰ ὁποῖα συναρμολογεῖται, μὲ τὰ ὁποῖα κατασκευάζεται αὐτὴ ἡ εἰκόνα· ἂς εἴμαστε καταδεκτικοί· ἂς μὴ περιμένομε τοὺς συνανθρώπους μας. Μὴ πεῖς, Ἐὰν δῶ κάποιον νὰ περιμένει, γίνομαι χειρότερος ἀπὸ αὐτόν· ἀλλὰ μᾶλλον, ὅταν τὸν δεῖς, πρόλαβε καὶ σβῆσε τὸ πάθος αὐτοῦ. Τὸν βλέπεις νὰ εἶναι ἀσθενὴς καὶ αὐξάνεις τὴν ἀσθένειά του; Αὐτὸ πρὸ πάντων ἂς κατορθώσομε, τὸ νὰ προηγούμαστε ἀναμεταξύ μας στὴν ἀπόδοση τιμῆς· τὸ νὰ θεωροῦμε τοὺς ἄλλους στὶς μεταξύ μας σχέσεις ὅτι ὑπερέχουν ἀπὸ μᾶς μὴ νομίσεις ὅτι μᾶς μειώνει. Ἂν λοιπὸν προηγηθεῖς στὸ ν' ἀποδώσεις τιμή, τὸν ἑαυτό σου τίμησες περισσότερο, δημιουργώντας τὸ κίνητρο γιὰ νὰ τιμηθεῖς περισσότερο. Παντοῦ τὰ πρωτεῖα νὰ τὰ παραχωροῦμε στοὺς ἄλλους. Νὰ μὴ θυμόμαστε κανένα ἀπὸ τὰ κακὰ ποὺ προξενήθηκαν σὲ μᾶς, ἀλλὰ μόνο ἐὰν μᾶς ἔγινε κάποιο καλό· Τίποτε δὲν δημιουργεῖ τόσο πολὺ ἕνα φίλο, ὅσο ἡ εὐχάριστη

τω ποιεῖ φίλον, ὡς γλῶσσα εὐχάριστος, στόμα εὔφημον, ψυχὴ ἄτυφος, κενοδοξίας ὑπεροψία, τιμῆς καταφρόνησις.

Ἂν ταῦτα κατορθώσωμεν, δυνησόμεθα γενέσθαι ἀχείρωτοι ταῖς παγίσι τοῦ διαβόλου, καί, μετὰ ἀκριβείας τὴν ἀρετὴν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γλώσσα, τὸ ἐπαινετικὸ στόμα, ἡ γεμάτη ἀπὸ ταπεινοφροσύνη ψυχή, ἡ περιφρόνηση τῆς ματαιοδοξίας, ἡ περιφρόνηση τῆς τιμῆς.

Ἂν τὰ ἐπιτύχομε αὐτά, θὰ μπορέσομε νὰ γίνομε ἀπρόσβλητοι ἀπὸ τὶς παγίδες τοῦ διαβόλου, καί, ἀφοῦ διανύσομε μὲ ἀκρίβεια καὶ προσοχὴ τὴν ἀρετή, νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α ΜΑ΄

(Πράξ. 19, 8 - 20)

«Εἰσελθὼν δὲ εἰς τὴν συναγωγήν, ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς, διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ».

1. Ὅρα πανταχοῦ ἑαυτὸν εἰσωθοῦντα εἰς τὰς συναγωγάς, καὶ οὕτως ἐξιόντα· πανταχοῦ γὰρ παρ' αὐτῶν ἐβούλετο λαβεῖν ἀφορμήν, ὅπερ ἔφην· τά τε γὰρ ἔθνη παρεζήλου λοιπόν, καὶ προθύμως ἀπεδέχοντο αὐτόν, οἵ τε Ἰουδαῖοι, τῶν ἐθνῶν δεχομένων, μετενόουν. Ἐβούλετο ἀποστῆσαι τοὺς μαθητὰς ἐκεῖθεν καὶ παρ' αὐτῶν λαβεῖν τὴν ἀρχήν, ὥστε μὴ συνάγεσθαι· καὶ οὐχ ἁπλῶς τοῦτο ἐποίει. Διὰ τοῦτο διελέγετο αὐτοῖς συνεχῶς, ὅτι ἔπειθε. Μὴ οὖν, ἐπειδὴ παρρησίαν ἤκουσας, τραχύτητα νομίσῃς· περὶ χρηστῶν πραγμάτων διελέγετο, περὶ βασιλείας· τίς οὐκ ἂν ἤκουσεν;

«Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητάς, καθ' ἡμέραν διαλεγόμενος, ἐν τῇ σχολῇ Τυράννου τινός. Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ,

---

1. Πράξ. 19, 8

Ο Μ Ι Λ Ι Α ΜΑ΄
(Πράξ. 19, 8 - 20)

«Στὴ συνέχεια ὁ Παῦλος πῆγε στὴ συναγωγὴ καὶ ἐπὶ τρεῖς μῆνες μιλοῦσε μὲ θάρρος, συζητώντας καὶ πείθοντας τοὺς Ἰουδαίους γιὰ τὴ βασιλεία τοῦ Θεοῦ»[1].

1. Πρόσεχε παντοῦ αὐτὸν νὰ εἰσέρχεται πρῶτα στὶς συναγωγὲς καὶ ἀπὸ ἐκεῖ ν' ἀρχίζει τὸ ἔργο του· διότι παντοῦ ἀπ' αὐτοὺς ἤθελε ν' ἀρχίσει τὸ ἔργο του, ὅπως προανέφερα· διότι ἔτσι καὶ τῶν Ἐθνικῶν ὁ ζῆλος αὔξανε καὶ μὲ προθυμία ἀποδέχονταν αὐτόν, καὶ οἱ Ἰουδαῖοι, ἐπειδὴ τὸν δέχονταν οἱ Ἐθνικοί, μετανοοῦσαν. Ἤθελε ν' ἀπομακρύνει τοὺς μαθητὲς ἀπὸ ἐκεῖ καὶ ἀπ' αὐτοὺς νὰ λάβει τὴν ἀφορμή, ὥστε νὰ μὴ συγκεντρώνονται· καὶ δὲν τὸ ἔκαμνε αὐτὸ ἄσκοπα. Γι' αὐτὸ συνομιλοῦσε συνέχεια μὲ αὐτούς, διότι ἔπειθε αὐτούς. Μὴ λοιπόν, ἐπειδὴ ἄκουσες ὅτι μιλοῦσε μὲ παρρησία, θεωρήσεις αὐτὸ σκληρότητα· γιὰ καλὰ πράγματα συνομιλοῦσε μαζί τους γιὰ οὐράνια βασιλεία· ποιὸς δὲν θὰ ἄκουε;

«Ἐπειδὴ ὅμως μερικοὶ συμπεριφέρονταν μὲ σκληρότητα καὶ ἀρνοῦνταν νὰ πιστέψουν κακολογώντας τὴ διδασκαλία μπροστὰ στὸ πλῆθος, ἔφυγε ἀπ' αὐτούς, παίρνοντας μαζί του τοὺς μαθητὲς καὶ καθημερινὰ εἶχε συζητήσεις στὴ σχολὴ κάποιου ποὺ ὀνομαζόταν Τύραννος. Αὐτὸ ἔγινε ἐπὶ δύο χρόνια συνέχεια, ὥστε ὅλοι ποὺ κατοικοῦσαν στὴν Ἀσία ἄκουσαν τὸ λόγο τοῦ Κυρίου Ἰησοῦ,

'Ιουδαίους τε καὶ Ἕλληνας». Ὁδὸν τὸ κήρυγμα εἰκότως ἐκάλουν· ὄντως γὰρ αὕτη ἡ ὁδὸς ἦν, ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

«Ἐν τῇ σχολῇ», φησί, «Τυράννου τινὸς διελέγετο. Καὶ τοῦτο ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας ἀκοῦσαι τὸν λόγον, 'Ιουδαίους τε καὶ Ἕλληνας». Ὁρᾷς πόσον ἤνυσεν ἡ ἐπιστασία; Καὶ 'Ιουδαῖοι καὶ Ἕλληνες ἤκουον.

«Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου, ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν». Οὐχὶ φοροῦντες ἥπτοντο μόνον, ἀλλὰ καὶ λαμβάνοντες ἐπετίθεσαν. Διὰ τοῦτο οὐκ εἴα ὁ Χριστὸς ἀπελθεῖν αὐτὸν εἰς τὴν 'Ασίαν, τηρῶν τοῦτον τὸν καιρόν, ὡς ἔγωγε οἶμαι.

«Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων 'Ιουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου 'Ιησοῦ, λέγοντες· Ὁρκίζομεν ὑμᾶς τὸν 'Ιησοῦν, ὃν ὁ Παῦλος κηρύσσει». Οὕτω πάντα ἐποίουν πραγματείας ἕνεκεν. Ὅρα· πιστεῦσαι μὲν οὐκ ἤθελον, διὰ δὲ τοῦ ὀνόματος ἤθελον ἐκβάλλειν τοὺς δαίμονας. Βαβαί! τὸ ὄνομα τοῦ Παύλου πόσον ἦν!

«Ἦσαν δέ τινες υἱοὶ Σκευᾶ 'Ιουδαίου ἀρχιερέως ἑπτὰ οἱ τοῦτο ποιοῦντες. 'Αποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρόν, εἶπεν αὐτοῖς· Τὸν 'Ιησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι, ὑμεῖς δὲ τίνες ἐστέ; Καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρόν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους

---

2. Πράξ. 19, 9 - 10 3. Πράξ. 19, 11 - 12 4. Πράξ. 19, 13

᾿Ιουδαῖοι καὶ ῞Ελληνες»[2]. Πολὺ σωστὰ ὀνόμαζαν τὸ κήρυγμα ὁδό· διότι πραγματικὰ αὐτὴ ἦταν ἡ ὁδὸς ποὺ ὁδηγοῦσε στὴ βασιλεία τῶν οὐρανῶν.

«Συζητοῦσε», λέγει, «στὴ σχολὴ κάποιου ποὺ ὀνομαζόταν Τύραννος. Καὶ αὐτὸ ἔγινε συνέχεια ἐπὶ δύο χρόνια, ὥστε ὅλοι ν' ἀκούσουν τὸ λόγο τοῦ Κυρίου, ᾿Ιουδαῖοι καὶ ῞Ελληνες». Βλέπεις πόσα κατόρθωσε ἡ συνεχὴς φροντίδα; Καὶ ᾿Ιουδαῖοι καὶ ῞Ελληνες ἄκουαν τὸ κήρυγμά του.

«Καὶ ὁ Θεὸς ἐνεργοῦσε μὲ τὸν Παῦλο ὄχι τυχαῖα θαύματα, ὥστε μανδήλια ἢ περιζώματα ἀπὸ τὸ σῶμα αὐτοῦ φέρονταν στοὺς ἀσθενεῖς, ποὺ ἀπαλλάσσονταν ἀπὸ τὴν ἀσθένειά τους καὶ τὰ πονηρὰ πνεύματα ἔβγαιναν ἀπ' αὐτούς»[3]. ῎Οχι μόνο τὸν ἄγγιζαν φορώντας αὐτά, ἀλλὰ καὶ τὰ ἔπαιρναν ἀπ' αὐτὸν καὶ τὰ τοποθετοῦσαν ἐπάνω τους. Γι' αὐτὸ δὲν τὸν ἄφηνε ὁ Χριστὸς νὰ μεταβεῖ στὴν ᾿Ασία, φυλάσσοντας αὐτὸν τὸν καιρό, ὅπως ἐγὼ τουλάχιστο νομίζω.

«Μερικοὶ δὲ ἀπὸ τοὺς περιοδεύοντες ᾿Ιουδαίους ἐξορκιστὲς ἐπιχείρησαν νὰ προφέρουν τὸ ὄνομα τοῦ Κυρίου ᾿Ιησοῦ ἐπάνω σ' ἐκείνους ποὺ εἶχαν πονηρὰ πνεύματα λέγοντας· Σᾶς ἐξορκίζομε στὸ ὄνομα τοῦ ᾿Ιησοῦ, τὸν ὁποῖο κηρύσσει ὁ Παῦλος»[4]. ῞Ωστε ὅλα τὰ ἔκαμναν φροντίζοντας ν' ἀποκομίσουν κέρδος. Πρόσεχε· τὸ νὰ πιστέψουν μὲν δὲν ἤθελαν, ὅμως ἤθελαν νὰ διώξουν τοὺς δαίμονες ἐπικαλούμενοι τὸ ὄνομα τοῦ Παύλου. Πώ, πώ! πόση ἦταν ἡ δύναμη τοῦ ὀνόματος τοῦ Παύλου!

«Αὐτὸ τὸ ἔκαμναν οἱ ἑπτὰ υἱοὶ τοῦ ἀρχιερέα τῶν ᾿Ιουδαίων Σκευᾶ· ᾿Αποκρίθηκε ὅμως τὸ πονηρὸ πνεῦμα καὶ εἶπε πρὸς αὐτούς· Τὸν ᾿Ιησοῦ τὸν γνωρίζω, καθὼς καὶ τὸν Παῦλο τὸν γνωρίζω, σεῖς ὅμως ποιοὶ εἶστε; Καὶ πηδώντας μὲ ὀργὴ ἐπάνω σ' αὐτοὺς ὁ ἄνθρωπος μέσα στὸν ὁποῖο ὑπῆρχε τὸ πονηρὸ πνεῦμα τοὺς κατέβαλε καὶ τοὺς

ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. Τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν, Ἰουδαίοις τε καὶ Ἕλλησι, τοῖς κατοικοῦσι τὴν Ἔφεσον» (οὐκοῦν λανθανόντως ἐποίουν, εἶτα ἐκπομπεύεται αὐτῶν ἡ ἀσθένεια), «καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ· πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν». Ἐπειδὴ γὰρ τοσαύτην ἰσχὺν ἔσχον, ὥστε διὰ τῶν δαιμονίων τοιαῦτα ποιεῖν, εἰκότως ταῦτα γίνεται.

«Ἱκανοί τε τῶν τὰ περίεργα πραξάντων, συνενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν». Ἰδόντες ὅτι οὐδὲν αὐτῶν ὄφελος λοιπὸν ἦν, κατακαίουσι τὰς βίβλους· ὅτε καὶ αὐτοὶ οἱ δαίμονες ταῦτα ποιοῦσιν. Οὐκ ἄρα τὸ ὄνομά τι ποιεῖ, ἂν μὴ μετὰ πίστεως λέγηται. Καλῶς ἄρα ἔλεγεν, «Ὁ πιστεύων εἰς ἐμὲ μείζονα ποιήσει», τοῦτο τὸ τῶν σκιῶν αἰνιττόμενος. Ὅρα πῶς τοῖς ὅπλοις καθ' ἑαυτῶν ἐχρήσαντο.

«Καὶ διελέγετο», φησίν, «ἐν τῇ σχολῇ Τυράννου τινὸς ἐπὶ ἔτη δύο». Ἔνθα πιστοὶ ἦσαν, καὶ σφόδρα πιστοί. Οὕτως οὐδὲν μέγα ἐνόμιζον τὸν Ἰησοῦν, ὅτι καὶ τὸν Παῦλον προσετίθεσαν, ὡς αὐτὸν ταύτῃ μέγα τι νομίζοντες εἶναι. Ἄξιον ἐνταῦθα θαυμάσαι πῶς ὁ δαίμων οὐ συνέπραξεν ἐκεῖνος τῇ τῶν ἐξορκιστῶν πλάνῃ, ἀλλὰ διήλεγξεν αὐτούς, καὶ τὴν σκηνὴν αὐτῶν φανερὰν ἐποίησεν. Ἐμοὶ δοκεῖ σφόδρα θυμω-

------

5. Πράξ. 19, 14 - 18
6. Πράξ. 19, 19 - 20
7. Ἰω. 14, 12
8. Πράξ. 5, 15
9. Πράξ. 19, 9

κακοποίησε, ώστε νά φύγουν άπό τό σπίτι έκεῖνο γυμνοί καί καταπληγωμένοι. Αύτό ἔγινε γνωστό σ' ὅλους τούς 'Ιουδαίους καί τούς "Ελληνες πού κατοικοῦσαν στήν "Εφεσο (Δηλαδή τά ἔκαμναν κρυφά, στή συνέχεια ὅμως διαπομπεύεται ή ἀσθένεια αὐτῶν), «κυρίευσε ὅλους μεγάλος φόβος, καί δοξαζόταν τό ὄνομα τοῦ Κυρίου 'Ιησοῦ. Πολλοί ἀπό ἐκείνους πού εἶχαν πιστέψει ἔρχονταν καί ἐξομολογοῦνταν καί ἔλεγαν τίς πράξεις τους»[5]. 'Επειδή δηλαδή εἶχαν τόση μεγάλη δύναμη, ὥστε μέ τά δαιμόνια νά κάμνουν τέτοια πράγματα, πολύ σωστά γίνονται αὐτά.

«Πολλοί ἀπό ἐκείνους πού ἀσχολοῦνταν μέ τή μαγεία, ἔφερναν τά βιβλία τους καί τά ἔκαιαν μπροστά σ' ὅλους, ὑπολόγισαν δέ τήν ἀξία τους καί βρῆκαν ὅτι ἡ ἀξία τους ἦταν πενήντα χιλιάδες ἀργύρια. "Ετσι ὁ λόγος τοῦ Κυρίου αὔξανε καί ἁπλωνόταν μέ δύναμη μεγάλη»[6]. 'Επειδή εἶδαν ὅτι δέν ὑπῆρχε κανένα ὄφελος ἀπό αὐτά, κατακαίουν τά βιβλία, τότε πού καί οἱ ἴδιοι οἱ δαίμονες κάμνουν αὐτά. 'Επομένως δέν κάμνει τό ὄνομα κάτι, ἄν δέν λέγεται μέ πίστη. Πολύ σωστά ἄρα ἔλεγε, «'Εκεῖνος πού πιστεύει σ' ἐμένα θά κάνει μεγαλύτερα»[7], ὑπονοώντας αὐτό πού πραγματοποιοῦνταν μέ τή σκιά τῶν 'Αποστόλων[8]. Πρόσεχε πῶς χρησιμοποίησαν τά ὅπλα τους ἐναντίον τοῦ ἑαυτοῦ τους·

«Καί συζητοῦσε», λέγει, «ἐπί δύο χρόνια στή σχολή κάποιου πού ὀνομαζόταν Τύραννος»[9]. 'Εκεῖ ὅπου ὑπῆρχαν πιστοί καί μάλιστα ὑπερβολικά πιστοί. "Ετσι καθόλου σπουδαῖο δέν θεωροῦσαν τόν 'Ιησοῦ, διότι τοποθετοῦσαν κοντά σ' αὐτόν καί τόν Παῦλο, θεωρώντας αὐτόν μέ τόν τρόπο αὐτό σάν κάτι τό μεγάλο. Εἶναι ἄξιο ἀπορίας ἐδῶ πῶς ὁ δαίμονας ἐκεῖνος δέν συνέπραξε μαζί μέ τήν πλάνη τῶν ἐξορκιστῶν, ἀλλ' ἔλεγξε αὐτούς, καί φανέρωσε τή σκηνοθεσία ἐκείνων. 'Εγώ νομίζω ἐπειδή θύμωσε ὑπερ-

θείς, ὥσπερ ἄν, εἴ τις, περὶ τῶν ἐσχάτων κινδυνεύων, ὑπό τινος οἰκτροῦ καὶ ταλαιπώρου διελέγχοιτο, καὶ πάντα εἰς ἐκεῖνον ἀφεῖναι βούλεται τὸν θυμόν. Ἵνα γὰρ δὴ δόξῃ καταφρονεῖσθαι τὸ ὄνομα τοῦ Ἰησοῦ, πρότερον ὁμολογήσας, τοῦτο ἔλαβεν ἐξουσίαν. Ὅτι γὰρ οὐ τοῦ ὀνόματος ἦν ἀσθένεια, ἀλλὰ τῆς ἐκείνων ἀπάτης τὸ πᾶν, ἐπὶ Παύλου διὰ τί μὴ ταῦτα γεγένηται;

«Καὶ ἐφαλλόμενος», φησίν, «ὁ ἄνθρωπος ἐπ' αὐτούς». Ἴσως διέρρηξεν αὐτῶν τὰ ἱμάτια, καὶ προσήραξεν αὐτῶν τὰς κεφαλάς· τοῦτο γὰρ ἐδήλωσε τῷ εἰπεῖν, «Ἐφαλλόμενος»· τουτέστι, 'μετὰ ῥύμης ἐπιπηδήσας', ὥστε ἱκανὸν ἦν τοῦτο ἐργάσασθαι. Τί ἐστιν· «Ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισε τοὺς μαθητάς»; Ἐνέκοψεν αὐτῶν, φησί, τὴν κακολογίαν. Τοῦτο δὲ ποιεῖ καὶ ἀφίσταται, ἐπεὶ οὐκ ἠβούλετο ἐκκαῦσαι αὐτῶν τὸν φθόνον, οὐδὲ εἰς ἔριν ἐμβαλεῖν πλείονα. Τὸ δὲ «ἐπαρρησιάζετο» λέγει, δηλῶν ὅτι καὶ πρὸς κινδύνους ἦν παρατεταγμένος, καὶ φανερώτερον διελέγετο, οὐ συσκιάζων τὰ δόγματα. Ἐντεῦθεν μανθάνομεν μὴ ὁμόσε χωρεῖν τοῖς κακολογοῦσιν, ἀλλ' ἀφίστασθαι αὐτῶν. Οὐκ ἐκακολόγησε κακῶς ἀκούων καὶ αὐτός, ἀλλὰ μᾶλλον διελέγετο καθ' ἡμέραν καὶ ταύτῃ μάλιστα οἰκειούμενος τοὺς πολλούς, τῷ κακῶς καίτοι ἀκούσας μὴ ἀποπηδῆσαι μηδὲ χωρισθῆναι. Καὶ σκόπει· ἐπειδὴ ὁ τῶν ἔξω πειρασμὸς ἐπαύσατο, ἀπὸ τῶν δαιμόνων ἤρξατο.

Ὁρᾷς πώρωσιν Ἰουδαϊκήν; Τὰ ἱμάτια αὐτοῦ ἰδόντες ἐνεργοῦντα, οὐ προσεῖχον. Τί τούτου μεῖζον ἂν γένοιτο; Τοῖς δὲ μᾶλλον εἰς τοὐναντίον περιέστη.

---

10. Πράξ. 19, 16

βολικά, ὅπως ἀκριβῶς, ἐὰν κάποιος, διατρέχοντας τὸν ἔσχατο κίνδυνο, ἐλεγχόταν πολὺ αὐστηρὰ ἀπὸ κάποιον ἐλεεινὸ καὶ ταλαίπωρο, καὶ ἤθελε νὰ χύσει ὅλο τὸ θυμό του σ' ἐκεῖνον. Γιὰ νὰ μὴ φανεῖ λοιπὸν ὅτι περιφρονεῖται τὸ ὄνομα τοῦ Ἰησοῦ, ἀφοῦ προηγουμένως τὸ ὁμολόγησε, ἔλαβε αὐτὸ σάν ἐξουσία. Διότι τό ὅτι ἡ ἀδυναμία δέν ὀφειλόταν στὸ ὄνομα, ἀλλά τὸ πᾶν ὀφειλόταν στὴν ἀπάτη ἐκείνων, στὴν περίπτωση τοῦ Παύλου γιατὶ δὲν ἔγιναν αὐτά;

«Καὶ ὅρμησε», λέγει, «ὁ ἄνθρωπος ἐναντίον αὐτῶν»[16]. Ἴσως ξέσχισε τὰ ἐνδύματα αὐτῶν καὶ τούς χτύπησε στὰ κεφάλια τους· διότι αὐτὸ δήλωσε μὲ τὸ νὰ πεῖ, «Ἐφαλλόμενος» δηλαδή, πήδηξε μὲ ὁρμή· ἦταν δηλαδὴ ἀρκετὸ τὸ νὰ διαπράξει αὐτό. Τί σημαίνει, «Ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισε τοὺς μαθητάς»; Σταμάτησε, λέγει, τὴν κακολογία αὐτῶν. Τὸ κάμνει δὲ αὐτὸ καὶ ἀπομακρύνεται, ἐπειδὴ δὲν ἤθελε ν' ἀνάψει τὸ φθόνο αὐτῶν, οὔτε νὰ τοὺς ὁδηγήσει σὲ μεγαλύτερη φιλονεικία. Τὸ δὲ «μιλοῦσε μὲ θάρρος», τὸ λέγει γιὰ νὰ δείξει ὅτι καὶ γιὰ τοὺς κινδύνους ἦταν προετοιμασμένος, καὶ συζητοῦσε φανερότερα, χωρὶς νὰ συσκιάζει τὰ δόγματα. Ἀπὸ ἐδῶ μαθαίνομε νὰ μὴ ἐρχόμαστε σὲ ἀντίθεση μὲ ἐκείνους ποὺ μᾶς κακολογοῦν, ἀλλὰ ν' ἀποτραβιέμαστε ἀπ' αὐτούς. Δὲν κακολόγησε ἐνῶ καὶ ὁ ἴδιος κακολογοῦνταν, ἀλλὰ περισσότερο συνομιλοῦσε καθημερινὰ μ' αὐτούς, καὶ μὲ τὸν τρόπο αὐτὸ πολὺ περισσότερο προσέλκυε τοὺς πολλούς, μὲ τὸ ὅτι δηλαδὴ ἂν καὶ κακολογήθηκε οὔτε ἀπομακρύνθηκε ἀπ' αὐτοὺς οὔτε τοὺς ἀποχωρίσθηκε. Καὶ πρόσεχε· ἐπειδὴ σταμάτησε ὁ πειρασμὸς ἀπὸ τοὺς ἐκτὸς τῆς Ἐκκλησίας, ἄρχισε ἀπὸ τοὺς δαίμονες.

Βλέπεις πώρωση ἰουδαϊκή; Ἂν καὶ εἶδαν τὰ ἐνδύματά του νὰ ἐπιτελοῦν θαύματα, ὅμως δὲν πρόσεχαν. Τί θὰ μποροῦσε νὰ ὑπάρξει μεγαλύτερο ἀπ' αὐτό; Γι' αὐ-

Εἴ τις Ἑλλήνων ἀπιστεῖ, τὴν σκιὰν ὁρῶν ταῦτα ἐργαζομένην, πιστευέτω. Οὕτω τῷ ἐξ αὐτῶν ἀποστῆναι οἱ μὲν κακολογοῦντες καὶ διαβάλλοντες τὸ δόγμα ἡττῶνται (τοῦτο γὰρ ἐκάλεσεν ὁδόν), αὐτὸς δὲ ἀφίσταται, ὡς μήτε τοὺς μαθητὰς ἀναχωρῆσαι, μήτε ἐκείνους εἰς θυμὸν ἐγεῖραι, δεικνὺς πανταχοῦ διωθουμένους τὴν σωτηρίαν. Καὶ λοιπὸν ἐνταῦθα οὐδὲ ἀπολογεῖται αὐτοῖς, ἅτε πανταχοῦ τῶν ἐθνῶν πιστευσάντων. Καὶ διαλέγεται, οὐχ ἁπλῶς τὸν τόπον ζητήσας, ἀλλ' ἔνθα σχολὴ ἦν, ὡς ἐπιτηδειότερον διὰ τὸ ἐκεῖ συνάγεσθαι.

2. Βαβαί! πόση τῶν πιστευσάντων ἡ δύναμις, ὅτι καὶ ἑτέροις τοῦ τὰ αὐτὰ ποιεῖν γίνεται! πόση δὲ πώρωσις τῶν καὶ μετὰ τὴν ἀπόδειξιν τῆς δυνάμεως ἔτι μενόντων τῇ ἀπιστίᾳ! Ὥσπερ οὖν Σίμων ἐμπορίας ἕνεκεν ἐζήτει τοῦ Πνεύματος τὴν χάριν, οὕτω καὶ οὗτοι τοῦ αὐτοῦ τούτου ἕνεκεν τοῦτο ἐποίουν. Πόση πώρωσις! Καὶ τί δήποτε ὁ Παῦλος οὐκ ἐπιτιμᾷ; Ὅτι ἔδοξεν ἂν βασκανίας εἶναι τὸ πρᾶγμα· διὰ τοῦτο οἰκονομεῖται οὕτω. Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν· ἀλλὰ τότε μὲν οὐ κωλύεται (ἀρχὴ γὰρ τῶν πραγμάτων ἦν), ἐπεὶ καὶ Ἰούδας κλέπτων οὐκ ἐκωλύετο, Ἀνανίας δὲ καὶ Σάπφειρα καὶ ἀνῃρέθησαν. Καὶ πολλοὶ Ἰουδαῖοι μὲν καὶ ἀνθιστάμενοι οὐδὲν ἔπασχον, Ἐλύμας δὲ ἐτυφλώθη. «Οὐ γὰρ ἦλθον», φησίν, «ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος».

Ὅρα μιαρίαν! Ἰουδαῖοι μένοντες ἔτι, ἀπὸ τοῦ ὀνόματος χρηματίζειν ἤθελον· ὥστε πάντα πρὸς δό-

---

11. Πράξ. 8, 9 - 24
12. Πράξ. 5, 1 - 11
13. Πράξ. 13, 8
14. Ἰω. 3, 17 καὶ 12, 47

τοὺς ὅμως μᾶλλον εἶχε ἀντίθετο ἀποτέλεσμα. Ἐὰν κάποιος ἀπὸ τοὺς Ἕλληνες ἀπιστεῖ, βλέποντας τὴ σκιὰ νὰ ἐπιτελεῖ αὐτὰ τὰ θαύματα, ἂς πιστεύει. Ἔτσι, μὲ τὸ ν' ἀπομακρυνθεῖ ἀπ' αὐτοὺς ἐκεῖνοι μὲν ποὺ κακολογοῦσαν καὶ κατηγοροῦσαν τὸ δόγμα, νικιένται (διότι αὐτὸ ὀνόμασε ὁδό), ὁ ἴδιος δὲ ἀπομακρύνεται, ὥστε οὔτε οἱ μαθητὲς ν' ἀναχωρήσουν, οὔτε ὁ θυμὸς ἐκείνων ν' ἀνάψει, δείχνοντας παντοῦ ὅτι αὐτοὶ ἀποκρούουν τὴ σωτηρία. Καὶ ἐδῶ λοιπὸν οὔτε κἂν ἀπολογεῖται σ' αὐτούς, ἐφόσον παντοῦ οἱ Ἐθνικοὶ πίστεψαν. Καὶ κάνει τὶς συζητήσεις του σὲ τόπο ποὺ δὲν τὸν ἀναζήτησε τυχαῖα, ἀλλ' ἐκεῖ ποὺ ὑπῆρχε σχολή, σὰν πιὸ κατάλληλο, ἐφόσον ἐκεῖ γίνονταν συγκεντρώσεις.

2. Πώ, πώ! πόση εἶναι ἡ δύναμη ἐκείνων ποὺ πίστεψαν, διότι γίνεται αἰτία καὶ σ' ἄλλους νὰ κάμνουν τὰ ἴδια! Πόση δὲ ἡ πώρωση ἐκείνων πού, καὶ μετὰ τὴν ἀπόδειξη τῆς δυνάμεως, ἐξακολουθοῦν ἀκόμα ν' ἀπιστοῦν! Ὅπως ἀκριβῶς λοιπὸν ὁ Σίμων ζητοῦσε νὰ λάβει τὴ χάρη τοῦ Πνεύματος ἀποβλέποντας σὲ ὑλικὸ κέρδος[11], ἔτσι καὶ αὐτοὶ ἔκαμναν αὐτὸ γιὰ τὸν ἴδιο ἀκριβῶς λόγο. Πόση πώρωση! Καὶ γιατὶ τέλος πάντων ὁ Παῦλος δὲν τοὺς ἐπιτιμᾷ; Διότι θὰ μποροῦσε νὰ θεωρηθεῖ τὸ πράγμα σὰν ἀποτέλεσμα φθόνου· γι' αὐτὸ ρυθμίζεται ἔτσι ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ. Αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Χριστοῦ· ἀλλὰ τότε μὲν δὲν ἐμποδίζεται (διότι ἦταν ἀρχὴ τῶν πραγμάτων), καθόσον καὶ ὁ Ἰούδας ποὺ ἔκλεβε δὲν ἐμποδιζόταν, ὁ Ἀνανίας ὅμως καὶ ἡ Σάπφειρα καὶ θανατώθηκαν ἀκόμα[12]. Καὶ πολλοὶ Ἰουδαῖοι ποὺ πρόβαλλαν ἀντίσταση δὲν πάθαιναν τίποτε, ὁ Ἐλύμας ὅμως τυφλώθηκε[13]. Διότι, λέγει, «Δὲν ἦρθα γιὰ νὰ κρίνω τὸν κόσμο, ἀλλὰ γιὰ νὰ σωθεῖ ὁ κόσμος»[14].

Πρόσεχε μιαρία! Ἐνῶ ἐξακολουθοῦσαν νὰ παραμένουν Ἰουδαῖοι, ἤθελαν νὰ κερδίζουν χρήματα ἀπὸ τὸ ὄ-

ξαν ἐποίουν καὶ πορισμόν. Θέα πανταχοῦ οὐχ οὕτω τοὺς ἀνθρώπους ἐπιστρεφομένους ἀπὸ τῶν χρηστῶν, ὡς ἀπὸ τῶν φοβερῶν. Ἐπὶ Σαπφείρας φόβος ἐπέπεσεν ἐπὶ τὴν Ἐκκλησίαν, καὶ οὐκ ἐτόλμων κολλᾶσθαι αὐτοῖς, ἐνταῦθα σουδάρια καὶ σιμικίνθια ἐλάμβανον καὶ ἰῶντο, καὶ μετὰ τοῦτο τότε ἦλθον ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἀπὸ τοῦ ἐφάλλεσθαι δείκνυται τῶν δαιμόνων ἡ δύναμις μεγάλη τις οὖσα, ὅταν πρὸς ἀπίστους ἔχῃ. Καὶ διὰ τί μὴ εἶπε, 'Τίς ἐστιν ὁ Ἰησοῦς' τὸ πνεῦμα τὸ πονηρόν, ἀλλ' εἶπε μᾶλλον τὸ ἀνόνητα ῥήματα; Ἐφοβεῖτο μὴ καὶ αὐτὸς δίκην δῷ· ᾔδει γὰρ ὅτι τὸ συγχωρηθῆναι αὐτῷ ἐκείνους ἀμύνασθαι τοὺς καταπαίζοντας αὐτοῦ τοῦτο τὸ ὄνομα πεποίηκε. Διὰ τί δὲ καὶ οἱ ἄθλιοι μὴ εἶπον αὐτῷ, 'Πιστεύομεν'; Ἐδεδοίκεσαν Παῦλον· καίτοι πόσῳ μᾶλλον λαμπρότεροι ἂν ἦσαν τοῦτο εἰπόντες, εἴ γε ᾠκειώσαντο αὐτοῦ τὴν δεσποτείαν; Ἄλλως τε καὶ τὸ ἐν Φιλίπποις γενόμενον καὶ τούτους ἐσωφρόνισε.

Σὺ δέ μοι σκόπει τοῦ συγγραφέως ἐνταῦθα τὸ ἀνεπαχθές, καὶ πῶς ἱστορίαν μόνον γράφει, καὶ οὐ διαβάλλει. Τοῦτο τοὺς Ἀποστόλους ἐποίει θαυμαστούς. Ἀλλὰ τίνος ἦσαν υἱοί, τὸ ὄνομα λέγει καὶ τὸν ἀριθμόν, διδοὺς τοῖς τότε τεκμήριον ἀξιόπιστον ὧν ἔγραφε. Τίνος δὲ ἕνεκεν καὶ περιήρχοντο; Ἐμπορίας χάριν· οὐ γὰρ δὴ τὸν λόγον καταγγέλλοντες· πῶς γάρ; Καλῶς δὲ ἔτρεχον λοιπόν, κηρύττοντες δι' ὧν ἔπα-

------

15. Πράξ. 5, 13
16. Πράξ. 16, 16 ἑ.

νομα· ἑπομένως ὅλα τὰ ἔκαμναν γιὰ δόξα καὶ ἀποκόμιση χρηματικοῦ κέρδους. Πρόσεχε παντοῦ ὅτι οἱ ἄνθρωποι δὲν ἐπιστρέφουν τόσο πολὺ ἐξ αἰτίας τῶν καλῶν ποὺ βλέπουν, ὅσο ἐξ αἰτίας τῶν φοβερῶν. Στὴν περίπτωση τῆς Σάπφειρας φόβος κυρίευσε τὴν Ἐκκλησία, καὶ δὲν τολμοῦσαν νὰ προσκολληθοῦν σ' αὐτούς[15], ἐδῶ μανδήλια καὶ περιζώματα ἔπαιρναν ἀπ' αὐτὸν καὶ θεραπεύονταν, καὶ ὅταν συνέβηκε αὐτὸ τότε πλέον ἦρθαν καὶ ἄρχισαν νὰ ἐξομολογοῦνται τὶς ἁμαρτίες τους. Ἀπὸ τὸ γεγονὸς ὅτι πήδηξαν μὲ ὁρμὴ ἐκεῖνοι ποὺ εἶχαν τὰ πονηρὰ πνεύματα στοὺς ἐξορκιστὲς γίνεται φανερὸ ὅτι ἡ δύναμη τῶν δαιμόνων εἶναι μεγάλη, ὅταν ἀπευθύνεται πρὸς ἀπίστους. Καὶ γιατί δὲν εἶπε τὸ πονηρὸ πνεῦμα, 'ποιὸς εἶναι ὁ Ἰησοῦς', ἀλλὰ προτίμησε νὰ πεῖ τὰ ἀνώφελα ἐκεῖνα λόγια; Φοβόταν μήπως καὶ αὐτὸς τιμωρηθεῖ· διότι γνώριζε ὅτι τὸ νὰ δοθεῖ ἡ δυνατότητα σ' αὐτὸν ν' ἀντιμετωπίσει ἐκείνους ποὺ τὸν περιέπαιζαν, τὸ ἔκανε τὸ ὄνομα αὐτό· Γιατί δὲ καὶ οἱ ἄθλιοι αὐτοὶ δὲν εἶπαν σ' αὐτόν, 'Πιστεύομε'; Φοβοῦνταν τὸν Παῦλο· ἂν καὶ βέβαια πόσο περισσότερο λαμπρότεροι θὰ μποροῦσαν νὰ γίνουν λέγοντας αὐτό, ἐὰν φυσικὰ ἀποδέχονταν τὴν ἐξουσία αὐτοῦ; Ἐξ ἄλλου καὶ ἐκεῖνο ποὺ συνέβηκε στοὺς Φιλίππους[16] καὶ αὐτοὺς τοὺς σωφρόνισε.

Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε ἐδῶ τὴν εὐχάριστη διήγηση τοῦ συγγραφέα, καὶ πῶς ἱστορία μόνο γράφει χωρὶς νὰ κατηγορεῖ. Αὐτὸ ἔκαμνε τοὺς Ἀποστόλους θαυμαστούς. Ἐξιστορώντας λοιπὸν τὸ γεγονὸς λέγει ποιοῦ υἱοὶ ἦταν οἱ ἐξορκιστές, τὸ ὄνομα αὐτοῦ καὶ τὸν ἀριθμό τους, γιὰ νὰ δώσει τότε ἀξιόπιστη ἀπόδειξη γι' αὐτὰ ποὺ ἔγραφε. Ἀλλὰ γιὰ ποιὸ λόγο γύριζαν ἐδῶ καὶ ἐκεῖ; Μὲ σκοπὸ ν' ἀποκομίσουν χρήματα· διότι ἀσφαλῶς δὲν κήρυτταν τὸ λόγο τοῦ Θεοῦ· πῶς θὰ ἦταν δυνατὸ κάτι τέτοιο; Πολὺ σωστὰ δὲ ἔτρεχαν ἐδῶ καὶ ἐκεῖ κηρύττοντας μὲ ἐ-

σχον. Ὅθεν, τοῦτο δηλῶν, «καὶ ἐγένετο», φησί, «γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι, τοῖς κατοικοῦσι τὴν Ἔφεσον». Τοῦτο οὐχὶ καὶ τοὺς σκληρυνομένους ἐπιστρέψαι ὤφειλεν; εἰπέ μοι. Ἀλλ' οὐκ ἐπέστρεψε. Καὶ μὴ θαυμάσῃς· τὴν γὰρ κακίαν οὐδὲν πείθει.

Φέρε δὲ καὶ αὐτὸ τὸ τῶν ἐξορκιστῶν ἴδωμεν ὅσης ἐστὶ κακίας. Τίνος δὲ ἕνεκεν ἐπὶ τοῦ Χριστοῦ τοῦτο μὴ γέγονεν, ἑτέρου καιροῦ, καὶ οὐ τοῦ παρόντος ζητῆσαι· πλὴν ὅτι καλῶς τοῦτο ἐνταῦθα γέγονε καὶ χρησίμως. Ἐμοὶ δὲ δοκεῖ χλευάζοντας αὐτοὺς τοῦτο ποιεῖν· ὅθεν τιμωροῦνται, ὥστε καὶ ἀπὸ τούτου μηδένα τολμᾶν μηδὲ ὡς ἔτυχε τὸ ὄνομα ὀνομάζειν λοιπόν. Τοῦτο πολλοὺς τῶν πιστευσάντων εἰς ἐξομολόγησιν ἤγαγε· τοῦτο καὶ φόβον αὐτοῖς ἐνέβαλε, καὶ τοῦ πάντα εἰδέναι τὸν Θεὸν μέγιστον τοῦτο τεκμήριον γέγονε. Πρὶν ἢ ὑπὸ τῶν δαιμόνων ἐλεγχθῆναι, ἑαυτῶν κατηγόρουν, φοβούμενοι μὴ τὰ αὐτὰ πάθωσιν. Εἰκότως· ὅταν γὰρ οἱ βοηθοῦντες δαίμονες κατήγοροι αὐτῶν ὦσι καὶ οὐ σύμμαχοι, ποία λοιπὸν ἡ ἐλπίς, ἢ διὰ τῶν ἔργων ἐξομολόγησις;

Ὅρα δὲ οἷα μετὰ μικρὸν γίνεται κακία, τοιούτων σημείων γενομένων. Τοιαύτη γὰρ ἡ ἀνθρωπίνη φύσις, ταχέως ἐπιλανθάνεται ὧν εὐεργετεῖται. Ἢ οὐ μέμνησθε ὅτι καὶ ἐπὶ τῶν καθ' ἡμᾶς γενομένων τὸ αὐτὸ τοῦτο γέγονεν; Εἰπὲ γάρ μοι, οὐ πέρυσιν ἐτίναξεν ὁ Θεὸς τὴν πόλιν πᾶσαν; Τί δαί; οὐχὶ πάντες ἐπὶ τὸ φώτισμα ἔδραμον; οὐχὶ πόρνοι καὶ μαλακοὶ καὶ διεφθαρμένοι, οἰκήματα ἀφέντες, καὶ τοὺς τόπους

---

17. Πράξ. 19, 17

κεῖνα ποὺ ἔπασχαν. Γι' αὐτό, θέλοντας νὰ δηλώσει αὐτό, λέγει «Ὅτι αὐτὸ ἔγινε γνωστὸ σ' ὅλους τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνες ποὺ κατοικοῦσαν στὴν Ἔφεσο»[17]. Αὐτό, πές μου, δὲν ἔπρεπε νὰ ὁδηγήσει στὴν ἐπιστροφὴ καὶ ἐκείνους ποὺ δημιουργοῦσαν δυσκολίες στὸ κήρυγμα; Ἀλλὰ δὲν τοὺς ἔκανε νὰ ἐπιστρέψουν. Καὶ μὴ ἀπορήσεις· διότι τὴν κακία τίποτε δὲν τὴν πείθει.

Ἐμπρὸς λοιπὸν νὰ ἐξετάσομε καὶ νὰ δοῦμε ἀπὸ πόση κακία ἦταν γεμάτο αὐτὸ ποὺ συνέβηκε μὲ τοὺς ἐξορκιστές. Γιὰ ποιὸ λόγο δὲ αὐτὸ δὲν συνέβηκε στὴν περίπτωση τοῦ Χριστοῦ, εἶναι θέμα ποὺ πρέπει νὰ ἐξετασθεῖ σὲ ἄλλη εὐκαιρία καὶ ὄχι τώρα, ἀλλ' ὅμως αὐτὸ πολὺ καλὰ συνέβηκε ἐδῶ καὶ ἦταν πολὺ χρήσιμο· Ἐγὼ ἔχω τὴν ἐντύπωση ὅτι αὐτοὶ τὸ κάνουν αὐτὸ χλευάζοντας, καὶ γι' αὐτὸ τιμωροῦνται, ὥστε ἐξ αἰτίας αὐτοῦ κανένας πλέον νὰ μὴ τολμᾶ νὰ ἐπικαλεῖται στὰ καλὰ καθούμενα τὸ ὄνομα τοῦ Ἰησοῦ. Αὐτὸ ὁδήγησε πολλοὺς ἀπὸ ἐκείνους ποὺ πίστεψαν στὴν ἐξομολόγηση· αὐτὸ τοὺς γέμισε καὶ ἀπὸ φόβο, καὶ ἔγινε αὐτὸ μέγιστη ἀπόδειξη τοῦ ὅτι ὁ Θεὸς γνωρίζει τὰ πάντα. Προτοῦ ἐλεγχθοῦν ἀπὸ τοὺς δαίμονες, κατηγοροῦσαν τὸν ἑαυτό τους, φοβούμενοι μήπως πάθουν τὰ ἴδια. Πολὺ σωστά· διότι, ὅταν οἱ δαίμονες ποὺ τοὺς βοηθοῦσαν γίνονται κατήγοροι αὐτῶν καὶ ὄχι σύμμαχοι, ποιὰ πλέον ἄλλη ἐλπίδα ὑπάρχει, παρὰ ἡ ἐξομολόγηση μὲ τὰ ἔργα;

Πρόσεχε δὲ ποιὰ κακὰ προξενοῦνται μετὰ ἀπὸ λίγο, ἂν καὶ ἔγιναν τέτοια θαύματα. Διότι τέτοια εἶναι ἡ ἀνθρώπινη φύση, ἀμέσως λησμονεῖ τὶς εὐεργεσίες ποὺ δέχεται. Ἢ δὲν θυμᾶσθε ὅτι τὸ ἴδιο συνέβηκε καὶ μὲ τὰ ὅσα συνέβηκαν σ' ἐμᾶς; Διότι πές μου, δὲν συγκλόνησε πέρυσι ὁ Θεὸς ὁλόκληρη τὴν πόλη; Τί συνέβηκε λοιπόν; δὲν ἔτρεξαν ὅλοι στὸ βάπτισμα; δὲν ἄλλαξαν καὶ δὲν ἔγιναν εὐλαβεῖς οἱ πόρνοι καὶ οἱ μαλθακοὶ καὶ οἱ διεφθαρμένοι, ἐγκα-

ἐν οἷς διέτριβον, μετετέθησαν, καὶ γεγόνασιν εὐλαβεῖς; Ἐπειδὴ δὲ τρεῖς ἡμέραι παρῆλθον, πάλιν ἐπὶ τὴν οἰκείαν ἐπανῆλθον κακίαν. Πόθεν δὲ τοῦτο γίνεται; Ἀπὸ τῆς πολλῆς νωθείας. Καὶ τί θαυμαστόν, εἰ, τῶν πραγμάτων παρελθόντων, ὅπου γε, τῶν εἰκόνων διηνεκῶς μενουσῶν, τὸ αὐτὸ γίνεται; Τὰ ἐν Σοδόμοις, εἰπέ μοι, οὐχὶ διηνεκῆ τυγχάνει; Τί οὖν; οἱ προσοικοῦντες ἀπὸ τούτων γεγόνασι βελτίους; Οὐδαμῶς. Τί δαὶ ὁ τοῦ Νῶε υἱός; οὐχὶ τοιοῦτος ἦν; οὐχὶ ἐν ὄψεσι βλέπων ἐρημίαν τοσαύτην κακὸς ἦν;

Μὴ δὴ θαυμάζωμεν πῶς οὐκ ἐπίστευσαν, τούτων γενομένων, ὅπου γε αὐτὴ ἡ πίστις πολλάκις εἰς τοὐναντίον αὐτοῖς περιτρέπεται, εἰς κακίαν· οἷον ὡς, ὅταν δαιμονῶντα λέγωσι τὸν Υἱὸν τοῦ Θεοῦ. Ἢ οὐχ ὁρᾶτε καὶ νῦν ταῦτα γινόμενα, καὶ ὀφιώδεις ἀνθρώπους ὄντας πολλούς, ἀπίστους τε καὶ ἀγνώμονας, οἳ καὶ κατὰ τὰς ἔχεις, ὅταν ἀπολαύσωσιν εὐεργεσίας, καὶ θαλφθῶσιν ὑπό τινων, τότε λυποῦσι τοὺς εὐεργέτας; Ταῦτα ἡμῖν εἴρηται, ἵνα μή τις θαυμάζῃ πῶς, τοιούτων σημείων γενομένων, οὐ πάντες ἐπέστρεψαν.

3. Ἰδοὺ γὰρ ἐπὶ τῶν καιρῶν τῶν ἡμετέρων τὰ κατὰ τὸν μακάριον Βαβύλαν γέγονε, τὰ κατὰ τὰ Ἱεροσόλυμα, τὰ κατὰ τὴν καθαίρεσιν τῶν ἱερῶν, καὶ οὐ πάντες ἐπέστρεψαν. Τί δεῖ τὰ παλαιὰ λέγειν; Πέρυσιν εἶπον ὑμῖν οἷον γέγονε, καὶ οὐδεὶς προσέσχεν, ἀλλὰ πάλιν κατὰ μικρὸν ὑπερρύησαν καὶ κατέπεσον. Ἕστηκε διηνεκῶς ὁ οὐρανὸς βοῶν ὅτι δεσπότην ἔχει, καὶ τεχνίτου τινός ἐστι τόδε τὸ πᾶν (τὸν κόσμον λέγω) καὶ λέγουσί τινες ὅτι οὐχί. Τὰ κατὰ Θεόδωρον ἐκεῖνον γεγενημένα πέρυσι τίνα οὐκ ἐξέ-

ταλείποντας τὰ σπίτια τους καὶ τοὺς τόπους στοὺς ὁποίους ζοῦσαν; Μόλις ὅμως πέρασαν τρεῖς ἡμέρες, ἐπέστρεψαν πάλι. Ἀπὸ τί δὲ γίνεται αὐτό; Ἀπὸ τὴν πολλὴ ἀδιαφορία. Καὶ τί τὸ ἀξιοθαύμαστο ἐὰν γίνεται τὸ ἴδιο ἀφοῦ περάσουν τὰ γεγονότα, τὴ στιγμὴ βέβαια ποὺ γίνεται τὸ ἴδιο καὶ ἐνῶ οἱ εἰκόνες παραμένουν συνέχεια; Πές μου, τὰ ὅσα συνέβηκαν στὰ Σόδομα δὲν παραμένουν συνέχεια οἱ εἰκόνες τους; Τί λοιπόν; αὐτοὶ ποὺ κατοικοῦν κοντὰ σ' αὐτὰ ἔγιναν καλύτεροι ἐξ αἰτίας αὐτῶν; Καθόλου. Τί δὲ συνέβηκε μὲ τὸν υἱὸ τοῦ Νῶε; δὲν ἦταν τέτοιος; δὲν ἦταν κακὸς ἂν καὶ ἔβλεπε μὲ τὰ μάτια του τόση μεγάλη ἐρήμωση;

Ἂς μὴ θαυμάζομε λοιπὸν πῶς δὲν πίστεψαν, ἐνῶ ἔγιναν αὐτά, τὴ στιγμὴ βέβαια ποὺ ἡ ἴδια ἡ πίστη πολλὲς φορὲς ὁδηγεῖ αὐτοὺς στὸ ἀντίθετο, στὴν κακία, ὅπως δηλαδὴ ὅταν ὀνομάζουν τὸν Υἱὸ τοῦ Θεοῦ δαιμονισμένο. Ἢ δὲν βλέπετε ὅτι καὶ τώρα συμβαίνουν αὐτά, καὶ ὅτι πολλοὶ ἄνθρωποι μοιάζουν μὲ τὰ φίδια, ποὺ εἶναι ἄπιστοι καὶ ἀχάριστοι, καὶ οἱ ὁποῖοι, ὅπως καὶ οἱ ἔχιδνες, ὅταν εὐεργετηθοῦν καὶ ζεσταθοῦν ἀπὸ κάποιους, τότε βλάπτουν τοὺς εὐεργέτες; Αὐτὰ λέχθηκαν σ' ἐμᾶς, γιὰ νὰ μὴ ἀπορεῖ κάποιος πῶς, ἂν καὶ ἔγιναν τέτοια θαύματα, δὲν ἐπέστρεψαν ὅλοι στὴν εὐθεία ὁδό.

3. Νὰ λοιπὸν καὶ στὶς ἡμέρες μας ἔγιναν ὅλα ἐκεῖνα τὰ σχετικὰ μὲ τὸν μακάριο Βαβύλα, τὰ σχετικὰ μὲ τὰ Ἱεροσόλυμα, τὰ σχετικὰ μὲ τὴν κατεδάφιση τῶν ναῶν, καὶ δὲν ἐπέτρεψαν ὅλοι στὴν πίστη· Γιατὶ πρέπει νὰ σᾶς λέγω τὰ παλιά; Πέρυσι σᾶς εἶπα ἐκεῖνο ποὺ συνέβηκε καὶ κανένας δὲν ἔδωσε σημασία, ἀλλὰ καὶ πάλι σιγὰ - σιγὰ ἀπομακρύνθηκαν καὶ κατέπεσαν. Στέκεται ὁ οὐρανὸς αἰώνια καὶ φωνάζει δυνατὰ ὅτι ἔχει κύριο καὶ ὅτι τὸ πᾶν αὐτὸ εἶναι ἔργο κάποιου τεχνίτη (ἐννοῶ τὸν κόσμο), καὶ λένε μερικοὶ ὅτι δὲν εἶναι. Τὰ ὅσα συνέβηκαν πέρυσι σχετικὰ

πληξε; Καὶ ὅμως οὐδὲν πλέον γέγονεν, ἀλλά, πρὸς καιρὸν γενόμενοι εὐλαβεῖς, πάλιν ἐπανῆλθον, ὅθεν γεγόνασιν εὐλαβεῖς. Τοῦτο καὶ ἐπὶ τῶν Ἑβραίων τότε συνέβη, διὸ καὶ ἔλεγεν ὁ Προφήτης· «Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν».

Καὶ τί δεῖ λέγειν τὰ καθολικά; πόσοι νόσοις περιέπεσον; πόσοι ἐπηγγείλαντο ἀναστάντες πολλὴν τὴν μεταβολὴν ἐργάσασθαι, καὶ πάλιν οἱ αὐτοὶ γεγόνασι; Τοῦτο μάλιστα δείκνυσιν ἡμῖν τὴν προαίρεσιν, καὶ τὴν ἐλευθερίαν τῆς ἡμετέρας φύσεως, ἡ ἀθρόα μεταβολή. Εἰ γὰρ φυσικὰ ἦν τὰ κακά, οὐδ' ἂν αὕτη γέγονε· τῶν γὰρ κατὰ φύσιν καὶ ἀνάγκην οὐ δυνάμεθα μεθίστασθαι. Καὶ μὴν μεθιστάμεθα, φησίν. Οὐ βλέπομεν γάρ τινας φύσει μὲν ἔχοντας βλέπειν, ὑπὸ τοῦ φόβου δὲ τυφλουμένους; Ἐπειδὴ καὶ τοῦτο φύσεώς ἐστι συστέλλεσθαι, ὅταν φύσις ἑτέρα προσέλθῃ· ὥστε κατὰ φύσιν ἡμῖν ἐστι τὸ πεφοβημένοις μὴ βλέπειν, κατὰ φύσιν δὲ καὶ τό, μείζονος παραγενομένου φόβου, τὸν ἕτερον ὑπεξίστασθαι.

Τί οὖν, ἂν καὶ ἡ σωφροσύνη, φησί, κατὰ μὲν φύσιν ᾖ, ὁ δὲ φόβος κρατήσας ταύτην ἐκβάλῃ; Τί οὖν, ἂν δείξω τινὰς μηδὲ τότε σωφρονιζομένους, ἀλλὰ καὶ ἐν τούτοις τοῖς φόβοις ὄντας ἰταμούς; οὐ φυσικὸν τοῦτό ἐστιν. Εἴπω τὰ παλαιά; ἀλλὰ τὰ νέα; Πόσοι δὴ ἐν αὐτοῖς ἐκείνοις τοῖς φόβοις ἐναπέμειναν γελῶντες, χλευάζοντες, καὶ οὐδὲν ἔπαθον τοιοῦτον; Εἰπέ μοι, ὁ Φαραὼ οὐκ εὐθέως μεθίστατο, καὶ ἐπὶ τὴν

---

18. Ψαλμ. 77, 34

μὲ τὸν Θεόδωρο ἐκεῖνο ποιὸν δὲν ἐξέπληξαν; Καὶ ὅμως τίποτε ἐπὶ πλέον δὲν προέκυψε, ἀλλά, ἀφοῦ πρὸς στιγμὴ ἔγιναν εὐλαβεῖς, πάλι ἐπέστρεψαν ἐκεῖ ἀπὸ ὅπου ἔγιναν εὐλαβεῖς. Αὐτὸ συνέβηκε τότε καὶ μὲ τοὺς Ἑβραίους, γι' αὐτὸ καὶ ἔλεγε ὁ προφήτης· «Ὅταν τοὺς παρέδιδε στὸ θάνατο, τότε ἀναζητοῦσαν αὐτόν, ἐπέστρεφαν κοντά του καὶ κατέφευγαν στὸ Θεό, ἀπὸ τὰ βαθιὰ χαράματα»[18].

Καὶ γιατί πρέπει ν' ἀναφέρω τὰ γενικὰ συμβάντα; πόσοι περιέπεσαν σὲ ἀσθένειες; πόσοι ὑποσχέθηκαν ὅτι, ἂν θεραπευθοῦν, θὰ ἀλλάξουν πάρα πολὺ τὸν τρόπο ζωῆς τους, καὶ πάλι ὅμως ἔγιναν οἱ ἴδιοι; Αὐτὸ πρὸ πάντων μᾶς δείχνει τὴν προαίρεση καὶ τὴν ἐλευθερία τῆς φύσεώς μας, ἡ συνεχὴς μεταβολή. Διότι, ἂν τὰ κακὰ ἦταν φυσικά, δὲν θὰ ἦταν δυνατὸ αὐτὴ νὰ συμβεῖ· καθόσον ἀπὸ τὰ φυσικὰ καὶ ἀναγκαῖα δὲν μποροῦμε ν' ἀπαλλαγοῦμε. Καὶ ὅμως, λέγει, ἀπαλλασσόμαστε. Δὲν βλέπομε δηλαδὴ μερικοὺς ποὺ ἐκ φύσεως μὲν μποροῦν νὰ βλέπουν, ἀλλ' ἐξ αἰτίας τοῦ φόβου τους ὅτι εἶναι τυφλοί; Ἐπειδὴ καὶ αὐτὸ εἶναι γνώρισμα τῆς φύσεως, τὸ νὰ συστέλλεται δηλαδὴ ὅταν πλησιάσει ἄλλη φύση· ἑπομένως εἶναι φυσικὸ γνώρισμα τὸ νὰ μὴ βλέπομε ὅταν ἔχομε φοβηθεῖ, φυσικὸ δὲ εἶναι καὶ ὅταν προξενηθεῖ κάποιος μεγαλύτερος φόβος, νὰ φυγαδεύει τὸν ἄλλο·

Τί λοιπόν, ἄν, λέγει, καὶ ἡ σωφροσύνη ὑπάρχει μὲν ἐκ φύσεως, ὅμως, ἀφοῦ ἐπικρατήσει ὁ φόβος, ἀπομακρύνει αὐτήν; Τί λοιπόν, ἂν δείξω ὅτι μερικοὶ οὔτε τότε σωφρονίζονται, ἀλλὰ καί, ἐνῶ εἶναι κυριευμένοι ἀπὸ αὐτοὺς τοὺς φόβους, ἐξακολουθοῦν νὰ συμπεριφέρονται μὲ ἀδιαντροπιά; αὐτὸ δὲν εἶναι φυσικὸ γνώρισμα. Ν' ἀναφέρω τὰ παλιά; ἢ μήπως τὰ νέα; Πόσοι δηλαδὴ βρισκόμενοι μέσα στοὺς ἴδιους ἐκείνους τοὺς φόβους ἐξακολούθησαν τὸν ἐμπαιγμὸ καὶ τὸ χλευασμό, καὶ δὲν ἔπαθαν τίποτε τὸ παρόμοιο; Πές μου, ὁ Φαραὼ δὲν ἄλλαζε ἀμέσως στάση

προτέραν κακίαν ἀνέτρεχεν; Ἐνταῦθα δέ, ἐπὶ τῶν τὰ δαιμόνια ἐχόντων, καίτοι οὐκ ἀγνοούντων αὐτῶν, προσετίθεσαν ἁπλῶς οἱ λέγοντες· «Τὸν Ἰησοῦν ὁρκίζομεν ὑμᾶς, ὃν Παῦλος κηρύσσει»· δι' ὧν γὰρ ἀπολογοῦνται, δείκνυται ὅτι ἴσασι. Τὸν Ἰησοῦν δὲ λέγουσιν ἐκεῖνοι ἁπλῶς, δέον εἰπεῖν 'τὸν τῆς οἰκουμένης Σωτῆρα, τὸν ἀναστάντα'· ἀλλ' οὐκ ἤθελον ὁμολογῆσαι τὴν δόξαν αὐτοῦ. Διὸ καὶ ἐλέγχει αὐτοὺς ὁ δαίμων, ἐπιπηδήσας αὐτοῖς, καὶ εἰπών· «Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι». Ὡσεὶ ἔλεγεν· ''Υμεῖς οὐ πιστεύετε, ἀλλ' ἀποκεχρημένοι τῷ ὀνόματι ταῦτά φατε· οὐκοῦν ἔρημος ὁ ναός, εὐκαταγώνιστον τὸ σκεῦος· ὥστε οὐκ ἐστὲ κήρυκες, ἀλλ' ἐμοί, φησίν, ἐστί'. Πολὺς ὁ θυμὸς τοῦ δαίμονος. Ἠδύναντο ταῦτα αὐτοὺς ἐργάσασθαι οἱ Ἀπόστολοι, ἀλλ' οὐκ ἐποίουν τέως· οἱ γὰρ τῶν ἐργαζομένων αὐτοὺς ταῦτα κρατοῦντες, πολλῷ μᾶλλον αὐτῶν.

Ὅρα πῶς δείκνυται αὐτῶν ἡ ἐπιείκεια, ὅτι οἱ μὲν ἐλαυνόμενοι τοιαῦτα ποιοῦσιν, οἱ δὲ θεραπευόμενοι δαίμονες τἀναντία. «Τὸν Ἰησοῦν», φησί, «γινώσκω». Οὐκοῦν αἰσχύνθητε οἱ ἀγνοοῦντες ὑμεῖς. «Καὶ τὸν Παῦλον ἐπίσταμαι». Καλῶς καὶ τοῦτο· ᾔδει γὰρ Θεοῦ ὄντα κήρυκα. Εἶτα ἐφάλλεται ἐπ' αὐτούς, καὶ διαρρήγνυσι τὰ ἱμάτια. Δι' ὧν ἐποίει αὐτοῖς, τοῦτο μονονουχὶ λέγων· 'Μὴ νομίσητε ὅτι, καταφρονῶν ἐκείνων, ταῦτα ποιῶ'. Πολὺς ὁ φόβος τοῦ δαίμονος. Καὶ διὰ τί χωρὶς τῶν ῥημάτων τούτων οὐ διέρρηξεν

19. Πράξ. 19, 13
20. Πράξ. 19, 15

καὶ ἐπέστρεφε καὶ πάλι πίσω στὴν προηγούμενη κακία του; Ἐδῶ πάλι, στὴν περίπτωση αὐτῶν ποὺ εἶχαν τὰ δαιμόνια, ἂν καὶ δὲν τὸν ἀγνοοῦσαν αὐτοί, πρόσθεταν ἁπλῶς καὶ ἔλεγαν· «Σᾶς ἐξορκίζομε στὸ ὄνομα τοῦ Ἰησοῦ, τὸν ὁποῖο κηρύττει ὁ Παῦλος»[19]· μὲ αὐτὰ δηλαδὴ ποὺ ἀπολογοῦνται, γίνεται φανερὸ ὅτι τὸν γνωρίζουν. Ἀναφέρουν ἁπλῶς ἐκεῖνοι τὸ ὄνομα τοῦ Ἰησοῦ, ἐνῶ ἔπρεπε νὰ ποῦν 'τὸν Σωτήρα τῆς οἰκουμένης, ἐκεῖνον ποὺ ἀναστήθηκε'· ἀλλ' ὅμως δὲν ἤθελαν νὰ ὁμολογήσουν τὴ δόξα αὐτοῦ. Γι' αὐτὸ καὶ ἐλέγχει αὐτοὺς ὁ δαίμονας, πηδώντας μὲ ὁρμὴ ἐπάνω τους καὶ λέγοντας· «Τὸν Ἰησοῦ τὸν γνωρίζω, καὶ τὸν Παῦλο τὸν γνωρίζω πολὺ καλά»[20]. Εἶναι σὰν νὰ ἔλεγε· 'Σεῖς δὲν πιστεύετε, ἀλλὰ τὰ λέτε αὐτὰ χρησιμοποιώντας πρὸς ὄφελός σας τὸ ὄνομά του· ἔρημος λοιπὸν εἶναι ὁ ναός, καὶ εὐκολονίκητο τὸ σκεῦος· ἄρα λοιπὸν δὲν εἶστε κήρυκες, λέγει, ἀλλὰ δικοί μου'. Μεγάλος ὁ θυμὸς τοῦ δαίμονα. Μποροῦσαν οἱ Ἀπόστολοι νὰ τὰ κάνουν αὐτὰ σ' αὐτούς, ἀλλὰ δὲν τὸ ἔκαμναν στὴν ἀρχή· διότι ἐὰν τὰ ἔκαμναν σ' αὐτοὺς αὐτὰ ἐκεῖνοι ποὺ ἐξουσίαζαν αὐτούς, πολὺ περισσότερο ἀπ' αὐτοὺς μποροῦσαν αὐτοί.

Πρόσεχε πῶς φανερώνεται ἡ ἐπιείκεια αὐτῶν, διότι ἐκεῖνοι μὲν ποὺ καταδιώκονται κάμνουν αὐτὰ τὰ καταπληκτικά, ἐνῶ οἱ δαίμονες ποὺ δέχονται τὴν ὑπηρεσία αὐτῶν κάμνουν τὰ ἀντίθετα. «Τὸν Ἰησοῦ», λέγει, «τὸν γνωρίζω». Ντραπεῖτε λοιπὸν σεῖς ποὺ δὲν τὸν γνωρίζετε. «Καὶ τὸν Παῦλο τὸν γνωρίζω πολὺ καλά». Πολὺ σωστὰ λέγεται καὶ αὐτό· διότι γνώριζε ὅτι ἦταν κήρυκας τοῦ Θεοῦ. Ἔπειτα πηδᾶ μὲ ὁρμὴ ἐπάνω σ' αὐτοὺς καὶ ξεσχίζει τὰ ροῦχα τους. Μὲ ἐκεῖνα ποὺ ἔκαμνε σ' αὐτοὺς εἶναι σὰν νὰ ἔλεγε αὐτό· 'Μὴ νομίσετε ὅτι αὐτὰ τὰ κάμνω περιφρονώντας ἐκείνους'. Μεγάλος ὁ φόβος τοῦ δαίμονα. Καὶ γιατὶ δὲν ξέσχισε τὰ ροῦχα αὐτῶν χωρὶς νὰ πεῖ τὰ

αὐτῶν τὰ ἱμάτια; (οὕτω γὰρ ἂν καὶ τὸν θυμὸν ἐπλήρωσε, καὶ τὴν πλάνην ἔστησεν). Ἐφοβεῖτο, ὅπερ ἔφην, τὴν ἀπρόσιτον δύναμιν, καὶ οὐκ ἂν τοσοῦτον ἴσχυσεν, εἰ μὴ τοῦτο εἶπεν.

Ὅρα δὲ πανταχοῦ τοὺς δαίμονας εὐγνωμονεστέρους τῶν Ἰουδαίων, καὶ οὐ τολμῶντας ἀντειπεῖν, οὐδὲ κατηγορῆσαι τῶν Ἀποστόλων, οὐδὲ τοῦ Χριστοῦ. Ἐκεῖ λέγουσιν, «Οἴδαμέν σε τίς εἶ», καὶ «Τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;», καὶ πάλιν, «Οἶδά σε τίς εἶ, ὁ Υἱὸς τοῦ Θεοῦ», ἐνταῦθα δέ· «Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσί», καὶ πάλιν· «Τὸν μὲν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι»· πάνυ γὰρ ἐδεδοίκεσαν καὶ ἔτρεμον τοὺς ἁγίους ἐκείνους.

Τάχα τις ὑμῶν ἀκούων ποθεῖ ἐπὶ ταύτης γενέσθαι τῆς ἐξουσίας, ὥστε μὴ δύνασθαι δαίμονας ἀντιβλέπειν αὐτῷ, καὶ μακαρίζει τοὺς ἁγίους ἐκείνους διὰ τοῦτο, ὅτι τοσαύτην εἶχον ἰσχύν. Ἀλλ' ἀκουέτω τοῦ Χριστοῦ λέγοντος· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται»· (ἐπειδὴ ᾔδει πάντας ἀνθρώπους μάλιστα τούτῳ χαίροντας διὰ κενοδοξίαν)· εἰ γὰρ τὸ τῷ Θεῷ δοκοῦν ζητεῖς καὶ τὸ κοινῇ συμφέρον, ἑτέρα μείζων ἐστὶν ὁδός. Οὐκ ἔστιν οὕτω μέγα δαίμονος ἀπαλλάξαι, ὡς ἁμαρτίας ἐξελέσθαι. Δαίμων οὐ κωλύει βασιλείας οὐρανῶν ἐπιτυχεῖν, ἀλλὰ καὶ συμπράττει, ἄκων μέν, συμπράττει δέ, σωφρονέστερον τὸν ἔχοντα ποιῶν, ἁμαρτία δὲ ἐκβάλλει.

4. Ἀλλ' ἴσως ἐρεῖ τις· 'Μὴ γένοιτό μοι τοιούτου τυχεῖν σωφρονισμοῦ'. Οὐδὲ ἐγὼ βούλομαι, ἀλλ' ἐ-

------

21. Μάρκ. 1, 24
22. Ματθ. 8, 29
23. Μάρκ. 1, 24
24. Πράξ. 16, 17
25. Λουκᾶ 10, 20

λόγια αὐτά; (διότι ἔτσι καὶ τὸ θυμό του θὰ μποροῦσε νὰ ἱκανοποιήσει καὶ τὴν πλάνη θὰ σταματοῦσε). Φοβόταν, ὅπως προανέφερα, τὴν ἀκατάληπτη δύναμη, καὶ δὲν θὰ μποροῦσε νὰ ἐπιτύχει τόσα, ἐὰν δὲν τὸ ἔλεγε αὐτό.

Πρόσεχε ὅμως ὅτι οἱ δαίμονες εἶναι παντοῦ πιὸ εὐγνώμονες ἀπὸ τοὺς Ἰουδαίους, καὶ δὲν τολμοῦν νὰ προβάλουν ἀντίρρηση, οὔτε νὰ κατηγορήσουν τοὺς Ἀποστόλους, οὔτε τὸν Χριστό. Ἐκεῖ λένε, «Γνωρίζομε ποιὸς εἶσαι»[21], καὶ «Γιατί ἦρθες ἐδῶ πρὶν ἀπὸ τὴν ὥρα νὰ μᾶς βασανίσεις;»[22], καὶ πάλι, «Γνωρίζω ποιὸς εἶσαι, ὁ Υἱὸς τοῦ Θεοῦ»[23], ἐδῶ δέ· «Αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου»[24], καὶ πάλι· «Τὸν μὲν Ἰησοῦ τὸν γνωρίζω, καὶ τὸν Παῦλο τὸν γνωρίζω»· διότι φοβοῦνταν πάρα πολὺ καὶ ἔτρεμαν τοὺς ἁγίους ἐκείνους.

Ἴσως ἀκούοντας κάποιος ἀπὸ σᾶς αὐτὰ νὰ ποθεῖ ν' ἀποκτήσει αὐτὴν τὴν ἐξουσία, ὥστε νὰ μὴ μποροῦν οἱ δαίμονες νὰ ρίξουν ἐπάνω του τὸ βλέμμα τους, καὶ μακαρίζει τοὺς ἁγίους ἐκείνους γι' αὐτό, διότι εἶχαν τόση μεγάλη δύναμη. Ἀλλ' ἂς ἀκούει τὸν Χριστὸ ποὺ λέγει· «Μὴ χαίρεσθε γιὰ τὸ ὅτι ὑποτάσσονται τὰ δαιμόνια σὲ σᾶς»[25] (ἐπειδὴ γνώριζε ὅτι ὅλοι οἱ ἄνθρωποι γι' αὐτὸ πρὸ πάντων χαίρονται, παρασυρόμενοι ἀπὸ ματαιοδοξία)· διότι, ἂν ζητᾶς αὐτὸ ποὺ εἶναι ἀρεστὸ στὸ Θεὸ καὶ εἶναι συμφέρον ὅλων μας, ὑπάρχει ἄλλη μεγαλύτερη ὁδός. Δὲν εἶναι τόσο μεγάλο πράγμα τὸ ν' ἀπαλλάξεις κάποιον ἀπὸ δαίμονα, ὅσο τὸ νὰ τὸν λυτρώσεις ἀπὸ τὴν ἁμαρτία. Ὁ δαίμονας δὲν ἐμποδίζει νὰ ἐπιτύχομε τὴ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ καὶ μᾶς βοηθεῖ, χωρὶς μὲν νὰ τὸ θέλει, μᾶς βοηθεῖ ὅμως, κάμνοντας πιὸ σώφρονα ἐκεῖνον ποὺ τὸν ἔχει, ἐνῶ ἡ ἁμαρτία μᾶς ἐξορίζει ἀπ' αὐτήν.

4. Ἀλλ' ἴσως πεῖ κάποιος· Εἴθε νὰ μὴ συμβεῖ νὰ τύχω ἕναν τέτοιο σωφρονισμό. Οὔτε ἐγὼ τὸ θέλω, ἀλλ'

τέρου, ἀπὸ τοῦ πόθου τοῦ Χριστοῦ πάντα ποιεῖν. Εἰδέ, ὃ μὴ γένοιτο! συμβαίη καὶ ὑπὲρ τούτου παρακαλεῖν. Εἰ τοίνυν οὗτος μὲν οὐκ ἐκβάλλει, ἐκείνη δὲ ἐκβάλλει, τὸ ἐκείνης ἀπαλλάξαι μείζονος εὐεργεσίας. Οὐκοῦν ταύτης σπουδάζωμεν ἀπαλλάττειν τοὺς πλησίον καὶ πρὸ τῶν πλησίον ἡμᾶς αὐτούς. Ἴδωμεν μὴ δαίμονα ἔχωμεν· ἐξετάσωμεν ἑαυτοὺς ἀκριβῶς. Δαίμονος χαλεπώτερον ἁμαρτία· ἐκεῖνος μὲν γὰρ ταπεινοὺς ποιεῖ. Ἢ οὐχ ὁρᾶτε τοὺς δαιμονῶντας, ὅταν ἀνενέγκωσιν ἀπὸ τῆς νόσου, πῶς εἰσι κατηφεῖς; πῶς σκυθρωποί; πῶς αἰσχύνης τὰ πρόσωπα αὐτῶν γέμει; πῶς οὐδὲ ἀντιβλέψαι τολμῶσιν;

Ὅρα τὴν ἀτοπίαν· ἐκεῖνοι μὲν ὑπὲρ ὧν πάσχουσιν αἰσχύνονται, ἡμεῖς δὲ ὑπὲρ ὧν πράττομεν οὐκ αἰσχυνόμεθα· ἐκεῖνοι ἀδικούμενοι αἰδοῦνται, ἡμεῖς ἀδικοῦντες οὐκ αἰδούμεθα· καίτοι τὰ ἐκείνων οὐκ αἰσχύνης ἄξια, ἀλλ' ἐλέου, καὶ φιλανθρωπίας, καὶ συγγνώμης, καὶ πολλοῦ τοῦ θαύματος, καὶ μυρίων τῶν ἐπαίνων, ὅταν καὶ τοιούτῳ προσπαλαίοντες δαίμονι πάντα εὐχαρίστως φέρωσι· τὰ δὲ ἡμέτερα γέλωτος ὄντως, αἰσχύνης, κατηγορίας, κολάσεως, τιμωρίας, τῶν ἐσχάτων κακῶν καὶ γεέννης, ἀλλ' οὐδεμιᾶς ἄξια συγγνώμης.

Ὁρᾷς ὅτι χαλεπώτερον δαίμονος ἁμαρτία; Καὶ ἐκεῖνοι μὲν ἐξ ὧν πάσχουσι κακῶς κερδαίνουσι κέρδος διπλοῦν, ἓν μὲν τὸ σωφρονίζεσθαι καὶ φιλοσοφώτεροι εἶναι, δεύτερον δὲ τὸ τὴν κόλασιν ἐνταῦθα τῶν οἰκείων ἁμαρτημάτων δόντες καθαροὶ πρὸς τὸν

ὅλα τὰ κάμνω γιὰ ἄλλο λόγο, ἐξ αἰτίας τοῦ πόθου μου γιὰ τὸν Χριστό. Θὰ μποροῦσε βέβαια νὰ συμβεῖ, πράγμα ποὺ εὔχομαι νὰ μὴ γίνει, καὶ γι' αὐτὸ νὰ παρακαλῶ· Ἐὰν λοιπὸν ὁ μὲν δαίμονας δὲν μᾶς ἀπομακρύνει ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν, ἐνῶ ἡ ἁμαρτία μᾶς ἐξορίζει ἀπ' αὐτήν, τὸ ν' ἀπαλλαχθεῖ κάποιος ἀπ' ἐκείνην ἀποτελεῖ μεγαλύτερη εὐεργεσία. Λοιπὸν ἀπὸ αὐτὴν ἂς φροντίζομε ν' ἀπαλλάσσομε τοὺς συνανθρώπους μας καὶ πρὶν ἀπὸ τοὺς συνανθρώπους μας τὸν ἴδιο τὸν ἑαυτό μας. Ἂς προσέξομε νὰ μὴ ἔχομε δαίμονα· ἂς ἐξετάσομε τὸν ἑαυτό μας μὲ προσοχή. Φοβερότερη ἀπὸ τὸν δαίμονα εἶναι ἡ ἁμαρτία· διότι ἐκεῖνος μᾶς κάνει ταπεινούς. Ἢ δὲν βλέπετε τοὺς δαιμονισμένους, ὅταν ἀπαλλαχθοῦν ἀπὸ τὴν ἀσθένειά τους, πῶς εἶναι λυπημένοι; πῶς εἶναι σκυθρωποί; πῶς τὰ πρόσωπά τους εἶναι γεμάτα ἀπὸ ντροπή; πῶς δὲν τολμοῦν οὔτε νὰ σηκώσουν τὸ βλέμμα τους καὶ νὰ δοῦν;

Πρόσεχε τὸ παράλογο· ἐκεῖνοι μὲν ντρέπονται γιὰ ἐκεῖνα ποὺ παθαίνουν, ἐμεῖς ὅμως δὲν ντρεπόμαστε γι' αὐτὰ ποὺ κάνομε· ἐκεῖνοι ἐνῶ ἀδικοῦνται ντρέπονται, ἐμεῖς ἂν καὶ ἀδικοῦμε δὲν ντρεπόμαστε, ἂν καὶ βέβαια τὰ ὅσα κάνουν ἐκεῖνοι δὲν εἶναι ἄξια ντροπῆς, ἀλλ' εὐσπλαχνίας, καὶ φιλανθρωπίας καὶ συγγνώμης καὶ πολλοῦ θαυμασμοῦ, καὶ μυρίων ἐπαίνων, ὅταν, ἂν καὶ ἀγωνίζονται ἐναντίον τέτοιου δαίμονος, ὅλα τὰ ὑπομένουν μὲ εὐχαρίστηση· τὰ ὅσα ὅμως κάνομε ἐμεῖς ἂν καὶ εἶναι πραγματικὰ ἄξια γιὰ γέλια, ἄξια ντροπῆς, κατηγορίας, κολάσεως, τιμωρίας, καὶ τῶν πιὸ χειρότερων κακῶν καὶ τῆς γέεννας τοῦ πυρός, ὅμως δὲν εἶναι ἄξια καμιᾶς συγγνώμης.

Βλέπεις ὅτι ἡ ἁμαρτία εἶναι φοβερότερη ἀπὸ τὸν δαίμονα; Καὶ ἐκεῖνοι μὲν ἀπὸ τὰ κακὰ ποὺ παθαίνουν ἀποκομίζουν κέρδος διπλό, ἕνα μὲν τὸ ὅτι σωφρονίζονται καὶ γίνονται πιὸ εὐσεβεῖς, δεύτερο δὲ τὸ ὅτι, τιμωρούμενοι ἐδῶ γιὰ τὰ ἁμαρτήματά τους, θὰ μεταβοῦν πρὸς τὸν

Δεσπότην ἀπελθεῖν (καὶ γὰρ ὑπὲρ τούτου διελέχθημεν πολλάκις, καὶ ἐδείξαμεν ὅτι τοὺς ἐνταῦθα κολαζομένους, ἂν εὐγνωμόνως φέρωσι, πολλὰ τῶν ἁμαρτημάτων ἀποτίθεσθαι εἰκός)· ἀπὸ δὲ τῶν ἁμαρτημάτων διπλᾶ τὰ δεινά, ἓν μὲν ὅτι προσκρούομεν, ἕτερον δὲ ὅτι χείρους γινόμεθα. Προσέχετε ᾧ λέγω. Οὐ τοῦτο μόνον ἀδικούμεθα ἀπὸ τῆς ἁμαρτίας, ὅτι ἁμαρτάνομεν, ἀλλὰ καὶ ἕτερον, ὅτι ἕξιν δέχεται ἡ ψυχή, οἷον ὡς ἐπὶ σώματος· σαφέστερον γὰρ ἔσται ἐπὶ ὑποδείγματος λεγόμενον. Καθάπερ γὰρ ὁ πυρέξας οὐ τοῦτο μόνον ἠδίκηται, ὅτι νοσεῖ, ἀλλ' ὅτι μετὰ τὴν νόσον ἀσθενέστερος γίνεται λοιπόν, κἂν εἰς ὑγείαν ἐπανέλθῃ ἀπὸ νόσου μακρᾶς, οὕτω δὴ καὶ ἐπὶ τῆς ἁμαρτίας, κἂν ὑγιαίνωμεν, ἔτι πολλῆς δεόμεθα τῆς ἰσχύος.

Ἴδε γάρ μοι ὑβρίσαντά τινα, καὶ μὴ τιμωρηθέντα· οὐ διὰ τοῦτο μόνον δακρύειν, ὅτι οὐ τῆς ὕβρεως δίκην δίδωσιν, ἀλλὰ καὶ δι' ἕτερον πενθεῖν ἄξιον. Ποῖον δὴ τοῦτο; Ὅτι ἀναισχυντοτέρα γέγονε λοιπὸν ἡ ψυχή. Ἑκάστου γὰρ τῶν ἁμαρτημάτων, καὶ τῆς ἁμαρτίας ἐργασθείσης καὶ παυσαμένης, ἐναποτίθεταί τις ἡμῶν ἰὸς τῇ ψυχῇ. Οὐκ ἀκούεις λεγόντων τινῶν, ὅταν ἐκ νόσου ὑγιάνωσιν, ὅτι 'οὐκ ἔτι τολμῶ ὕδωρ πιεῖν'; καίτοι γε ὑγίανεν· ἀλλ' ἡ νόσος καὶ τοῦτο ἠδίκησε. Κἀκεῖνοι μὲν κακῶς πάσχοντες εὐχαριστοῦσιν, ἡμεῖς δὲ εὖ πράττοντες βλασφημοῦμεν τὸν Θεόν, καὶ ἀποδυσπετοῦμεν· πλείονας γὰρ εὕροις ἂν ἐν ὑγείᾳ καὶ πλούτῳ τοῦτο ποιοῦντας, ἢ ἐν πενίᾳ καὶ

Κύριο καθαροὶ (καθόσον πολλὲς φορὲς μιλήσαμε γι᾽ αὐτό, καὶ δείξαμε ὅτι ἐκεῖνοι ποὺ τιμωροῦνται ἐδῶ, ἂν μὲ εὐγνωμοσύνη ὑπομείνουν τὴν τιμωρία, φυσικὸ εἶναι ν᾽ ἀπαλλάσσονται ἀπὸ πολλὰ ἁμαρτήματά τους)· ἀπὸ τὰ ἁμαρτήματα ὅμως διπλὰ εἶναι τὰ κακά, ἕνα μὲν τὸ ὅτι συγκρουόμαστε μὲ τὸν Κύριο, τὸ ἄλλο δὲ τὸ ὅτι γινόμαστε χειρότεροι. Προσέχετε αὐτὸ ποὺ λέγω. Δὲν εἶναι μόνο αὐτὸ ποὺ ἀδικούμαστε ἀπὸ τὴν ἁμαρτία, τὸ ὅτι ἁμαρτάνομε, ἀλλὰ καὶ ἄλλο, ὅτι δηλαδὴ ἀποκτᾶ συνήθεια ἡ ψυχή, ὅπως ἀκριβῶς δηλαδὴ συμβαίνει καὶ στὸ σῶμα· διότι θὰ γίνει αὐτὸ ποὺ λέγω πιὸ κατανοητὸ ἀναφέροντας ἕνα παράδειγμα. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος ποὺ ὑπόφερε ἀπὸ πυρετὸ δὲν ὑπέστη μόνο αὐτὴ τὴ βλάβη, τὸ ὅτι δηλαδὴ εἶναι ἀσθενής, ἀλλὰ ὅτι μαζὶ μὲ τὴν ἀσθένεια γίνεται στὸ ἑξῆς ἀσθενέστερος, καὶ ἂν ἀκόμα ἐπανακτήσει τὴν ὑγεία του μετὰ ἀπὸ μακροχρόνια ἀσθένεια, ἔτσι λοιπὸν καὶ στὴν περίπτωση τῆς ἁμαρτίας, καὶ ἂν ἀκόμα εἴμαστε ὑγιεῖς, ἔχομε ἀκόμα ἀνάγκη ἀπὸ πολλὴ δύναμη.

Πρόσεξε λοιπὸν σὲ παρακαλῶ κάποιον ποὺ ἔβρισε καὶ δὲν τιμωρήθηκε· δὲν εἶναι μόνο ἄξιο νὰ θρηνοῦμε γι᾽ αὐτό, διότι δὲν τιμωρεῖται γιὰ τὴν ὕβρη του, ἀλλὰ νὰ πενθοῦμε καὶ γιὰ κάτι ἄλλο. Ποιὸ βέβαια εἶναι αὐτό; Τὸ ὅτι ἡ ψυχή του γίνεται πλέον πιὸ ἀδιάντροπη· Διότι ἀπὸ τὸ καθένα ἀπὸ τὰ ἁμαρτήματά μας, καὶ ἀφοῦ πραγματοποιηθεῖ ἡ ἁμαρτία καὶ τελειώσει, ἐναποτίθεται μέσα στὴν ψυχή μας κάποιο δηλητήριο. Δὲν ἀκοῦς μερικοὺς ποὺ λένε, ὅταν ἐπανακτήσουν μετὰ ἀπὸ ἀσθένεια τὴν ὑγεία τους, ὅτι 'Δὲν τολμῶ πλέον νὰ πιῶ νερό'; ἂν καὶ βέβαια ἐπανεῦρε τὴν ὑγεία του· ἀλλ᾽ ἡ ἀσθένεια ἔκανε καὶ αὐτὸ τὸ κακό. Καὶ ἐκεῖνοι μέν, ἐνῶ κακοπαθοῦν, εὐχαριστοῦν, ἐμεῖς δέ, ἐνῶ εὐεργετούμαστε, βλασφημοῦμε τὸ Θεὸ καὶ τὸν ἐγκαταλείπομε· διότι περισσότερους θὰ μποροῦσες νὰ βρεῖς ὑγιεῖς καὶ πλουσίους νὰ τὸ κάνουν αὐτό, παρὰ φτωχοὺς

ἀρρωστίᾳ· ἐφέστηκε γὰρ ὁ δαίμων ὡς δήμιος ὄντως σφοδρὸς ἀπειλῶν πολλά, καθάπερ τις παιδαγωγὸς τὸν ἱμάντα ἀνατείνων, καὶ οὐδαμόθεν ἀναχυθῆναι ἀφιείς. Εἰ δέ τινες μηδ' οὕτω νήφοιεν, ἀλλ' οὖν ἐκεῖνοι διδόασι δίκην. Οὐ μικρὸν δὲ καὶ τοῦτο· καθάπερ γὰρ οἱ μωροί, καθάπερ οἱ μαινόμενοι, καθάπερ οἱ παῖδες οὐκ ἀπαιτοῦνται εὐθύνας, οὕτως οὐδὲ οὗτοι· τῶν γὰρ οὐκ ἐν γνώσει πραττομένων οὐδεὶς οὕτως ὠμός, ὥστε ἀπαιτῆσαι δίκην ποτέ. Ἄρα πολλῷ τῶν δαιμονώντων χεῖρον διακείμεθα οἱ ἁμαρτάνοντες. Ἀλλ' ὅτι οὐκ ἀφρίζομεν, οὐδὲ διαστρέφομεν τὰς κόρας, οὐδὲ τὰς χεῖρας; Εἴθε ἐν τῷ σώματι τοῦτο ἐπράττομεν, καὶ μὴ ἐν τῇ ψυχῇ!

Βούλει σοι δείξω ψυχὴν ἀφρίζουσαν ἀκάθαρτον, καὶ διαστροφὴν ὀμμάτων διανοίας; Ἐννόησον τοὺς ὀργιζομένους καὶ μεθύοντας ὑπὸ τοῦ θυμοῦ πόσου ἀφροῦ οὐκ ἀκαθαρτότερα ἐκβάλλουσι ῥήματα; Ὄντως ὥσπερ δυσώδη σίελον ἀποβλύζουσι. Καὶ καθάπερ ἐκεῖνοι οὐδένα ἴσασι τῶν παρόντων, οὕτως οὐδὲ οὗτοι· σκοτισθείσης γὰρ αὐτοῖς τῆς διανοίας, καὶ διαστραφέντων τῶν ὀφθαλμῶν, οὐ φίλον, οὐκ ἐχθρόν, οὐκ αἰδέσιμον, οὐκ εὐκαταφρόνητον, ἀλλὰ πάντας ἁπλῶς ὁρῶσιν. Οὐχ ὁρᾷς αὐτοὺς καὶ τρέμοντας καθάπερ ἐκείνους; Ἀλλ' οὐ πίπτουσι χαμαί; Ἀλλὰ ἡ ψυχὴ αὐτῶν χαμαὶ κεῖται, καὶ πίπτει σπαίρουσα· εἰ γὰρ ὀρθὴ εἱστήκει, οὐκ ἂν ἔπαθεν ἐκεῖνα, ἅπερ ἔπαθεν. Ἢ οὐ δοκεῖ σοι καταβεβλημένης εἶναι ψυχῆς, καὶ τὴν οἰκείαν νῆψιν ἀπολωλεκυίας, καὶ ἃ ποιοῦσι καὶ λέγουσι μεθύοντες τῷ θυμῷ;

καὶ ἀσθενεῖς· διότι εἶναι τοποθετημένος μπροστά μας ὁ δαίμονας πραγματικὰ σὰν φοβερὸς δήμιος, ἐξαπολύοντας ἐναντίον μας πολλὲς ἀπειλές, τεντώνοντας σὰν κάποιος παιδαγωγὸς τὸ μαστίγιο, καὶ δὲν μᾶς ἀφήνει ἀπὸ πουθενὰ νὰ ξεφύγομε. Ἐὰν δὲ μερικοὶ οὔτε ἔτσι γίνονται προσεκτικοί, ἀλλ' ὅμως ἐκεῖνοι τιμωροῦν. Δὲν εἶναι δὲ μικρὸ καὶ αὐτό· διότι ὅπως ἀκριβῶς ἀπὸ τοὺς μωρούς, ὅπως ἀκριβῶς ἀπὸ τοὺς μανιακούς, ὅπως ἀκριβῶς ἀπὸ τὰ παιδιὰ δὲν ἀπαιτοῦνται εὐθύνες, ἔτσι οὔτε ἀπὸ αὐτούς· καθόσον κανένας δὲν θὰ ἦταν τόσο σκληρός, ὥστε νὰ ζητήσει ποτὲ τιμωρία γιὰ ἐκεῖνα ποὺ πράττονται ἀπὸ ἄγνοια. Ἑπομένως ἐκεῖνοι ποὺ ἁμαρτάνομε βρισκόμαστε σὲ πολὺ πιὸ χειρότερη κατάσταση ἀπὸ τοὺς δαιμονισμένους. Ἀλλὰ δὲν συμβαίνει ν' ἀφρίζομε, οὔτε νὰ συστρέφομε τὶς κόρες τῶν ματιῶν, οὔτε τὰ χέρια; Μακάρι νὰ τὸ κάμναμε αὐτὸ στὸ σῶμα, καὶ ὄχι στὴν ψυχή!

Θέλεις νὰ σοῦ δείξω ψυχὴ ἀκάθαρτη ποὺ ἀφρίζει, καὶ διεστραμμένα μάτια τῆς διάνοιας; Σκέψου τοὺς ὀργισμένους καὶ μεθυσμένους ἀπὸ τὸ θυμὸ ἀπὸ πόσο ἀφρὸ δὲν ἐκστομίζουν ἀκαθαρτότερα λόγια; Πραγματικὰ εἶναι σὰν νὰ ξεχύνεται ἀπὸ τὸ στόμα τους σάλιο βρωμερό. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι δὲν γνωρίζουν κανένα ἀπὸ τοὺς παρόντες, ἔτσι οὔτε αὐτοί· διότι, ἀφοῦ σκοτισθεῖ ἡ διάνοιά τους καὶ διαστραφοῦν οἱ ὀφθαλμοί τους δὲν διακρίνουν οὔτε φίλο, οὔτε ἐχθρό, οὔτε κάποιον ἀξιοσέβαστο ἢ εὐκαταφρόνητο, ἀλλ' ὅλους τοὺς βλέπουν ἔτσι ἁπλά. Δὲν βλέπεις αὐτοὺς ποὺ τρέμουν νὰ εἶναι ὅπως ἀκριβῶς ἐκεῖνοι; Ὅμως δὲν πέφτουν κάτω; Ἀλλ' ἡ ψυχή τους βρίσκεται κάτω καὶ πέφτει σπαρταρώντας· διότι, ἐὰν στεκόταν ὄρθια, δὲν θὰ πάθαινε ἐκεῖνα ποὺ ἔπαθε· Ἢ νομίζεις ὅτι δὲν εἶναι δείγματα ψυχῆς καταπεσμένης καὶ ποὺ ἔχει χάσει τὴν ὅλη διαύγειά της ἐκεῖνα ποὺ κάμνουν καὶ λέγουν μεθυσμένοι ἀπὸ τὸ θυμό τους;

Ἔστι τι καὶ ἕτερον μανίας εἶδος τούτου χαλεπώτερον. Ποῖον δὴ τοῦτο; Ὅταν μηδὲ ἀφεῖναι τὴν ὀργὴν ἀνέχωνται, ἀλλὰ τρέφωσι παρ' ἑαυτοῖς οἰκειακόν, καθάπερ τινὰ δήμιον, τὴν μνησικακίαν· αὐτοὺς γὰρ πρώτους ἀπόλλυσι τὸ μνησικακεῖν ἐντεῦθεν ἤδη, ἵνα τὰ μέλλοντα παρῶ. Πόσην γὰρ οἴει βάσανον εἶναι ἀνθρώπῳ πεπληγμένῳ τὴν ψυχήν, καθ' ἑκάστην ἡμέραν σκοποῦντι ὅπως ἀμύνηται τὸν ἐχθρόν; Πρότερον ἑαυτὸν κολάζει ὁ τοιοῦτος, καὶ τιμωρεῖται οἰδαίνων, πρὸς ἑαυτὸν μαχόμενος, ἐμπυριζόμενος· ἀνάγκη γὰρ διὰ παντὸς καίεσθαι παρὰ σοὶ τὸ πῦρ· καὶ τὸν πυρετὸν ἐπὶ τοσοῦτον ἐκτείνων, οὐκ ἀφίῃς παρακμάσαι, καὶ νομίζεις ἐκείνῳ διδόναι τι κακόν, αὐτὸς δὲ σεαυτὸν τήκεις, διὰ παντὸς τὴν φλόγα ἀκμάζουσαν φέρων, καὶ διαναπαύσασθαι τὴν ψυχὴν οὐκ ἐῶν, ἀλλ' ἐκθηριούμενος ἀεί, καὶ ἐν ταραχῇ καὶ ἐν χειμῶνι τὸν λογισμὸν ἔχων.

5. Τί ταύτης χαλεπώτερον τῆς μανίας διὰ παντὸς λυπεῖσθαι, καὶ οἰδεῖν, καὶ φλεγμαίνειν; Τοιαῦται γὰρ αἱ τῶν μνησικάκων ψυχαί· ἔνθα ἂν ἴδωσιν ὃν βούλονται ἀμύνασθαι, εὐθέως ἐπλήγησαν· ἂν φωνῆς ἀκούσωσι, κατέπεσον, τρέμουσιν· ἂν ἐπὶ κλίνης ὦσι, μυρίας ἑαυτοῖς ὑπογράφουσι τιμωρίας, ἀναρτῶντες, βασανίζοντες ἐκεῖνον τὸν ἐχθρόν· πρὸς δὲ τούτοις ἂν καὶ εὐδοκιμοῦντα ἴδωσι, βαβαὶ τῆς τιμωρίας! Ἄφες αὐτῷ τὸ ἁμάρτημα, καὶ ἀπάλλαξον σαυτὸν τῆς βασάνου.

Τί μένεις διὰ παντὸς κολαζόμενος, ἵνα ἐκεῖνον ἅπαξ κολάσῃς καὶ τιμωρήσῃ; τί κατασκευάζεις ἐκτι-

Ὑπάρχει καὶ κάποιο ἄλλο εἶδος μανίας φοβερότερο ἀπὸ αὐτό. Ποιὸ βέβαια εἶναι αὐτό; Ὅταν δὲν ἀνέχονται οὔτε τὴν ὀργή τους νὰ σταματήσουν, ἀλλὰ τρέφουν μέσα τους τὴ μνησικακία σὰν κάποιο φίλο, σὰν ἀκριβῶς κάποιο δήμιο· διότι αὐτοὺς πρώτους καταστρέφει ἀπὸ ἐδῶ ἀκόμα ἡ μνημικακία, γιὰ νὰ παραλείψω τὰ μελλοντικά. Διότι πόσο βάσανο νομίζεις ὅτι εἶναι σ' ἕναν ἄνθρωπο μὲ καταπληγωμένη ψυχή, ποὺ καθημερινὰ φροντίζει πῶς ν' ἀμυνθεῖ στὸν ἐχθρό; Πρῶτα-πρῶτα ὁ ἄνθρωπος αὐτὸς τιμωρεῖ τὸν ἑαυτό του, καὶ τιμωρεῖται φουσκώντας μέσα του, πολεμώντας τὸν ἑαυτό του καὶ καταφλεγόμενος μέσα του· διότι ἀναγκαστικὰ καίει μέσα σου συνέχεια ἡ φλόγα· καὶ παρατείνοντας τόσο πολὺ τὸν πυρετό, δὲν τὸν ἀφήνεις νὰ ἐλαττωθεῖ, καὶ νομίζεις ὅτι κάμνεις κάποιο κακὸ σ' ἐκεῖνον, ἐνῶ ὁ ἴδιος λειώνεις τὸν ἑαυτό σου, φέροντας μέσα σου γιὰ πάντα τὴ φλόγα σὲ μεγάλη δράση, καὶ μὴ ἀφήνοντας τὴν ψυχή σου ν' ἀναπαυθεῖ, ἀλλὰ πάντοτε συμπεριφέρεσαι σὰν θηρίο, διατηρώντας τὸ λογισμό σου ταραγμένο καὶ ἀναστατωμένο.

5. Τί ὑπάρχει χειρότερο ἀπὸ αὐτὴ τὴ μανία κατὰ τὴν ὁποία συνέχεια στενοχωρεῖσαι, φουσκώνεις μέσα σου καὶ καταφλογίζεσαι; Διότι τέτοιες εἶναι οἱ ψυχὲς ἐκείνων ποὺ εἶναι μνησίκακοι· ὅπου συμβεῖ νὰ δοῦν ἐκεῖνον ποὺ θέλουν νὰ τὸν βλάψουν, ἀμέσως κυριεύονται ἀπὸ τὸ πάθος τους· ἂν ἀκούσουν τὴ φωνή του, χάνουν τὴν ἠρεμία τους, τρέμουν· ἂν βρίσκονται στὸ κρεβάτι σκέφτονται ἀμέτρητες τιμωρίες, κρεμώντας καὶ βασανίζοντας τὸν ἐχθρό τους ἐκεῖνον· κοντὰ σ' αὐτὰ δὲ ἂν τὸν δοῦν καὶ νὰ εὐημερεῖ, πώ, πὼ ποιὰ θὰ εἶναι τότε ἡ τιμωρία του! Συγχώρησέ του τὸ ἁμάρτημα καὶ ἀπάλλαξε τὸν ἑαυτό σου ἀπὸ τὸ βάσανο.

Γιατί ἐξακολουθεῖς νὰ τιμωρεῖς τὸν ἑαυτό σου, μὲ σκοπὸ νὰ βλάψεις καὶ νὰ τιμωρήσεις ἐκεῖνον μιὰ φορά;

κὸν σαυτῷ νόσημα; τί βουλόμενον ἀπαλλαγῆναί σου τὸν θυμὸν κατέχεις; Μηδὲ μέχρις ἑσπέρας μενέτω, φησὶν ὁ Παῦλος· καθάπερ γὰρ τηκεδών τις καὶ σής, οὕτω τὴν ῥίζαν τῆς ἡμετέρας διατρώγει διανοίας. Τί θηρίον ἐναποκλείεις εἰς τὰ σπλάγχνα τὰ σά; Βέλτιον ὄφιν ἢ ἔχιν ἐγκεῖσθαι τῇ καρδίᾳ, ἢ θυμὸν καὶ μνησικακίαν· ἐκεῖνα μὲν γὰρ εὐθέως ἂν ἡμᾶς ἀπήλλαξεν, οὗτος δὲ μένει διὰ παντός, τοὺς ὀδόντας ἐμπηγνύς, τὸν ἰὸν ἐντιθείς, τοὺς χαλεποὺς ἐπιστρατεύων λογισμούς.

'Αλλὰ ταῦτα ποιῶ, φησίν, ἵνα μὴ καταγελάσῃ, ἵνα μὴ καταφρονήσῃ. Ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐ βούλει καταγελασθῆναι παρὰ τοῦ συνδούλου, ἀλλὰ μισηθῆναι παρὰ τοῦ σοῦ Δεσπότου; οὐ βούλει καταφρονηθῆναι παρὰ τοῦ ὁμοδούλου, ἀλλὰ καταφρονεῖς τοῦ Δεσπότου; καταφρονηθῆναι παρ' αὐτοῦ οὐκ ἀνέχῃ, τὸν δὲ Θεὸν ἀγανακτεῖν οὐκ οἴει, ὅτι αὐτοῦ καταγελᾷς, ὅτι αὐτοῦ καταφρονεῖς, οὐ βουλόμενος αὐτῷ πείθεσθαι; Ὅτι δὲ οὐδὲ καταγελάσεταί σου δῆλον ἐκεῖθεν. Ἂν μὲν οὖν ἐπεξέλθῃς, πολὺς ὁ γέλως, πολλὴ ἡ καταφρόνησις (μικροψυχίας γὰρ τὸ πρᾶγμα), ἂν δὲ ἀφῇς, πολὺ τὸ θαῦμα· μεγαλοψυχίας γὰρ τοῦτο.

'Αλλ' ἐκεῖνος οὐκ οἶδε, φησίν. Ἴστω ὁ Θεός, ἵνα μείζονα ἔχῃς τὸν μισθόν. «Δανείζετε» γάρ, φησί, «παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν». Οὕτω καὶ εὐεργετῶμεν τοὺς μηδὲ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μὴ ἀντιδιδόντες ἡμῖν τὸν ἔπαινον, ἢ ὅ,τι δήποτε, ἐλαττώσωσιν ἡμῖν τὸν μισθόν· ὅταν γὰρ μηδὲν

------

26. Ἐφ. 4, 26
27. Πρβλ. Λουκᾶ 6, 34
28. Λουκᾶ 14, 14

γιατί δημιουργεῖς στὸν ἑαυτό σου ἀσθένεια ποὺ καταντᾶ συνήθεια; γιατί κρατᾶς τὸ θυμό σου, ἐνῶ ἐκεῖνος θέλει νὰ φύγει ἀπὸ σένα; Οὔτε μέχρι τὴν ἑσπέρα νὰ μὴ διαρκεῖ ὁ θυμός, λέγει ὁ Παῦλος[26]· διότι σὰν ἀκριβῶς κάποια σαπίλα καὶ σκουριά, ἔτσι κατατρώγει τὴ ρίζα τῆς διάνοιάς μας. Γιατί κλείνεις μέσα στὰ σπλάγχνα σου θηρίο; Εἶναι προτιμότερο νὰ ὑπάρχει μέσα στὴν καρδιά σου φίδι ἢ ἔχιδνα, παρὰ ὁ θυμὸς καὶ ἡ μνησικακία· διότι ἐκεῖνα ἀμέσως θὰ μᾶς ἀπάλλασσαν ἀπὸ τὸν πόνο, ἐνῶ ὁ θυμὸς μένει γιὰ πάντα, ἔχοντας καρφωμένα τὰ δόντια του, χύνοντας τὸ δηλητήριο, ἐπιστρατεύοντας τοὺς φοβεροὺς λογισμούς.

Ἀλλ' αὐτά, λέγει, τὰ κάμνω γιὰ νὰ μὴ χλευάσει, γιὰ νὰ μὴ περιφρονήσει· Ἄνθρωπε ἄθλιε καὶ ταλαίπωρε, δὲν θέλεις νὰ χλευασθεῖς ἀπὸ τὸν σύνδουλό σου, ἀλλὰ θέλεις νὰ μισηθεῖς ἀπὸ τὸν Κύριό σου; δὲν θέλεις νὰ περιφρονηθεῖς ἀπὸ τὸν ὁμόδουλό σου, ἀλλὰ περιφρονεῖς τὸν Κύριό σου; δὲν ἀνέχεσαι νὰ περιφρονηθεῖς ἀπ' αὐτόν, καὶ νομίζεις ὅτι δὲν ἀγανακτεῖς τὸ Θεό, διότι ἐμπαίζεις αὐτόν, διότι περιφρονεῖς αὐτόν, μὴ θέλοντας νὰ ὑπακούεις σ' αὐτόν; Τὸ ὅτι δὲ δὲν θὰ σὲ χλευάσει γίνεται φανερὸ ἀπὸ αὐτό. Ἂν μὲν λοιπὸν τὸν τιμωρήσεις, θὰ εἶναι μεγάλος ὁ χλευασμός σου, μεγάλη ἡ περιφρόνηση (διότι τὸ πράγμα αὐτὸ εἶναι δεῖγμα μικροψυχίας), ἂν ὅμως τὸν συγχωρήσεις, θὰ εἶναι μεγάλος ὁ θαυμασμός· διότι αὐτὸ εἶναι δεῖγμα μεγαλοψυχίας.

Ἀλλ' ἐκεῖνος, λέγει, δὲν τὸ γνωρίζει. Ἂς τὸ γνωρίζει ὁ Θεὸς γιὰ νὰ ἔχεις μεγαλύτερο τὸν μισθό. Διότι, λέγει, «Δανείζετε σ' ἐκείνους ἀπὸ τοὺς ὁποίους δὲν ἐλπίζετε νὰ λάβετε»[27]. Ἔτσι ἂς εὐεργετοῦμε καὶ ἐκείνους ποὺ δὲν αἰσθάνονται ὅτι εὐεργετοῦνται, ὥστε νὰ μὴ συμβεῖ, ἀνταποδίδοντάς μας τὸν ἔπαινο, ἢ ὅ,τιδήποτε ἄλλο, νὰ μᾶς ἐλαττώσουν τὸ μισθό[28]· διότι ἐὰν δὲν λάβομε τίποτε

παρὰ ἀνθρώπων λάβωμεν, τότε μείζονα παρὰ τοῦ Θεοῦ ληψόμεθα. Τί δὲ καταγελαστότερον, τί δὲ ψυχρότερον ψυχῆς ὀργιζομένης διὰ παντός, καὶ βουλομένης ἐπεξελθεῖν; Γυναικώδης αὕτη ἡ προαίρεσις καὶ παιδική· καθάπερ γὰρ ἐκείνη καὶ πρὸς τὰ ἄψυχα ὀργίζεται, κἂν μὴ πλήξῃ τὸ ἔδαφος, οὐκ ἀφίησι τὴν ὀργήν, οὕτω δὴ καὶ οὗτοι τοὺς λυπήσαντας ἀμύνασθαι βούλονται. Ἄρα καὶ αὐτοὶ γέλωτος ἄξιοι· τὸ γὰρ ὑπὸ θυμοῦ κρατεῖσθαι, παιδικῆς διανοίας· τὸ δὲ κρατεῖν, ἀνδρειότητος. Ἄρα οὐχ ἡμεῖς καταγελώμεθα, ὅταν φιλοσοφῶμεν, ἀλλ' ἐκεῖνοι. Οὐκ ἔστι τοῦτο εὐκαταφρονήτων ἀνθρώπων, τὸ μὴ ἡττᾶσθαι πάθει, εὐκαταφρονήτων δέ ἐστι τὸ οὕτω τρέμειν τὸν ἔξωθεν γέλωτα, ὡς διὰ τοῦτον αἱρεῖσθαι καὶ πάθει ὑποπίπτειν οἰκείῳ, καὶ Θεῷ προσκρούειν, καὶ ἑαυτὸν ἀμύνασθαι. Ταῦτα ὄντως γέλωτος ἄξια.

Οὐκοῦν ταῦτα φεύγωμεν· λεγέτω ὅτι, μυρία ἡμᾶς ἐργασάμενος κακά, οὐδὲν αὐτὸς ἔπαθε· λεγέτω ὅτι καὶ πάλιν ἡμῖν εἰ ἐπικωμάσειεν, οὐδὲν πείσεται. Οὐκ ἂν ἑτέρως ἡμῶν ἐκήρυξε τὴν ἀρετήν, οὐκ ἂν ἄλλα ἐζήτησε ῥήματα, εἰ ἐπαινέσαι ἡμᾶς ἐβούλετο, ἀλλ' ἢ ταῦτα, ἃ δοκεῖ κακίζων λέγειν. Εἴθε πάντες περὶ ἐμοῦ ταῦτα ἔλεγον, ὅτι 'ψυχρὸς ἄνθρωπος, καὶ ταλαίπωρός ἐστι· πάντες εἰς αὐτὸν ὑβρίζουσιν, αὐτὸς δὲ φέρει· πάντες ἐνάλλονται, αὐτὸς δὲ οὐκ ἀμύνεται!'. Εἴθε προσετίθεσαν ὅτι 'οὐδέ, ἐὰν θέλῃ, δύναται', ἵνα μοι ἔπαινος ᾖν ἐκ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἀνθρώπων! Λεγέτω ὅτι παρὰ ψυχρότητα οὐκ ἀμυνόμεθα. Οὐδὲν ἡμᾶς βλάπτει τοῦτο, ὅταν ὁ Θεὸς εἰ-

ἀπὸ τοὺς ἀνθρώπους, τότε θὰ λάβομε μεγαλύτερες ἀμοιβὲς ἀπὸ τὸ Θεό. Τί ὑπάρχει πιὸ καταγέλαστο, τί ὑπάρχει πιὸ ἐλεεινὸ ἀπὸ ψυχὴ ποὺ ὀργίζεται συνέχεια καὶ θέλει νὰ ἐκδικηθεῖ; Αὐτὴ ἡ ἐπιθυμία εἶναι γυναικώδης καὶ παιδική· διότι ὅπως ἐκείνη ὀργίζεται καὶ πρὸς τὰ ἄψυχα, καὶ ἂν δὲν χτυπήσει τὸ ἔδαφος, δὲν ἀφήνει τὴν ὀργή της, ἔτσι λοιπὸν καὶ αὐτοὶ θέλουν νὰ ἐκδικηθοῦν ἐκείνους ποὺ τοὺς λύπησαν. Ἑπομένως αὐτοὶ εἶναι ἄξιοι γιὰ γέλια· διότι τὸ νὰ ἐξουσιάζεται κανεὶς ἀπὸ τὸ θυμό, εἶναι δεῖγμα παιδικῆς σκέψεως, ἐνῶ τὸ νὰ ἐξουσιάζει τὸ θυμό, εἶναι δεῖγμα ἀνδρειότητας. Ἄρα δὲν χλευαζόμαστε ἐμεῖς, ὅταν δείχνομε ἐγκράτεια καὶ εὐσέβεια, ἀλλ' ἐκεῖνοι. Δὲν εἶναι αὐτὸ αἰτία γιὰ τὴν περιφρόνηση ἀνθρώπων, τὸ νὰ μὴ νικιένται ἀπὸ τὸ πάθος, ἀλλ' αἰτία γιὰ περιφρόνηση εἶναι τὸ νὰ τρέμει κανεὶς τόσο πολὺ τὸν χλευασμὸ ἐκ μέρους τῶν ἄλλων, ὥστε ἐξ αἰτίας αὐτοῦ νὰ προτιμᾶ καὶ νὰ ὑποπίπτει θεληματικὰ σὲ κάποιο πάθος, καὶ νὰ ἔρχεται σὲ σύγκρουση μὲ τὸ Θεὸ καὶ τὸν ἑαυτό του νὰ βλάπτει· Αὐτὰ πραγματικὰ εἶναι ἄξια γιὰ γέλια.

Ἂς τὰ ἀποφεύγομε λοιπὸν αὐτά. Ἂς λέγει αὐτός, ὅτι ἐνῶ μᾶς προξένησε ἀμέτρητα κακά, αὐτὸς δὲν ἔπαθε τίποτε· ἂς λέγει ὅτι καὶ πάλι ἂν μᾶς γελοιοποιήσει, δὲν θὰ πάθει τίποτε. Δὲν θὰ μποροῦσε μὲ ἄλλο τρόπο νὰ διακηρύξει τὴν ἀρετή μας, δὲν θὰ μποροῦσε, ἂν ἤθελε νὰ μᾶς ἐπαινέσει, νὰ ψάξει καὶ νὰ βρεῖ ἄλλα λόγια, παρὰ αὐτά, μὲ τὰ ὁποῖα νομίζει ὅτι μᾶς κακολογεῖ. Μακάρι ὅλοι νὰ ἔλεγαν αὐτὰ γιὰ μένα, ὅτι δηλαδὴ 'εἶναι ἐλεεινὸς ἄνθρωπος καὶ ταλαίπωρος' ὅλοι τὸν βρίζουν, αὐτὸς ὅμως τὰ ὑπομένει' ὅλοι ὁρμοῦν ἐπάνω του, αὐτὸς ὅμως δὲν ἀμύνεται!' Μακάρι νὰ πρόσθεταν ὅτι 'οὔτε, ἂν θελήσει, μπορεῖ', γιὰ νὰ μοῦ δινόταν ὁ ἔπαινος ἀπὸ τὸ Θεὸ καὶ ὄχι ἀπὸ τοὺς ἀνθρώπους! Ἂς λέγει ὅτι ἐξ αἰτίας τῆς ἀθλιότητάς μας δὲν ἀμυνόμαστε. Σὲ τίποτε δὲν μᾶς βλάπτει

δῇ, ἀλλ' ἐν μείζονι καθίστησιν ἡμῶν τὸν θησαυρὸν φυλακῇ. Εἰ μέλλοιμεν πρὸς ἐκείνους ὁρᾶν, πάντων ἀποπεσούμεθα. Μὴ τί λέγουσιν, ἀλλὰ τί ἡμῖν πρέπει, ἴδωμεν.

Οἱ δὲ 'μὴ γάρ μου καταγελάσῃ' φασί, καὶ καυχῶνταί τινες. Ὢ τῆς ἀνοίας! Οὐδείς με ἀδικήσας κατεγέλασέ μου, φησί· τουτέστιν, 'ἐπεξῆλθον'. Καὶ μὴν τούτῳ καταγελᾶσθαι ὀφείλεις, ὅτι ἐπεξῆλθες. Πόθεν ταῦτα τὰ ῥήματα ἐπεισῆλθεν, αἰσχύνη καὶ ὄλεθρος ὄντα, καὶ ἀνατροπὴ τῆς ζωῆς τῆς ἡμετέρας καὶ τῆς πολιτείας; ἆρα οὐκ ἀπὸ τοῦ ἀπεναντίας τῷ Θεῷ φθέγγεσθαι; Ὃ γὰρ ποιεῖ Θεοῦ ἴσον, τὸ μὴ ἀμύνασθαι, τοῦτο γέλωτα νομίζεις. Οὐ διὰ ταῦτα γελᾶσθαί ἐσμεν ἄξιοι καὶ παρ' ἡμῶν αὐτῶν, καὶ παρ' Ἑλλήνων, οὕτως ἀντιφθεγγόμενοι τῷ Θεῷ;

Βούλομαί τι διηγήσασθαι γενόμενον ἐπὶ τῶν παλαιῶν, οὐ περὶ ὀργῆς, ἀλλὰ περὶ χρημάτων. Ἦν τινι χωρίον, θησαυρὸν ἔχον ἐγκεκρυμμένον, οὐκ εἰδότος τοῦ δεσπότου· τοῦτο ἐκεῖνος τὸ χωρίον ἀπέδοτο. Ὁ πριάμενος, διασκάπτων ὥστε φυτεῦσαι καὶ ἐπιμελήσασθαι, εὗρε τὸν θησαυρὸν ἐναποκείμενον. Μαθὼν ὁ ἀποδόμενος τοῦτο, ἐλθὼν ἐβιάζετο τὸν ἠγορακότα ἀπολαβεῖν τὸν θησαυρόν· χωρίον γὰρ ἔλεγε πεπρακέναι, οὐ θησαυρόν. Πάλιν ἐκεῖνος διωθεῖτο αὐτόν, λέγων τὸ χωρίον ἠγορακέναι μετὰ τοῦ θησαυροῦ, καὶ οὐδένα λόγον ποιεῖν ὑπὲρ τούτου. Εἰς ἀμφισβήτησιν κατέστησαν ἀμφότεροι, ὁ μὲν λαβεῖν βουλόμενος, ὁ δὲ φιλονεικῶν μὴ δοῦναι. Καὶ ἐπιτυχόντες ἀνθρώπου τινός, διελέγοντο· εἶτα ἠρώτων αὐτόν, τίνι

αὐτό, ὅταν ὁ Θεὸς γνωρίζει, ἀλλὰ καθιστᾶ περισσότερο ἀσφαλὴ τὸ θησαυρό μας. Ἐὰν πρόκειται νὰ δίνομε σημασία στὰ ὅσα λένε ἐκεῖνοι ὅλα θὰ τὰ στερηθοῦμε. Ἂς προσέχομε ὄχι τί λένε, ἀλλὰ τί πρέπει σ' ἐμᾶς.

Ἄλλοι πάλι λένε, 'γιὰ νὰ μὴ μὲ χλευάσει', καὶ μερικοὶ καυχιένται. Πώ, πὼ μέγεθος ἀνοησίας! Κανένας, λέγει, ποὺ μὲ ἀδίκησε, δὲν μὲ καταγέλασε˙ δηλαδὴ 'τὸν ἐκδικήθηκα'. Καὶ ὅμως γι' αὐτὸ εἶσαι ἄξιος χλευασμοῦ, διότι τὸν ἐκδικήθηκες. Ἀπὸ ποῦ αὐτὰ τὰ λόγια, ποὺ εἶναι ὅλο ντροπὴ καὶ καταστροφή, καὶ ἀνατρέπουν τὴ ζωή μας καὶ τὴν πολιτεία μας, μπῆκαν μέσα στὴ ζωή μας; ἄραγε δὲν ἔγινε αὐτὸ ἐξ αἰτίας τοῦ ὅτι μιλᾶμε ἀντίθετα μὲ τὰ ὅσα λέγει ὁ Θεός; Διότι, ἐκεῖνο ποὺ ἐξισώνει μὲ τὸ Θεό, τὸ νὰ μὴ ἐκδικούμαστε δηλαδή, αὐτὸ τὸ νομίζεις ἄξιο γιὰ γέλια. Δὲν εἴμαστε ἐξ αἰτίας αὐτῶν ἄξιοι γιὰ γέλια καὶ ἀπὸ μᾶς τοὺς ἴδιους καὶ ἀπὸ τοὺς Ἕλληνες, ἀντιμιλώντας κατ' αὐτὸν τὸν τρόπο πρὸς τὸ Θεό;

Θέλω νὰ διηγηθῶ κάτι ποὺ συνέβηκε στὶς ἡμέρες τῶν παλαιῶν γενεῶν, ὄχι γιὰ ὀργή, ἀλλὰ γιὰ χρήματα. Ὑπῆρχε σὲ κάποιον ἕνα χωράφι, ποὺ εἶχε θησαυρὸ κρυμμένο, χωρὶς νὰ τὸ γνωρίζει ὁ ἰδιοκτήτης του˙ αὐτὸ τὸ χωράφι ἐκεῖνος τὸ πούλησε. Αὐτὸς ποὺ τὸ ἀγόρασε, σκάβοντάς το γιὰ νὰ φυτέψει καὶ νὰ τὸ φροντίσει, βρῆκε τὸν κρυμμένο θησαυρό. Ὅταν τὸ ἔμαθε ἐκεῖνος ποὺ τοῦ τὸ πούλησε, ἀφοῦ ἦρθε, ἐξεβίαζε ἐκεῖνον ποὺ τὸ ἀγόρασε γιὰ νὰ πάρει τὸ θησαυρό˙ διότι ἔλεγε σοῦ πούλησα τὸ χωράφι, ὄχι τὸ θησαυρό. Πάλι ἐκεῖνος ἀπέκρουε αὐτόν, λέγοντας ὅτι τὸ χωράφι τὸ ἀγόρασε μαζὶ μὲ τὸ θησαυρό, καὶ δὲν πρέπει νὰ κάμνεις κανένα λόγο γι' αὐτόν. Κατάντησαν καὶ οἱ δύο σὲ ἀντιλογία, ὁ μὲν ἕνας θέλοντας νὰ πάρει τὸν θησαυρό, ὁ δὲ ἄλλος φιλονεικοῦσε νὰ μὴ τὸν δώσει. Συνάντησαν τότε τυχαῖα κάποιον ἄνθρωπο καὶ συζητοῦσαν τὸ θέμα˙ ἔπειτα ρώτησαν αὐτόν, σὲ ποιὸν πρέπει ν' ἀπο-

δεῖ προσγενέσθαι τὸν θησαυρόν. Ὁ δὲ οὐκ ἀπεφήνατο, ἔφη δὲ καταλῦσαι αὐτῶν τὴν ἀμφισβήτησιν· αὐτὸς γὰρ ἔσεσθαι κύριος. Καὶ λαβὼν τὸν θησαυρόν, ἑκόντων παραχωρησάντων ἐκείνων, μυρία ὕστερον ὑπέστη κακά, καὶ ἔργῳ ἐμάνθανεν ὅτι εἰκότως, ἐκεῖνοι τούτου ἀπέστησαν.

Τοῦτο καὶ περὶ τῆς ὀργῆς δεῖ γενέσθαι, καὶ ἡμᾶς φιλονεικεῖν μὴ ἀμύνασθαι, καὶ τοὺς λελυπηκότας φιλονεικεῖν δοῦναι δίκην. Ἀλλὰ τάχα ταῦτα καὶ γέλως τις εἶναι δοκεῖ· ὅταν γὰρ ἐπὶ πλέον ἡ μανία κατάσχῃ, οἱ σωφρονοῦντες γελῶνται, καὶ ἐν πολλοῖς μαινομένοις ὁ μὴ μαινόμενος δοκεῖ μαίνεσθαι. Διὸ παρακαλῶ ἀνενεγκεῖν, καὶ ἡμῶν αὐτῶν γενέσθαι, ἵνα δυνηθῶμεν, τοῦ ὀλεθρίου τούτου πάθους καθαρεύοντες, τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ Παιδός, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δοθεῖ ὁ θησαυρός. Αὐτὸς ὅμως δὲν ἔλεγε τὴ γνώμη του, ἀλλ' εἶπε ὅτι θὰ τερματίσει τὴν ἀντιλογία τους· διότι θὰ γίνει αὐτὸς κύριος αὐτοῦ. Καὶ ἀφοῦ πῆρε τὸ θησαυρό, ποὺ τοῦ τὸν παραχώρησαν ἐκεῖνοι μὲ τὴ θέλησή τους, ἔπαθε στὴ συνέχεια ἀμέτρητα κακά, καὶ μάθαινε ἔμπρακτα, ὅτι πολὺ σωστὰ ἐκεῖνοι ἐγκατέλειψαν αὐτόν·

Αὐτὸ πρέπει νὰ γίνει καὶ στὴν περίπτωση τῆς ὀργῆς, καὶ ἐμεῖς ν' ἀγωνιζόμαστε νὰ μὴ ἐκδικηθοῦμε, καὶ ἐκεῖνοι ποὺ προξένησαν τὴ λύπη νὰ προσπαθοῦν ν' ἀποκαταστήσουν τὸ δίκιο. Ἀλλ' ἴσως αὐτὰ νὰ θεωροῦνται ἄξια γιὰ γέλια· διότι ὅταν ἡ μανία αὐξηθεῖ περισσότερο, τότε χλευάζονται οἱ σώφρονες ἄνθρωποι, καὶ ἀνάμεσα σὲ πολλοὺς μανιακοὺς ὁ μὴ μανιακὸς φαίνεται ὅτι εἶναι μανιακός. Γι' αὐτὸ παρακαλῶ νὰ συνέθομε καὶ νὰ γίνομε κύριοι τοῦ ἑαυτοῦ μας, γιὰ νὰ μπορέσομε, διατηρώντας καθαρὸ τὸν ἑαυτό μας ἀπὸ τὸ ὀλέθριο αὐτὸ πάθος, ν' ἀξιωθοῦμε τὴ βασιλεία τῶν οὐρανῶν μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία καὶ τὴν εὐσπλαχνία τοῦ Μονογενοῦς Υἱοῦ αὐτοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΒ΄

(Πράξ. 19, 21 - 41)

«Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ Πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἰερουσαλήμ, εἰπὼν ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ Ρώμην ἰδεῖν. Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἀπέσχε χρόνον εἰς Ἀσίαν. Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ».

1. Ἱκανῶς ἐνδιατρίψας τῇ πόλει, βούλεται μεταστῆναι πάλιν· διὸ καὶ πέμπει τὸν Τιμόθεον καὶ τὸν Ἔραστον εἰς Μακεδονίαν, αὐτὸς δὲ μένει εἰς Ἔφεσον. Πῶς δέ, ἐξ ἀρχῆς ἑλόμενος εἰς Συρίαν ἀπελθεῖν, πάλιν εἰς Μακεδονίαν ὑποστρέφει; Δεικνὺς ὅτι πάντα οὐκ οἰκείᾳ δυνάμει ἔπραττεν. Ἤδη προφητεύει, λέγων· «Δεῖ με καὶ Ρώμην ἰδεῖν». Τοῦτο δὲ εἶπεν, ἴσως παραμυθούμενος αὐτούς, ὡς οὐκ ἀπομένων, ἀλλ' ὡς πάλιν ἐγγυτέρω γινόμενος αὐτῶν, καὶ διανιστῶν τὰς ψυχὰς τῶν μαθητῶν τῇ προφητείᾳ. Ἐντεῦθεν μοι δοκεῖ γράφειν Κορινθίοις ἀπὸ Ἐφέσου, καὶ λέγειν ὅτι «Οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ». Ἐπειδὴ γὰρ ἐπηγγέλλετο εἰς Κόρινθον ἀπελθεῖν, ἀπολογεῖται,

---

1. Πράξ. 19, 21 - 23   2. Β΄ Κορ. 1, 8

Ο Μ Ι Λ Ι Α ΜΒ΄

(Πράξ. 19, 21 - 41)

«Μετὰ ἀπὸ τὰ γεγονότα αὐτὰ ὁ Παῦλος ἀποφάσισε νὰ περάσει ἀπὸ τὴ Μακεδονία καὶ τὴν 'Αχαΐα καὶ νὰ μεταβεῖ στὰ 'Ιεροσόλυμα, λέγοντας, μετὰ τὴ μετάβασή μου ἐκεῖ πρέπει νὰ δῶ καὶ τὴ Ρώμη. Καὶ ἀφοῦ ἔστειλε στὴ Μακεδονία δύο ἀπὸ τοὺς βοηθούς του, τὸν Τιμόθεο καὶ τὸν Ἔραστο, αὐτὸς ἔμεινε λίγο ἀκόμα χρόνο στὴν 'Ασία. Κατὰ τὸν καιρὸ δὲ ἐκεῖνο συνέβηκε μεγάλη ταραχὴ σχετικὰ μὲ τὴ διδασκαλία»[1].

1. 'Αφοῦ ἔμεινε ἀρκετὸ χρόνο στὴν πόλη, θέλει πάλι νὰ φύγει· γι' αὐτὸ καὶ στέλνει τὸν Τιμόθεο καὶ τὸν Ἔραστο στὴ Μακεδονία, ἐνῶ αὐτὸς μένει στὴν Ἔφεσο. Πῶς δέ, ἐνῶ στὴν ἀρχὴ προτίμησε νὰ φύγει γιὰ τὴ Συρία, πάλι ἐπιστρέφει στὴ Μακεδονία; Γιὰ νὰ δείξει ὅτι ὅλα δὲν τὰ ἔκαμνε μὲ τὴ δική του δύναμη. Ἤδη προφητεύει, λέγοντας· «Πρέπει νὰ δῶ καὶ τὴ Ρώμη». Αὐτὸ τὸ εἶπε, ἴσως γιὰ νὰ παρηγορήσει αὐτούς, ὅτι δηλαδὴ δὲν θὰ παραμείνει πολὺ ἐκεῖ, ἀλλὰ πάλι θὰ ἐπιστρέψει κοντά τους, καὶ διεγείροντας μὲ τὴν προφητεία τὶς ψυχὲς τῶν μαθητῶν. Μοῦ φαίνεται ὅτι ἀπὸ ἐδῶ ἀπὸ τὴν Ἔφεσο γράφει τὴν ἐπιστολή του πρὸς τοὺς Κορινθίους καὶ λέγει «Δὲν θέλομε ν' ἀγνοεῖτε τὴ θλίψη ποὺ μᾶς βρῆκε στὴν 'Ασία»[2]. 'Επειδὴ δηλαδὴ ὑποσχόταν ὅτι θὰ μεταβεῖ στὴν Κόρινθο,

ἅτε βραδύνας, καὶ λέγει τὸν πειρασμὸν λοιπόν, τὰ κατὰ Δημήτριον διηγούμενος· τοῦτον γὰρ αἰνίττεται, τάραχον οὐκ ὀλίγον εἰπὼν περὶ τῆς ὁδοῦ γεγενῆσθαι. Πάλιν κίνδυνος, πάλιν τάραχος. Ὁρᾷς τὴν εὐδοκίμησιν; Ἐγένετο σημεῖα διπλᾶ, οἱ δὲ ἀντέλεγον. Οὕτω διὰ πάντων ὑφαίνεται τὰ πράγματα.

«Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην· οὓς καὶ συναθροίσας, καὶ ἐπισυναγαγὼν τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· Ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι· καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ καὶ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ὄχλον ἱκανόν, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν ἀνθρώπων γινόμενοι. Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος εἰς οὐδὲν λογισθῆναι, μέλλειν δὲ καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται».

«Ποιῶν», φησί, «ναοὺς ἀργυροῦς Ἀρτέμιδος». Καὶ πῶς ἔνι ναοὺς ἀργυροῦς γενέσθαι; Ἴσως ὡς κιβώρια μικρά· πολλὴ γὰρ ταύτης ἦν ἡ τιμὴ ἐν Ἐφέσῳ, ὅπου καὶ τὸ ἱερὸν αὐτῶν ἐμπρησθὲν οὕτως ἐλύπησεν αὐτούς, ὡς τὸν ἐμπρήσαντα κελεύειν μηδὲ ὀνόματι λέγεσθαι. Ὅρα πανταχοῦ τὴν εἰδωλολατρίαν ἀπὸ χρημάτων γινομένην· κἀκεῖνοι διὰ χρήματα, καὶ οὗτος διὰ χρήματα, οὐχ ὡς τῆς εὐσεβείας κινδυνευούσης αὐτοῖς, ἀλλ' ὡς τοῦ πορισμοῦ τὴν ὑπόθεσιν οὐκ ἔχοντος. Καὶ σκόπει κακίαν ἀνδρός. Εὐ-

------

3. Πράξ. 19, 24 - 27
4. Πράξ. 19, 24

ἀπολογεῖται γιὰ τὸ ὅτι ἄργησε, καὶ λέγει καὶ στὴ συνέχεια τὴ δοκιμασία ποὺ τοὺς βρῆκε, περιγράφοντας τὰ σχετικὰ μὲ τὸν Δημήτριο· διότι αὐτὸν ὑπαινίσσεται, λέγοντας ὅτι συνέβηκε μεγάλη ταραχὴ σχετικὰ μὲ τὴ διδασκαλία. Πάλι κίνδυνος, πάλι ταραχή, βλέπεις τὴν εὐδοκίμηση; Ἔγιναν θαύματα διπλά, ἀλλ' ἐκεῖνοι πρόβαλλαν ἀντιρρήσεις. Ἔτσι μὲ ὅλα ὑφαίνονται τὰ πράγματα.

Κάποιος ὀνομαζόμενος Δημήτριος ἀργυροποιός, ποὺ κατασκεύαζε ναοὺς ἀργυροὺς τῆς Ἀρτέμιδας, ἔδινε στοὺς τεχνίτες πολλὴ ἐργασία. Ἀφοῦ συγκέντρωσε αὐτοὺς καὶ τοὺς ἐργάτες ποὺ ἐργάζονταν κοντὰ στοὺς τεχνίτες, εἶπε· «Ἄνδρες, γνωρίζετε πολὺ καλὰ ὅτι ἀπὸ τὴν ἐργασία αὐτὴ ἐξαρτᾶται ἡ εὐημερία μας, ἀλλὰ βλέπετε καὶ ἀκοῦτε ὅτι ὁ Παῦλος αὐτὸς ἔπεισε καὶ μετέστρεψε ἀρκετὸ κόσμο ὄχι μόνο τῆς Ἐφέσου, ἀλλὰ καὶ σχεδὸν ὅλης τῆς Ἀσίας, λέγοντας ὅτι δὲν εἶναι θεοὶ αὐτοὶ ποὺ κατασκευάζονται μὲ χέρια ἀνθρώπινα. Δὲν κινδυνεύει δὲ μόνο τὸ ἐπάγγελμά μας αὐτὸ νὰ δυσφημισθεῖ, ἀλλὰ καὶ νὰ περιφρονηθεῖ ὁ ναὸς τῆς μεγάλης θεᾶς Ἀρτέμιδας, καὶ νὰ χαθεῖ ἡ μεγαλοπρέπεια αὐτῆς, ποὺ λατρεύεται σ' ὅλη τὴν Ἀσία καὶ τὴν οἰκουμένη»[3].

«Ποὺ κατασκεύαζε», λέγει, «ναοὺς ἀργυροὺς τῆς Ἀρτέμιδας»[4]. Καὶ πῶς εἶναι δυνατὸ νὰ καταασκευασθοῦν ναοί; Ἴσως νὰ τοὺς κατασκεύαζε σὰν μικρὰ κιβώτια· διότι τιμοῦσαν αὐτὴν στὴν Ἔφεσο πάρα πολύ, ὥστε ὅταν κάηκε ὁ ναὸς αὐτῶν τόσο πολὺ λύπησε αὐτούς, ὥστε ἔδωσαν διαταγὴ οὔτε κἂν ν' ἀναφέρεται τὸ ὄνομα τοῦ ἐμπρηστῆ. Πρόσεχε παντοῦ τὴν εἰδωλολατρία ποὺ ἔχει σὰν κίνητρο τὰ χρήματα· καὶ ἐκεῖνοι γιὰ τὰ χρήματα καὶ αὐτὸς γιὰ τὰ χρήματα, καὶ ὄχι ἐπειδὴ κινδύνευε ἡ εὐσέβεια αὐτῶν, ἀλλ' ἐπειδὴ αὐτὸς δὲν εἶχε τὸ μέσο ἀποκτήσεως χρημάτων. Καὶ πρόσεχε κακία ἀνθρώπου. Πλούσιος ἦταν αὐ-

πορος ἦν αὐτός, καὶ αὐτῷ μὲν οὐ τοσαύτη ἔμελλε βλάβη γενέσθαι ἐκ τούτου, ἐκείνοις δὲ ἦν πολλή, ἅτε πένησιν οὖσι, καὶ ἀπὸ τῆς καθ' ἡμέραν ἐργασίας τρεφομένοις. Καὶ ὅμως οὗτοι μὲν οὐδὲν λέγουσιν, αὐτὸς δέ· κοινωνοὺς δὲ ὄντας αὐτοὺς τῆς τέχνης, κοινωνοὺς λαμβάνει καὶ τοῦ θορύβου.

Εἶτα καὶ τὸν κίνδυνον ηὔξησεν, ἐπαγαγὼν ὅτι «κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν»· τοῦτο γὰρ σχεδὸν διὰ τούτου δηλοῖ, ὅτι ἀπὸ τῆς τέχνης ταύτης κινδυνεύομεν εἰς λιμὸν ἐμπεσεῖν. Καίτοι τὰ εἰρημένα ἱκανὰ εἰς εὐσέβειαν αὐτοὺς ἀγαγεῖν, ἀλλά, ταλαίπωροί τινες ὄντες καὶ ψυχροί, ἐπισυνίστανται μᾶλλον, καὶ οὐκ ἐννοοῦσιν ὅτι, 'εἰ ὁ ἄνθρωπος οὗτος τοσαῦτα ἰσχύει, ὡς μεταστῆσαι πάντας, καὶ κινδυνεύει τὰ τῶν θεῶν, ἡλίκος ὁ τούτου Θεός!', καὶ ὅτι, 'πολλῷ μᾶλλον ἐκεῖνα ἡμῖν δώσει, ὑπὲρ ὧν φοβούμεθα'. Ἤδη προκατέλαβεν αὐτῶν τὰς ψυχάς, λέγων ὅτι «οὐκ εἰσὶ θεοὶ οἱ ὑπὸ χειρῶν ἀνθρώπων γινόμενοι». Ὅρα ὑπὲρ τίνος ἀγανακτοῦσιν Ἕλληνες· ἐπειδὴ εἶπεν ὅτι «οἱ ὑπὸ ἀνθρώπων γινόμενοι οὐκ εἰσὶ θεοί». Πανταχοῦ εἰς τέχνην ὠθεῖ τὸν λόγον.

Εἶτα τὸ μάλιστα αὐτοὺς λυπῆσαν ὕστερον τίθησι, λέγων· «Οὐ μόνον δὲ τοῦτο τὸ μέρος κινδυνεύει»· τουτέστι, 'τῶν μὲν ἄλλων οὐδεὶς λόγος, ἀλλ' ὅτι καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν 'Αρτέμιδος κινδυνεύει καθαιρεῖσθαι'. Εἶτα, ἵνα μὴ δόξῃ χρηματισμοῦ ἕνεκεν λέγειν ταῦτα, ὅρα τί προστίθησιν· «Ἣν ἡ οἰκουμένη σέβεται». Ὁρᾷς πῶς ἔδειξε μείζω τὴν τοῦ Παύλου δύναμιν, πάντας ἀθλίους καὶ ταλαιπώρους αὐτοὺς

---

5. Πράξ. 19, 27
6. Πράξ. 19, 26

τὸς καὶ σ' αὐτὸν μὲν δὲν ἐπρόκειτο νὰ συμβεῖ ἀπ' αὐτὸ τόση μεγάλη βλάβη, σ' ἐκείνους ὅμως ἦταν μεγάλη ἡ βλάβη, ἐπειδὴ ἦταν φτωχοὶ καὶ τρέφονταν ἀπὸ τὴν καθημερινὴ ἐργασία τους. Καὶ ὅμως αὐτοὶ δὲν λένε τίποτε, ἀλλ' αὐτός· τοὺς εἶχε συνεργάτες στὴν τέχνη του, τοὺς παίρνει συνεργάτες καὶ στὴν ταραχή.

Ἔπειτα αὔξησε καὶ τὸν κίνδυνο, προσθέτοντας ὅτι «κινδυνεύει τὸ μέρος αὐτὸ νὰ περιφρονηθεῖ»[5]· αὐτὸ δηλαδὴ σχεδὸν δηλώνει μὲ αὐτό, ὅτι κινδυνεύομε ἀπὸ τὴν τέχνη αὐτὴ νὰ περιέλθομε σὲ πείνα. Ἂν καὶ βέβαια τὰ ὅσα λέχθηκαν ἦταν ἱκανὰ νὰ τοὺς ὁδηγήσουν σὲ εὐσέβεια, ἀλλά, ἐπειδὴ ἦταν ταλαίπωροι καὶ ἐλεεινοί, προτιμοῦν νὰ ἐξεγερθοῦν, καὶ δὲν σκέφτονται ὅτι, 'ἐὰν ὁ ἄνθρωπος αὐτὸς κατορθώνει τόσα πολλά, ὥστε νὰ μεταστρέψει ὅλους, καὶ κινδυνεύουν τὰ τῶν θεῶν, πόσο μεγάλος εἶναι ὁ Θεὸς αὐτοῦ!' καὶ ὅτι, 'πολὺ περισσότερο θὰ μᾶς δώσει ἐκεῖνα γιὰ τὰ ὁποῖα φοβόμαστε'. Ἤδη προσέλκυσε καὶ πῆρε μὲ τὸ μέρος του τὶς ψυχὲς αὐτῶν, λέγοντας ὅτι «Δὲν εἶναι θεοὶ ἐκεῖνοι ποὺ κατασκευάζονται μὲ χέρια ἀνθρώπινα»[6]· Πρόσεχε γιὰ ποιὸ πράγμα ἀγανακτοῦν οἱ Ἕλληνες· ἐπειδὴ εἶπε ὅτι «Δὲν εἶναι θεοὶ ἐκεῖνοι ποὺ κατασκευάζονται ἀπὸ χέρια ἀνθρώπινα». Παντοῦ ὁδηγεῖ τὸ λόγο πρὸς τὴν τέχνη.

Ἔπειτα ἐκεῖνο ποὺ πρὸ πάντων τοὺς λύπησε τὸ ἀναφέρει στὴ συνέχεια, λέγοντας· «Δὲν κινδυνεύει τὸ μέρος αὐτό»· δηλαδή, 'Γιὰ μὲν τὰ ἄλλα κανένας λόγος δὲν γίνεται, ἀλλὰ μόνο ὅτι κινδυνεύει νὰ περιφρονηθεῖ ὁ ναὸς τῆς μεγάλης θεᾶς Ἀρτέμιδας'. Στὴ συνέχεια, γιὰ νὰ μὴ φανεῖ ὅτι τὰ λέγει αὐτὰ ἀποβλέποντας στὴν ἀπόκτηση χρημάτων, πρόσεχε τί προσθέτει· «Τὴν ὁποία λατρεύει ἡ οἰκουμένη». Βλέπεις πῶς ἔδειξε μεγαλύτερη τὴ δύναμη τοῦ Παύλου, παρουσιάζοντας ὅλους αὐτοὺς ἀθλίους καὶ ταλαίπωρους, ἐφόσον βέβαια μπορεῖ καὶ ἐπιτελεῖ τό-

ἀποφαίνων, εἴ γε ἄνθρωπος ἐλαυνόμενος καὶ σκηνοποιὸς τοσαῦτα δύναται;

Ὅρα παρ' ἐχθρῶν τὰς μαρτυρίας τοῖς Ἀποστόλοις γινομένας. Ἐκεῖ μὲν ἔλεγον, «Ἰδοὺ πεπληρώκατε τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν», ἐνταῦθα ὅτι «μέλλει καθαιρεῖσθαι τῆς Ἀρτέμιδος ἡ μεγαλειότης»· τότε «οἱ τὴν οἰκουμένην ἀναστατώσαντες», ἤκουον ὅτι «οὗτοι καὶ ἐνθάδε πάρεισι», νῦν ὅτι «κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν». Οὕτω καὶ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ ἔλεγον· «Ὁρᾶτε ὅτι ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει, καὶ ἐλεύσονται οἱ Ρωμαῖοι καὶ ἀροῦσιν ἡμῶν τὴν πόλιν».

«Ἀκούσαντες δὲ ταῦτα ἐπλήσθησαν θυμοῦ». Πότε ὁ θυμὸς γέγονεν; Ὅτε περὶ τῆς Ἀρτέμιδος ἤκουσαν, ὅτε περὶ τοῦ πορισμοῦ· τοιαῦτα γὰρ τὰ τῶν ἀγοραίων ἤθη, ἀπὸ τοῦ τυχόντος συναρπάζεσθαι καὶ ἐκκαίεσθαι. Διὰ ταῦτα μετ' ἐξετάσεως δεῖ ποιεῖν πάντα. Ὅρα δὲ πῶς καὶ ἦσαν εὐκαταφρόνητοι, ὡς πᾶσι προκεῖσθαι.

«Ἀκούσαντες δέ, καὶ γενόμενοι πλήρεις θυμοῦ», φησίν, «ἔκραζον, λέγοντες· 'Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων'! Καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον. Συναρπάσαντες δὲ Γάιον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου, εἵλκυσαν αὐτούς». Ἁπλῶς πάλιν ἐπίασιν ὡς ἐπὶ Ἰάσονος Ἰουδαῖοι, καὶ πανταχοῦ αὐτοῖς πρόκεινται· οὕτως οὐδὲν εἶχον κόμπου γέμον, οὐδὲ δόξης.

------

7. Πράξ. 5, 28
8. Πράξ. 19, 27
9. Πράξ. 17, 6
10. Ἰω. 12, 19 καὶ 11, 48
11. Πράξ. 19, 28
12. Πράξ. 19, 28 - 29

σα μεγάλα πράγματα ένας άνθρωπος πού διώκεται καὶ εἶναι σκηνοποιός;

Πρόσεχε τὶς μαρτυρίες πού δίνονται γιὰ τοὺς Ἀποστόλους ἐκ μέρους τῶν ἐχθρῶν. Ἐκεῖ μὲν ἔλεγαν, «Νὰ σεῖς γεμίσατε τὴν Ἰερουσαλὴμ ἀπὸ τὴ διδασκαλία σας»[7], ἐδῶ ὅτι «Πρόκειται νὰ χαθεῖ ἡ μεγαλειότητα τῆς Ἀρτέμιδας»[8]· τότε «Αὐτοὶ ποὺ ἀναστάτωσαν τὴν οἰκουμένη», ἄκουαν ὅτι «Αὐτοὶ βρίσκονται ἐδῶ»[9], τώρα ὅτι «Κινδυνεύει τὸ μέρος αὐτὸ νὰ περιφρονηθεῖ». Κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ Ἰουδαῖοι ἔλεγαν γιὰ τὸν Χριστό· «Βλέπετε ὅτι ὁ κόσμος πηγαίνει πίσω ἀπ' αὐτοὺς καὶ θὰ ἔρθουν οἱ Ρωμαῖοι καὶ θὰ μᾶς πάρουν τὴν πόλη»[10].

«Ὅταν τὰ ἄκουσαν αὐτὰ κυριεύθηκαν ἀπὸ θυμό»[11]. Πότε δημιουργήθηκε ὁ θυμός τους; Ὅταν ἄκουσαν γιὰ τὴν Ἀρτέμιδα, ὅταν ἄκουσαν γιὰ τὸ θέμα ἀποκτήσεως χρημάτων· διότι τέτοια εἶναι ἡ συμπεριφορὰ τῶν ἀνθρώπων τῆς ἀγορᾶς, ἀπὸ τὰ τυχαῖα συναρπάζονται καὶ ἐξάπτονται. Γι' αὐτὸ πρέπει ὅλα νὰ τὰ κάμνομε μετὰ ἀπὸ ἐξέταση· Πρόσεχε δὲ πῶς ἦταν ἄξιοι περιφρονήσεως, ἐνεργώντας κατ' αὐτὸν τὸν τρόπο μπροστὰ σ' ὅλους.

«Ὅταν τὰ ἄκουσαν αὐτά», λέγει, «κυριεύθηκαν ἀπὸ θυμὸ καὶ κραύγαζαν, λέγοντας· Εἶναι μεγάλη ἡ Ἀρτέμιδα τῶν Ἐφεσίων! Καὶ δημιουργήθηκε μεγάλη ταραχὴ σ' ὅλη τὴν πόλη· ὅρμησαν τότε ὅλοι μαζὶ στὸ θέατρο, καὶ ἀφοῦ ἅρπαξαν τὸν Γάϊο καὶ τὸν Ἀρίσταρχο, ποὺ ἦταν Μακεδόνες καὶ συνοδοιπόροι τοῦ Παύλου, τοὺς ἔσυραν μαζί τους»[12]. Πάλι χωρὶς σοβαρὸ λόγο ἐπιτίθενται ἐναντίον τους ὅπως οἱ Ἰουδαῖοι στὴν περίπτωση τοῦ Ἰάσονα, καὶ παντοῦ εἶναι ἐκτεθειμένοι σ' αὐτούς· ἔτσι τίποτε δὲν ἔκαμναν ἀπὸ κομπασμό, οὔτε γιὰ ν' ἀποκτήσουν δόξα.

2. «Τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. Τινὲς δὲ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτόν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον». Παρακαλοῦσιν, ὅτι ἄτακτος ἦσαν δῆμος, ἀλογίστῳ ρύμῃ πάντα τολμῶντες. Καὶ ὁ Παῦλος πείθεται· οὐ γὰρ ἦν κενόδοξος, οὐδὲ φιλότιμος.

«Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη» (τοιοῦτον γὰρ τὸ πλῆθος· ἁπλῶς ἕπεται, καθάπερ πῦρ εἰς ὕλην ἐμπεσόν), «καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν. Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων». Προεβάλοντο Ἰουδαῖοι οἰκονομικῶς, ἵνα μηδὲν ἔχωσιν ὕστερον ἀντιλέγειν. Οὗτος καὶ προβάλλεται, καὶ φθέγγεται, καὶ τί, ἄκουε.

«Ὁ δὲ Ἀλέξανδρος, κατασείσας τῇ χειρί, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. Ἐπιγνόντων δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων». Παιδικὴ ὄντως ἡ διάνοια· καθάπερ φοβούμενοι μὴ σβεσθῇ τὸ σέβας αὐτῶν, συνεχῶς ἐβόων. Δύο ἔτη ἐκάθισεν ἐκεῖ, καὶ ὅρα πόσοι ἔτι Ἕλληνες ἦσαν.

«Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς;». Τούτῳ πρώτῳ τὸν θυμὸν ἔσβεσε. «Καὶ τοῦ Διοπετοῦς».

------

13. Πράξ. 19, 30 - 31
14. Πράξ. 19, 32 - 33
15. Πράξ. 19, 33 - 34
16. Πράξ. 19, 35

2. «Ὁ Παῦλος ἤθελε νὰ προσέλθει στὴ συνέλευση, ἀλλὰ δὲν τὸν ἄφησαν οἱ μαθητές. Μερικοὶ ὅμως ἀπὸ τοὺς Ἀσιάρχες, ποὺ ἦταν φίλοι του, ἔστειλαν ἀνθρώπους πρὸς αὐτὸν καὶ τὸν παρακαλοῦσαν νὰ μὴ θελήσει νὰ παρουσιασθεῖ στὸ θέατρο»[13]. Τὸν παρακαλοῦσαν, διότι ἦταν ἀπείθαρχος ὁ λαός, καὶ ὅλα τὰ ἔκαμναν μὲ ἀσυλλόγιστη ὁρμή. Καὶ ὁ Παῦλος πείθεται· διότι δὲν ἦταν ματαιόδοξος οὔτε καὶ φιλόδοξος.

«Στὸ θέατρο λοιπὸν ἄλλοι μὲν ἔλεγαν αὐτὰ καὶ ἄλλοι ἄλλα, διότι ἡ συνέλευση τοῦ λαοῦ εἶχε περιέλθει σὲ σύγχυση (διότι τέτοιο εἶναι τὸ πλῆθος· ἀκολουθεῖ τυχαῖα, ὅπως ἀκριβῶς ἡ φωτιὰ ὅταν πέσει σὲ καύσιμη ὕλη), καὶ οἱ περισσότεροι δὲν γνώριζαν γιὰ ποιὸ λόγο εἶχαν συγκεντρωθεῖ· Μερικοὶ δὲ μέσα ἀπὸ τὸ πλῆθος ἔσπρωξαν κάποιον Ἀλέξανδρο, τὸν ὁποῖο παρουσίασαν οἱ Ἰουδαῖοι»[14]. Τὸν παρουσίασαν οἱ Ἰουδαῖοι σκόπιμα, γιὰ νὰ μὴ μποροῦν ἀργότερα νὰ προβάλουν καμιὰ ἀντίρρηση. Αὐτὸς καὶ παρουσιάζεται καὶ ὁμιλεῖ καὶ τί λέγει, ἄκουε.

«Ὁ Ἀλέξανδρος ἀφοῦ ἔκανε νεῦμα μὲ τὸ χέρι του, ἤθελε ν᾿ ἀπολογηθεῖ πρὸς τὸ λαό. Ὅταν ὅμως κατάλαβαν ὅτι εἶναι Ἰουδαῖος ἔβγαλαν ὅλοι μαζὶ μιὰ φωνὴ καὶ ἐπὶ δύο ὧρες κραύγαζαν καὶ ἔλεγαν· Εἶναι μεγάλη ἡ Ἀρτέμιδα τῶν Ἐφεσίων»[15]. Πράγματι εἶναι παιδικὴ ἡ σκέψη· κραύγαζαν συνέχεια σὰν νὰ φοβοῦνταν μήπως σβήσει αὐτὸ ποὺ λάτρευαν. Δυὸ χρόνια κάθισε ἐκεῖ καὶ πρόσεχε πόσοι ἀκόμα Ἕλληνες ὑπῆρχαν.

«Τότε ὁ γραμματέας, ἀφοῦ καθησύχασε τὸ πλῆθος, εἶπε· Ἄνδρες Ἐφέσιοι, ποιὸς ἄνθρωπος εἶναι ἐκεῖνος ποὺ δὲν γνωρίζει ὅτι ἡ πόλη τῶν Ἐφεσίων εἶναι ἀφιερωμένη στὴ μεγάλη θεὰ Ἀρτέμιδα καὶ τοῦ ἀγάλματος ποὺ ρίχθηκε ἀπὸ τὸν οὐρανὸ ἀπὸ τὸν Δία;»[16]. Μὲ αὐτὸ πρῶτα ἔσβησε τὸ θυμὸ αὐτῶν· «Καὶ τοῦ Διοπετοῦς». Αὐτὸ τὸ

Τοῦτο λέγει, ὡς οὐκ ὄντος δήλου τοῦ πράγματος. Ἱερὸν δὲ ἕτερον οὕτω ἐκαλεῖτο Διοπετές· ἤτοι τὸ εἴδωλον τοίνυν τῆς Ἀρτέμιδος Διοπετὲς ἔλεγον, ὡς ἐκ τοῦ Διὸς τὸ ὄστρακον ἐκεῖνο πεπτωκός, καὶ οὐχ ὑπὸ ἀνθρώπου γενόμενον· ἢ ἕτερον ἄγαλμα παρ' αὐτοῖς οὕτως ἐλέγετο.

«Ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσσειν· ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν». Ἄρα τὸ πᾶν ψεῦδος· τοῦτα δὲ πρὸς τὸν δῆμον, ὥστε κἀκείνους ἐπιεικεστέρους γενέσθαι, φησίν.

«Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρός τινα λόγον, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις. Εἰ δὲ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται· καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος, περὶ οὗ οὐ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. Καὶ ταῦτα εἰπών, ἀπέλυσε τὴν ἐκκλησίαν». Ἔννομον ἐκκλησίαν φησί, διότι τρεῖς ἐκκλησίαι ἐγίνοντο κατὰ νόμον καθ' ἕκαστον μῆνα· αὕτη δὲ ἦν παράνομος. Εἶτα καὶ ἐφόβησεν αὐτούς, εἰπών, «Κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Ὡς δὲ ἐπληρώθη ταῦτα», φησίν, «ἔθετο ὁ Παῦλος ἐν τῷ Πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱεροσόλυμα». Οὐκ ἔτι ἀνθρωπίνως ἐνταῦθα ποιεῖ, ἀλλὰ Πνεύματι, ᾧ καὶ προείλετο διελθεῖν. Τοῦτο γάρ ἐστι τὸ «ἔθετο», καὶ τοιαύτην ὁ λόγος ἔννοιαν ἔχει. Τίνος δὲ ἕνεκεν ἀποστέλ-

------

17. Πράξ. 19, 36 - 37
18. Πράξ. 19, 38 - 41
19. Πράξ. 19, 21

λέγει, ἐπειδὴ δὲν ἦταν φανερὸ τὸ πράγμα. Ὑπῆρχε ἄλλο ἱερὸ ποὺ ὀνομαζόταν ἔτσι Διοπετές· ἢ ὀνόμαζαν Διοπετὲς τὸ ἄγαλμα τῆς Ἀρτέμιδας, διότι τάχα τὸ πύλινο ἐκεῖνο κατασκεύασμα εἶχε πέσει ἀπὸ τὸν Δία καὶ δὲν κατασκευάσθηκε ἀπὸ ἄνθρωπο· ἢ κάποιο ἄλλο ἄγαλμα αὐτῶν ὀνομαζόταν ἔτσι.

«Ἀφοῦ λοιπὸν αὐτὰ εἶναι ἀναντίρρητα, πρέπει νὰ μένετε ἥσυχοι καὶ νὰ μὴ κάνετε τίποτε τὸ ἀπερίσκεπτο. Ὁδηγήσατε ἐδῶ αὐτοὺς τοὺς ἀνθρώπους ποὺ οὔτε ἱερόσυλοι εἶναι, οὔτε βλασφημοῦν τὴ θεά σας»[17]. Ἑπομένως ὅλα ἦταν ψέματα· αὐτὰ δὲ τὰ λέγει πρὸς τὸ λαό, ὥστε καὶ ἐκεῖνοι νὰ γίνουν πιὸ ἐπιεικεῖς·

«Ἐὰν λοιπὸν ὁ Δημήτριος καὶ οἱ συντεχνίτες του ἔχουν κάποια κατηγορία ἐναντίον κάποιου, ὑπάρχουν ἡμέρες δικάσιμες καὶ ὑπάρχουν καὶ ἀνθύπατοι· ἃς μηνύσουν ὁ ἕνας τὸν ἄλλο. Ἐὰν ὅμως ζητᾶτε κάτι ἄλλο αὐτὸ θὰ λυθεῖ στὴ νόμιμη συνέλευση· καθόσον κινδυνεύομε νὰ κατηγορηθοῦμε γιὰ στάση γιὰ τὰ σημερινὰ ἐπεισόδια, ἀφοῦ δὲν ὑπάρχει καμιὰ αἰτία, καὶ ἔτσι δὲν θὰ μπορέσομε νὰ δικαιολογήσομε τὴν ταραχὴ αὐτή. Καί, ἀφοῦ εἶπε αὐτά, διέλυσε τὴ συνέλευση»[18]. Ὁμιλεῖ γιὰ νόμιμη συνέλευση, διότι κάθε μῆνα γίνονταν τρεῖς νόμιμες συνελεύσεις, ἐνῶ αὐτὴ ἦταν παράνομη. Ἔπειτα καὶ φόβησε αὐτούς, λέγοντας, «Κινδυνεύομε νὰ κατηγορηθοῦμε γιὰ στάση». Ἀλλὰ ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

«Μετὰ ἀπὸ αὐτὰ τὰ γεγονότα», λέγει, «ὁ Παῦλος ἀποφάσισε, ἐνισχυόμενος ἀπὸ τὸ Πνεῦμα, νὰ περάσει ἀπὸ τὴ Μακεδονία καὶ τὴν Ἀχαΐα καὶ νὰ μεταβεῖ στὰ Ἱεροσόλυμα»[19]. Δὲν ἐνεργεῖ ἐδῶ πλέον κατ' ἀνθρώπινο τρόπο, ἀλλὰ μὲ τὸ Πνεῦμα, τὸ ὁποῖο καὶ ἔκρινε ἀναγκαῖο νὰ μεταβεῖ ἐκεῖ. Διότι αὐτὸ σημαίνει τὸ «ἔθετο», καὶ αὐτὴν τὴν ἔννοια ἔχει ὁ λόγος. Γιὰ ποιὸ λόγο ὅμως στέλνει τὸν

λει Τιμόθεον καὶ Ἔραστον, οὐ λέγει· ἐμοὶ δὲ δοκεῖ καὶ περὶ τούτου εἰπεῖν τὸ «ἐν Πνεύματι». «Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι». Καὶ ὅρα· δύο τῶν διακονούντων αὐτῷ ἀπέστειλε, τήν τε παρουσίαν ἀπαγγεῖλαι καὶ προθυμοτέρους ποιῆσαι. Μάλιστα πάντων τῇ Ἀσίᾳ ἐνδιατρίβει. Εἰκότως· ἐκεῖ γὰρ ἦν ἡ πολλὴ φατρία τῶν φιλοσόφων. Καὶ ἐλθών, πάλιν αὐτοῖς διελέγετο· καὶ γὰρ πολλὴ ἦν ἐκεῖ ἡ δεισιδαιμονία.

«Δημήτριος γάρ τις», φησίν, «ἀργυροκόπος, συναθροίσας τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· Ἄνδρες, ἐπίστασθε καὶ θεωρεῖτε καὶ ἀκούετε»· οὕτω κατάδηλον ἦν τὸ γινόμενον. «Ὅτι οὗτος», φησίν, «ὁ Παῦλος πείσας μετέστησεν ἱκανὸν ὄχλον». Ὥστε οὐ βιαίως, εἰ ἔπεισεν· οὕτω δεῖ πείθειν πόλιν. Εἶτα ἐπάγει, ὅπερ αὐτῶν καθήπτετο, ὅτι «οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι». Τί ἐστι τοῦτο; Ἀνατρέπει, φησί, τὴν τέχνην τὴν ἡμετέραν. Καὶ ἵνα μὴ ἐννοήσωσι, καὶ εἴπωσιν ὅτι μόνος ἄνθρωπος τοιαῦτα ἰσχύει, καί, εἰ τοσοῦτον ἰσχύει, αὐτῷ δεῖ πείθεσθαι, ἐπήγαγεν· «Ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται». Τὴν φωνὴν αὐτῶν ᾤοντο ἐπιτειχίζειν τῷ Πνεύματι τῷ θείῳ, ὄντες παῖδες Ἕλληνες. Ἐκ ταύτης τῆς ἐργασίας, φησίν, ἡ εὐπορία ἡμῶν ἐστι. Καὶ εἰ ἀπὸ ταύτης τῆς ἐργασίας εὐπορία ὑμῖν περιγίνεται, πῶς ἔπεισεν ἄνθρωπος εὐτελής; πῶς τοσαύτης ἐκράτησε συνηθείας; τί ποιῶν, ἢ τί λέγων; Οὐκ ἔστι Παύλου, οὐκ ἔστιν ἀνδρός. Καὶ τοῦτο ἀρκεῖ, τὸ εἰπεῖν ὅτι «οὐκ

------

20. Α΄ Θεσ. 3, 1
21. Πράξ. 19, 24 - 26
22. Πράξ. 19, 26
23. Πράξ. 19, 27

Τιμόθεο καὶ τὸν Ἔραστο, δὲν τὸ λέγει· ἐγὼ νομίζω ὅτι καὶ γι' αὐτὸ λέγει τὸ «ἐν Πνεύματι». «Γι' αὐτό, ὅταν δὲν μπορέσαμε ν' ἀντέξομε πλέον, ἀποφασίσαμε νὰ μείνομε μόνοι στὴν Ἀθήνα»[20]. Καὶ πρόσεχε· δύο ἔστειλε ἀπὸ ἐκείνους ποὺ τὸν βοηθοῦσαν, καὶ γιὰ ν' ἀναγγείλει τὸν ἐρχομό του ἐκεῖ καὶ γιὰ νὰ τοὺς κάνει πιὸ πρόθυμους. Περισσότερο ἀπὸ παντοῦ διαμένει στὴν Ἀσία. Καὶ πολὺ σωστά· διότι ἐκεῖ ὑπῆρχε ἡ μεγάλη φατρία τῶν φιλοσόφων. Καὶ ἀφοῦ ἦρθε, πάλι μ' αὐτοὺς συζητοῦσε· καθόσον ἦταν μεγάλη ἐκεῖ ἡ δεισιδαιμονία.

«Διότι», λέγει, «κάποιος ὀνομαζόμενος Δημήτριος, κατεργαστὴς τοῦ ἀργύρου, ἀφοῦ συγκέντρωσε ἐκείνους ποὺ ἀσχολοῦνταν μὲ τὴν τέχνη αὐτή, εἶπε· Ἄνδρες, γνωρίζετε καὶ βλέπετε καὶ ἀκοῦτε»[21]· τόσο φανερὸ ἦταν αὐτὸ ποὺ γινόταν. «Ὅτι αὐτὸς ὁ Παῦλος», λέγει, «ἔπεισε καὶ μετέστρεψε ἀρκετὸ πλῆθος». Ἑπομένως δὲν τὸ ἔκανε μὲ τὴ βία, ἐὰν τοὺς ἔπεισε· ἔτσι πρέπει νὰ πείθει κάποιος τὴν πόλη. Ἔπειτα προσθέτει ἐκεῖνο ποὺ ἔθιγε αὐτούς, ὅτι «Δὲν εἶναι θεοὶ ἐκεῖνοι ποὺ κατασκευάζονται μὲ χέρια ἀνθρώπινα»[22]. Τί σημαίνει αὐτό; Ἀνατρέπει, λέγει, τὴν τέχνη μας. Καὶ γιὰ νὰ μὴ σκεφθοῦν καὶ ποῦν ὅτι, ἐνῶ εἶναι ἕνας μόνο ἄνθρωπος, κατορθώνει τέτοια σπουδαῖα πράγματα, καί, ἐὰν ἔχει τόση μεγάλη δύναμη, πρέπει σ' αὐτὸν νὰ πιστεύουν, πρόσθεσε· «Τὴν ὁποία λατρεύει ὅλη ἡ οἰκουμένη»[23]. Νόμιζαν ὅτι περιτειχίζουν τὴ φωνὴ αὐτῶν μὲ τὸ θεῖο Πνεῦμα, ἀφοῦ ἦταν παιδιὰ τῶν Ἑλλήνων. Ἀπὸ αὐτὴν τὴν ἐργασία, λέγει, προέρχεται ἡ εὐημερία μας. Καὶ ἐὰν ἀπὸ αὐτὴν τὴν ἐργασία προέρχεται ἡ εὐημερία σας, πῶς σᾶς ἔπεισε ἕνας ἄνθρωπος εὐτελής; πῶς ὑπερίσχυσε μιᾶς τόσο μεγάλης συνήθειας; τί κάμνοντας, ἢ τί λέγοντας; Δὲν εἶναι αὐτὸ ἔργο τοῦ Παύλου, δὲν εἶναι ἔργο ἀνθρώπου. Καὶ εἶναι αὐτὸ ἀρκετό, τὸ νὰ πεῖ δηλαδὴ

εἰσὶ θεοί». Εἰ μὲν οὖν οὕτως εὐφώρατον τὸ τῆς εὐσεβείας, πάλαι καταγνωσθῆναι ἔδει, εἰ δὲ ἰσχυρόν, οὐχ οὕτως ἀναιρεθῆναι ταχέως.

«Οὐ μόνον δέ», φησί, «τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος». Ὡς δὴ τί ποτε μεῖζον λέγων, τοῦτο ἐπήγαγεν.

«Ἀκούσαντες δέ, καὶ γενόμενοι πλήρεις θυμοῦ, ἔκραζον· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων»· κατὰ πόλιν γὰρ αὐτοῖς ἦσαν θεοί. Καὶ οὕτω διέκειντο, ὡς διὰ τῆς φωνῆς ἀνακτώμενοι τὸ σέβας αὐτῆς, καὶ τὰ γενόμενα ἀναλύοντες.

3. Ὅρα ἄτακτον πλῆθος. «Τοῦ δὲ Παύλου», φησί, βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί». Ὁ μὲν οὖν Παῦλος ἐβούλετο εἰσελθεῖν δημηγορῆσαι (τοὺς γὰρ διωγμοὺς ἐλάμβανεν εἰς διδασκαλίαν), ἀλλ' οἱ μαθηταὶ οὐκ εἴων αὐτόν. Σκόπει, πόση περὶ αὐτὸν προνοίᾳ κέχρηνται πανταχοῦ. Καὶ ἐξ ἀρχῆς, αὐτὸν ἐξήγαγον, ὥστε μὴ περὶ τὰ καίρια λαβεῖν τὴν πληγήν· καίτοι γε ἤκουσαν ὅτι δεῖ καὶ Ῥώμην ἰδεῖν, ὅμως κωλύουσιν. Οἰκονομικῶς δὲ προαγορεύει, ἵνα μὴ τῷ γενομένῳ θορυβηθῶσιν. Οὕτως οὐδὲ πάσχειν τι αὐτὸν ἐβούλοντο.

«Καὶ τῶν Ἀσιαρχῶν δέ τινες παρεκάλουν αὐτόν», φησί, «μὴ εἰσελθεῖν εἰς τὸ θέατρον». Εἰδότες αὐτοῦ τὴν προθυμίαν, παρεκάλουν· οὕτω πάντες αὐτὸν ἐφίλουν οἱ πιστοί. Καὶ τίνος ἕνεκεν, φησίν, ὁ Ἀλέξανδρος ἐβούλετο ἀπολογεῖσθαι; μὴ γὰρ αὐτὸς ἐνεκλήθη; Ὥστε καιρὸν εὑρεῖν, καὶ τὸ πᾶν καταστρέψαι καὶ ἐκκαῦσαι τοῦ δήμου τὸν θυμόν. Εἶδες θυμὸν

------

24. Πράξ. 19, 28 25. Πράξ. 19, 30 26. Πράξ. 19, 36

ὅτι «Δὲν εἶναι θεοί». Ἐὰν λοιπὸν μποροῦσε τόσο εὔκολα ν' ἀποκαλυφθεῖ ἡ ἀδυναμία τῆς ἀσέβειας, ἔπρεπε πρὶν ἀπὸ πολὺ χρόνο νὰ καταδικασθεῖ, ἐὰν δὲ εἶχε μεγάλη ἰσχύ, δὲν ἔπρεπε νὰ καταλυθεῖ τόσο σύντομα.

«Δὲν κινδυνεύει», λέγει, «μόνο αὐτὸ τὸ μέρος μας»[23]. Πρόσθεσε δηλαδὴ αὐτὸ σὰν νὰ ἀναφερόταν σὲ κάτι τὸ πολὺ σπουδαῖο·

«Ὅταν τὰ ἄκουσαν αὐτὰ καὶ ἀφοῦ κυριεύθηκαν ἀπὸ πολὺ θυμὸ κραύγαζαν καὶ ἔλεγαν· Εἶναι μεγάλη ἡ Ἀρτέμιδα τῶν Ἐφεσίων»[24]· διότι σὲ κάθε πόλη αὐτῶν ὑπῆρχαν θεοί. Καὶ ἔτσι συμπεριφέρονταν, σὰν κατὰ κάποιο τρόπο μὲ τὰ λόγια αὐτὰ ποὺ ἔλεγαν νὰ ξαναποκτοῦσαν τὸ σεβασμὸ αὐτῆς καὶ ἀπαλλάσσονταν ἀπὸ τὰ ὅσα συνέβηκαν.

3. Πρόσεχε πλῆθος ἄτακτο. «Ὁ Παῦλος», λέγει, «ἤθελε νὰ εἰσέλθει στὴ συνέλευση, ἀλλὰ δὲν τὸν ἄφησαν οἱ μαθητές»[25]. Ὁ μὲν Παῦλος λοιπὸν ἤθελε νὰ εἰσέλθει στὴ συνέλευση καὶ νά μιλήσει (διότι ἀπὸ τοὺς διωγμοὺς ἔπαιρνε ἀφορμὴ γιὰ διδασκαλία), ἀλλ' οἱ μαθητὲς δὲν τὸν ἄφηναν. Πρόσεχε πόση φροντίδα δείχνουν παντοῦ γι' αὐτόν. Καὶ ἀπὸ τὴν πρώτη στιγμὴ τὸν ἔβγαλαν ἔξω, γιὰ νὰ μὴ δεχθεῖ κάποιο θανάσιμο χτύπημα· ἂν καὶ βέβαια ἄκουσαν ὅτι πρέπει νὰ δεῖ καὶ τὴ Ρώμη, ἀλλ' ὅμως τὸν ἐμποδίζουν. Κατ' οἰκονομία δὲ προλέγει τὴν ἐπίσκεψή του στὴ Ρώμη, γιὰ νὰ μὴ ἀνησυχήσουν μὲ αὐτὸ ποὺ ἔγινε· Τόσο πολὺ ἤθελαν νὰ μὴ πάθει αὐτὸς κάποιο κακό.

«Μερικοὶ δὲ ἀπὸ τοὺς Ἀσιάρχες τὸν παρακαλοῦσαν, λέγει, «νὰ μὴ εἰσέλθει στὸ θέατρο»[26]. Τὸν παρακαλοῦσαν ἐπειδὴ γνώριζαν τὴν προθυμία αὐτοῦ· τόσο πολὺ τὸν ἀγαποῦσαν ὅλοι οἱ πιστοί. Καὶ γιὰ ποιὸ λόγο, λέγει, ὁ Ἀλέξανδρος ἤθελε ν' ἀπολογηθεῖ; μήπως αὐτὸς κατηγορήθηκε; Μὲ σκοπὸ νὰ βρεῖ εὐκαιρία γιὰ νὰ καταστρέψει τὸ πᾶν καὶ νά ἐξάψει τὸ θυμὸ τοῦ λαοῦ. Εἶδες θυμὸ ἄτακτο;

ἄτακτον; Καλῶς καὶ ἐπιτιμητικῶς ὁ γραμματεύς, «τίς ἐστι», φησίν, «ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν;». Οὕτως εἰπὼν περὶ οὗ ἐφοβοῦντο· ὡσεὶ ἔλεγεν· 'Οὐ θεραπεύετε αὐτήν;'. Καὶ οὐκ εἶπε, 'Τίς γάρ ἐστιν, ὃς οὐ γινώσκει τὴν Ἄρτεμιν;', ἀλλὰ «τὴν πόλιν» τὴν ἡμετέραν, θεραπεύων αὐτούς.

«Ἀναντιρρήτων οὖν τούτων ὄντων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν». Ταῦτα δῆθεν ἐγκαλεῖ, μονονουχὶ λέγων· 'Τί τοίνυν ζητεῖτε, ὡς ἀδήλων ὄντων; φανερὸν ὡς ἡ ὕβρις εἰς τὴν θεὸν διαβαίνει'. Πρόσχημα τὴν εὐσέβειαν ἐβούλοντο ποιεῖν τοῦ χρηματισμοῦ. Εἶτα ἠρέμα καθάπτεται αὐτῶν, δεικνὺς ὅτι ἀλογίστως συνῆλθον.

«Καὶ μηδέν», φησί, «προπετὲς πράττειν». Δεικνὺς ὅτι προπετῶς ἔπραξαν, τοῦτο εἶπεν.

«Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ ἔχουσι πρός τινα λόγον, ἀνθύπατοί εἰσι». Καὶ τοῦτο λέγει, ἐγκαλῶν καὶ δεικνὺς ὅτι οὐκ ἔδει ἰδιωτικῶν ἐγκλημάτων ἕνεκεν κοινὴν ἐκκλησίαν ποιεῖσθαι.

«Καὶ γὰρ κινδυνεύομεν», φησίν, «ἐγκαλεῖσθαι». Τούτῳ σφόδρα αὐτοὺς διηπόρησεν.

«Οὐδενὸς αἰτίου», φησίν, «ὑπάρχοντος, περὶ οὗ δυνησόμεθα λόγον δοῦναι τῆς συστροφῆς ταύτης». Ὅρα πῶς οἱ ἄπιστοι φρονίμως ἀπολογοῦνται, πῶς συνετῶς. Οὕτως ἔσβεσε τὸν θυμόν· ὥσπερ γὰρ ῥᾳδίως ἐξάπτεται, οὕτω καὶ ῥᾳδίως σβέννυται.

«Καὶ ταῦτα εἰπών, ἀπέλυσε τὴν ἐκκλησίαν», φησίν. 'Ὁρᾷς τὸν Θεὸν συγχωροῦντα τοὺς πειρασμούς, καὶ διεγείροντα, καὶ ἀφυπνίζοντα τοὺς μαθητὰς τούτοις, καὶ σφοδροτέρους ἐργαζόμενον; Μὴ δὴ καταπί-

---

27. Πράξ. 19, 35
28. Πράξ. 19, 36
29. Πράξ. 19, 38
30. Πράξ. 19, 40
31. Πράξ. 19, 41

Πολὺ σωστὰ καὶ μὲ τρόπο ἐπιτιμητικὸ ὁ γραμματέας λέγει, «Ποιὸς εἶναι ἐκεῖνος ποὺ δὲν γνωρίζει τὴν πόλη τῶν Ἐφεσίων;»[27]. Μίλησε ἔτσι γιὰ ἐκεῖνο ποὺ φοβοῦνταν· σὰν νὰ ἔλεγε δηλαδή· Ἀδὲν λατρεύετε αὐτήν;'. Καὶ δὲν εἶπε, Ἀποιὸς λοιπὸν εἶναι ἐκεῖνος ποὺ δὲν γνωρίζει τὴν Ἀρτέμιδα;', ἀλλὰ «τὴν πόλη» τὴ δική μας, κολακεύοντας αὐτούς.

«Ἀφοῦ λοιπὸν αὐτὰ εἶναι ἀναντίρρητα, πρέπει νὰ ἡσυχάζετε»[28]. Μὲ αὐτὰ πράγματι τοὺς κατηγορεῖ, καὶ εἶναι σὰν νὰ λέγει· Ἀτί λοιπὸν ζητᾶτε, σὰν αὐτὸ νὰ μὴ εἶναι φανερό; εἶναι φανερὸ ὅτι ἡ προσβολὴ γίνεται πρὸς τὴ θεά'. Ἤθελαν νὰ παρουσιάζουν τὴν εὐσέβεια σὰν πρόσχημα γιὰ τὴν ἀπόκτηση χρημάτων. Στὴ συνέχεια τοὺς ψέγει μὲ ἤρεμο τρόπο, δείχνοντας ὅτι τελείως ἀπερίσκεπτα συγκεντρώθηκαν.

«Καὶ νὰ μὴ κάμνετε», λέγει, «ἀπερίσκεπτα πράγματα»[28]. Αὐτὸ τὸ εἶπε γιὰ νὰ δείξει ὅτι ἐνεργοῦσαν ἀπερίσκεπτα.

«Ἐὰν λοιπὸν ὁ Δημήτριος καὶ οἱ συντεχνίτες του ἔχουν κατηγορία ἐναντίον κάποιου, ὑπάρχουν ἀνθύπατοι»[29]. Καὶ αὐτὸ τὸ λέγει κατηγορώντας τους καὶ δείχνοντας ὅτι δὲν ἔπρεπε νὰ γίνει γενικὴ συνέλευση μὲ ἀφορμὴ ἰδιωτικὲς κατηγορίες.

«Διότι κινδυνεύομε», λέγει, «νὰ κατηγορηθοῦμε»[30]. Μὲ αὐτὸ δημιούργησε σ' αὐτοὺς πάρα πολὺ μεγάλη ἀπορία.

«Ἀφοῦ», λέγει, «δὲν ὑπάρχει καμιὰ αἰτία, μὲ τὴν ὁποία νὰ μπορέσομε νὰ δικαιολογήσομε τὴν ταραχὴ αὐτή»[30]. Πρόσεχε πῶς οἱ ἄπιστοι ἀπολογοῦνται φρόνιμα, πῶς ἀπολογοῦνται μὲ σύνεση· Ἔτσι ἔσβησε τὸ θυμό τους· διότι, ὅπως ἀκριβῶς εὔκολα ἐξάπτεται, ἔτσι καὶ εὔκολα σβήνει.

«Καὶ ἀφοῦ εἶπε αὐτὰ διέλυσε», λέγει, «τὴ συνέλευση»[31]. Βλέπεις τὸ Θεὸ ποὺ ἐπιτρέπει τοὺς πειρασμούς, καὶ διεγείρει καὶ ἀφυπνίζει μὲ αὐτοὺς τοὺς μαθητὲς καὶ τοὺς κάμνει νὰ εἶναι περισσότερο δραστήριοι; Ἂς μὴ λοιπὸν

πτωμεν τοῖς πειρασμοῖς· αὐτὸς γὰρ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. Οὐδὲν οὕτω φίλους ποιεῖ καὶ συγκροτεῖ, ὡς θλῖψις· οὐδὲν οὕτω συνδεῖ καὶ ἐπισφίγγει τῶν πιστῶν τὰς ψυχάς· οὐδὲν ἡμῖν τοῖς διδασκάλοις οὕτω ἐπιτήδειον πρὸς τὸ τὰ παρ' ἡμῶν λεγόμενα ἀκούεσθαι. Ἐν μὲν γὰρ ἀνέσει τυγχάνων ἀκροατής, χαῦνός τε ἐστι καὶ ῥάθυμος, καὶ ἐνοχλεῖσθαι δοκεῖ παρὰ τοῦ λέγοντος, ἐν δὲ θλίψει καὶ στενοχωρίᾳ εἰς πολλὴν ἐπιθυμίαν ἀκροάσεως ἐμπίπτει· στενοχωρούμενος γὰρ τὴν ψυχήν, πανταχόθεν ζητεῖ παραμυθίαν τῆς θλίψεως εὑρεῖν· οὐ μικρὰν δὲ φέρει λόγος παραμυθίαν.

Τί οὖν, φησίν, οἱ Ἰουδαῖοι; πῶς θλιβόμενοι ἀπὸ τῆς ὀλιγοψυχίας οὐκ ἤκουον; Ὅτι Ἰουδαῖοι ἦσαν, οἱ ἀεὶ ἀσθενεῖς καὶ ταλαίπωροι· ἄλλως τε καὶ ὅτι καὶ ἐκεῖ πολλὴ ἡ θλῖψις ἦν, ἡμῖν δὲ περὶ συμμέτρου ὁ λόγος. Ὅρα γάρ· προσεδόκησαν ἀπαλλάττεσθαι τῶν κατεχόντων αὐτοὺς κακῶν ἐκεῖνοι, καὶ μυρίοις περιέπεσον μᾶλλον δεινοῖς· τοῦτο δὲ οὐχ ὡς ἔτυχεν ἀπορεῖ ψυχήν. Αἱ θλίψεις ἀποσχίζουσιν ἡμᾶς τῆς συμπαθείας τῆς πρὸς τὸν παρόντα κόσμον· εὐθέως γοῦν τὸν θάνατον αἰτοῦμεν, καὶ οὐκ ἐσμὲν φιλοσώματοι, ὅπερ μέγιστον φιλοσοφίας μέρος ἐστί, μὴ κεχηνέναι μηδὲ προσδεδέσθαι τῇ παρούσῃ ζωῇ. Ἡ θλιβομένη ψυχὴ οὐ βούλεται περὶ πολλὰ εἶναι, ἀλλ' ἀναπαύσεώς τινος μόνον καὶ ἡσυχίας ἐρᾷ· ἀγαπητὸν αὐτῇ τῶν παρόντων ἀπαλλαγῆναι, κἂν μηδὲν ἕτερον ᾖ.

Καθάπερ σῶμα πεπονηκὸς καὶ ταλαιπωρηθὲν οὐκ

χάνομε τὸ θάρρος μας ὅταν ἀντιμετωπίζομε πειρασμούς· διότι αὐτὸς θὰ βοηθήσει νὰ ὑπομείνομε αὐτοὺς μέχρι τὸν τερματισμό τους. Τίποτε δὲν κάμνει τόσο πολὺ φίλους καὶ συνενώνει αὐτούς, ὅσο ἡ θλίψη· τίποτε δὲν συνδέει καὶ συσφίγγει τόσο πολὺ τὶς ψυχὲς τῶν πιστῶν, τίποτε γιὰ ἐμᾶς τοὺς δασκάλους δὲν εἶναι τόσο κατάλληλο γιὰ ν' ἀκούονται τὰ λεγόμενα ἀπὸ ἐμᾶς, ὅσο ἡ θλίψη. Διότι ὁ ἀκροατὴς ποὺ ζεῖ μὲ ἄνεση, εἶναι νωθρὸς καὶ ἀδιάφορος καὶ νομίζει ὅτι ἐνοχλεῖται ἀπὸ τὸν ὁμιλητή, ὅταν ὅμως βρίσκεται μέσα σὲ θλίψη καὶ στενοχώρια καταλαμβάνεται ἀπὸ μεγάλη ἐπιθυμία γιὰ ἀκρόαση· διότι, ἐπειδὴ στενοχωρεῖται ἡ ψυχή του, ἀπὸ παντοῦ ζητᾶ νὰ βρεῖ παρηγοριὰ γιὰ τὴ θλίψη του, δὲν εἶναι δὲ μικρὴ ἡ παρηγοριὰ ποὺ παρέχει ὁ λόγος.

Τί λοιπόν, λέγει, μποροῦμε νὰ ποῦμε γιὰ τοὺς Ἰουδαίους; πῶς, ἐνῶ ἀντιμετώπιζαν θλίψεις, ἀπὸ ὀλιγοψυχία δὲν ἄκουαν; Διότι ἦταν Ἰουδαῖοι, ποὺ ἦταν πάντοτε πνευματικὰ ἀσθενεῖς καὶ ταλαίπωροι· ἐξ ἄλλου δὲ καὶ διότι καὶ ἐκεῖ ἦταν μεγάλη ἡ θλίψη, ἐνῶ ὁ δικός μας λόγος ἀναφέρεται γιὰ τὴν μὲ μέτρο θλίψη. Διότι πρόσεχε· ἔλπισαν ἐκεῖνοι ὅτι θ' ἀπαλλαχθοῦν ἀπὸ τὰ κακὰ ποὺ τοὺς κατεῖχαν, καὶ κατὰ μεγαλύτερο βαθμὸ περιέπεσαν σὲ ἄπειρα κακά· αὐτὸ δὲν δημιουργεῖ τυχαία ἀμφιβολία στὴν ψυχή. Οἱ θλίψεις μᾶς ἀπομακρύνουν ἀπὸ τὴν ἀγάπη πρὸς τὸν παρόντα κόσμο· ἀμέσως δηλαδὴ ζητοῦμε τὸ θάνατο, καὶ δὲν εἴμαστε φιλοσώματοι, πράγμα ποὺ ἀποτελεῖ πάρα πολὺ μεγάλο μέρος τῆς εὐσέβειας, τὸ νὰ μὴ προσηλώνεται δηλαδὴ οὔτε νὰ προσδένεται μὲ τὴν παροῦσα ζωή. Ἡ θλιβόμενη ψυχὴ δὲν θέλει ν' ἀσχολεῖται μὲ πολλὰ πράγματα, ἀλλὰ τῆς ἀρέσει μόνο ἡ ἀνάπαυση καὶ ἡσυχία· ἐπιθυμεῖ ν' ἀπαλλαγεῖ ἀπὸ τὰ παρόντα ἐὰν δὲν ὑπάρχει τίποτε ἄλλο·

Ὅπως ἀκριβῶς σῶμα ποὺ ἔχει πονέσει καὶ ταλαιπω-

ἐρᾶν βούλεται, οὐ γαστρίζεσθαι, ἀλλ' ἀναπαύεσθαι, καὶ ἡσυχῇ κεῖσθαι, οὕτω καὶ ψυχή, μυρίοις ταριχευθεῖσα κακοῖς, πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν ἐπείγεται εἶναι. Ἡ ἐν ἀνέσει οὖσα ἐπτόηται, τεθορύβηται, μετέωρός ἐστιν, αὕτη δέ, οὐδὲν κεχηνὸς ἔχουσα οὐδὲ διαρρέον, ὅλη συνέσφιγκται καὶ μένει ἀμετεώριστος· καὶ ἡ μὲν ἀνδρειοτέρα, ἡ δὲ παιδικωτέρα ἐστί· καὶ ἡ μὲν βαρυτέρα, ἡ δὲ κουφοτέρα. Καὶ καθάπερ ἐν πολλῷ ὕδατι ἐμπεσόν τι κοῦφον σαλεύεται, οὕτω καὶ εἰς πολλὴν χαρὰν ἐμπεσοῦσα ψυχή. Καὶ τὰ μέγιστα δὲ ἡμῖν ἁμαρτήματα ἀπὸ πολλῆς ἡδονῆς γεγενημένα ἴδοι τις ἄν. Καί, εἰ βούλεσθε, οἰκίας ὑπογράψωμεν δύο, τὴν μὲν γαμούντων, τὴν δὲ πενθούντων, εἰσέλθωμεν τῷ λόγῳ πρὸς ἑκατέρους, ἴδωμεν τίς τίνος βελτίων· εὑρεθήσεται γὰρ ἡ τοῦ πενθοῦντος φιλοσοφίας γέμουσα, ἡ δὲ τοῦ γαμοῦντος ἀσχομησύνης.

Ὅρα γάρ· αἰσχρὰ ἐκεῖ ῥήματα, γέλως ἄτακτος, βήματα ἀτακτότερα, στολὴ καὶ βάδισις ἀσχημοσύνης γέμουσα, σχήματα πολλῆς ἀνοίας καὶ μωρίας· καὶ ὅλως οὐδὲν ἕτερον, ἢ πάντα γέλως καὶ κατάγελως τὰ ἐκεῖ. Οὐχ ὁ γάμος, λέγω, μὴ γένοιτο! ἀλλὰ τὰ περὶ τὸν γάμον. Ἐκβακχεύεται τότε ἡ φύσις, ἄλογα ἀντὶ ἀνθρώπων οἱ παρόντες γίνονται, οἱ μὲν ὡς ἵπποι χρεμετίζουσιν, οἱ δὲ ὡς ὄνοι λακτίζουσι· πολλὴ ἡ διάχυσις, πολλὴ ἡ διάλυσις, οὐδὲν σπουδαῖον, οὐδὲν

ρηθεῖ δὲν θέλει ν' ἀγαπᾶ, οὔτε νὰ τρώγει, ἀλλὰ ν' ἀναπαύεται καὶ νὰ ἡσυχάζει, ἔτσι καὶ ἡ ψυχὴ ἐκείνη ποὺ ὑπόφερε ἀπὸ ἀμέτρητα κακά, ἐπιθυμεῖ ὑπερβολικὰ νὰ βρεῖ ἀνάπαυση καὶ ἡσυχία. Ἐκείνη ποὺ ζεῖ μὲ ἄνεση, κυριεύεται ἀπὸ φόβο, ἀνησυχεῖ, καὶ ταλαντεύεται, ἐνῶ ἡ ψυχὴ ποὺ ζεῖ μέσα στὶς θλίψεις, ἐπειδὴ δὲν εἶναι προσηλωμένη σὲ τίποτε, οὔτε ἔχει τὰ πράγματα τῆς ζωῆς ποὺ φεύγουν καὶ χάνονται, γίνεται στερεώτερη, καὶ καθίσταται ἀμετακίνητη· καὶ αὐτὴ μὲν γίνεται ἀνδρειότερη, ἐνῶ ἐκείνη περισσότερο παιδαριώτης· ἡ μία γίνεται περισσότερο ἀσάλευτη, ἡ ἄλλη δὲ περισσότερο εὐκολοκίνητη. Καὶ ὅπως ἀκριβῶς ἂν κάτι τὸ ἀνάλαφρο πέσει μέσα σὲ πολὺ νερὸ ταλαντεύεται, ἔτσι συμβαίνει καὶ μὲ τὴν ψυχὴ ποὺ βρίσκεται μέσα σὲ μεγάλη χαρά. Καὶ τὰ πιὸ μεγαλύτερα ἁμαρτήματα θὰ μποροῦσε νὰ διαπιστώσει κάποιος ὅτι ἔχουν συμβεῖ ἀπὸ ἀνθρώπους ποὺ ζοῦσαν μέσα στὶς μεγάλες ἀπολαύσεις. Καί, ἂν θέλετε, ἂς περιγράψομε δύο οἰκίες, μία ποὺ κάμνει γάμο, ἡ ἄλλη ποὺ πενθεῖ, καὶ ἂς μποῦμε μὲ τὸ λόγο στὴν κάθε μία ἀπ' αὐτές, γιὰ νὰ δοῦμε ποιὸς εἶναι καλύτερος ἀπὸ τὸν ἄλλο· θὰ βρεθεῖ λοιπὸν ἡ οἰκία ἐκείνου ποὺ πενθεῖ γεμάτη ἀπὸ εὐσέβεια, ἐνῶ ἐκείνου ποὺ κάμνει γάμο γεμάτη ἀπὸ ἀπρέπεια.

Πρόσεχε δηλαδή· ἐκεῖ ἀκούονται λόγια αἰσχρά, ἐπικρατοῦν γέλια ἄκοσμα, τὰ βήματα εἶναι πολὺ πιὸ ἄκοσμα, ἡ στολὴ καὶ τὸ βάδισμα εἶναι γεμάτα ἀπὸ ἀδιαντροπιά, ἡ ἐμφάνιση ὅλων εἶναι γεμάτη ἀπὸ ἀνοησία καὶ μωρία, καὶ γενικὰ τίποτε ἄλλο δὲν ἐπικρατεῖ ἐκεῖ, παρὰ γέλια καὶ χλευασμοί. Δὲν λέγω ὅτι ὁ γάμος εἶναι τέτοιος, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλὰ τὰ ὅσα συμβαίνουν στὸ γάμο. Χάνει τότε ἡ ἀνθρώπινη φύση τὴ ντροπή, οἱ παραβρισκόμενοι γίνονται ἄλογα ζῶα παρὰ ἄνθρωποι, ἄλλοι μὲν χλιμιντρίζουν σὰν τὰ ἄλογα, ἄλλοι δὲ κλωτσοῦν σὰν τὰ γαϊδούρια· εἶναι μεγάλη ἡ ἀποχαύνωση ποὺ ἐπικρατεῖ, μεγάλη καὶ ἡ παράλυση, τίποτε τὸ σπουδαῖο δὲν συμβαίνει, οὔ-

γενναῖον· πολλὴ ἐκεῖ τοῦ διαβόλου ἡ πομπή, κύμβαλα, αὐλοὶ καὶ ᾄσματα, πορνείας γέμοντα καὶ μοιχείας.

Ἀλλ' οὐκ ἐκεῖ, ἔνθα τὸ πένθος, ἀλλὰ πάντα εὔτακτα· πολλὴ γὰρ ἡ σιγή, πολλὴ ἡ ἡσυχία, πολλὴ ἡ καταστολή, οὐδὲν ἄτακτον, οὐδὲν ἄρρυθμον· εἴ τίς τι καὶ ἐφθέγξατο, πάντα φιλοσοφίας γέμοντα ῥήματα ἐφθέγξατο· καὶ τὸ δὴ θαυμαστόν, ὅτι παρ' ἐκεῖνον τὸν καιρὸν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ οἰκεῖοι καὶ γυναῖκες φιλοσοφοῦσι· τοιαύτη γὰρ ἡ τοῦ πένθους φύσις. Καὶ δοκοῦσι μὲν παρακαλεῖν τὸν πενθοῦντα, μυρία δὲ φθέγγονται δόγματα, φιλοσοφίας μεστά· εὐχαὶ εὐθέως ὥστε μέχρι τούτου στῆναι, καὶ ἱκανοὶ οἱ τὸν πεπονηκότα παραμυθούμενοι, καὶ ἀπαριθμήσεις τῶν τοιαῦτα πενθούντων μυρίαι. Τί γάρ ἐστιν ἄνθρωπος; Τῆς φύσεως ἐξέτασις τῆς ἡμετέρας.

4. Τί τοίνυν ἐστὶν ἄνθρωπος; Τοῦ βίου καὶ τῆς εὐτελείας αὐτοῦ κατηγορία, ἀνάμνησις τῶν ἐν τῷ μέλλοντι πραγμάτων, τῆς κρίσεως. Ἕκαστος οἴκαδε ἀναχωρεῖ, ἀπὸ μὲν γάμου λυπούμενος, ὅτι δὴ αὐτὸς μὴ ἐν εὐπραγίᾳ ἐστίν, ἀπὸ δὲ πένθους ἀνειμένος, ὅτι δὴ μὴ τοιαῦτα ἔπαθε, καὶ τὴν φλεγμονὴν σβέσας ἅπασαν ἀπῆλθεν. Ἀλλὰ τί; θέλεις τὰ δεσμωτήρια καὶ τὰ θέατρα ἀντεξετάσωμεν; Ὁ μὲν γὰρ θλίψεως, ὁ δὲ ἡδονῆς τόπος. Φέρε οὖν ἴδωμεν τὰ ἐξ ἑκατέρων συμβαίνοντα. Ἐκεῖ φιλοσοφία πολλή· ἔνθα γὰρ ἀθυμία, καὶ φιλοσοφία πάντως. Ὁ πρὸ τούτου πλουτῶν, ὁ μεγάλα φυσῶν καὶ τοῦ τυχόντος ἀνέξεται,

τε τὸ εὐγενικό· μεγάλη εἶναι ἡ πομπώδης ἐπίδειξη τοῦ διαβόλου, κύμβολα, αὐλοὶ καὶ τραγούδια, γεμάτα ἀπὸ πορνεία καὶ μοιχεία.

Ὅμως δὲν συμβαίνουν αὐτὰ ἐκεῖ ποὺ ὑπάρχει τὸ πένθος, ἀλλ' ὅλα εἶναι κόσμια· διότι εἶναι μεγάλη ἡ σιωπὴ ποὺ ἐπικρατεῖ, μεγάλη ἡ ἡσυχία, μεγάλη ἡ σεμνότητα, τίποτε τὸ ἄκοσμο δὲν συμβαίνει, τίποτε τὸ ἀπρεπές· καὶ ἐὰν κάποιος θὰ ἔλεγε κάτι, ὅλα τὰ λόγια ποὺ θὰ ἔλεγε θὰ ἦταν γεμάτα ἀπὸ μεγάλη φιλοσοφικότητα· καὶ ἄξιο θαυμασμοῦ βέβαια εἶναι ὅτι στὴν περίπτωση ἐκείνη δὲν δείχνουν φιλοσικότητα μόνο οἱ ἄνδρες, ἀλλὰ καὶ οἱ συγγενεῖς καὶ οἱ γυναῖκες· διότι τέτοια εἶναι ἡ φύση τοῦ πένθους. Καὶ φαίνονται μὲν ὅτι παρηγοροῦν ἐκεῖνον ποὺ πενθεῖ, διατυπώνουν ὅμως πολλὲς σκέψεις γεμάτες ἀπὸ φιλοσοφικότητα· δίνονται ἀμέσως εὐχὲς νὰ σταματήσει μέχρις ἐδῶ τὸ κακό, καὶ εἶναι ἀρκετοὶ ἐκεῖνοι ποὺ παρηγοροῦν ἐκεῖνον ποὺ ὑποφέρει, καὶ εἶναι ἀμέτρητες οἱ περιπτώσεις παρόμοιων πενθῶν. Διότι τί εἶναι ὁ ἄνθρωπος; Ἀπόδειξη τῆς φύσεώς μας.

4. Τί λοιπὸν εἶναι ὁ ἄνθρωπος; Ἀπόδειξη τῆς ζωῆς καὶ τῆς εὐτέλειάς του, ἀνάμνηση τῶν πραγμάτων τοῦ μέλλοντος, τῆς μέλλουσας κρίσεως. Ὁ καθένας ἀναχωρεῖ γιὰ τὸ σπίτι του ἀπὸ μὲν τὸ γάμο λυπημένος, διότι δῆθεν αὐτὸς δὲν εὐημερεῖ, ἀπὸ τὸ πένθος δὲ ἤρεμος καὶ ἀφοσιωμένος πρὸς τὸ Θεό, διότι δὲν ἔπαθε παρόμοια κακά, καί, ἀφοῦ ἔσβησε τὸν πόνο καὶ τὴν ταραχή, ἀναχώρησε ἀπὸ ἐκεῖ. Ἀλλὰ τί; θέλεις νὰ ἐξετάσομε τὶς φυλακὲς καὶ θέατρα; Διότι ὁ μὲν ἕνας εἶναι τόπος θλίψεως, ὁ δὲ ἄλλος ἡδονῆς. Ἐμπρὸς λοιπὸν ἂς δοῦμε τὰ ὅσα συμβαίνουν στὸ καθένα ἀπὸ τὰ δυό. Στὶς φυλακὲς ὑπάρχει πολλὴ ψυχικὴ ἀταραξία· διότι ὅπου ὑπάρχει λύπη ὁπωσδήποτε ὑπάρχει καὶ ἀταραξία τῆς ψυχῆς. Ἐκεῖνος πού, πρὶν μπεῖ στὴ φυλακή, εἶναι πλούσιος καὶ ὑπερηφανεύεται ὑπερβολικά,

διαλεγομένου πρὸς αὐτόν, τοῦ φόβου καὶ τῆς ἀθυμίας καθάπερ τινὸς πυρὸς σφοδροτέρου ἐπιπεσόντος αὐτοῦ τῇ ψυχῇ, καὶ μαλάττοντος τὸ σκληρόν· τότε ταπεινὸς γίνεται, τότε σκυθρωπός, τότε τῆς μεταβολῆς αἰσθάνεται τῆς βιωτικῆς, τότε καρτερεῖ πρὸς πάντα. Ἐν δὲ θεάτρῳ πάντα τὰ ἐναντία, γέλως, αἰσχρότης, πομπὴ διαβολική, διάχυσις, ἀνάλωμα χρόνου, καὶ δαπάνη ἡμερῶν περιττή, ἐπιθυμίας ἀτόπου κατασκευή, μοιχείας μελέτη, πορνείας γυμνάσιον, ἀκολασίας διδασκαλεῖον, προτροπὴ αἰσχρότητος, γέλωτος ὑπόθεσις, ἀσχημοσύνης παραδείγματα. Ἀλλ' οὐ τὸ δεσμωτήριον τοιοῦτον, ἀλλ' ἐκεῖ ταπεινοφροσύνη, παράκλησις, φιλοσοφίας προτροπή, ὑπεροψία τῶν βιωτικῶν· πάντα πεπάτηται καὶ καταπεφρόνηται, καὶ καθάπερ παιδίῳ παιδαγωγὸς ὁ φόβος ἐφέστηκε, πρὸς πάντα τὰ δέοντα ρυθμίζων αὐτόν.

Ἀλλά, εἰ βούλει, πάλιν ἑτέρως ἐξετάσωμεν τοὺς αὐτοὺς τόπους. Ἐβουλόμην συντυχεῖν ἀνθρώπῳ, ἀπὸ θεάτρου κατιόντι, καὶ ἄλλῳ ἀπὸ δεσμωτηρίου ἐξιόντι, καὶ εἶδες ἂν τοῦ μὲν τὴν ψυχὴν ἐπτοημένην, τεθορυβημένην, δεδεμένην ὄντως, τοῦ δὲ ἀνειμένην, λελυμένην, ἐπτερωμένην· ὁ μὲν γὰρ ἀπὸ τοῦ θεάτρου ἀναχωρεῖ, ταῖς ὄψεσι τῶν ἐκεῖ γυναικῶν προσδεθείς, παντὸς σιδήρου χαλεπώτερα φέρων δεσμά, τοὺς τόπους τοὺς ἐκεῖ, τὰ ρήματα, τὰ σχήματα, ὁ δὲ ἀπὸ δεσμωτηρίου, πάντων ἀνεθείς, οὐκ ἔτι ἡγήσεται πάσχειν τι δεινόν, τοῖς τῶν ἑτέρων τὰ αὐτοῦ παραβάλλων· ὅτι οὐ δέδεται, χάριν εἴσεται λοιπόν, καταφρονήσει τῶν ἀνθρωπίνων πραγμάτων, πολλοὺς πλουτοῦντας ὁρῶν ἐν συμφοραῖς, πολλὰ καὶ μεγάλα δυνα-

θὰ ἀνεχθεῖ ἐκεῖ καὶ τὸν τυχόντα, καὶ θὰ συνομιλήσει μὲ αὐτόν, ἐπειδὴ ὁ φόβος καὶ ἡ λύπη ἔχουν στὴν ψυχὴ σὰν ἀκριβῶς κάποια φοβερὴ φωτιὰ καὶ μαλακώνουν τὴ σκληρότητά του· τότε γίνεται ταπεινός, τότε θλιμμένος, τότε αἰσθάνεται τὴ μεταβολὴ τῆς ζωῆς, τότε ἀντιμετωπίζει μὲ καρτερία τὰ πάντα. Στὸ θέατρο ὅμως συμβαίνουν ὅλα τὰ ἀντίθετα, γέλια, αἰσχρότητα, διαβολικὴ ἐπίδειξη, ἀποχαύνωση, σπατάλη τοῦ χρόνου, περιττὴ δαπάνη ἡμερῶν, ὑποκίνηση καὶ ἱκανοποίηση παράλογης ἐπιθυμίας, δημιουργία συνήθειας γιὰ μοιχεία, ἄσκηση πορνείας, διδασκαλεῖο ἀκολασίας, προτροπὴ γιὰ αἰσχρότητα, ἀφορμὴ γιὰ χλευασμό, παραδείγματα ἀδιαντροπιᾶς. Ὅμως δὲν εἶναι τέτοια ἡ φυλακή, ἀλλ' ἐκεῖ ὑπάρχει ταπεινοφροσύνη, παρηγοριά, προτροπὴ γιὰ εὐσέβεια, περιφρόνηση τῶν βιωτικῶν· ὅλα ἔχουν ποδοπατηθεῖ καὶ περιφρονηθεῖ, καὶ ἔχει τοποθετηθεῖ ὁ φόβος ὅπως ἀκριβῶς ὁ παιδαγωγὸς γιὰ τὸ παιδί, κατευθύνοντας αὐτὸν πρὸς ὅλα ἐκεῖνα ποὺ πρέπει.

Ἀλλά, ἐὰν θέλεις, ἂς ἐξετάσομε πάλι τοὺς τόπους αὐτοὺς καὶ μὲ ἄλλο τρόπο. Θὰ ἤθελα νὰ συναντήσεις ἄνθρωπο ποὺ κατεβαίνει ἀπὸ τὸ θέατρο, καὶ ἄλλον ποὺ βγαίνει ἀπὸ τὴ φυλακή, καὶ θὰ ἔβλεπες τοῦ μὲν πρώτου τὴν ψυχὴ ταραγμένη, θορυβημένη, πραγματικὰ δεμένη, τοῦ ἄλλου δὲ νὰ εἶναι ἀτάραχη, ἐλεύθερη καὶ ἀναπτερωμένη· διότι ὁ μὲν πρῶτος ἀναχωρεῖ ἀπὸ τὸ θέατρο δεμένος μὲ τὶς μορφὲς τῶν ἐκεῖ γυναικῶν, φέροντας δεσμὰ φοβερότερα ἀπὸ ὁποιαδήποτε σίδερα, τοὺς ἐκεῖ δηλαδὴ τόπους, τὰ λόγια, τὶς μορφές, ἐνῶ ἐκεῖνος ποὺ ἀναχωρεῖ ἀπὸ τὴ φυλακή, ἀφοῦ ἐλευθερώθηκε ἀπὸ ὅλα, δὲν θὰ σκεφθεῖ πλέον ὅτι πάσχει κάποιο κακό, ἀντιπαραβάλλοντας τὰ δικά του μὲ τὰ τῶν ἄλλων· ἐπειδὴ εἶναι ἐλεύθερος, θὰ εὐγνωμονεῖ στὸ ἑξῆς, θὰ περιφρονήσει τὰ ἀνθρώπινα πράγματα, βλέποντας πολλοὺς πλουσίους νὰ βρίσκονται μέσα σὲ συμφορές, νὰ βρίσκονται ἐκεῖ φυλακισμένοι ἂν καὶ

μένους καὶ δεδεμένους ἐκεῖ· κἂν ἀδίκως τι πάθῃ, καὶ πρὸς τοῦτο καρτερήσει (καὶ γὰρ καὶ τούτου πολλὰ ἐκεῖ τὰ ὑποδείγματα)· εἰς ἔννοιαν ἐλεύσεται τῆς μελλούσης κρίσεως, καὶ φρίξει, τοὺς τόπους ἐνταῦθα ὁρῶν· καθάπερ γὰρ ἐνταῦθα, ἐν δεσμωτηρίῳ συγκεκλεισμένος, ἐπιεικὴς πρὸς πάντας ἐστίν, οὕτω κἀκεῖνοι πρὸ τῆς κρίσεως, πρὸ τῆς μελλούσης ἡμέρας, πρὸς γυναῖκα, πρὸς παιδία, πρὸς τοὺς οἰκέτας ἔσονται ἐπιεικέστεροι.

Ἀλλ' ἀπὸ τοῦ θεάτρου οὐχ οὕτως, ἀλλ' ἀηδέστερον ὄψεται τὴν γυναῖκα, καὶ δυσχερὴς πρὸς τοὺς οἰκείους ἔσται, παροξυνθήσεται πρὸς τὰ παιδία, ἐκθηριωθήσεται πρὸς πάντας. Μεγάλα κακὰ τὰ θέατρα παρασκευάζει ταῖς πόλεσι, μεγάλα, καὶ οὐδὲ τοῦτο ἴσμεν ὅτι μεγάλα! Εἰ δὲ οὐκ ἀπεκάμετε, ἐξετάσωμεν καὶ τοὺς τοῦ γέλωτος τόπους, τὰ συμπόσια λέγω, ἔνθα παράσιτοι καὶ κόλακες καὶ πολλὴ ἡ τρυφή, καὶ τόπους ἑτέρους, ἔνθα χωλοὶ καὶ ἀνάπηροι. Πάλιν ἐκεῖ μὲν μέθη καὶ τρυφὴ καὶ διάχυσις, ἐνταῦθα δὲ τοὐναντίον.

Ὅρα καὶ ἐπὶ τοῦ σώματος, ὅταν φλεγμαίνῃ, ὅταν εὐπαθῇ, ταχίστην ἔχει πρὸς νόσον μετάπτωσιν, ὅταν δὲ κατεσταλμένον ᾖ, οὐχ οὕτως. Ἵνα δὲ σαφέστερον ὑμῖν ὃ λέγω ποιήσω, ἔστω σῶμα, ἔχον πολὺ αἷμα καὶ σάρκας πολλὰς καὶ σφριγῶν, τοῦτο καὶ ἀπὸ τῆς τυχούσης τροφῆς πυρετὸν δυνήσεται τεκεῖν, ἂν ἁπλῶς ἀργήσῃ· ἔστω δὲ ἕτερον, λιμῷ μᾶλλον παλαῖον καὶ

κατόρθωσαν πολλά καὶ μεγάλα πράγματα· καὶ ἂν ἀκόμα πάθει κάτι ἄδικα, καὶ γι' αὐτὸ θὰ δείξει ὑπομονὴ (καθόσον καὶ αὐτοῦ τοῦ πράγματος εἶναι ἐκεῖ πολλὰ τὰ παραδείγματα)· θὰ σκεφθεῖ τὴ μέλλουσα κρίση καὶ θὰ φρίξει, βλέποντας ἐδῶ τοὺς τόπους· διότι ὅπως ἀκριβῶς ἐδῶ, κλεισμένος μέσα στὴ φυλακή, εἶναι πρὸς ὅλους γεμάτος καλωσύνη, ἔτσι καὶ ἐκεῖνοι βρισκόμενοι μπροστὰ στὴν κρίση, μπροστὰ στὴ μέλλουσα ἡμέρα, θὰ γίνουν περισσότερο ἐπιεικεῖς πρὸς τὴ γυναίκα τους, πρὸς τὰ παιδιά τους, πρὸς τοὺς δούλους τους.

Ὅμως δὲν βγαίνει ἐκεῖνος ἀπὸ τὸ θέατρο κατὰ τὸν ἴδιο τρόπο, ἀλλὰ θὰ δεῖ τὴ γυναίκα του μὲ περισσότερη ἀποστροφή, θὰ γίνει πιὸ δύσκολος πρὸς τοὺς δικούς του, θὰ ὀργισθεῖ πρὸς τὰ παιδιά του, καὶ θὰ εἶναι ἐξαγριωμένος πρὸς ὅλους. Μεγάλα κακὰ προκαλοῦν τὰ θέατρα στὶς πόλεις, μεγάλα, καὶ οὔτε αὐτὸ γνωρίζομε, ὅτι εἶναι μεγάλα! Ἐὰν δὲ δὲν κουρασθήκατε, ἂς ἐξετάσομε καὶ τοὺς τόπους τοῦ γέλιου, ἐννοῶ τὰ συμπόσια, ὅπου ὑπάρχουν οἱ ἄνθρωποι ποὺ ζοῦν σὰν παράσιτα, οἱ κόλακες καὶ μεγάλη ἡ τρυφηλὴ ζωή, καὶ ἄλλους τόπους, ὅπου ὑπάρχουν χωλοὶ καὶ ἀνάπηροι· Πάλι ἐκεῖ μὲν ὑπάρχει μέθη καὶ ἀπόλαυση ὑλικῶν ἀγαθῶν καὶ ἀποχαύνωση, ἐνῶ ἐδῶ τὸ ἀντίθετο.

Πρόσεχε καὶ στὴν περίπτωση τοῦ σώματος, ὅταν ὑποφέρει ἀπὸ φλεγμονή, ὅταν ἐπιδίδεται στὶς ἀπολαύσεις, εὔκολα προσβάλλεται ἀπὸ ἀσθένεια, ὅταν ὅμως συγκρατεῖται, δὲν συμβαίνει αὐτὸ τόσο εὔκολα. Γιὰ νὰ σᾶς κάνω σαφέστερο αὐτὸ ποὺ λέγω, ἂς ὑποθέσομε ὅτι ὑπάρχει ἕνα σῶμα ποὺ ἔχει πολὺ αἷμα καὶ πολλὲς σάρκες καθὼς καὶ πολὺ σφρίγος· αὐτὸ καὶ ἀπὸ ὁποιαδήποτε τροφὴ εἶναι δυνατὸ νὰ δημιουργήσει πυρετό, ἂν ἁπλῶς δὲν ἐργασθεῖ· ἔστω ὅμως ὅτι ὑπάρχει ἕνα ἄλλο, ποὺ βρίσκεται σὲ μεγάλο ἀγώνα ἐναντίον τῆς πείνας καὶ τῆς θλίψεως, αὐτὸ

θλίψει, τοῦτο δυσάλωτον καὶ δυσκαταγώνιστον πρὸς ἀρρωστίαν. Αἷμα κἂν ὑγιὲς ᾖ ἐν ἡμῖν, τῷ πλήθει πολλάκις νόσον ἔτεκεν· ἂν δὲ ὀλίγον ᾖ, κἂν μὴ ὑγιές, εὐκόλως κατεργασθῆναι δύναται.

Οὕτω δὴ καὶ ἐπὶ ψυχῆς, ἡ μὲν ἐν ἀνέσει καὶ τρυφῇ ὀξυρρόπους ἔχει πρὸς ἁμαρτίαν τὰς ὁρμάς· καὶ γὰρ ἀπονοίας ἐγγὺς ἡ τοιαύτη ἕστηκε, καὶ ἡδονῆς, καὶ κενοδοξίας, καὶ φθόνου, καὶ ἐπιβουλῶν, καὶ συκοφαντιῶν· ἀλλ' οὐχ ἡ ἐν θλίψει καὶ αὐταρκείᾳ, ἀλλὰ πάντων τούτων ἀπήλλακται. Ἰδοὺ ἡλίκη πόλις ἡμῖν ἐστιν ἡ μεγάλη αὕτη. Πόθεν οὖν τίκτεται τὰ κακά; οὐκ ἀπὸ τῶν πλουτούντων; οὐκ ἀπὸ τῶν χαιρόντων; Τίνες εἰς δικαστήρια ἕλκουσι; τίνες οὐσίας διασπαθῶσιν; οἱ ταλαίπωροι καὶ ἀπερριμμένοι, ἢ οἱ μεγάλα φυσῶντες καὶ χαίροντες; Οὐκ ἔστιν ἀπὸ ψυχῆς τεθλιμμένης γενέσθαι τι κακόν. Οἶδεν αὐτῆς τὸ κέρδος ὁ Παῦλος, διὰ τοῦτό φησιν· «Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει».

Μὴ δὴ καταπίπτωμεν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν, ἵνα τι κερδάνωμεν μέγα, ἵνα εὐδοκιμήσωμεν παρὰ τῷ Θεῷ, τῷ τὰς θλίψεις συγχωροῦντι. Μέγα θλῖψις ἀγαθόν, καὶ τοῦτο ἀπὸ τῶν παίδων τῶν ἡμετέρων μανθάνομεν· χωρὶς γὰρ θλίψεως οὐδὲν ἂν μάθοι χρήσιμον. Ἡμεῖς δὲ μᾶλλον αὐτῶν δεόμεθα θλίψεων· εἰ γὰρ ἐκεῖνα, τῶν παθῶν ἡ-

32. Ρωμ. 5, 3 - 5

εἶναι δυσκολονίκητο καὶ δυσκολοκατάβλητο ἀπὸ τὴν ἀρρώστια. Καὶ ἂν ἀκόμα τὸ αἷμα μας εἶναι ὑγιές, πολλὲς φορὲς ἐξ αἰτίας τῆς μεγάλης ποσότητας προξενεῖ ἀσθένεια· ἂν ὅμως εἶναι λίγο, καὶ ἂν ἀκόμα δὲν εἶναι ὑγιές, μπορεῖ εὔκολα νὰ ἐκτελέσει τὸ ἔργο του.

Τὸ ἴδιο συμβαίνει λοιπὸν καὶ μὲ τὴν ψυχή· ἐκείνη μὲν ποὺ ζεῖ μὲ ἀνέσεις καὶ κάνει ἀπολαυστικὴ ζωή, εὔκολα οἱ ὁρμές της κλίνουν πρὸς τὴν ἁμαρτία· καθόσον ἡ παρόμοια ψυχὴ βρίσκεται κοντὰ στὸν παραλογισμό, καὶ κατευθύνεται ἀπὸ τὴν ἡδονή, τὴ ματαιοδοξία, τὸ φθόνο, τὶς ἐπιβουλὲς καὶ τὶς συκοφαντίες· ὅμως δὲν συμβαίνει τὸ ἴδιο μὲ ἐκείνη ποὺ ζεῖ μέσα στὴ θλίψη καὶ τὴν αὐτάρκεια, ἀλλ' εἶναι ἀπαλλαγμένη ἀπὸ ὅλα αὐτά. Κοίταξε ποιὰ εἶναι ἡ πόλις μας αὐτὴ ἡ μεγάλη. Ἀπὸ ποῦ λοιπὸν προέρχονται τὰ κακά; Δὲν προέρχονται ἀπὸ τοὺς πλούσιους; δὲν προέρχονται ἀπὸ ἐκείνους ποὺ ἀπολαμβάνουν ἐκεῖνα ποὺ ἐπιθυμοῦν; Ποιοὶ σύρουν στὸ δικαστήρια; ποιοὶ κατασπαταλοῦν περιουσίες; οἱ ταλαίπωροι καὶ περιφρονημένοι, ἢ ἐκεῖνοι ποὺ ὑπερηφανεύονται ἀφάνταστα καὶ εὐφραίνονται μὲ τὰ ὑλικὰ ἀγαθά; Δὲν εἶναι δυνατὸ νὰ συμβεῖ κάποιο κακὸ ἀπὸ ψυχὴ καταθλιμμένη. Γνώριζε ὁ Παῦλος τὸ κέρδος αὐτῆς, γι' αὐτὸ λέγει· «Ἡ θλίψη δημιουργεῖ ὑπομονή, ἡ ὑπομονὴ δοκιμασμένο χαρακτήρα, ὁ δοκιμασμένος χαρακτήρας ἐλπίδα, ἡ δὲ ἐλπίδα δὲν δείχνει περιφρόνηση»[22].

Ἂς μὴ χάνομε λοιπὸν τὸ θάρρος μας ὅταν βρισκόμαστε μέσα στὶς θλίψεις, ἀλλὰ σ' ὅλες τὶς περιπτώσεις ἂς εὐχαριστοῦμε τὸ Θεό, γιὰ ν' ἀποκομίζομε κάποιο κέρδος, γιὰ νὰ σημειώσομε πνευματικὴ προκοπὴ κοντὰ στὸ Θεό, ποὺ ἐπιτρέπει τὶς θλίψεις. Εἶναι μεγάλο ἀγαθὸ ἡ θλίψη, καὶ αὐτὸ τὸ διαπιστώνομε ἀπὸ τὰ παιδιά μας· διότι χωρὶς θλίψη δὲν εἶναι δυνατὸ νὰ μάθουν τίποτε τὸ χρήσιμο. Ἀλλ' ἐμεῖς χρειαζόμαστε τὶς θλίψεις περισσότερο ἀπ' αὐτά· διότι, ἐὰν ἐκεῖνα διαπράττουν σφάλματα, ἐνῶ ἠρεμοῦν

ρεμούντων αὐτοῖς, σφάλλει, πολλῷ μᾶλλον ἡμεῖς, καὶ μάλιστα τοσούτοις συνεχόμενοι. Ἀλλ' ἡμᾶς μᾶλλον παιδαγωγοὺς ἔχειν ἐχρῆν (παρὰ μὲν γὰρ τῶν παίδων τὰ ἁμαρτήματα οὐκ ἂν μεγάλα γένοιτο, παρὰ δὲ ἡμῶν σφόδρα μεγάλα), παιδαγωγὸς δὲ ἡμῶν ἡ θλῖψις.

Μήτε οὖν ἐπισπώμεθα αὐτήν, καὶ παροῦσαν γενναίως φέρωμεν, ἀεὶ μυρίων οὖσαν ἀγαθῶν αἰτίαν, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύσωμεν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰ πάθη σ' αὐτά, πολὺ περισσότερο ἐμεῖς, καὶ μάλιστα τὴ στιγμὴ ποὺ ἐνοχλούμαστε ἀπὸ τόσα πάθη. Ἔπρεπε ἐμεῖς πολὺ περισσότερο νὰ ἔχομε παιδαγωγοὺς (διότι ἀπὸ μὲν τὰ παιδιὰ δὲν θὰ ἦταν δυνατὸ νὰ διαπραχθοῦν μεγάλα ἁμαρτήματα, ἀπὸ ἐμᾶς ὅμως πάρα πολὺ μεγάλα), παιδαγωγός μας δὲ εἶναι ἡ θλίψη.

Οὔτε λοιπὸν νὰ προκαλοῦμε αὐτήν, καὶ ὅταν εἶναι παροῦσα νὰ τὴν ὑποφέρομε γενναῖα, διότι πάντοτε εἶναι αἰτία ἀμέτρητων ἀγαθῶν, ὥστε καὶ τὴν ἐκ μέρους τοῦ Θεοῦ βοήθεια ν' ἀπολαύσομε, καὶ τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται γιὰ ἐκείνους ποὺ ἀγαποῦν αὐτόν, ἐξ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΓ΄

(Πράξ. 20, 1 - 17)

«Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυϐον προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητάς, καὶ ἀσπασάμενος ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν».

1. Ἔδει πολλῆς παρακλήσεως ἀπὸ τῆς ταραχῆς ἐκείνης. Τοῦτο δὴ καὶ ποιεῖ, καί, ἵνα παρακαλέσῃ τοὺς μαθητάς, ἔρχεται εἰς Μακεδονίαν, εἶτα εἰς τὴν Ἑλλάδα. Καὶ ὅτι σφόδρα αὐτοὺς παρεκάλεσεν, ἄκουε.

«Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. Ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιϐουλῆς ὑπὸ τῶν Ἰουδαίων, μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας. Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος καὶ Γάιος Δερϐαῖος καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος. Οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρῳάδι». Πάλιν διώκεται ὑπὸ Ἰουδαίων, καὶ ἔρχεται εἰς Μακεδονίαν. Πῶς δὲ τὸν Τιμόθεον Θεσσαλονικέα φησίν; Οὐ τοῦτο λέγει, ἀλλά, ‘προέλαϐον, φησίν, οὗτοι εἰς τὴν Τρῳάδα, προοδοποιοῦντες αὐτῷ’.

«Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν Ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς

---

2. Πράξ. 20, 2 - 5

1. Πράξ. 20, 1

ΟΜΙΛΙΑ ΜΓ΄
(Πράξ. 20, 1 - 17)

«Όταν σταμάτησε ὁ θόρυβος ὁ Παῦλος κάλεσε τοὺς μαθητές, τοὺς ἀποχαιρέτησε καὶ ἔφυγε γιὰ νὰ μεταβεῖ στὴ Μακεδονία»[1].

1. Χρειαζόταν πολλὴ παρηγοριὰ ἐξ αἰτίας τῆς ταραχῆς ἐκείνης. Αὐτὸ λοιπὸν καὶ κάμνει, καί, γιὰ νὰ παρηγορήσει τοὺς μαθητές, ἔρχεται στὴ Μακεδονία, καὶ στὴ συνέχεια στὴν Ἑλλάδα. Καὶ τὸ ὅτι τοὺς παρηγόρησε πάρα πολύ, ἄκουε.

Ἀφοῦ πέρασε ἀπὸ τὰ μέρη ἐκεῖνα καὶ στήριξε τοὺς πιστοὺς μὲ πολλὲς ὁμιλίες του, ἦρθε στὴν Ἑλλάδα. Καὶ ἀφοῦ ἔμεινε ἐκεῖ τρεῖς μῆνες, ἐνῶ ἐπρόκειτο νὰ πλεύσει στὴ Συρία, ἔγινε συνωμοσία ἐναντίον του ἀπὸ τοὺς Ἰουδαίους, καὶ γι' αὐτὸ ἀποφάσισε νὰ ἐπιστρέψει μέσω τῆς Μακεδονίας, τὸν συνόδευαν δὲ μέχρι τὴν Ἀσία ὁ Σώπατρος ἀπὸ τὴ Βέροια, ἀπὸ τοὺς Θεσσαλονικεῖς ὁ Ἀρίσταρχος καὶ ὁ Σεκοῦνδος, ὁ Γάϊος ἀπὸ τὴ Δέρβη, ὁ Τιμόθεος, καὶ οἱ Ἀσιάτες Τυχικὸς καὶ Τρόφιμος. Αὐτοὶ ἔφυγαν ἐνωρίτερα καὶ μᾶς περίμεναν στὴν Τρωάδα»[2]. Πάλι διώχνεται ἀπὸ τοὺς Ἰουδαίους καὶ ἔρχεται στὴ Μακεδονία. Πῶς δὲ ὀνομάζει τὸν Τιμόθεο Θεσσαλονικέα; Δὲν λέγει αὐτό, ἀλλά, 'Ἔφθασαν, λέγει, αὐτοὶ πιὸ μπροστὰ στὴν Τρωάδα, προετοιμάζοντάς του τὴν ὁδό'.

«Ἐμεῖς δὲ ἀναχωρήσαμε μὲ πλοῖο ἀπὸ τοὺς Φιλίππους μετὰ τὶς ἡμέρες τῆς ἑορτῆς τῶν Ἀζύμων, καὶ ἤρ-

εἰς τὴν Τρῳάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά»· καὶ γὰρ τὰς ἑορτὰς ἐμοὶ δοκεῖ σπουδάζειν αὐτὸν ποιεῖν ἐν ταῖς μεγάλαις πόλεσιν. Ἀπὸ Φιλίππων ἐκπλεῖ, ἔνθα τὰ κατὰ τὸ δεσμωτήριον ἐγένετο. Τρίτον δὲ τοῦτο εἰς Μακεδονίαν ἐπανῆλθε, καὶ πολλὰ μαρτυρεῖ τοῖς Φιλιππησίοις, διὸ καὶ ἐνδιατρίβει ἐκεῖ.

«Ἐν δὲ τῇ μιᾷ τῶν Σαββάτων, συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι· παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου». Ὅρα πῶς πάντα πάρεργα ἦν τοῦ κηρύγματος. Πεντηκοστὴ τότε ἦν, καὶ Κυριακὴ ἦν, ὁ δὲ καὶ μέχρι μεσονυκτίου τὴν διδασκαλίαν ἐκτείνει· οὕτω τῆς τῶν μαθητῶν σωτηρίας ἐφίετο, ὅτι οὐδὲ τὴν νύκτα ἐσίγα, ἀλλὰ τότε μᾶλλον διελέγετο, ἅτε ἡσυχίας οὔσης. Ὅρα πῶς καὶ πολλὰ διελεγέτο καὶ παρ' αὐτὸν τοῦ δείπνου τὸν καιρόν. Ἀλλὰ συνετάραξε τὴν ἑορτὴν ὁ διάβολος, οὐ μὴν ἴσχυσε, βαπτίσας τὸν ἀκροατὴν ὕπνῳ κατενεγκών. Καὶ ὅπως συμβαίνει, ἠρμήνευσεν ἐπαγαγών.

«Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦμεν συνηγμένοι. Καθήμενος δέ τις νεανίας, ὀνόματι Εὔτυχος, ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ὑπὸ τοῦ ὕπνου, ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός. Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν ἐπ' αὐτῷ, καὶ συμπεριλαβὼν αὐτόν, εἶπε· Μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. Ἀναβὰς δέ, καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱ-

---

3. Πράξ. 20, 6
4. Πράξ. 20, 7

θαμε καὶ συναντήσαμε αὐτοὺς στὴν Τρωάδα μέσα σὲ πέντε ἡμέρες, καὶ μείναμε ἐκεῖ ἑφτὰ ἡμέρες»[3]· διότι ἔχω τὴ γνώμη ὅτι φρόντιζε τὶς ἑορτὲς νὰ τὶς ἑορτάζει στὶς μεγάλες πόλεις. Ἀναχωρεῖ μὲ πλοῖο ἀπὸ τοὺς Φιλίππους, ὅπου συνέβηκαν τὰ σχετικὰ μὲ τὴν ἐκεῖ φυλακή. Αὐτὴ εἶναι ἡ τρίτη φορὰ ποὺ ἦρθε στὴ Μακεδονία, καὶ παρέχει πολλὲς διαβεβαιώσεις στοὺς Φιλιππησίους, γι' αὐτὸ καὶ μένει ἐκεῖ.

«Κατὰ τὴν πρώτη δὲ ἡμέρα τῆς ἑβδομάδας καὶ ἐνῶ οἱ μαθητὲς ἦταν συγκεντρωμένοι γιὰ τὴν κλάση τοῦ ἄρτου, ὁ Παῦλος τοὺς μιλοῦσε, διότι ἐπρόκειτο ν' ἀναχωρήσει, παρέτεινε δὲ τὴν ὁμιλία μέχρι τὰ μεσάνυχτα»[4]· Πρόσεχε πῶς ὅλα ἦταν γι' αὐτὸν δευτερεύουσας σημασίας μπροστὰ στὸ κήρυγμα. Πεντακοστὴ ἦταν τότε, καὶ μάλιστα Κυριακή, αὐτὸς ὅμως παρατείνει τὴ διδασκαλία μέχρι τὰ μεσάνυχτα· τόσο πολὺ ποθοῦσε τὴ σωτηρία τῶν μαθητῶν, ὥστε οὔτε τὴ νύχτα σταματοῦσε τὴν ὁμιλία, ἀλλὰ τότε πολὺ περισσότερο μιλοῦσε, ἐπειδὴ ὑπάρχει ἡσυχία. Πρόσεχε πῶς καὶ πολλὲς ὁμιλίες ἔκαμνε καὶ κατὰ τὴν ὥρα ἀκόμη τοῦ δείπνου. Ἀλλὰ συντάραξε ὁ διάβολος τὴν ἑορτή, βυθίζοντας τὸν ἀκροατὴ στὸν ὕπνο καὶ ρίχνοντάς τον κάτω, χωρὶς ὅμως νὰ κατόρθωσε ἐκεῖνο ποὺ ἤθελε. Καὶ πῶς συνέβηκε τὸ γεγονὸς τὸ ἑρμήνευσε προσθέτοντας τὰ ἑξῆς.

«Ὑπῆρχαν ἀρκετὲς λαμπάδες στὸ ὑπερῷο, ὅπου εἴμασταν συγκεντρωμένοι· Κάποιος δὲ νέος, ποὺ ὀνομαζόταν Εὔτυχος, καὶ καθόταν στὸ παράθυρο, κυριεύθηκε ἀπὸ βαθειὰ νύστα, ἐπειδὴ ὁ Παῦλος παρέτεινε τὴν ὁμιλία του, καὶ βυθίσθηκε σὲ βαθὺ ὕπνο, μὲ ἀποτέλεσμα νὰ πέσει κάτω ἀπὸ τὸν τρίτο ὄροφο, τὸν σήκωσαν δὲ νεκρό. Ἀφοῦ ὅμως κατέβηκε ὁ Παῦλος, ἔσκυψε ἐπάνω του καί, ἀφοῦ τὸν ἀγκάλιασε, εἶπε· Μὴν ἀνησυχεῖτε· διότι ἡ ψυχή του βρίσκεται μέσα του. Κατόπιν ἀνέβηκε ἐπάνω, ἔκανε τὴν

κανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως».

Θέα δέ μοι τὸ θέατρον ὅπως ἦν συγκεκροτημένον («συνηγμένων γὰρ τῶν μαθητῶν», φησί), καὶ τὸ σημεῖον οἷον («ἐπὶ θυρίδος» γάρ, φησίν, «ἐκάθητο», καὶ ἀωρὶ τῶν νυκτῶν)· τοσοῦτος ἦν ὁ πόθος τῆς ἀκροάσεως. Αἰσχυνθῶμεν ἡμεῖς, μηδὲ ἐν ἡμέρᾳ τοῦτο ποιοῦντες. Ἀλλὰ Παῦλος διελέγετο, φησί, τότε. Τί λέγεις; Καὶ νῦν Παῦλος διαλέγεται, μᾶλλον δὲ οὐδὲ τότε Παῦλος οὐδὲ νῦν, ἀλλ' ὁ Χριστός, καὶ οὐδεὶς ἀκούει. Οὐχὶ θυρίς ἐστι νῦν, οὐ πεῖνα, οὐχ ὕπνος ἐνοχλεῖ, καὶ ὅμως οὐκ ἀκούομεν· οὐ στενοχωρία τόπου, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι, καίτοι νεανίας ἐκεῖνος ὤν, οὐκ ἦν ῥάθυμος, καί, ὕπνῳ καταφερόμενος, οὐκ ἀπέστη, οὐδὲ ἔδεισε τὸν κίνδυνον μὴ κατενεχθῇ. Εἰ δὲ καὶ νυστάξας κατέπεσε, μὴ θαυμάσῃς· οὐ γὰρ ἀπὸ ῥᾳθυμίας ἐνύσταξεν, ἀλλ' ἀπὸ ἀνάγκης φύσεως. Σὺ δέ μοι θέα ὅτι οὕτως ἔζεον τῇ προθυμίᾳ, ὅτι καὶ ἐν τριστέγῳ ἦσαν· οὔπω γὰρ ἦν ἡ ἐκκλησία.

«Μὴ θορυβεῖσθε», φησίν· «ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν». Οὐκ εἶπεν, 'Ἀναστήσεται· ἐγερῶ γὰρ αὐτόν', ἀλλὰ τί; «Μὴ θορυβεῖσθε». Ὅρα τὸν ἄτυφον καὶ παρακλητικόν.

«Ἀναβὰς καὶ κλάσας», φησίν, «ἄρτον καὶ γευσάμενος». Τοῦτο διέκοψε τὸν λόγον, οὐ μὴν ἔβλαψεν. Ὁρᾷς τοῦ δείπνου τὸ ἀπέριττον; «Καὶ γευσάμενος», φησίν, «ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν». Ὁρᾷς πῶς διενυκτέρευον;

5. Πράξ. 20, 8 - 12
6. Πράξ. 20, 10
7. Πράξ. 20, 11

κλάση τοῦ ἄρτου, ἔφαγε, καί, ἀφοῦ μίλησε γιὰ ἀρκετὸ χρόνο καὶ μέχρι τὴν αὐγή, ἀναχώρησε. Πῆραν δὲ τὸ νέο ζωντανὸ καὶ παρηγορήθηκαν πάρα πολύ»[5].

Πρόσεχε ὅμως σὲ παρακαλῶ πῶς ἦταν συναθροισμένοι οἱ ἀκροατὲς (διότι, λέγει, «Ἦταν συγκεντρωμένοι οἱ μαθητές»), καὶ ποιὸ ἦταν τὸ μέρος (διότι, λέγει, «Καθόταν στὸ παράθυρο», καὶ σὲ πολὺ προχωρημένη ὥρα τῆς νύχτας)· τόσο μεγάλος ἦταν ὁ πόθος τους γιὰ τὴν ἀκρόαση τοῦ θείου λόγου. Ἂς νιώσομε ντροπὴ ἐμεῖς ποὺ δὲν τὸ κάνομε αὐτό οὔτε καὶ τὴν ἡμέρα. Ἀλλά, λέγει, τότε μιλοῦσε ὁ Παῦλος· Τί λές; Καὶ τώρα ὁ Παῦλος ὁμιλεῖ, ἢ καλύτερα οὔτε τότε μιλοῦσε ὁ Παῦλος οὔτε καὶ τώρα, ἀλλ' ὁ Χριστός, καὶ κανένας δὲν ἀκούει. Δὲν καθόμαστε τώρα σὲ παράθυρο, οὔτε πείνα ὑπάρχει, οὔτε ὕπνος ἐνοχλεῖ, καὶ ὅμως δὲν ἀκοῦμε· δὲν ὑπάρχει στενότητα χώρου, οὔτε τίποτε ἄλλο παρόμοιο. Καὶ τὸ ἀξιοθαύμαστο βέβαια εἶναι, ὅτι, ἂν καὶ ἐκεῖνος ἦταν νέος, δὲν ἦταν ἀδιάφορος, καί, ἂν καὶ κυριεύθηκε ἀπὸ ὕπνο, δὲν ἔφυγε, οὔτε φοβήθηκε τὸν κίνδυνο μήπως πέσει κάτω. Ἐὰν δὲ νύσταξε καὶ ἔπεσε, μὴ ἀπορεῖς· διότι δὲν νύσταξε ἀπὸ ἀδιαφορία, ἀλλὰ ἀπὸ φυσικὴ ἀνάγκη. Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε ὅτι τόσο θερμὴ ἦταν ἡ προθυμία τους, ἀφοῦ ἦταν συγκεντρωμένοι στὸν τρίτο ὄροφο· διότι δὲν ὑπῆρχε ἀκόμα ἡ ἐκκλησία.

«Μὴν ἀνησυχεῖτε», λέγει· «διότι ἡ ψυχή του βρίσκεται μέσα του»[6]. Δὲν εἶπε, Θ' ἀναστηθεῖ, διότι θὰ τὸν κάνω καλὰ ἐγώ', ἀλλὰ τί; «Μὴν ἀνησυχεῖτε». Πρόσεχε τὴν ἔλλειψη ὑπερηφάνειας καὶ τὴν παρηγοριὰ ποὺ δίνει.

«Ἀφοῦ ἀνέβηκε ἐπάνω, ἔκανε», λέγει, «τὴν κλάση τοῦ ἄρτου καὶ ἔφαγε»[7]. Αὐτό διέκοψε τὸ λόγο, ἀλλ' ὅμως δὲν ἔβλαψε. Βλέπεις τοῦ δείπνου τὴν ἁπλότητα; «Καὶ ἀφοῦ ἔφαγε», λέγει, «καὶ τοὺς μίλησε γιὰ πολλὴ ὥρα καὶ μέχρι τὴν αὐγή, ἀναχώρησε μετά»[7]. Βλέπεις πῶς διανυ-

Τοιαῦται αἱ τράπεζαι ἦσαν, ὡς νήφοντας πάλιν ἀπιέναι τοὺς ἀκροατάς, καὶ πρὸς ἀκρόασιν εἶναι ἐπιτηδείους. Τί κυνῶν διαφέρομεν ἡμεῖς; Ὁρᾶτε πόσον τὸ διάφορον;

«Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως». Σφόδρα παρακαλοῦνται, ὅτι τε ζῶντα ἀπέλαβον, ὅτι τε σημεῖον γέγονεν.

«Ἡμεῖς δέ, προσελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν. Ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μυτιλήνην». Πολλαχοῦ τῶν μαθητῶν ὁ Παῦλος χωρίζεται· ἰδοὺ γὰρ πάλιν αὐτὸς μὲν πεζεύει, ἐκεῖνοι δὲ τῷ πλοίῳ ἀνάγονται, τὸ μὲν κουφότερον ἐκείνοις ἐπιτρέπων, τὸ δὲ ἐπιπονώτερον αὐτὸς αἱρούμενος. Ἐπέζευεν, ἅμα καὶ πολλὰ οἰκονομῶν, ἅμα καὶ παιδεύων μηδὲ αὐτοὺς χωρίζεσθαι αὐτοῦ.

«Κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπαύριον, κατηντήσαμεν ἀντικρὺ Χίου· τῇ δὲ ἑτέρᾳ παρελάβομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον». Ὅρα πῶς, ἐπειγομένου τοῦ Παύλου, ἀνάγονται, καὶ οὐ χρονοτριβοῦσιν, ἀλλὰ παρέρχονται τὰς νήσους.

«Ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα». Τίς ἡ ἔπειξις αὕτη; Οὐ διὰ τὴν ἑορτήν, ἀλλὰ διὰ τὸ πλῆθος. Ἅμα καὶ τούτῳ Ἰουδαίους ἐπήγετο, ὡς δὴ τι-

---

8. Πράξ. 20, 12
9. Πράξ. 20, 13 - 14
10. Πράξ. 20, 15 - 16
11. Πράξ. 20, 16

κτέρευαν; Τέτοια ἦταν τὰ φαγητὰ τῶν τραπεζῶν, ὥστε νὰ ἀναχωροῦν πάλι οἱ ἀκροατὲς ἔχοντας τὴν πνευματική τους διαύγεια καὶ νὰ εἶναι κατάλληλοι ν' ἀκούσουν τὸ θεῖο λόγο· Τί διαφέρομε ἐμεῖς ἀπὸ τὰ σκυλιά; Βλέπετε πόση εἶναι ἡ διαφορά;

«Πῆραν δὲ τὸν νέο ζωντανὸ καὶ παρηγορήθηκαν πολύ»[8]. Παρηγοροῦνται πάρα πολύ, καὶ διότι τὸν πῆραν ζωντανό, καὶ διότι συνέβηκε τὸ θαῦμα.

«Ἐμεῖς δὲ πήγαμε στὸ πλοῖο καὶ ἀποπλεύσαμε στὴν Ἄσσο, ἀπὸ ὅπου ἐπρόκειτο νὰ παραλάβομε τὸν Παῦλο· ἔτσι εἶχε συνεννοηθεῖ, διότι αὐτὸς θὰ πήγαινε πεζός. Ὅταν μᾶς συνάντησε στὴν Ἄσσο, τὸν πήραμε στὸ πλοῖο καὶ μεταβήκαμε στὴ Μιτυλήνη»[9]. Σὲ πολλὲς περιπτώσεις ὁ Παῦλος ἀποχωρίζεται ἀπὸ τοὺς μαθητές· νὰ λοιπὸν πάλι αὐτὸς μὲν πηγαίνει πεζός, ἐνῶ ἐκεῖνοι ἀναχωροῦν μὲ τὸ πλοῖο, καὶ τὸ μὲν ἐλαφρότερο τὸ παραχωρεῖ σ' ἐκείνους, ἐνῶ ὁ ἴδιος προτιμᾶ τὸ πιὸ κοπιαστικό. Πήγαινε πεζός, καὶ ρυθμίζοντας συγχρόνως πολλά, καὶ ἀπὸ τὸ ἄλλο μέρος διδάσκοντας αὐτοὺς νὰ μὴ ἀποχωρίζονται ἀπ' αὐτόν.

«Ἀπὸ ἐκεῖ ἀποπλεύσαμε τὴν ἑπόμενη ἡμέρα καὶ φθάσαμε ἀντίκρυ στὴ Χίο· τὴν ἄλλη ἡμέρα πλησιάσαμε τὴ Σάμο, καὶ μείναμε στὸ Τρωγύλιο, τὴν δὲ ἑπόμενη ἡμέρα ἤρθαμε στὴ Μίλητο»[10]· Πρόσεχε πῶς ἀποπλέουν, ἐπειδὴ βιάζεται ὁ Παῦλος, καὶ δὲν χρονοτριβοῦν, ἀλλὰ προσπερνοῦν τὰ νησιά.

«Διότι ὁ Παῦλος εἶχε ἀποφασίσει νὰ προσπεράσομε τὴν Ἔφεσο, ὥστε νὰ μὴ χρονοτριβήσομε στὴν Ἀσία· διότι βιαζόταν, γιὰ νὰ βρίσκεται, ἐὰν τοῦ ἦταν δυνατό, τὴν ἡμέρα τῆς Πεντηκοστῆς στὰ Ἱεροσόλυμα»[11]. Ποιὸ σκοπὸ εἶχε αὐτὴ ἡ βιασύνη; Δὲν βιαζόταν γιὰ τὴν ἑορτή, ἀλλὰ γιὰ τὸ πλῆθος. Ἀφ' ἑνὸς μὲν ἔπειθε μὲ αὐτὸ τοὺς Ἰουδαίους, διότι φαινόταν ὅτι τιμᾶ τὶς ἑορτές, ἀφ' ἑτέρου

μῶν τὰς ἑορτάς, καί, τοὺς ἐχθροὺς ἑλεῖν βουλόμενος, ἅμα ἔσπευδε τὸν λόγον καθεῖναι. Ὅρα γοῦν οἷον γέγονε κέρδος, πάντων παρόντων· ἄλλως δέ, ἵνα μὴ διὰ τοῦτο ἀμεληθῇ τὰ κατὰ τὴν Ἔφεσον, ᾠκονόμησε ἑτέρως. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

2. «Καὶ ἀσπασάμενος», φησί, «τοὺς μαθητάς, ἐξῆλθε πορευθῆναι εἰς Μακεδονίαν, καί, παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα». Καὶ τούτῳ πάλιν ἀνεκτήσατο, ἱκανὴν διδοὺς παραμυθίαν. Ὅρα πανταχοῦ διὰ λόγων τὸ πᾶν κατορθοῦντα, οὐ διὰ σημείων.

«Μέλλοντα δέ», φησίν, «ἀνάγεσθαι εἰς τὴν Συρίαν». Συνεχῶς ἡμῖν αὐτὸν δείκνυσιν ἐπειγόμενον εἰς τὴν Συρίαν. Τὸ δὲ αἴτιον ἡ Ἐκκλησία ἦν καὶ τὰ Ἱεροσόλυμα· οὕτως εἶχε πόθον καὶ τὰ ἐκεῖ κατορθοῦν. Καί τοι οὐ μεγάλη ἡ Τρῳάς ἐστι, τί οὖν ἡμερῶν ἀριθμὸν ἑπτὰ ἐν αὐτῇ ποιοῦσι; Μεγάλη ἴσως ἦν κατὰ τοὺς πιστούς. Καὶ ἡμέρας δὲ διατρίψας ἑπτά, τῇ ἐπιούσῃ τὴν νύκτα ἀνάλωσεν εἰς τὴν διδασκαλίαν· οὕτω δυσαποσπάστως καὶ αὐτὸς αὐτῶν εἶχε, καὶ αὐτοὶ αὐτοῦ.

«Συνηγμένων δέ», φησί, «τῶν μαθητῶν κλάσαι ἄρτον». Πρὸς αὐτὸν τὸν καιρόν, ᾧ ἐνεδείκνυτο πεινῆν (καὶ οὐκ ἦν ἄκαιρον), ἀρχὴν ὁ λόγος λαβὼν παρετάθη ὥστε οὐ προηγουμένως εἰς διδασκαλίαν καθήκειν, ἀλλὰ συνῆλθον μὲν κλάσαι ἄρτον, ἐμπεσόντος δὲ λόγου, παρέτεινε τὴν διδασκαλίαν. Ὅρα πῶς καὶ τῇ τραπέζῃ τοῦ Παύλου πάντες ἐκοινώνουν. Ἐμοὶ δοκεῖ καὶ παρὰ τὴν τράπεζαν αὐτὸν καθήμενον διαλέγεσθαι, παιδεύοντα ἡμᾶς πάντα τὰ λοιπὰ πά-

------

12. Πράξ. 20, 1 - 2
13. Πράξ. 20, 3
14. Πράξ. 20, 7

βιαζόταν νὰ κηρύξει τὸ λόγο, θέλοντας νὰ κερδίσει τοὺς ἐχθρούς. Πρόσεχε λοιπὸν ποιὸ κέρδος προέκυψε, ἀπὸ τὸ γεγονὸς ὅτι ἦταν ὅλοι παρόντες· ἄλλωστε δέ, γιὰ νὰ μὴ παραμεληθοῦν τὰ προβλήματα τῆς Ἐφέσου, τακτοποίησε τὸ πράγμα κατ' ἄλλο τρόπο. Ἀλλὰ ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

2. «Ἀφοῦ», λέγει, «ἀποχαιρέτησε τοὺς μαθητές, ἔφυγε γιὰ νὰ μεταβεῖ στὴ Μακεδονία, καὶ ἀφοῦ στήριξε τοὺς πιστοὺς μὲ πολλὲς ὁμιλίες, ἦρθε στὴν Ἑλλάδα»[12]. Καὶ μ' αὐτὸ πάλι τοὺς ἐνίσχυσε, παρέχοντας σ' αὐτοὺς μεγάλη παρηγοριά. Πρόσεχε παντοῦ ποὺ ὅλα τὰ κατορθώνει μὲ τοὺς λόγους του καὶ ὄχι μὲ θαύματα.

«Ἐνῶ ἐπρόκειτο», λέγει, «νὰ πλεύσει στὴ Συρία»[13]. Συνέχεια μᾶς παρουσιάζει αὐτὸν νὰ ἐπιθυμεῖ καὶ νὰ βιάζεται νὰ μεταβεῖ στὴ Συρία. Ἡ δὲ αἰτία ἦταν ἡ Ἐκκλησία καὶ τὰ Ἱεροσόλυμα· τόσο πολὺ ποθοῦσε νὰ σημειώσουν προκοπὴ καὶ τὰ ἐκεῖ πράγματα. Ἂν καὶ βέβαια ἡ Τρωάδα δὲν ἦταν μεγάλη, γιατὶ λοιπὸν ἔμειναν σ' αὐτὴν ἑφτὰ ἡμέρες; Ἴσως ἦταν μεγάλη σὲ ἀριθμὸ πιστῶν. Καὶ ἐνῶ ἔμεινε ἐκεῖ ἑφτὰ ἡμέρες, τὴν ἑπόμενη ἡμέρα τὴν πέρασε στὴ διδασκαλία· τόσο στενὰ συνδεδεμένος ἦταν αὐτὸς μὲ ἐκείνους καὶ ἐκεῖνοι μὲ αὐτόν.

«Ἐνῶ δὲ ἦταν συγκεντρωμένοι», λέγει, «οἱ μαθητὲς γιὰ τὴν κλάση τοῦ ἄρτου»[14]. Κατὰ τὴν ὥρα ἐκείνη ποὺ φυσικὸ ἦταν νὰ πεινοῦν (καὶ δὲν ἦταν ἀκατάλληλη στιγμή), ἀφοῦ ἄρχισε ἡ ὁμιλία, παρατάθηκε· ἑπομένως δὲν ἦρθαν ἐκεῖ μὲ σκοπὸ ἀπὸ προηγουμένως γιὰ διδασκαλία, ἀλλὰ συγκεντρώθηκαν μὲν γιὰ τὴν κλάση τοῦ ἄρτου, ἐπειδὴ ὅμως συνέπεσε νὰ παρεμβληθεῖ ἡ ὁμιλία, παρέτεινε τὴ διδασκαλία. Πρόσεχε πῶς ὅλοι συμμετεῖχαν στὴν τράπεζα τοῦ Παύλου. Ἔχω τὴ γνώμη ὅτι αὐτὸς διδάσκει καὶ ἐνῶ κάθεται δίπλα στὴν τράπεζα τοῦ φαγητοῦ, διδάσκοντάς μας ὅλα τὰ ὑπόλοιπα νὰ τὰ θεωροῦμε δευτερεύοντα.

ρεργα ἡγεῖσθαι. Ὑποτυπώσατέ μοι τὸν οἶκον ἐκεῖνον, ἔνθα λαμπάδες ἦσαν, ἔνθα ὄχλος, ἔνθα Παῦλος, μέσος ὤν, διελέγετο, ἔνθα καὶ τὰς θυρίδας πολλοὶ κατελάμβανον καὶ τῆς σάλπιγγος ἀκοῦσαι ἐκείνης, καὶ τὸ πρόσωπον τὸ χάριεν θεάσασθαι, τί εἰκὸς εἶναι τοὺς διδασκομένους, καὶ πόσην καρποῦσθαι τὴν ἡδονήν;

Τίνος δὲ ἕνεκεν ἐν νυκτὶ διελέγετο; Ἐπειδὴ ἔμελλεν ἐξιέναι, καὶ οὐκ ἔτι ὁρᾶν αὐτοὺς λοιπόν· ἀλλὰ τοῦτο μὲν αὐτοῖς οὐ λέγει, ἅτε ἀσθενεστέροις οὖσι, τοῖς δὲ ἄλλοις ἔλεγεν. Ἅμα δὲ αὐτοὺς καὶ τὸ γενόμενον σημεῖον διὰ παντὸς ἐποίει μεμνῆσθαι τῆς ἑσπέρας ἐκείνης. Πολλὴ ἡ ἡδονὴ τῶν ἀκροατῶν, ὅτι καὶ ἐγκοπεῖσα ἐπετάθη μᾶλλον, ὥστε ὑπὲρ τοῦ διδασκάλου ἡ πτῶσις γέγονεν· ἄλλως τε καὶ πᾶσιν ἔμελλεν ἐκεῖνος ἐπιτιμᾶν τοῖς ῥαθύμοις, ὁ διὰ τοῦτο ἀποθανών, ἵνα Παῦλον ἀκούσῃ. Καὶ τίνος ἕνεκεν, φησί, καταλέγει ἕκαστα, καὶ ποῦ ἦλθον, καὶ ποῦ ἀπῆλθον, καὶ ποῦ μὲν ἐνδιέτριβε, τίνα δὲ παρέπλεε μέρη; Ἵνα δείξῃ τέως σχολαιότερον αὐτὸν πλέοντα, καὶ τοῦτο ἀνθρωπίνως, καὶ παραπλέοντα.

«Ἔκρινε γὰρ παραπλεῦσαι τὴν Ἔφεσον, ἵνα μὴ γένηται αὐτῷ, φησί, χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ». Καλῶς· οὐ γὰρ ἠδύνατο, γενόμενος ἐκεῖ, παραπλεῦσαι, ἐπειδὴ οὐκ ἐβούλετο λυπῆσαι τοὺς μένειν ἀξιοῦντας αὐτόν. Ἢ τοίνυν τοῦτό ἐστιν εἰπεῖν, καὶ ὅτι ἐσπούδαζεν. «Ἔσπευδε γὰρ», φησίν, «εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς ποιῆσαι ἐν Ἱεροσολύμοις». Ὥστε καὶ διὰ τοῦτο μένειν οὐκ ἦν δυνατόν. Ὅρα καὶ ἀνθρωπίνως αὐτὸν κινούμενον, καὶ

------

15. Πράξ. 20, 16
16. Πράξ. 20, 16

Ζωγραφεῖστε μου τὴν οἰκία ἐκείνη, μέσα στὴν ὁποία ὑπῆρχαν λαμπάδες, πλῆθος πολύ, ὁ Παῦλος νὰ εἶναι στὴ μέση καὶ νὰ διδάσκει, πολλοὶ νὰ ἔχουν ἀνεβεῖ καὶ στὰ παράθυρα γιὰ ν' ἀκούσουν τὴ σάλπιγγα ἐκείνη καὶ νὰ δοῦν τὸ πρόσωπο ἐκεῖνο τὸ γεμάτο ἀπὸ χάρη· τί πιὸ φυσικὸ ἦταν νὰ ὑπάρχουν ἐκεῖ οἱ διδασκόμενοι, καὶ πόση θὰ ἦταν ἡ εὐχαρίστηση ποὺ ἀπολάμβαναν;

Γιὰ ποιὸ λόγο μιλοῦσε τὴ νύχτα; Ἐπειδὴ ἐπρόκειτο νὰ φύγει καὶ δὲν θὰ τοὺς ἔβλεπε πλέον στὸ ἑξῆς· ἀλλ' αὐτὸ μὲν δὲν τὸ λέγει σ' αὐτούς, ἐπειδὴ ἦταν πνευματικὰ πιὸ ἀσθενεῖς, τὸ ἔλεγε ὅμως στοὺς ἄλλους. Συγχρόνως δὲ καὶ τὸ θαῦμα ποὺ ἔγινε ἔκαμνε αὐτοὺς νὰ θυμοῦνται γιὰ πάντα τὴν ἑσπέρα ἐκείνη. Μεγάλη ἦταν ἡ εὐχαρίστηση τῶν ἀκροατῶν, ἡ ὁποία, ἂν καὶ διακόπηκε, αὐξήθηκε ἀκόμα πιὸ πολύ, ἐπομένως ἡ πτώση εὐνόησε τὸ δάσκαλο· ἄλλωστε ἐκεῖνος ἐπρόκειτο νὰ ἐπιτιμᾶ ὅλους τοὺς ἀδιάφορους, ὁ ὁποῖος γι' αὐτὸ πέθανε, γιὰ ν' ἀκούσει δηλαδὴ τὸν Παῦλο. Καὶ γιὰ ποιὸ λόγο, λέγει, ἀναφέρει ὅλα, καὶ ποῦ δηλαδὴ ἦρθαν, καὶ ποῦ ἀναχώρησαν, καὶ ποῦ μὲν διέμενε, ποιὰ δὲ μέρη παρέπλεε; Γιὰ νὰ δείξει κατ' ἀρχὴ ὅτι αὐτὸς ἔπλεε μὲ μεγάλη ἀργοπορία, καὶ αὐτὸ ὀφειλόταν στὸν ἀνθρώπινο παράγοντα, γι' αὐτὸ καὶ προσπερνοῦσε ὁρισμένα μέρη.

«Διότι ἀποφάσισε νὰ προσπεράσει τὴν Ἔφεσο γιὰ νὰ μὴ χρονοτριβήσει», λέγει, «στὴν Ἀσία»[15]. Πολὺ καλά· διότι δὲν μποροῦσε, ἐρχόμενος ἐκεῖ, νὰ ἀποπλεύσει, ἐπειδὴ δὲν ἤθελε νὰ λυπήσει ἐκείνους ποὺ ἐπιθυμοῦσαν ὑπερβολικὰ νὰ μείνει αὐτὸς ἐκεῖ· Ἢ λοιπὸν αὐτὸ μποροῦμε νὰ ποῦμε, καὶ ἀκόμα ὅτι βιαζόταν νὰ φθάσει. «Διότι», λέγει, «βιαζόταν νὰ βρίσκεται στὰ Ἱεροσόλυμα, ἐὰν τοῦ ἦταν δυνατό, τὴν ἡμέρα τῆς Πεντηκοστῆς»[16]. Ὥστε καὶ γι' αὐτὸ δὲν ἦταν δυνατὸ νὰ μένει. Πρόσεχε αὐτὸν ποὺ κινεῖται καὶ ἀπὸ ἀνθρώπινα κίνητρα, καὶ ἐπιθυμεῖ καὶ βιά-

ἐπιθυμοῦντα καὶ σπεύδοντα καὶ οὐκ ἐπιτυγχάνοντα πολλάκις. Διὰ τοῦτο δὲ ταῦτα γίνεται, ἵνα μὴ νομίσωμεν ὅτι ὑπὲρ φύσιν ἦν τὴν ἀνθρωπίνην· οἱ γὰρ ἅγιοι καὶ μεγάλοι ἄνδρες ἐκεῖνοι τῆς μὲν φύσεως τῆς αὐτῆς ἡμῖν ἐκοινώνουν, τῆς δὲ προαιρέσεως οὐκέτι, διὸ καὶ πολλὴν ἐπεσπῶντο τὴν χάριν.

Ὅρα γοῦν πόσα καὶ ἀφ' ἑαυτῶν οἰκονομοῦσι. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἵνα μὴ δῶμεν προσκοπὴν τοῖς βουλομένοις»· καὶ πάλιν· «Ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν». Ἰδοὺ καὶ βίος ἄληπτος, καὶ πολλὴ ἡ συγκατάβασις. Τοῦτο οἰκονομία λέγεται, τὸ εἰς ἀκρότητα εἶναι καὶ ὕψους ἀρετῆς, καὶ ταπεινοφροσύνης συγκαταβάσεως. Καὶ ἄκουε πῶς ὁ ὑπερβαίνων τὰ παραγγέλματα τοῦ Χριστοῦ, οὗτος πάλιν πάντων ταπεινότερος ἦν. «Πᾶσι πάντα γέγονα», φησίν, «ἵνα πάντας κερδήσω». Ὁ αὐτὸς καὶ εἰς κινδύνους ἑαυτὸν ἐνέβαλε, καθὼς ἑτέρωθί φησιν· «Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς». Καὶ πολὺς ἦν αὐτοῦ ὁ πόθος, ὁ περὶ τὸν Χριστόν. Ἂν γὰρ τοῦτο μὴ ᾖ, πάντα περιττά, καὶ τὰ τῆς οἰκονομίας καὶ τοῦ ἀλήπτου βίου καὶ τοῦ παρακεκινδυνευμένου. «Τίς ἀσθενεῖ», φησί, «καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;».

3. Ταῦτα, παρακαλῶ, καὶ ἡμεῖς μιμώμεθα τὰ ῥήματα, καὶ εἰς κινδύνους ῥίπτωμεν ἑαυτοὺς διὰ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. Κἂν πῦρ ᾖ, κἂν σίδηρος, ῥῖψον σαυτόν, ἀγαπητέ, ἵνα σοῦ τὸ μέλος ἐξέλῃς· ῥῖψον, μὴ φοβηθῇς. Μαθητὴς εἶ τοῦ Χριστοῦ, τοῦ διὰ τοὺς ἀδελφοὺς τὴν ψυχὴν θέντος· συμμαθητὴς Παύ-

17. Β΄ Κορ. 6, 3
18. Α΄ Κορ. 9, 22
19. Β΄ Κορ. 6, 4 - 5
20. Β΄ Κορ. 11, 29

ζεται καὶ πολλὲς φορὲς δὲν τὸ κατορθώνει. Γι' αὐτὸ γίνονται αὐτά, γιὰ νὰ μὴ νομίσομε ὅτι ἦταν πάνω ἀπὸ τὴν ἀνθρώπινη φύση· διότι οἱ ἅγιοι καὶ μεγάλοι ἐκεῖνοι ἄνδρες εἶχαν μὲν τὴν ἴδια φύση μὲ ἐμᾶς, ὄχι ὅμως καὶ τὴν ἴδια προαίρεση, γι' αὐτὸ καὶ ἀπολάμβαναν σὲ μεγάλο βαθμὸ τὴ χάρη τοῦ Θεοῦ.

Πρόσεχε λοιπὸν πόσα καὶ ἀπὸ μόνοι τους ρυθμίζουν. Γι' αὐτὸ καὶ ἔλεγε· «Γιὰ νὰ μὴ δώσομε καμιὰ ἀφορμὴ προσκόμματος σ' ἐκείνους ποὺ θέλουν»[17]· καὶ πάλι· «Γιὰ νὰ μὴ δυσφημισθεῖ τὸ ἔργο ποὺ ἐπιτελοῦμε»[17]. Νὰ καὶ τρόπος ζωῆς ἄμεμπτος, καὶ μεγάλη συγκατάβαση. Αὐτὸ ὀνομάζεται οἰκονομία, τὸ νὰ βρίσκεται κανεὶς στὸ ἀκρότατο σημεῖο καὶ ὕψος τῆς ἀρετῆς καὶ νὰ κατεβαίνει στὸ τελευταῖο σημεῖο τῆς ταπεινοφροσύνης. Καὶ ἄκου πῶς ἐκεῖνος ποὺ ξεπερνοῦσε τὰ παραγγέλματα τοῦ Χριστοῦ, αὐτὸς πάλι ἦταν ὁ πιὸ ταπεινὸς ἀπὸ ὅλους. «Σ' ὅλους ἔγινα τὰ πάντα γιὰ νὰ κερδίσω ὅλους»[18]. Ὁ ἴδιος καὶ σὲ κινδύνους ἔρριξε τὸν ἑαυτό του, καθὼς σὲ ἄλλο σημεῖο λέγει· «Δείχνοντας μεγάλη ὑπομονὴ στὶς θλίψεις, τὶς ἀνάγκες, στὶς στενοχώριες, στὶς μαστιγώσεις, στὶς φυλακίσεις»[19]. Καὶ ἦταν μεγάλος ὁ πόθος του γιὰ τὸν Χριστό· Διότι ἂν δὲν ὑπάρχει αὐτό, ὅλα εἶναι περιττὰ καὶ τὰ τῆς οἰκονομίας, καὶ τοῦ ἐνάρετου τρόπου ζωῆς καὶ τοῦ ριψοκινδυνεύματος. «Ποιὸς ἀσθενεῖ», λέγει, «καὶ δὲν ἀσθενῶ ἐγώ; ποιὸς σκανδαλίζεται καὶ ἐγὼ δὲν κατακαίομαι ἀπὸ τὴ θλίψη;»[20].

3. Αὐτὰ τὰ λόγια, παρακαλῶ, ἂς μιμούμαστε καὶ ἐμεῖς, καὶ ἂς ριψοκινδυνεύομε γιὰ χάρη τῶν ἀδελφῶν μας. Καὶ ἂν ἀκόμα εἶναι φωτιά, καὶ ἂν ἀκόμα εἶναι σίδηρος, ρίψου, ἀγαπητέ, γιὰ νὰ σώσεις τὸ μέλος σου· ρίψου, μὴ φοβηθεῖς. Μαθητὴς εἶσαι τοῦ Χριστοῦ, ὁ ὁποῖος θυσίασε τὴν ψυχή του γιὰ τοὺς ἀδελφούς· συμμαθητὴς εἶσαι τοῦ Παύ-

λου, τοῦ μυρία ἑλομένου παθεῖν δεινὰ διὰ τοὺς ἐχθρούς, διὰ τοὺς πολεμοῦντας αὐτῷ· ἐμπλήσθητι ζήλου, μίμησαι τὸν Μωσέα. Εἶδεν ἀδικούμενον καὶ ἤμυνε, κατεφρόνησε τρυφῆς βασιλικῆς, καὶ γέγονε διὰ τοὺς καταπονουμένους φυγάς, πλανήτης, ἔρημος συγγενῶν καὶ οἰκίας· ἐν ἀλλοτρίᾳ διετέλεσε τοσοῦτον χρόνον, καὶ οὐκ ἐμέμψατο ἑαυτῷ, οὐδὲ εἶπε· ‘Τί τοῦτο; βασιλείας κατεφρόνησα, τιμῆς τοσαύτης καὶ δόξης· εἱλόμην ἀμῦναι τοῖς ἀδικουμένοις, καὶ περιεῖδεν ὁ Θεός, καὶ οὐ μόνον οὐκ ἐπανήγαγέ με ἐπὶ τὴν προτέραν τιμήν, ἀλλὰ καὶ τεσσαράκοντα ἔτη ἐν ἀλλοτρίᾳ διάγω. Καλῶς γε· οὐ γὰρ τοὺς μισθοὺς ἀπέλαβον’. Ἀλλ’ οὐδὲν τούτων εἶπεν, οὐδὲ ἐνενόησεν.

Οὕτω καὶ σύ· κἂν κακόν τι πάθῃς ἀγαθοποιῶν, κἂν ἐπὶ πολὺν χρόνον, μὴ σκανδαλίζου, μηδὲ θορυβοῦ· πάντως ἀποδώσει σοι τὴν ἀμοιβὴν ὁ Θεός. Ὅσῳ ἂν χρονίζῃ ἡ ἀντίδοσις, τοσούτῳ οἱ τόκοι ἐπιτείνονται. Οὐκοῦν ἔχωμεν ψυχὴν συμπαθητικήν, ἔχωμεν διάνοιαν εἰδυῖαν συναλγεῖν· μηδὲν ἔστω παρ’ ἡμῖν ὠμόν, μηδὲν ἀπάνθρωπον. Κἂν μηδὲν δυνηθῇς εἰσενεγκεῖν, δάκρυσον, στέναξον, ἄλγησον ἐπὶ τοῖς γινομένοις· οὐδὲ ταῦτά σοι ἔσται εἰκῇ. Εἰ τοῖς ὑπὸ τοῦ Θεοῦ κολαζομένοις δικαίως συναλγεῖν χρή, πολλῷ μᾶλλον τοῖς ὑπὸ ἀνθρώπων ἀδίκως πάσχουσιν. «Οὐκ ἐξῆλθον», φησίν, «Αἰνὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς· λήψονται ὀδύνην ἀνθ’ ὧν ᾠκοδόμησαν εἰς καταγέλωτα». Τοῦτο ἐγκαλεῖ ὁ Ἰεζεκιήλ, ὅτι οὐ συνήλγησαν.

Τί λέγεις, ὦ προφῆτα; ὁ Θεὸς κολάζει, κἀγὼ συναλγήσω τοῖς κολαζομένοις; Ναί· τοῦτο γὰρ αὐ-

------

21. Μιχ. 1, 11

λου, πού προτίμησε νὰ πάθει κακὰ γιὰ τοὺς ἐχθρούς, γιὰ ἐκείνους πού πολεμοῦσαν αὐτόν· γέμισε ἀπὸ ζῆλο, μιμήσου τὸν Μωυσῆ. Εἶδε ἀδικούμενο καὶ τὸν ὑπερασπίσθηκε, περιφρόνησε τὴ βασιλικὴ ἀπολαυστικὴ ζωή, καὶ ἔγινε γιὰ χάρη τῶν καταπονεμένων φυγάς, περιπλανώμενος, καὶ στερήθηκε τοὺς συγγενεῖς καὶ τὸ σπίτι του· πέρασε τόσο χρόνο ζώντας σὲ ξένη χώρα, καὶ οὔτε μέμφθηκε τὸν ἑαυτό του, οὔτε εἶπε· 'Γιατί γίνεται αὐτό; περιφρόνησα τὴ βασιλεία, τόση τιμὴ καὶ δόξα· προτίμησα νὰ βοηθήσω τοὺς ἀδικουμένους, καὶ μὲ παρέβλεψε ὁ Θεός, καὶ ὄχι μόνο δὲν μὲ ἐπανέφερε στὴν προηγούμενη τιμή, ἀλλὰ καὶ σαράντα χρόνια ζῶ σὲ ξένη χώρα· Πολὺ καλὰ λοιπόν· διότι δὲν ἀπόλαυσα τοὺς μισθούς'. Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, οὔτε σκέφθηκε.

Ἔτσι καὶ σύ· καὶ ἂν ἀκόμα πάθεις κάποιο κακὸ ἐνῶ κάνεις τὸ καλό, καὶ ἂν ἀκόμα γιὰ πολὺ χρόνο, μὴ σκανδαλίζεσαι, οὔτε ν' ἀνησυχεῖς· ὁπωσδήποτε θὰ σοῦ ἀποδώσει ὁ Θεὸς τὴν ἀμοιβή. Ὅσο περισσότερο καθυστερεῖ ἡ ἀπόδοση, τόσο περισσότερο αὐξάνονται οἱ τόκοι. Λοιπὸν ἂς ἔχομε ψυχὴ συμπαθητική, ἂς ἔχομε νοῦ πού νὰ γνωρίζει νὰ συμπάσχει· ἂς μὴ ὑπάρχει τίποτε τὸ σκληρὸ σ' ἐμᾶς, τίποτε τὸ ἀπάνθρωπο. Καὶ ἂν ἀκόμα τίποτε δὲν μπορέσεις νὰ προσφέρεις, δάκρυσε, στέναξε, πόνεσε γι' αὐτὰ πού γίνονται· οὔτε αὐτὰ θὰ σοῦ εἶναι ἄχρηστα· Ἐὰν πρέπει νὰ πονᾶμε μαζὶ μὲ ἐκείνους πού τιμωροῦνται δίκαια ἀπὸ τὸ Θεό, πολὺ περισσότερο πρέπει νὰ γίνεται αὐτὸ πρὸς ἐκείνους πού ὑφίστανται ἄδικα κακὰ ἀπὸ τοὺς ἀνθρώπους. «Δὲν πῆγαν», λέγει, «νὰ θρηνήσουν τὴν Αἰνὰν πού εἶχε καταστραφεῖ· θὰ πονέσουν ὑπεοβολικὰ γιὰ τὰ ὅσα προξένησαν μὲ σκοπὸ νὰ γελάσουν»[21]. Αὐτὸ κατηγορεῖ ὁ Ἰεζεκιήλ, διότι δὲν πόνεσαν μαζί τους.

Τί λές, προφήτη μου; Ὁ Θεὸς τιμωρεῖ, καὶ ἐγὼ θὰ πονέσω μαζὶ μὲ ἐκείνους πού τιμωροῦνται; Ναί· καθόσον

τὸς ὁ κολάζων βούλεται· οὐδὲ γὰρ αὐτὸς ἥδεται κολάζων, ἀλλὰ μάλιστα καὶ ἀλγεῖ. Ἐπεὶ οὖν οὐδὲ αὐτὸς εὐφραίνεται ὁ κολάζων, μὴ τοίνυν μηδὲ σὺ εὐφραίνου. Ἀλλά, εἰ δικαίως, φησί, κολάζονται, οὐ δεῖ ἀλγεῖν. Καὶ μὴν διὰ τοῦτο δεῖ ἀλγεῖν, ὅτι ἄξιοι κολάσεως ἐφάνησαν. Εἰπὲ δή μοι, ὅταν ἴδῃς τὸν υἱὸν τὸν σὸν καιόμενον ἢ τεμνόμενον, μὴ οὐκ ἀλγεῖς; Εὔδηλον ὅτι· καὶ οὐ λέγεις πρὸς σεαυτόν· 'Τί τοῦτο;'. Πρὸς ὑγίειαν ἡ τομὴ βλέπει, ὑπὲρ ἀπαλλαγῆς ἐστιν ἡ καῦσις· ἀλλ' ὅμως, ὅταν ἀκούσῃς ὀλολύζοντος, οὐ φέροντος τὰς ὀδύνας, ἀλγεῖς, καὶ οὐχ ἱκανὴ ἡ τῆς ὑγιείας ἐλπὶς ἀφελεῖν τὴν σύγχυσιν τῆς φύσεως.

Οὕτω καὶ ἐπὶ τούτων, κἂν εἰς ὑγίειαν κολάζωνται, ὅμως ἀδελφικὴν ἐπιδεικνύωμεν ἡμεῖς προαίρεσιν ἐπ' αὐτοὺς καὶ πατρικὴν διάθεσιν. Τομαὶ καὶ καύσεις εἰσὶν αἱ τιμωρίαι τοῦ Θεοῦ· ἀλλὰ διὰ τοῦτο ὀφείλομεν κλαίειν, ὅτι ἐνόσησαν, ὅτι τοιαύτης ἐδεήθησαν ἰατρείας. Ἐάν τις ἐπὶ στεφάνοις ταῦτα πάσχῃ, τότε μὴ ἄλγει, οἷον ὡς Παῦλος, ὡς Πέτρος· ὅταν δὲ ἐπὶ τιμωρίᾳ τίνῃ δίκην, τότε δάκρυσον, τότε στέναξον. Τοιοῦτοι ἦσαν οἱ προφῆται· διὸ καί τις αὐτῶν ἔλεγεν· «Οἴμοι, Κύριε, ἐξαλείψεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ;».

Ἀνδροφόνους ὁρῶμεν, μιαροὺς ἄνδρας, κολαζομένους πολλάκις, καὶ δακνόμεθα καὶ ἀλγοῦμεν. Μὴ ὑπὲρ τὸ μέτρον φιλόσοφοι ὦμεν· ἐλεήμονες γενώμεθα, ἵνα ἐλεηθῶμεν· οὐδὲν ἴσον τούτου τοῦ καλοῦ· οὐδὲν οὕτω τὸν ἀνθρώπινον ἡμῖν ὑποδείκνυσι χαρακτῆ-

---

22. Ἰεζ. 9, 8

αὐτὸ θέλει ἐκεῖνος ποὺ τιμωρεῖ· διότι οὔτε αὐτὸς εὐχαριστεῖται νὰ τιμωρεῖ, ἀλλὰ καὶ πονᾶ πάρα πολύ. Ἀφοῦ λοιπὸν οὔτε αὐτὸς ποὺ τιμωρεῖ εὐχαριστεῖται, ἄρα οὔτε σὺ νὰ εὐχαριστεῖσαι. Ἀλλά, λέγει, ἐὰν δίκαια τιμωροῦνται, δὲν πρέπει νὰ πονᾶμε μαζί τους· Καὶ ὅμως γι' αὐτὸ πρέπει νὰ συμπονᾶμε, διότι φάνηκαν ἄξιοι γιὰ τιμωρία. Πές μου λοιπόν, ὅταν δεῖς τὸ δικό σου τὸ παιδὶ νὰ τοῦ γίνεται καυτηριασμὸς ἢ ἐγχείριση, δὲν πονᾶς; Εἶναι ὁλοφάνερο ὅτι πονᾶς· καὶ δὲν λὲς μέσα σου· "Γιατί γίνεται αὐτό;" Στὴν ὑγεία του ἀποβλέπει ἡ ἐγχείριση, γιὰ ν' ἀπαλλαγεῖ ἀπὸ τὴν ἀσθένειά του γίνεται ὁ καυτηριασμός· ἀλλ' ὅμως, ὅταν ἀκούσεις νὰ βγάζει κραυγὲς πόνου, νὰ μὴ ὑποφέρει τοὺς πόνους, πονᾶς, καὶ δὲν εἶναι ἱκανὴ ἡ ἐλπίδα γιὰ τὴν ὑγεία του νὰ ἀφαιρέσει τὴν ταραχὴ τῆς φύσεώς σου.

Ἔτσι καὶ στὴν περίπτωση αὐτῶν, καὶ ἂν ἀκόμα τιμωροῦνται μὲ σκοπὸ τὴν ὑγεία τους, ὅμως ἂς δείχνομε ἐμεῖς πρὸς αὐτοὺς ἀδελφικὴ προαίρεση καὶ πατρικὴ διάθεση. Ἐγχειρίσεις καὶ καυτηριασμοὶ εἶναι οἱ τιμωρίες τοῦ Θεοῦ· ἀλλὰ γι' αὐτὸ ὀφείλομε νὰ κλαῖμε, διότι ἀσθένησαν, διότι χρειάσθηκαν τέτοια θεραπεία. Ἐὰν κάποιος ὑφίσταται παρόμοια παθήματα γιὰ νὰ λάβει στεφάνια, τότε μὴ πονᾶς, ὅπως γιὰ παράδειγμα ὁ Παῦλος, ὅπως ὁ Πέτρος, ὅταν ὅμως πληρώνει ποινὴ τιμωρίας, τότε δάκρυσε, τότε στέναξε· Τέτοιοι ἦταν οἱ προφῆτες· γι' αὐτὸ καὶ κάποιος ἀπὸ αὐτοὺς ἔλεγε· «Ἀλλοίμονο, Κύριε, ἐξαφανίζεις σὺ τὸ ὑπόλοιπο τοῦ λαοῦ τοῦ Ἰσραήλ;»[22].

Βλέπομε ἀνθρώπους φονιάδες, ἀνθρώπους μιαρούς, νὰ τιμωροῦνται πολλὲς φορές, καὶ πληγωνόμαστε καὶ πονᾶμε πολύ. Ἂς μὴ εἴμαστε περισσότερο ἀπὸ ὅσο πρέπει φιλόσοφοι· ἂς γινόμαστε ἐλεήμονες, γιὰ νὰ ἐλεηθοῦμε· τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μ' αὐτὸ τὸ καλό· τίποτε δὲν φανερώνει τόσο πολὺ τὸν ἀνθρώπινό μας χαρακτή-

ρα ὡς τὸ ἐλεεῖν, ὡς τὸ φιλάνθρωπον εἶναι. Διὰ τοῦτο καὶ οἱ νόμοι τοῖς δημίοις τὸ πᾶν ἐπιτρέπουσι, τὸν δικαστὴν μέχρι τῆς ἀποφάσεως ἀναγκάσαντες τιμωρεῖσθαι, εἰς δὲ τὸ ἔργον ἐκείνους ἐξήγαγον. Οὕτω, κἂν δικαίως γένηται, οὐχὶ ψυχῆς φιλοσόφου τὸ κολάζειν, ἀλλά τινος ἑτέρου δεῖται τοῦτο· ἐπεὶ καὶ ὁ Θεὸς οὐ δι' ἑαυτοῦ κολάζει, ἀλλὰ διὰ τῶν ἀγγέλων.

Δήμιοι οὖν εἰσιν οἱ ἄγγελοι; Μὴ γένοιτο! οὐ τοῦτό φημι, ἀλλὰ τιμωρητικαὶ δυνάμεις εἰσίν. Ὅτε τὰ Σόδομα κατεστρέφετο, δι' ἐκείνων ἅπαντα ἐγίνετο· ὅτε τὰ κατ' Αἴγυπτον, δι' ἐκείνων· «Ἀποστολὴν γάρ», φησί, «δι' ἀγγέλων πονηρῶν». Ὅτε μέντοι σῶσαι χρή, δι' ἑαυτοῦ τοῦτο ποιεῖ· οὕτω τὸν Υἱὸν ἔπεμψεν ἐπὶ σωτηρίᾳ τοῦ γένους. Καὶ πάλιν· «Τότε», φησίν, «ἐρῶ τοῖς ἀγγέλοις· Συλλέξατε τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βάλετε εἰς τὴν κάμινον». Περὶ δὲ τῶν δικαίων οὐχ οὕτως, ἀλλ' «ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται»· καὶ πάλιν· «Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον».

Ὅρα ἐκεῖ τοὺς δούλους διακονουμένους, ὅταν δὲ εὐεργετεῖν δέῃ, αὐτὸν εὐεργετοῦντα, αὐτὸν καλοῦντα· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν». Ὅταν διαλέγεσθαι δέῃ τῷ Ἀβραάμ, αὐτὸς παραγίνεται· ὅταν εἰς Σόδομα ἀπελθεῖν, τοὺς δούλους πέμπει, καθάπερ τις δικαστὴς ἀνιστὰς τοὺς μέλλοντας κολάζειν. Καὶ πάλιν· «Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πι-

------

23. Ψαλμ. 77, 49
24. Ματθ. 13, 41
25. Ματθ. 1, 40
26. Ματθ. 22, 13
27. Ματθ. 25, 34
28. Γεν. 19, 1.
29. Ματθ. 25, 21

ρα, ὅσο τὸ νὰ εἴμαστε εὐσπλαχνικοί, ὅσο τὸ νὰ εἴμαστε φιλάνθρωποι. Γι' αὐτὸ καὶ οἱ νόμοι τὸ πᾶν ἀναθέτουν στοὺς δημίους, ὑποχρεώνοντας τὸ δικαστὴ νὰ φθάνει ἡ τιμωρία του μέχρι τὴν ἔκδοση ἀποφάσεως, τὴν δὲ πραγματοποίηση τῆς ἀποφάσεως τὴν ἀνέθεσαν σ' ἐκείνους. Ἔτσι, καὶ ἂν ἀκόμα εἶναι δίκαια ἡ τιμωρία, δὲν εἶναι ἡ τιμωρία δεῖγμα ἐνάρετης ψυχῆς, ἀλλ' αὐτὸ τὸ πράγμα χρειάζεται κάποιον ἄλλο· καθόσον καὶ ὁ Θεὸς δὲν τιμωρεῖ αὐτὸς ὁ ἴδιος, ἀλλὰ μὲ τοὺς ἀγγέλους.

Δήμιοι λοιπὸν εἶναι οἱ ἄγγελοι; Μακριὰ μιὰ τέτοια σκέψη! δὲν λέγω αὐτό, ἀλλ' ὅτι εἶναι τιμωρητικὲς δυνάμεις. Ὅταν καταστρέφονταν τὰ Σόδομα, μὲ ἐκείνους ὅλα ἔγιναν· ὅταν συνέβηκαν τὰ σχετικὰ μὲ τὴν Αἴγυπτο, μὲ ἐκείνους ἔγιναν· «Τὰ ὁποῖα τὰ ἔστειλε μὲ ἀγγέλους τιμωροὺς καὶ ἐξολοθρευτές»[23]. Ὅταν ὅμως χρειάζεται νὰ σώσει, αὐτὸ τὸ κάμνει μόνος του· ἔτσι ἔστελε τὸν Υἱό του γιὰ τὴ σωτηρία τοῦ ἀνθρώπινου γένους. Καὶ πάλι· «Τότε», λέγει, «θὰ πῶ στοὺς ἀγγέλους· Συγκεντρῶστε ἐκείνους ποὺ πράττουν τὴν ἀνομία καὶ ρίξτε τους στὸ καμίνι»[24]. Γιὰ τοὺς δικαίους ὅμως δὲν λέγει τὰ ἴδια, ἀλλ' «Ἐκεῖνος ποὺ δέχεται σᾶς, δέχεται ἐμένα»[25]· καὶ πάλι· «Δέστε τὰ χέρια του καὶ τὰ πόδια του καὶ ρίξτε τον στὸ σκοτάδι τῆς κολάσεως»[26].

Πρόσεχε ἐκεῖ στὴν περίπτωση τῆς τιμωρίας τοὺς δούλους ποὺ τὸν ὑπηρετοῦν, ἐνῶ ὅταν χρειάζεται νὰ εὐεργετεῖ, ὁ ἴδιος εὐεργετεῖ, ὁ ἴδιος προσκαλεῖ αὐτοὺς ποὺ εὐεργετεῖ· «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου καὶ κληρονομῆστε τὴ βασιλεία ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ σᾶς»[27]. Ὅταν πρέπει νὰ συνομιλήσει μὲ τὸν Ἀβραάμ, αὐτὸς παρουσιάζεται· ὅταν πρέπει νὰ μεταβεῖ στὰ Σόδομα, στέλνει τοὺς δούλους[28], σὰν ἀκριβῶς κάποιος δικαστὴς ποὺ διατάσσει ἐκείνους ποὺ πρόκειται νὰ ἐπιβάλουν τὴν τιμωρία. Καὶ πάλι· «Μπράβο σου, δοῦλε καλέ μου καὶ πιστέ, στὰ λί-

στός, ἐπὶ πολλῶν σε καταστήσω». Καὶ τοῦτον μὲν αὐτὸς εὐλογεῖ, ἐκεῖνον δὲ τὸν πονηρὸν οὐκ αὐτός, ἀλλὰ δοῦλοι δεσμεύουσι.

Ταῦτα εἰδότες, μὴ χαίρωμεν ἐπὶ τοὺς κολαζομένους, ἀλλὰ καὶ ἀλγῶμεν· τούτους πενθῶμεν, τούτους δακρύωμεν, ἵνα καὶ τούτου μισθὸν λάβωμεν. Νῦν δὲ πολλοὶ καὶ ἐπὶ τοῖς κακῶς πάσχουσιν ἀδίκως χαίρουσιν. Ἀλλὰ μὴ ἡμεῖς οὕτω ποιῶμεν, ἀλλὰ πᾶσαν συμπάθειαν ἐπιδεικνυώμεθα, ἵνα καὶ αὐτοὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γα φάνηκες πιστός, γι' αὐτὸ θὰ σὲ ἐγκαταστήσω σὲ πολλά»[29]. Καὶ αὐτὸν μὲν ὁ ἴδιος τὸν εὐλογεῖ, ἐνῶ ἐκεῖνον τὸν πονηρό, ὄχι ὁ ἴδιος, ἀλλὰ δοῦλοι τὸν δένουν·

Γνωρίζοντας αὐτά, ἂς μὴ χαιρόμαστε ὅταν ἄλλοι τιμωροῦνται, ἀλλὰ καὶ νὰ λυπόμαστε· ἂς πενθοῦμε γι' αὐτούς, ἂς δακρύζομε γι' αὐτούς, γιὰ νὰ λάβομε καὶ γι' αὐτὸ ἀμοιβή. Τώρα ὅμως πολλοὶ χαίρονται καὶ γιὰ ἐκείνους ὑφίστανται κακὰ ἄδικα. Ὅμως ἂς μὴ κάμνομε καὶ ἐμεῖς τὸ ἴδιο, ἀλλ' ἂς δείχνομε κάθε συμπάθεια πρὸς αὐτούς, γιὰ ν' ἀξιωθοῦμε καὶ ἐμεῖς οἱ ἴδιοι ν' ἀπολαύσομε τὴ φιλανθρωπία τοῦ Θεοῦ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΔ΄

(Πράξ. 20, 17 - 31)

«Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. Ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· Ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, ὡς μεθ' ὑμῶν πάντα τὸν χρόνον ἐγενόμην, δουλεύων τῷ Κυρίῳ μεθ' ὑμῶν μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων, ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν».

1. Ὅρα αὐτὸν καὶ ἐπειγόμενον παραπλεῦσαι, καὶ μὴ παρορῶντα, ἀλλὰ τὸ πᾶν οἰκονομοῦντα. Τοὺς ἄρχοντας μεταπεμψάμενος, ἐπ' αὐτῶν τὰ εἰρημένα διέξεισι. Καὶ ἄξιον θαυμάσαι πῶς εἰς ἀνάγκην ἐμπεσὼν τοῦ μεγάλα τινὰ περὶ ἑαυτοῦ εἰπεῖν, πειρᾶται μετριάζειν. Καθάπερ γὰρ ὁ Σαμουήλ, μέλλων παραδιδόναι τῷ Σαοὺλ τὴν ἀρχήν, ἐπ' αὐτῶν λέγει· «Μή τι παρ'

1.Πράξ. 20, 17 - 21

Ο Μ Ι Λ Ι Α ΜΔ΄

(Πράξ. 20, 17 - 31)

«Ἀπὸ τὴ Μίλητο ἔστειλε ἀνθρώπους καὶ κάλεσε τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. Ὅταν δὲ ἦρθαν πρὸς αὐτὸν τοὺς εἶπε· Γνωρίζετε σεῖς πῶς ἔζησα μαζί σας ἀπὸ τὴν πρώτη ἡμέρα ποὺ πάτησα στὴν Ἀσία καὶ ὅλον τὸν ἑπόμενο χρόνο, ὑπηρετώντας τὸν Κύριο μαζὶ μὲ σᾶς μὲ ὅλη μου τὴν ταπεινοφροσύνη καὶ μὲ πολλὰ δάκρυα καὶ δοκιμασίες ποὺ μοῦ συνέβηκαν ἐξ αἰτίας τῶν ἐπιβουλῶν τῶν Ἰουδαίων, καὶ ὅτι δὲν παρέλειψα νὰ σᾶς πῶ τίποτε ἀπὸ ἐκεῖνα ποὺ ἦταν πρὸς τὸ συμφέρον σας, καὶ νὰ σᾶς διδάξω δημόσια καὶ στὰ σπίτια σας, κηρύττοντας μὲ θάρρος καὶ στοὺς Ἰουδαίους καὶ στοὺς Ἕλληνες τὴ μετάνοια στὸ Θεὸ καὶ στὴν πίστη στὸν Κύριό μας τὸν Ἰησοῦ Χριστὸ»[1].

1. Πρόσεχε αὐτὸν ποὺ καὶ βιάζεται νὰ προσπεράσει αὐτοὺς καὶ δὲν τοὺς παραβλέπει, ἀλλὰ τακτοποιεῖ ὅλα ὅπως πρέπει. Ἀφοῦ ἔστειλε ἀνθρώπους καὶ προσκάλεσε τοὺς προϊσταμένους τῆς ἐκκλησίας, ἀπευθύνει πρὸς αὐτοὺς τὰ ὅσα ἔχουν λεχθεῖ. Καὶ εἶναι ἄξιο θαυμασμοῦ πῶς, ἐνῶ χρειάσθηκε νὰ πεῖ μερικὰ σπουδαῖα πράγματα γιὰ τὸν ἑαυτό του, προσπαθεῖ νὰ φανεῖ μετριόφρονας. Διότι, ὅπως ἀκριβῶς ὁ Σαμουήλ, ὅταν ἐπρόκειτο νὰ παραδώσει τὴν ἐξουσία στὸν Σαούλ, λέγει πρὸς αὐτούς· «Μήπως ἔ-

ὑμῶν εἴληφα; ὑμεῖς μάρτυρες καὶ ὁ Θεός»· καὶ ὁ Δαυὶδ ἀπιστηθεὶς λέγει· «Ἐν τῷ ποιμνίῳ ἤμην ποιμαίνων τὰ πρόβατα τοῦ πατρός μου· καὶ ὅτε ἦλθεν ἄρκτος, ταῖς χερσὶν αὐτὴν ἀπεσόβουν»· καὶ αὐτὸς δὲ ὁ Παῦλος πρὸς Κορινθίους φησίν· «Ἄμφων γέγονα· ὑμεῖς με ἠναγκάσατε». Καὶ ὁ Θεὸς δὲ αὐτὸ τοῦτο ποιεῖ, οὐχ ἁπλῶς περὶ ἑαυτοῦ λέγων, ἀλλά, ὅταν ἀπιστῆται, καὶ τὰς εὐεργεσίας προφέρει.

Ὅρα γοῦν καὶ ἐνταῦθα τί ποιεῖ· πρῶτον αὐτῶν τὴν μαρτυρίαν παράγει, ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ ῥήματα, καὶ τοὺς ἀκροατὰς αὐτοὺς μάρτυρας καλεῖ τῶν λεγομένων, ὡς οὐκ ἂν ψευσάμενος ἐπ' αὐτῶν. Αὕτη διδασκάλου ἀρετή, ὅταν τῶν οἰκείων κατορθωμάτων μάρτυρας ἔχῃ τοὺς μαθητευομένους. Καὶ τὸ θαυμαστόν, ὅτι οὐ μίαν ἡμέραν οὐδὲ δευτέραν τοῦτο ποιῶν διετέλεσεν, ἀλλὰ πλῆθος ἐτῶν· «ὑμεῖς γάρ», φησίν, «ἐπίστασθε, πῶς μεθ' ὑμῶν πάντα τὸν χρόνον ἐγενόμην». Βούλεται τοίνυν αὐτοὺς παρακαλέσαι, ὥστε γενναίως φέρειν ἅπαντα, καὶ τὸν αὐτοῦ χωρισμὸν καὶ τοὺς πειρασμοὺς τοὺς μέλλοντας συμβαίνειν, καθάπερ οὖν καὶ ἐπὶ Μωϋσέως καὶ Ἰησοῦ γέγονε.

Καὶ ὅρα τί ἐπήγαγεν, εἰπών· «Πῶς μεθ' ὑμῶν ἐγενόμην πάντα τὸν χρόνον, δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης». Ὅρα τί μάλιστα ἄρχουσι πρέπει· «Μισοῦντας», φησίν, «ὑπερηφανίαν»· ὃ μάλιστα ἄρχουσιν ἁρμόζει διὰ τὸ ἀνάγκην εἶναι πρὸς ἀπόνοιαν αὐτοὺς αἴρεσθαι. Τοῦτο ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγε· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι». Οὐχ ἁπλῶς δὲ «ταπεινοφρο-

------

2. Α' Βασ. 12, 3· 5
3. Α' Βασ. 17, 34· 35
4. Β' Κορ. 12, 11
5. Πράξ. 20, 18
6. Πράξ. 20, 18 - 19
7. Ματθ. 5, 3

χω λάβει τίποτε ἀπὸ σᾶς; σεῖς εἶστε μάρτυρες καὶ ὁ Θεός»[2]· καὶ ὁ Δαυὶδ ποὺ δὲν ἔγινε πιστευτὸς λέγει· «Βρισκόμουν στὸ ποίμνιό μου βόσκοντας τὰ πρόβατα τοῦ πατέρα μου ὅταν ἦρθε ἡ ἀρκούδα τὴν ὁποία ἀπομάκρυνα μὲ τὰ χέρια μου»[3]· καὶ ὁ ἴδιος δὲ ὁ Παῦλος λέγει πρὸς τοὺς Κορινθίους· «Ἔγινα ἀνόητος· σεῖς μὲ ἀναγκάσατε»[4]. Καὶ ὁ Θεὸς τὸ ἴδιο κάνει· δὲν ὁμιλεῖ χωρὶς λόγο γιὰ τὸν ἑαυτό του, ἀλλά, ὅταν ὑπάρχουν ἀμφιβολίες, τότε ἀναφέρει καὶ τὶς εὐεργεσίες του.

Πρόσεχε λοιπὸν καὶ ἐδῶ τί κάμνει· Παρουσιάζει τὴ μαρτυρία αὐτῶν, γιὰ νὰ μὴ νομίσεις σὰν καύχηση τὰ λόγια, καὶ γιὰ τὰ ὅσα λέγει καλεῖ μάρτυρες τοὺς ἴδιους τοὺς ἀκροατές, διότι δὲν θὰ ἔλεγε ψέματα μπροστά τους. Αὐτὴ εἶναι ἡ ἀρετὴ τοῦ δασκάλου, ὅταν ἔχει μάρτυρες τῶν κατορθωμάτων του τοὺς μαθητές. Καὶ τό ἀξιοθαύμαστο εἶναι, ὅτι δὲν συνέχισε νὰ τό κάμνει αὐτό οὔτε μία ἡμέρα, οὔτε δύο, ἀλλὰ πλῆθος ἐτῶν· διότι, λέγει, «Σεῖς γνωρίζετε πολὺ καλὰ πῶς ἔζησα μαζί σας ὅλο τό χρόνο»[5]. Θέλει λοιπὸν νὰ παρηγορήσει αὐτούς, ὥστε νὰ τὰ ὑπομένουν ὅλα γενναῖα, καὶ τόν χωρισμό αὐτοῦ καὶ τὶς δοκιμασίες ποὺ πρόκειται νὰ συμβοῦν, ὅπως ἀκριβῶς δηλαδὴ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Μωυσῆ καὶ τοῦ Ἰησοῦ.

Καὶ πρόσεχε τὶ πρόσθεσε, λέγοντας· «Πῶς ἔζησα μαζί σας ὅλο τὸ χρόνο, ὑπηρετώντας τὸν Κύριο, μὲ κάθε ταπεινοφροσύνη»[6]. Πρόσεχε τί κατ' ἐξοχὴ ταιριάζει στοὺς προϊσταμένους· «Νὰ μισοῦν», λέγει, «τὴν ὑπερηφάνεια»· πράγμα ποὺ κατ' ἐξοχὴ ταιριάζει στοὺς προϊσταμένους, ἐπειδὴ εἶναι ἀπαραίτητο νὰ ὑψώνονται πάνω ἀπὸ τὴν παράφρονη αὐτὴ ἐνέργεια. Αὐτὸ εἶναι ἡ ρίζα τῶν ἀγαθῶν, ὅπως ἀκριβῶς βέβαια καὶ ὁ Χριστός ἔλεγε· «Μακάριοι εἶναι οἱ ταπεινόφρονες»[7]. Δὲν εἶπε ἁπλῶς «μὲ ταπεινοφρο-

σύνης» εἶπεν, ἀλλὰ «μετὰ πάσης»· πολλὰ γὰρ εἴδη τῆς ταπεινοφροσύνης, καὶ ἔστι ταπεινοφροσύνην ἰδεῖν ἐν λόγῳ, ἐν ἔργῳ, πρὸς ἄρχοντας, πρὸς ἀρχομένους.

Βούλεσθε ὑμῖν τρόπους εἴπω ταπεινοφροσύνης; Εἰσί τινες, οἳ πρὸς μὲν τοὺς ταπεινοὺς ταπεινοὶ τυγχάνοντες ὦσι, πρὸς δὲ τοὺς ὑψηλοὺς ὑψηλοί· τοῦτο δὲ οὐ ταπεινοφροσύνης. Εἰσὶ δὲ πάλιν ἕτεροι οὐ τοιοῦτοι, ἀλλ' ἐφ' ἑκατέρων τῶν προσώπων εἰς καιρὸν καὶ τὸ ταπεινὸν τηροῦντες, καὶ τὸ ὑψηλόν· ὃ καὶ μάλιστά ἐστι ταπεινοφροσύνης. Μέλλων τοίνυν διδάσκειν αὐτοὺς τὰ τοιαῦτα, ἵνα μὴ δόξῃ ἀπονοεῖσθαι, προκαταβάλλει θεμέλιον, τὴν ὑποψίαν ἀναιρῶν· εἰ γὰρ μετὰ πάσης ταπεινοφροσύνης γέγονα, φησίν, οὐκ ἐξ ἀπονοίας λέγω ἃ λέγω.

Εἶτα τὸ ἥμερον· «Μεθ' ὑμῶν», φησίν, «ἐγενόμην, δουλεύων τῷ Κυρίῳ», κοινωνοὺς τοῦ κατορθώματος δεικνύων αὐτούς. Οὕτω πανταχοῦ ἡ κοινωνία καλόν. Κοινὰ ποιεῖται τοίνυν τὰ κατορθώματα, καὶ οὐδὲν αὐτοῦ τίθησιν ἐξαίρετον. Τί γάρ; φησί· κατὰ τοῦ Θεοῦ ἀπονοηθῆναι εἶχε; Καὶ μὴν πολλοί εἰσιν, οἳ ἀπονοοῦνται κατ' αὐτοῦ· οὗτος δὲ οὐδὲ κατὰ τῶν μαθητῶν ἑαυτοῦ ἀπενοήθη. Τοῦτο κατόρθωμα διδασκάλου, ἀπὸ τῶν οἰκείων κατορθωμάτων τοὺς μαθητὰς ῥυθμίζειν.

Εἶτα τὴν ἀνδρείαν φησίν, ἣν καὶ αὐτὴν ὑποτέμνεται. «Μετὰ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων». Ὁρᾷς ὅτι ἀλγεῖ τοῖς γινομένοις; Ἐνταῦθα δὲ αὐτοῦ

---

8. Πράξ. 20, 19

σύνη», ἀλλὰ «μὲ κάθε ταπεινοφροσύνη»· διότι ὑπάρχουν πολλὰ εἴδη τῆς ταπεινοφροσύνης, καὶ εἶναι δυνατὸ νὰ δεῖς ταπεινοφροσύνη στὸ λόγο, στὰ ἔργα, πρὸς τοὺς προϊσταμένους, πρὸς τοὺς ὑφισταμένους.

Θέλετε νὰ σᾶς ἀναφέρω τρόπους ταπεινοφροσύνης; Ὑπάρχουν μερικοί, οἱ ὁποῖοι πρὸς μὲν τοὺς ταπεινοὺς παρουσιάζονται ὅτι εἶναι ταπεινοί, πρὸς δὲ τοὺς ὑπερήφανους ὑπερήφανοι· αὐτὸ δὲν εἶναι γνώρισμα ταπεινοφροσύνης. Ὑπάρχουν δὲ πάλι ἄλλοι ποὺ δὲν εἶναι τέτοιοι, ἀλλὰ καὶ πρὸς τὶς δυὸ κατηγορίες τῶν ἀνθρώπων στὴν κατάλληλη περίσταση ἐκδηλώνουν καὶ τὴν ταπεινοφροσύνη καὶ τὴν ὑψηλοφροσύνη, πράγμα ποὺ κατ' ἐξοχὴ εἶναι δεῖγμα ταπεινοφροσύνης. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ τοὺς διδάξει ὅλα αὐτά, γιὰ νὰ μὴ φανεῖ ὅτι εἶναι ἀνόητος, θέτει ἀπὸ τὴν πρώτη στιγμὴ θεμέλιο, ἀπομακρύνοντας τὴν ὑποψία· διότι, ἐὰν συμπεριφέρθηκα, λέγει, μὲ κάθε ταπεινοφροσύνη, δὲν τὰ λέγω, αὐτὰ ποὺ λέγω, ἀπὸ παραφροσύνη.

Ἔπειτα ἀναφέρει τὸ ἤπιο τοῦ χαρακτήρα του. «Ἔζησα», λέγει, «μαζί σας, ὑπηρετώντας τὸν Κύριο», παρουσιάζοντας αὐτοὺς συμμέτοχους στὰ κατορθώματά του. Τόσο μεγάλο καλὸ εἶναι παντοῦ ἡ συμμετοχή. Παρουσιάζει λοιπὸν κοινὰ τὰ κατορθώματα, καὶ δὲν ἀναφέρει τίποτε τὸ ἐξαίρετο γιὰ τὸν ἑαυτό του. Τί λοιπόν; λέγει· φέρθηκε πρὸς τὸ Θεὸ μὲ παραλογισμό; Καὶ βέβαια ὑπάρχουν πολλοὶ ποὺ παραφέρονται πρὸς αὐτόν, αὐτὸς ὅμως δὲν παραφέρθηκε οὔτε καὶ πρὸς τοὺς μαθητές του· Αὐτὸ ἀποτελεῖ ἐπιτυχία δασκάλου, τὸ νὰ καθοδηγεῖ τοὺς μαθητές του ἀπὸ τὰ δικά του κατορθώματα.

Ἔπειτα ἀναφέρει τὴν ἀνδρεία τὴν ὁποία καὶ μειώνει. «Μὲ πολλὰ δάκρυα καὶ δοκιμασίες, ποὺ μοῦ συνέβηκαν ἐξ αἰτίας τῶν συκοφαντιῶν τῶν Ἰουδαίων»[8]. Βλέπεις ὅτι πονᾶ ὑπερβολικὰ γιὰ τὰ ὅσα γίνονται; Ἐδῶ φαίνεται

καὶ τὸ συμπαθὲς δοκεῖ δηλοῦν· ἔπασχε γὰρ ὑπὲρ τῶν ἀπολλυμένων, ὑπὲρ αὐτῶν τῶν ποιούντων· ἐπεὶ ὑπὲρ τῶν εἰς αὐτὸν καὶ ἔχαιρεν· ἐκείνου γὰρ ἦν τοῦ χοροῦ τοῦ χαίροντος ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. Καὶ πάλιν ἀλλαχοῦ λέγει· «Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν»· καὶ πάλιν· «Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν». Ἀλλὰ ταῦτα λέγει, μετριάζων. Ἐνταῦθα δὲ δείκνυσιν αὐτοῦ τὴν ἀνδρείαν, καὶ οὐ τοσοῦτον τὴν ἀνδρείαν, ὅσον τὴν ὑπομονήν· ὡσεὶ ἔλεγεν· ‛Ἔπασχον ἐγὼ κακῶς, ἀλλὰ μεθ' ὑμῶν· καὶ τὸ δεινὸν ὅτι ὑπὸ Ἰουδαίων'. Θέα μοι ἐνταῦθα χαρακτῆρα διδασκαλίας· καὶ τὴν ἀγάπην τίθησι καὶ τὴν ἀνδρείαν.

«Ὡς οὐδὲν ὑπεστειλάμην», φησί. Τὸ ἄφθονον διὰ τούτων ὁμοῦ, καὶ τὸ ἄοκνον. «Καὶ τῶν συμφερόντων». Καλῶς οὕτως εἶπεν· ἦν γὰρ ἃ οὐκ ἔδει μαθεῖν. Ὥσπερ δὲ τὸ τινὰ ἀποκρύπτεσθαι, φθόνου, οὕτω τὰ πάντα λέγειν, ἀνοίας. Διὰ τοῦτο προσέθηκε, «Τῶν συμφερόντων», δηλῶν ὅτι ‛οὐκ εἶπον μόνον, ἀλλὰ καὶ ἐδίδαξα· οὐχ ὡς αὐτὸ τοῦτο ἀφοσιούμενος', φησίν. Ὅτι δὲ τοῦτο δηλοῖ, ἄκουε τὸ ἑξῆς· ἐπήγαγε γάρ· «Δημοσίᾳ καὶ κατ' οἴκους», τὴν μακρὰν ταλαιπωρίαν καὶ τὴν πολλὴν σπουδὴν καὶ τὴν καρτερίαν ἐπιδεικνύμενος.

«Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν». Οὐχὶ πρὸς ὑμᾶς, φησί, μόνον, ἀλλὰ καὶ πρὸς Ἕλληνας. Ἐνταῦθα ἡ παρρησία· καὶ ὅτι, κἂν μηδὲν ὠφελῶμεν, λέγειν δεῖ· τὸ γὰρ «διαμαρτύρασθαι» τοῦτό

------

9. Πράξ. 5, 41
10. Κολοσ. 1, 24
11. Β΄ Κορ. 4, 17
12. Πράξ. 19, 20
13. Πράξ. 20, 21

ὅτι δείχνει καὶ τὴ συμπάθειά του˙ διότι ἔπασχε γιὰ χάρη ἐκείνων ποὺ εἶχαν χαθεῖ, γιὰ χάρη ἐκείνων ποὺ τοῦ προξενοῦσαν αὐτά˙ καθόσον γιὰ ἐκεῖνα ποὺ ἔπασχε γιὰ τὸν ἑαυτό του χαιρόταν˙ διότι ἀνῆκε στὸ χορὸ ἐκεῖνο ποὺ χαίρονταν γιὰ τὸ ὅτι ἀξιώθηκαν ν' ἀτιμασθοῦν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ[9]. Καὶ πάλι ἀλλοῦ λέγει˙ «Τώρα χαίρομαι γιὰ τὰ ὅσα ὑποφέρω πρὸς χάρη σας»[10]˙ καὶ πάλι˙ «Διότι ἡ στιγμιαία ἐλαφρὴ θλίψη μας προετοιμάζει σ' ἐμᾶς ὑπερβολικὰ πολὺ μεγάλο αἰώνιο βάρος δόξας»[11]. Ἀλλ' αὐτὰ τὰ λέγει ἀπὸ μετριοφροσύνη. Ἐδῶ δὲ δείχνει τὴν ἀνδρεία του, καὶ ὄχι τόσο τὴν ἀνδρεία, ὅσο τὴν ὑπομονή˙ εἶναι σὰν νὰ ἔλεγε˙ Κακοπαθοῦσα ἐγώ, ἀλλὰ μαζὶ μὲ σᾶς˙ καὶ τὸ φοβερὸ εἶναι, ὅτι αὐτὰ τὰ κακοπαθήματα προέρχονταν ἀπὸ τοὺς Ἰουδαίους. Πρόσεχε σὲ παρακαλῶ ἐδῶ χαρακτήρα διδασκαλίας˙ καὶ τὴν ἀγάπη δείχνει καὶ τὴν ἀνδρεία.

«Ὅτι τίποτε δὲν παρέλειψα», λέγει. Δείχνει μὲ αὐτὰ τὴν ἔλλειψη φθόνου καὶ συγχρόνως καὶ τὸ ἀκούραστο. «Καὶ ὅλα ὅσα εἶχαν σκοπὸ τὸ συμφέρον σας»[12]. Πολὺ σωστὰ τὸ εἶπε αὐτό˙ διότι ὑπῆρχαν καὶ ἄλλα ποὺ δὲν ἔπρεπε νὰ τὰ μάθουν. Ὅπως ἀκριβῶς τὸ νὰ κρύβει κανεὶς ὁρισμένα εἶναι δεῖγμα φθόνου, ἔτσι καὶ τὸ νὰ τὰ λέγει ὅλα, εἶναι δεῖγμα ἀνοησίας. Γι' αὐτὸ καὶ πρόσθεσε, «Ποὺ εἶχαν σὰν σκοπὸ τὸ συμφέρον σας», γιὰ νὰ δείξει ὅτι 'δὲν εἶπα μόνο, ἀλλὰ καὶ δίδαξα˙ ὄχι τάχα ὅτι ἤμουν ἀφοσιωμένος σ' αὐτό', λέγει. Τὸ ὅτι δὲ αὐτὸ δείχνει, ἄκου τὴ συνέχεια˙ διότι πρόσθεσε˙ «Δημόσια καὶ στὰ σπίτια σας», δείχνοντας τὴ μακροχρόνια ταλαιπωρία καὶ τὴ μεγάλη φροντίδα καὶ ὑπομονή του.

«Κηρύσσοντας μὲ θάρρος καὶ στοὺς Ἰουδαίους καὶ στοὺς Ἕλληνες»[13]. Ὄχι, λέγει, μόνο πρὸς ἐσᾶς, ἀλλὰ καὶ πρὸς τοὺς Ἕλληνες. Ἐδῶ γίνεται φανερὸ τὸ θάρρος του˙ καὶ ὅτι, καὶ ἂν ἀκόμα δὲν ὠφελοῦμε καθόλου, πρέπει

ἐστιν, ὅταν πρὸς τοὺς μὴ προσέχοντας λέγωμεν· τὸ γὰρ «διαμαρτύρασθαι», ὡς ἐπὶ τὸ πολὺ τοῦτό ἐστι. «Διαμαρτύρομαι», φησὶν ὁ Μωϋσῆς, «τὸν οὐρανὸν καὶ τὴν γῆν»· καὶ νῦν αὐτός· «Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν».

2. Τί διαμαρτύρῃ; Ὥστε βίου ἐπιμεληθῆναι· ὥστε μετανοῆσαι καὶ προσελθεῖν τῷ Θεῷ. Οὐδὲ γὰρ Ἰουδαῖοι ᾔδεσαν αὐτὸν διά τε τὸν Υἱὸν ἀγνοεῖν, διά τε τὰ ἔργα καὶ πίστιν μὴ ἔχειν τὴν εἰς τὸν Κύριον Ἰησοῦν. Τίνος οὖν ἕνεκεν ταῦτα λέγεις; τίνος ἕνεκεν ταῦτα ὑπομιμνήσκεις; τί γέγονε; μή τι ἔχεις ἐγκαλεῖν; Πρότερον κατασείσας αὐτῶν τὴν διάνοιαν, τότε ἐπάγει· «Καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ Πνεύματι πορεύομαι εἰς Ἰερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς· πλὴν ὅτι τὸ Πνεῦμα μοι τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον ὅτι δεσμά με καὶ θλίψεις μένουσιν. Ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι· οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ». Διὰ τί ταῦτα λέγει; Παρασκευάζων αὐτοὺς ἀεὶ ἑτοίμους εἶναι πρὸς κινδύνους καὶ δήλους καὶ ἀδήλους, καὶ πάντα τῷ Πνεύματι πείθεσθαι. Δείκνυσι δὲ ὅτι ἐπὶ μεγάλοις ἀπάγεται.

«Πλὴν ὅτι τὸ Πνεῦμά μοι», φησί, «τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον». Ἵνα δείξῃ ὅτι ἑκὼν ἀπέρχεται, καὶ ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσῃς, τὸ «κατὰ πόλιν» εἶπεν.

Εἶτα ἐπάγει ὅτι «Οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ

14. Διαμαρτύρομαι· ἐδῶ σημαίνει ἐπικαλοῦμαι μάρτυρες
15. Πράξ. 20, 22 - 24
16. Πράξ. 20, 23

νὰ ὁμιλοῦμε· διότι τὸ «διαμαρτύρομαι» αὐτὸ σημαίνει, ὅταν ὁμιλοῦμε πρὸς ἐκείνους ποὺ δὲν προσέχουν· τὸ «διαμαρτύρομαι» δηλαδὴ ὡς ἐπὶ τὸ πλεῖστον αὐτὴ τὴν ἔννοια ἔχει. «Διαμαρτύρομαι», λέγει ὁ Μωυσῆς, «πρὸς τὸν οὐρανὸ καὶ τὴ γῆ»[14]· καὶ τώρα αὐτός· «Κηρύσσοντας μὲ ἐπιμονὴ καὶ θάρρος καὶ πρὸς τοὺς Ἰουδαίους καὶ πρὸς τοὺς Ἕλληνες τὴ μετάνοια πρὸς τὸ Θεό».

2. Τί κηρύττεις μὲ θάρρος; Γιὰ νὰ φροντίσουν γιὰ τὸν τρόπο ζωῆς τους, γιὰ νὰ μετανοήσουν καὶ νὰ ἐπιστρέψουν κοντὰ στὸ Θεό. Διότι οὔτε οἱ Ἰουδαῖοι γνώρισαν αὐτόν, καὶ ἐπειδὴ δὲν ἀναγνωρίζουν τὸν Υἱό, καὶ ἐξ αἰτίας τῶν πράξεών τους, καὶ ἐπειδὴ δὲν πιστεύουν στὸν Κύριο Ἰησοῦ· Γιὰ ποιὸ λοιπὸν λόγο τὰ λὲς αὐτά; γιὰ ποιὸ λόγο ὑπενθυμίζεις αὐτά; τί συνέβηκε; μήπως ἔχεις κάποια κατηγορία; Ἀφοῦ πρῶτα συντάραξε τὴ σκέψη τους, τότε προσθέτει· «Καὶ νὰ τώρα ἐγὼ πηγαίνω στὴν Ἱερουσαλὴμ δεμένος μὲ τὸ Πνεῦμα, μὴ γνωρίζοντας τί θὰ μοῦ συμβεῖ ἐκεῖ, παρὰ μόνο τὸ ὅτι τὸ ἅγιο Πνεῦμα σὲ κάθε πόλη βεβαιώνει ὅτι μὲ περιμένουν φυλακίσεις καὶ θλίψεις. Ἀλλὰ δὲν λογαριάζω τίποτε, οὔτε θεωρῶ πολύτιμη τὴ ζωή μου, ἀρκεῖ μόνο νὰ τελειώσω τὸ δρόμο μου μὲ χαρά, καὶ τὴν ὑπηρεσία ποὺ ἔλαβα ἀπὸ τὸν Κύριο Ἰησοῦ, νὰ κηρύξω τὸ Εὐαγγέλιο τῆς χάριτος τοῦ Θεοῦ»[15]. Γιατί τὰ λέγει αὐτά; Προετοιμάζοντας αὐτοὺς νὰ εἶναι πάντοτε ἕτοιμοι πρὸς τοὺς κινδύνους, τοὺς φανεροὺς καὶ μὴ φανερούς, καὶ ὡς πρὸς ὅλα νὰ ὑπακούουν στὸ Πνεῦμα. Δείχνει ὅτι κατευθύνεται πρὸς μεγάλα πράγματα.

«Παρὰ μόνο», λέγει, «ὅτι τὸ ἅγιο Πνεῦμα σὲ κάθε πόλη μὲ βεβαιώνει καὶ μοῦ λέγει»[16]. Γιὰ νὰ δείξει ὅτι ἀναχωρεῖ μὲ τὴ θέλησή του, καὶ γιὰ νὰ μὴ νομίσεις ὅτι ὑπάρχει κάποιος δεσμὸς ἢ ἀνάγκη εἶπε τὸ «σὲ κάθε πόλη».

Ἔπειτα προσθέτει ὅτι «Δὲν θεωρῶ πολύτιμη τὴ ζωή

ψυχήν, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ». Ὁρᾷς ὅτι οὐκ ἀποδυρομένου ἦν τὰ ρήματα, ἀλλὰ μετριάζοντος καὶ παιδεύοντος ἐκείνους, καὶ συμπάσχοντος τοῖς γινομένοις; Οὐκ εἶπεν ὅτι 'ἀλγῶμεν, ἀνάγκη δὲ φέρειν', ἀλλ' οὐδέ, 'Ἡγοῦμαι'. Τοῦτο πάλιν λέγει, οὐκ ἐπαίρων ἑαυτόν, ἀλλ' ἐκείνους διδάσκων διὰ μὲν τῶν προτέρων τὴν ταπεινοφροσύνην, διὰ δὲ τούτων τὴν ἀνδρείαν, τὴν παρρησίαν· ὡσεὶ ἔλεγεν· 'Οὐ φιλῶ αὐτὴν πρὸ ταύτης· προτιμότερον ἡγοῦμαι τὸ τελέσαι τὸν δρόμον, τὸ «διαμαρτύρασθαι»'. Καὶ οὐκ εἶπε, 'Κηρῦξαι, διδάξαι', ἀλλὰ τί; «Διαμαρτύρασθαι τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ». Μέλλει τι φορτικώτερον λέγειν, ὅτι «Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων»· διὰ τοῦτο προκατασκευάζει, καὶ δείκνυσιν ὅτι οὐδὲν ἐλλείπεται.

Ἐπεὶ οὖν ἔμελλεν αὐτοῖς ἐπιτιθέναι τὸ βάρος ἅπαν καὶ τὸ φορτίον, πρότερον κατεμάλαξεν αὐτῶν τὴν διάνοιαν, λέγων, «Καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα ὅτι οὐκ ἔτι ὄψεσθε τὸ πρόσωπόν μου». Εἶτα τότε ἐπήγαγε τὸ «καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων». Διπλῆ ἡ λύπη, τό τε τὸ πρόσωπον αὐτοῦ οὐκ ἔτι ὄψεσθαι, καὶ τὸ αὐτοὺς πάντας· «Οὐκ ἔτι» γάρ, φησίν, «ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν». Ὥστε εἰκότως διαμαρτύρομαι ὑμῖν (ἅτε μηκέτι παραγινόμενος), «ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ». Ὁρᾷς πῶς φοβεῖ, καὶ πεπονημένας αὐτῶν τὰς ψυχὰς καὶ τεθλιμμένας ἐπιτρίβει; Καλῶς, ὅτι

---

7. Πράξ. 20, 24
9. Πράξ. 20, 25
11. Πράξ. 20, 25
18. Πράξ. 20, 26
20. Πράξ. 20, 26
22. Πράξ. 20, 27

μου, ἀρκεῖ μόνο νὰ τελειώσω τὸ δρόμο μου μὲ χαρά, καὶ τὴν ὑπηρεσία ποὺ ἔλαβα ἀπὸ τὸν Κύριο Ἰησοῦ»[17]. Βλέπεις ὅτι τὰ λόγια αὐτὰ δὲν ἦταν λόγια ἀνθρώπου ποὺ θρηνεῖ, ἀλλὰ ποὺ δείχνει μετριοφροσύνη, καὶ διδάσκει ἐκείνους, καὶ ποὺ ὑποφέρει μαζί τους γιὰ τὰ ὅσα γίνονται; Δὲν εἶπε 'ἂς πονᾶμε, πρέπει ὅμως νὰ τὰ ὑποφέρομε', ἀλλὰ οὔτε 'κἂν τὰ ὑπολογίζω'. Αὐτὸ πάλι τὸ λέγει, ὄχι γιὰ νὰ ὑπερηφανευθεῖ, ἀλλὰ διδάσκοντας σ' ἐκείνους μὲ τὰ μὲν προηγούμενα τὴν ταπεινοφροσύνη, μ' αὐτὰ δὲ τὴν ἀνδρεία, τὸ θάρρος· εἶναι σὰν νὰ ἔλεγε· 'Δὲν ἀγαπῶ τὴ ζωή μου περισσότερο ἀπὸ τὴν ὑπηρεσία ποὺ ἔλαβα· προτιμότερο θεωρῶ τὸ νὰ τελειώσω τὸ δρόμο μου, τὸ νὰ ὁμολογήσω μὲ θάρρος τὸ εὐαγγέλιο'. Καὶ δὲν εἶπε, 'Νὰ κηρύξω, νὰ διδάξω αὐτό', ἀλλὰ τί λέγει; «τὸ νὰ διακηρύξω μὲ θάρρος τὸ εὐαγγέλιο τῆς χάριτος τοῦ Θεοῦ», πρόκειται νὰ πεῖ κάτι τὸ πιὸ δυσάρεστο, ὅτι δηλαδὴ «Ἐγὼ εἶμαι ἀθῶος ἀπὸ τὸ αἷμα ὅλων σας»[18]· γι' αὐτὸ προετοιμάζει αὐτὸ μὲ τὰ προηγούμενα, καὶ δείχνει ὅτι τίποτε δὲν ὑπολείπεται.

Ἐπειδὴ λοιπὸν ἐπρόκειτο ν' ἀναθέσει ἐπάνω σ' αὐτοὺς ὅλο τὸ βάρος καὶ τὸ φορτίο, προηγουμένως μαλάκωσε τὴ σκέψη τους, λέγοντας, «Καὶ τώρα νὰ ἐγὼ γνωρίζω ὅτι δὲν θὰ δεῖτε πλέον τὸ πρόσωπό μου»[19], καὶ τότε πρόσθεσε τὸ «Ἐγὼ εἶμαι ἀθῶος ἀπὸ τὸ αἷμα ὅλων σας»[20]. Εἶναι διπλὴ ἡ λύπη, καὶ τὸ πρόσωπο αὐτοῦ δὲν θὰ δοῦν πλέον, καὶ ὅτι αὐτὸ θὰ συμβεῖ σ' ὅλους αὐτούς· διότι, λέγει, «Δὲν θὰ δεῖτε πλέον τὸ πρόσωπό μου ὅλοι σεῖς, ἀπὸ τοὺς ὁποίους πέρασα καὶ κήρυξα τὴ βασιλεία τοῦ Θεοῦ»[21]. Ὥστε πολὺ σωστὰ βεβαιώνω σὲ σᾶς (ἐπειδὴ πλέον δὲν θὰ ξανάρθω κοντά σας), «ὅτι εἶμαι καθαρὸς ἀπὸ τὸ αἷμα ὅλων· διότι δὲν παρέλειψα νὰ σᾶς κηρύξω ὁλόκληρο τὸ σχέδιο τοῦ Θεοῦ»[22]. Βλέπεις πῶς φοβίζει αὐτούς, καὶ ἐνθαρρύνει τὶς πονεμένες καὶ θλιμμένες ψυχὲς αὐτῶν;

ἀναγκαῖον ἦν· «Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν», φησί, «πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ». Ἄρα ὁ μὴ λέγων ὑπεύθυνός ἐστι τοῦ αἵματος· τουτέστι, τῆς σφαγῆς. Οὐδὲν τούτου φοβερώτερον. Δείκνυσιν ὅτι κἀκεῖνοι, ἂν μὴ ποιῶσιν, ὑπεύθυνοί εἰσι τοῦ αἵματος. Καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι, ἐκείνους δὲ φοβεῖ.

«Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος». Ὁρᾷς; δύο προσέταξεν. Οὔτε οὖν τὸ ἑτέρους κατορθοῦν μόνον ἔχει τὸ κέρδος («Φοβοῦμαι», γάρ, φησί, «μή πως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι»), οὔτε τὸ ἑαυτοῦ μόνον ἐπιμελεῖσθαι· ὁ γὰρ τοιοῦτος φίλαυτος καὶ τὸ ἑαυτοῦ ζητεῖ μόνον, καὶ τοῦ τὸ τάλαντον καταχώσαντος ἴσος ἐστί. Ταῦτα λέγει, οὐκ ἐπειδὴ προτιμοτέρα ἡ ἡμετέρα σωτηρία τοῦ ποιμνίου, ἀλλ' ἐπειδή, ὅταν ἑαυτοῖς προσέχωμεν, τότε καὶ τὸ ποίμνιον κερδαίνει.

«Ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ». Ὅρα πόσαι ἀνάγκαι. Παρὰ τοῦ Πνεύματος τὴν χειροτονίαν ἔχετε, φησί· τοῦτο γάρ ἐστι τὸ «ἔθετο»· μία αὕτη ἀνάγκη. Εἶτα «ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ»· ἰδοὺ καὶ δευτέρα. Καὶ τρίτη· «Ἣν», φησίν, «ὅτι περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος». Πολὺ δείκνυσι δι' ὧν εἶπε τίμιον τὸ πρᾶγμα, καὶ ὅτι οὐχ ὑπὲρ μικρῶν ὁ κίνδυνος, εἴ γε ὁ Δεσπότης ὑπὲρ τῆς Ἐκκλησίας οὐδὲ τοῦ αἵματος ἐφείσατο τοῦ ἑαυτοῦ, ἡ-

23. Πράξ. 20, 28
24. Α' Κορ. 9, 27
25. Πράξ. 20, 28

Πολύ καλά, διότι ἦταν ἀναγκαῖο· «Διότι δὲν παρέλειψα», λέγει, «νὰ σᾶς κηρύξω ὁλόκληρο τὸ σχέδιο τοῦ Θεοῦ». Ἑπομένως ἐκεῖνος ποὺ δὲν κηρύττει εἶναι ὑπεύθυνος τοῦ αἵματος· δηλαδή, τῆς σφαγῆς. Τίποτε πιὸ φοβερὸ δὲν ὑπάρχει ἀπὸ αὐτό. Δείχνει ὅτι καὶ ἐκεῖνοι, ἂν δὲν κάμνουν αὐτό, εἶναι ὑπεύθυνοι τοῦ αἵματος. Καὶ φαίνεται μὲν ὅτι ἀπολογεῖται, ὅμως φοβίζει ἐκείνους.

«Προσέχετε λοιπὸν τὸν ἑαυτό σας καὶ ὁλόκληρο τὸ ποίμνιο, στὸ ὁποῖο τὸ ἅγιο Πνεῦμα σᾶς τοποθέτησε ἐπισκόπους γιὰ νὰ ποιμαίνετε τὴν Ἐκκλησία τοῦ Θεοῦ, τὴν ὁποία ἀπέκτησε μὲ τὸ δικό του αἷμα»[23]· Βλέπεις; δύο ἐντολὲς ἔδωσε. Οὔτε δηλαδὴ παρέχει κάποια ὠφέλεια τὸ νὰ ὁδηγεῖ κανεὶς σὲ πνευματικὴ προκοπὴ μόνο ἄλλους (διότι, λέγει, «φοβᾶμαι μήπως, ἐνῶ κήρυξα σ' ἄλλους, βρεθῶ ἐγὼ ὁ ἴδιος ὅτι ἀπέτυχα»[24]), οὔτε τὸ νὰ φροντίζει μόνο γιὰ τὸν ἑαυτό του· διότι ὁ παρόμοιος ἄνθρωπος ἀγαπᾶ τὸν ἑαυτό του καὶ φροντίζει μόνο γιὰ τὸν ἑαυτό του, καὶ εἶναι ὅμοιος μὲ ἐκεῖνον ποὺ παράχωσε τὸ τάλαντο μέσα στὴ γῆ. Αὐτὰ τὰ λέγει ὄχι ἐπειδὴ ἡ δική μας σωτηρία εἶναι προτιμότερη ἀπὸ τὴ σωτηρία τοῦ ποιμνίου, ἀλλ' ἐπειδή, ὅταν προσέχομε τὸν ἑαυτό μας, ὠφελεῖται καὶ τὸ ποίμνιο.

«Στὸ ὁποῖο τὸ ἅγιο Πνεῦμα τοποθέτησε ἐσᾶς ἐπισκόπους γιὰ νὰ ποιμαίνετε τὴν Ἐκκλησία τοῦ Θεοῦ»[25]. Πρόσεχε πόσες εἶναι οἱ ὑποχρεώσεις. Ἀπὸ τὸ ἅγιο Πνεῦμα, λέγει, ἔχετε λάβει τὴ χειροτονία· διότι αὐτὸ σημαίνει τὸ «ἔθετο»· αὐτὴ εἶναι ἡ μία ὑποχρέωση. Ἔπειτα «Γιὰ νὰ ποιμαίνετε τὴν ἐκκλησία τοῦ Θεοῦ»· νὰ καὶ ἡ δεύτερη. Καὶ ἡ τρίτη· «Τὴν ὁποία», λέγει, «ἀπέκτησε μὲ τὸ δικό του αἷμα»· Δείχνει μὲ αὐτὰ ποὺ εἶπε ὅτι εἶναι πολύτιμο τὸ πράγμα, καὶ ὅτι ὁ κίνδυνος δὲν εἶναι γιὰ μικρὰ πράγματα, ἐφόσον βέβαια ὁ Κύριος δὲν λυπήθηκε γιὰ χάρη τῆς Ἐκκλησίας οὔτε καὶ τὸ δικό του αἷμα, ἐνῶ ἐμεῖς περιφρονοῦ-

μεῖς δὲ τῆς τῶν ἀδελφῶν σωτηρίας καταφρονοῦμεν. Καὶ ἐκεῖνος μέν, ἵνα ἐχθροὺς καταλλάξῃ, καὶ τὸ αἷμα ἐξέχεε, σὺ δὲ οὐδὲ φίλους γενομένους ἰσχύεις κατασχεῖν.

«Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου». Πάλιν ἄλλοθεν αὐτοὺς ἐπιστρέφει ἀπὸ τῶν ἐσομένων· ὥσπερ, ὅταν ἀλλαχοῦ λέγῃ· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα». «Ὅτι εἰσελεύσονται», φησί, «μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς». Διπλοῦν τὸ κακόν, ὅτι τε αὐτὸς οὐ πάρεστι, καὶ ὅτι ἕτεροι ἐπιθήσονται. Τί οὖν ἀπέρχῃ, εἰ τοῦτο προοῖδας; Τὸ Πνεῦμα με ἕλκει, φησί.

3. Καὶ ὅρα, οὐχ ἁπλῶς εἶπε, «Λύκοι», ἀλλὰ προσέθηκε, «Βαρεῖς», τὸ σφοδρὸν αὐτῶν καὶ ἰταμὸν αἰνιττόμενος· καὶ τὸ χαλεπώτερον, ὅτι αὐτοὺς τούτους ἐξ αὐτῶν ἀναστήσεσθαι λέγει· ὃ καὶ σφόδρα ἐστὶ βαρύ, ὅταν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ. Καὶ καλῶς εἶπε, «Προσέχετε», δεικνὺς περισπούδαστον σφόδρα τὸ πρᾶγμα (Ἐκκλησία γάρ ἐστι), καὶ ὅτι μέγας ὁ κίνδυνος (αἵματι γὰρ αὐτὴν ἐλυτρώσατο), καὶ ὅτι πολὺς ὁ πόλεμος καὶ διπλοῦς. Ταῦτα τοίνυν ἐδήλωσεν, εἰπών· «Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες, λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν».

Εἶτα, ἐπειδὴ σφόδρα αὐτοὺς ἐφόβησε τῷ εἰπεῖν, «Λύκους βαρεῖς», καὶ ἐξ αὐτῶν ἀναστῆναι τοὺς τὰ διεστραμμένα λαλοῦντας, ὥσπερ ὑπό τινος διαπορηθείς, πῶς οὖν; εἰπόντος· 'Καὶ τίς ἔσται φυλακή;',

---

26. Πράξ. 20, 29
27. Ἐφ. 6, 12
28. Πράξ. 20, 30

με τὴ σωτηρία τῶν ἀδελφῶν μας. Καὶ ἐκεῖνος μέν, γιὰ νὰ συμφιλιώσει ἐχθρούς, καὶ τὸ αἷμα του ἔχυσε, σὺ δὲ δὲν μπορεῖς νὰ τοὺς διατηρήσεις τέτοιους καὶ ἐνῶ ἔγιναν φίλοι.

«Διότι γνωρίζω πολὺ καλὰ αὐτό, ὅτι δηλαδὴ μετὰ τὴν ἀναχώρησή μου θὰ εἰσέλθουν ἀνάμεσά σας λύκοι φοβεροί, χωρὶς καμιὰ λύπη γιὰ τὸ ποίμνιο»[26]. Πάλι ἀπὸ ἄλλη αἰτία κάνει αὐτοὺς νὰ αὐξήσουν τὴν προσοχή τους ἀπὸ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν· ὅπως ἀκριβῶς ὅταν λέγει ἀλλοῦ· «Δὲν εἶναι ἡ πάλη μας πρὸς αἷμα καὶ σάρκα»[27]. «Διότι θὰ εἰσχωρήσουν», λέγει, «μετὰ τὴν ἀναχώρησή μου ἀνάμεσά σας λύκοι φοβεροί». Διπλὸ τὸ κακό, καὶ ὅτι αὐτὸς δὲν θὰ βρίσκεται ἐκεῖ, καὶ ὅτι ἄλλοι θὰ κάνουν τὴν ἐπίθεσή τους. Γιατί λοιπὸν ἀναχωρεῖς, ἐφόσον γνωρίζεις αὐτὸ ἀπὸ πρίν; Τὸ Πνεῦμα μὲ σύρει, λέγει.

3. Καὶ πρόσεχε, δὲν εἶπε ἁπλῶς, «Λύκοι», ἀλλὰ πρόσθεσε «φοβεροί», ὑπονοώντας τὴν ἀγριότητα αὐτῶν καὶ τὴν θρασύτητα· καὶ τὸ πιὸ φοβερὸ εἶναι, ὅτι λέγει πὼς ἀπὸ αὐτοὺς τοὺς ἴδιους θὰ ξεπηδήσουν αὐτοί, πράγμα ποὺ εἶναι καὶ πάρα πολὺ φοβερό, ὅταν ὁ πόλεμος εἶναι καὶ ἐμφύλιος. Καὶ πολὺ καλὰ εἶπε, «Προσέχετε», γιὰ νὰ δείξει ὅτι τὸ πράγμα εἶναι πάρα πολὺ σοβαρὸ (διότι ἡ Ἐκκλησία εἶναι), καὶ ὅτι εἶναι μεγάλος ὁ κίνδυνος (διότι μὲ τὸ αἷμα του ὁ Κύριος τὴ λύτρωσε), καὶ ὅτι εἶναι μεγάλος ὁ πόλεμος καὶ διπλός. Αὐτὰ λοιπὸν τὰ δήλωσε, λέγοντας· «Καὶ ἀπὸ σᾶς τοὺς ἴδιους θὰ ἐγερθοῦν ἄνδρες, ποὺ θὰ διαστρέψουν τὴν ἀλήθεια, γιὰ νὰ παρασύρουν τοὺς μαθητὲς πίσω τους»[28].

Ἔπειτα, ἐπειδὴ τοὺς φόβισε πάρα πολὺ μὲ τὸ νὰ πεῖ, «Λύκοι φοβεροί», καὶ ὅτι ἀπὸ αὐτοὺς θὰ ἐμφανισθοῦν ἐκεῖνοι ποὺ θὰ κηρύττουν διεστραμμένα τὴν ἀλήθεια, σὰν ἀκριβῶς ἀπὸ κάποιον νὰ ἐρωτήθηκε καὶ νὰ τοῦ εἶπε, 'Πῶς λοιπόν; καὶ ποιὰ θὰ εἶναι ἡ προφύλαξή μας;', προσθέτει

ἐπάγει, λέγων· «Γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον». Ὅρα πόσαι ὑπερβολαί· «μετὰ δακρύων», καὶ «νύκτα καὶ ἡμέραν» καὶ «ἕνα ἕκαστον»· οὐ γάρ, εἰ πολλοὺς εἶδε, τότε ἐφείδετο, ἀλλ' ᾔδει καὶ ὑπὲρ μιᾶς ψυχῆς πάντα ποιεῖν. Οὕτω γοῦν αὐτοὺς καὶ συνεκρότησεν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· 'Ἀρκεῖ τὰ παρ' ἐμοῦ· τριετίαν ἔμεινα, ἱκανῶς ἐστερεώθησαν, ἱκανῶς ἐρριζώθησαν'.

«Μετὰ δακρύων», φησίν. Ὁρᾷς ὅτι τὰ δάκρυα διὰ τοῦτο; Ταῦτα ποιῶμεν καὶ ἡμεῖς. Οὐκ ἀλγεῖ ὁ κακός· ἄλγησον σύ, ἴσως ἀλγήσει κἀκεῖνος. Καθάπερ, ὅταν ἴδῃ ὁ κάμνων τὸν ἰατρὸν λαμβάνοντα σιτίου, καὶ αὐτὸς προτρέπεται, οὕτω δὴ καὶ ἐνταῦθα ἔσται· ἂν ἴδῃ σε ὀδυρόμενον, μαλαχθήσεται, χρηστὸς ἀνὴρ καὶ πρᾶος γενήσεται.

«Οὐκ εἰδώς», φησί, «τὰ συναντήσοντά μοι». Τί οὖν; διὰ τοῦτο ἀπέρχῃ; Οὐδαμῶς, ἀλλὰ καὶ σφόδρα γινώσκω ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν. Ὅτι μὲν οὖν πειρασμοὶ ἐκδέχονταί με οἶδα, ὁποῖοι δὲ οὐκ οἶδα· ὅπερ ἦν χαλεπώτερον. Μὴ τοίνυν νομίσητέ με ἀποδυρόμενον ταῦτα λέγειν· οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχήν. Ἵνα ἀναστήσῃ αὐτῶν τὴν διάνοιαν, ταῦτά φησι, καὶ πείσῃ μὴ μόνον μὴ φεύγειν, ἀλλὰ καὶ γενναίως φέρειν. Διὰ τοῦτο δρόμον καὶ διακονίαν τὸ πρᾶγμα καλεῖ· τὸ μέν, δεικνὺς τὸ λαμπρὸν ἀπὸ τοῦ δρόμου, τὸ δέ, τὸ ὀφειλόμενον ἀπὸ τῆς διακονίας. Διάκονός εἰμι, φησίν· οὐδὲν πλέον ἔχω.

Παραμυθησάμενος δὲ αὐτούς, ἵνα μὴ ἀλγῶσιν, ἐφ' οἷς πάσχει κακῶς, καὶ εἰπὼν ὅτι μετὰ χαρᾶς

---

29. Πράξ. 20, 31

καὶ λέγει· «Νὰ εἶστε ἄγρυπνοι, ἐνθυμούμενοι ὅτι ἐπὶ τρία χρόνια νύχτα καὶ ἡμέρα δὲν σταμάτησα μὲ δάκρυα νὰ συμβουλεύω τὸν καθένα σας ξεχωριστά»[29]. Πρόσεχε πόσες ὑπερβολές· «μὲ δάκρυα», «νύχτα καὶ ἡμέρα», καὶ «τὸν καθένα χωριστά»· ὄχι βέβαια ὅτι τότε, ἂν ἔβλεπε πολλούς, τοὺς ἀπέφευγε, ἀλλὰ γνώριζε καὶ γιὰ μιὰ ψυχὴ νὰ κάμνει τὰ πάντα. Μὲ αὐτὸ τὸν τρόπο δηλαδὴ τοὺς σφυρηλάτησε· Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐἶναι ἀρκετὰ αὐτὰ ποὺ ἔγιναν ἀπὸ μένα· τρία χρόνια ἔμεινα, πολὺ καλὰ στερεώθηκαν στὴν πίστη, πολὺ καλὰ ριζῶθηκαν'.

«Μὲ δάκρυα», λέγει. Βλέπεις ὅτι γι' αὐτὸ ἔχυνε τὰ δάκρυα; Αὐτὰ ἃς κάνομε καὶ ἐμεῖς. Δὲν πονᾶ ὁ κακός· πόνεσε σύ, ἴσως πονέσει καὶ ἐκεῖνος. Ὅπως ἀκριβῶς, ὅταν ὁ ἀσθενὴς δεῖ τὸ γιατρὸ νὰ τρώει φαγητό, παρακινεῖται καὶ αὐτὸς νὰ φάγει, ἔτσι λοιπὸν θὰ συμβεῖ καὶ ἐδῶ· ἐὰν δεῖ ἐσένα νὰ θρηνεῖς, θὰ μαλακώσει, θὰ γίνει καλὸς ἄνθρωπος καὶ πρᾶος.

«Μὴ γνωρίζοντας», λέγει, «τί θὰ μοῦ συμβεῖ». Τί λοιπόν; γι' αὐτὸ φεύγεις; Καθόλου, ἀλλὰ καὶ πάρα πολὺ καλὰ γνωρίζω ὅτι μὲ περιμένουν φυλακισμοὶ καὶ θλίψεις. Τὸ ὅτι λοιπὸν μὲ περιμένουν δοκιμασίες τὸ γνωρίζω, ποιὲς δοκιμασίες ὅμως δὲν τὸ γνωρίζω, πρᾶγμα ποὺ ἦταν φοβερότερο· Μὴ λοιπὸν νομίσετε ὅτι τὰ λέγω αὐτὰ θρηνώντας· δὲν θεωρῶ πολύτιμη τὴ ζωή μου. Γιὰ νὰ ἐνθαρρύνει τὴ σκέψη τους τὰ λέγει αὐτά, καὶ νὰ τοὺς πείσει ὄχι μόνο νὰ μὴ ἀποφεύγουν τὶς θλίψεις, ἀλλὰ καὶ νὰ τὶς ὑποφέρουν γενναῖα. Γι' αὐτὸ ὀνομάζει τὸ πρᾶγμα «δρόμο» καὶ «διακονία»· γιὰ νὰ δείξει, ἀπὸ μὲν τὸ δρόμο τὴ λαμπρότητα τοῦ πράγματος, ἀπὸ δὲ τὴ διακονία τὴν ὑποχρέωση ποὺ ἔχει. Διάκονος, λέγει, εἶμαι· τίποτε παραπάνω δὲν ἔχω.

Ἀφοῦ τοὺς παρηγόρησε, γιὰ νὰ μὴ στενοχωριένται γιὰ τὰ κακοπαθήματα ποὺ ὑφίσταται, καὶ ἀφοῦ εἶπε, ὅτι

ταῦτα ὑπομένει, καὶ τὸν καρπὸν δείξας, τότε τὸ λυπηρὸν ἐπάγει. Τοῦτο δὲ ποιεῖ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὴν διάνοιαν. Ποῖον δὲ τοῦτό ἐστι; Τὸ «Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες, λαλοῦντες διεστραμμένα». Τί οὖν, εἴποι τις ἄν, τοσοῦτον σαυτὸν ἡγῇ, καί, ἂν ἀπέλθῃς, ἀποθνήσκομεν; Οὐ τοῦτο λέγω, φησίν, ὅτι ἡ μὴ ἀπουσία τοῦτο ποιεῖ, ἀλλὰ τί; Ὅτι ἐπαναστήσονταί τινες ὑμῖν. Οὐκ εἶπε, 'Διὰ τὴν ἄφιξίν μου', ἀλλὰ «μετὰ τὴν ἄφιξίν μου»· τουτέστι, 'τὴν ἀποδημίαν', καίτοι καὶ ἤδη γέγονε τοῦτο· εἰ δὲ γέγονε, πολλῷ μᾶλλον μετὰ ταῦτα γενήσεται.

Εἶτα καὶ ἡ αἰτία· «Τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν». Ὥστε δι' οὐδὲν ἕτερον αἱ αἱρέσεις, ἢ διὰ τοῦτο.

Εἶτα καὶ παραμυθία· «Ἣν περιεποιήσατο», φησί, «διὰ τοῦ ἰδίου αἵματος». Εἰ δὲ τῷ ἰδίῳ αἵματι περιεποιήσατο, προστήσεται πάντως.

«Νύκτα», φησί, «καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν». Ταῦτα πρὸς ἡμᾶς εἰκότως ἂν λέγοιτο· καὶ δοκεῖ μὲν εἶναι ἰδικῶς πρὸς τοὺς διδασκάλους ὁ λόγος, ἔστι δὲ κοινὸς καὶ πρὸς τοὺς μαθητάς. Τί γάρ, ἂν ἐγὼ μὲν λέγω καὶ παρακαλῶ καὶ δακρύω νύκτα καὶ ἡμέραν, ὁ δὲ μαθητὴς μὴ πείθηται; Ἵνα γὰρ μὴ νομίσῃ τις τοῦτο ἀρκεῖν εἰς ἀπολογίαν, τὸ εἶναι μαθητὴν καὶ μὴ ὑπείκειν, διὰ τοῦτο, «διαμαρτύρομαι» εἰπών, ἐπήγαγεν· «Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν». Ἄρα τοῦτο διδασκάλου μόνον, ἀναγγεῖλαι, κηρῦξαι, διδάξαι, μὴ ὑ-

30. Πράξ. 20, 30
31. Πράξ. 20, 28
32. Πράξ. 20, 31
33. Πράξ. 20, 26
34. Πράξ. 20, 27

αὐτὰ τὰ ὑπομένει μὲ χαρά, καὶ ἔδειξε τὸν καρπὸ ἀπ' αὐτά, τότε προσθέτει καὶ τὸ λυπηρό. Αὐτὸ δὲ τὸ κάνει, γιὰ νὰ μὴ βυθίσει στὴ θλίψη τὴ σκέψη αὐτῶν. Ποιὸ δὲ εἶναι αὐτὸ ποὺ λέγει; Τὸ «Καὶ μέσα ἀπὸ σᾶς τοὺς ἴδιους θὰ ἐμφανισθοῦν ἄνθρωποι, ποὺ θὰ διαστρέψουν τὴν ἀλήθεια»[30]. Τί λοιπόν, θὰ μποροῦσε νὰ πεῖ κάποιος, τόσο σπουδαῖο θεωρεῖς τὸν ἑαυτό σου, καί, ἂν φύγεις, ἐμεῖς πεθαίνομε; Δὲν ἐννοῶ αὐτό, λέγει, ὅτι αὐτὸ τὸ κάμνει ἡ δική μου ἀπουσία, ἀλλὰ τί; Ὅτι θὰ ξεσηκωθοῦν μερικοὶ ἐναντίον σας· Δὲν εἶπε, 'ἐξ αἰτίας τῆς ἀφίξεώς μου', ἀλλὰ «μετὰ τὴν ἄφιξή μου», δηλαδή, τὴν 'ἀναχώρησή μου', ἂν καὶ βέβαια αὐτὸ εἶχε γίνει σχεδόν· ἐὰν δὲ εἶχε γίνει, πολὺ περισσότερο θὰ συμβεῖ στὴ συνέχεια.

Ἔπειτα λέγεται καὶ ἡ αἰτία τῆς ἐξεγέρσεως· «Γιὰ νὰ παρασύρουν τοὺς μαθητές»[30]. Ὥστε γιὰ τίποτε ἄλλο δὲν δημιουργοῦνταν οἱ αἱρέσεις, παρὰ γι' αὐτό.

Ἔπειτα ἀκολουθεῖ καὶ ἡ παρηγοριά· «Τὴν ὁποία ἀπέκτησε», λέγει, «μὲ τὸ δικό του αἷμα»[32]. Ἐὰν δὲ τὴν ἀπέκτησε μὲ τὸ δικό του αἷμα, ὁπωσδήποτε θὰ τὴν προστατεύσει.

«Νύχτα καὶ ἡμέρα», λέγει, «δὲν ἔπαυσα νὰ σᾶς συμβουλεύω μὲ δάκρυα»[32]. Αὐτὰ πολὺ σωστὰ θὰ μποροῦσαν νὰ λεχθοῦν πρὸς ἐμᾶς· καὶ φαίνεται μὲν ὅτι τὰ λόγια αὐτὰ λέγονται εἰδικὰ γιὰ τοὺς δασκάλους, ταιριάζουν ὅμως καὶ γιὰ τοὺς μαθητές· Διότι ποιὸ τὸ ὄφελος, ἐὰν ἐγὼ μὲν διδάσκω καὶ παρακαλῶ καὶ δακρύζω νύχτα καὶ ἡμέρα, ὁ δὲ μαθητὴς δὲν ὑπακούει; Γιὰ νὰ μὴ νομίσει λοιπὸν κάποιος ὅτι αὐτὸ εἶναι ἀρκετὸ γιὰ ἀπολογία, τὸ νὰ εἶναι δηλαδὴ μαθητὴς καὶ νὰ μὴ ὑπακούει, γι' αὐτό, ἀφοῦ εἶπε, «Σᾶς διαβεβαιώνω»[33], πρόσθεσε· «Διότι δὲν παρέλειψα νὰ σᾶς ἀποκαλύψω ὁλόκληρο τὸ σχέδιο τοῦ Θεοῦ»[34]. Ἄρα αὐτὸ μόνο εἶναι τὸ γνώρισμα τοῦ δασκάλου, τὸ νὰ ἐξαγ-

ποστείλασθαι, νύκτα καὶ ἡμέραν παρακαλεῖν· ὅταν δέ, τούτων γινομένων, μηδὲν πλέον γένηται, ἴστε τὸ λειπόμενον.

Εἶτα καὶ ἑτέρα ἀπολογία, ὅτι «καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων». Μὴ δὴ νομίσητε πρὸς ἡμᾶς ταῦτα λέγεσθαι μόνον· καὶ γὰρ καὶ πρὸς ὑμᾶς ὁ λόγος οὗτός ἐστιν, ὥστε προσέχειν τοῖς λεγομένοις, ὥστε μὴ ἀποπηδᾶν τῆς ἀκροάσεως. Τί ποιήσω; Ἰδοὺ καθ' ἑκάστην ἡμέραν διαρρήγνυμαι, βοῶν, 'Ἀπόστητε τῶν θεάτρων', καὶ πολλοὶ γελῶσιν ἡμᾶς· ἀπόστητε τοῦ ὀμνύειν, τοῦ πλεονεκτεῖν· μυρία παραινοῦμεν, καὶ οὐδεὶς ὁ ἀκούων.

Ἀλλ' ἐν νυκτὶ οὐ διαλέγομαι; Ἐβουλόμην καὶ ἐν νυκτὶ τοῦτο ποιεῖν, καὶ ἐν ταῖς τραπέζαις ταῖς ὑμετέραις, εἴ γε ἐνῆν καὶ εἰς μυρία σχισθέντα παραγίνεσθαι ὑμῖν καὶ διαλέγεσθαι· ἀλλά, εἰ τῆς ἑβδομάδος ἅπαξ καλοῦμεν ὑμᾶς, καὶ ὀκνεῖτε, καὶ οἱ μὲν οὐδὲ παραγίνεσθε, οἱ δὲ παραγινόμενοι, οὐδὲν πλέον κερδάναντες, ἄπιτε, τί οὐκ ἂν ἐποιήσατε, εἰ συνεχῶς τοῦτο ἐπράττομεν; Τί ποιήσομεν; Πολλοὶ οἶδ' ὅτι καὶ διασύρουσιν ἡμᾶς διὰ τὸ περὶ τῶν αὐτῶν ἀεὶ διαλέγεσθαι· οὕτω γεγόναμεν προσκορεῖς. Αἴτιοι δὲ τούτου οὐχ ἡμεῖς, ἀλλ' αὐτοὶ οἱ ἀκούοντες· ὁ μὲν γὰρ κατορθῶν ἀεὶ χαίρει τὰ αὐτὰ ἀκούων, ὥσπερ ἐγκωμίων αὐτοῦ λεγομένων, ὁ δὲ μὴ βουλόμενος κατορθοῦν καὶ ἐνοχλεῖσθαι δοκεῖ, κἂν δεύτερον ἀκούσῃ μόνον, πολλάκις δοκεῖ ἀκούειν. «Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων», φησί.

4. Τοῦτο Παύλῳ μὲν ἥρμοττεν εἰπεῖν, ἡμεῖς δὲ οὐ τολμῶμεν τοῦτο εἰπεῖν, μυρία συνειδότες ἑαυτοῖς.

---

35. Πράξ. 20, 26

γείλει, τὸ νὰ κηρύξει, τό νὰ διδάξει, νὰ μὴ παραλείψει τίποτε, νύχτα καὶ ἡμέρα νά παρακαλεῖ· ὅταν δέ, ἀφοῦ γίνουν αὐτά, δὲν προκύψει κανένα ἐπὶ πλέον ὄφελος, νὰ ἔχει ὑπ᾿ ὄψη ἐκεῖνο ποὺ ὑπολείπεται.

Ἔπειτα ἀναφέρει καὶ ἄλλη ἀπολογία, ὅτι «Ἐγὼ εἶμαι καθαρὸς ἀπὸ τὸ αἷμα ὅλων»[25]. Μὴ λοιπὸν νομίσετε ὅτι αὐτὸ λέγεται μόνο πρὸς ἐμᾶς, καθόσον ὁ λόγος αὐτὸς ταιριάζει καὶ σὲ σᾶς, ὥστε νὰ προσέχετε τὰ λεγόμενα, ὥστε νὰ μὴ φεύγετε ἀπὸ τὸ κήρυγμα. Τί νὰ κάνω; Νά, καθημερινὰ σκάζω νὰ φωνάζω, ''Απομακρυνθεῖτε ἀπὸ τὰ θέατρα', καὶ πολλοὶ μὲ χλευάζουν· ἀποφύγετε τὸν ὅρκο, τὴν πλεονεξία· ἀμέτρητες συμβουλὲς δίνω καὶ κανένας δὲν ἀκούει.

Ἀλλὰ δὲν ὁμιλῶ τὴ νύχτα; Θὰ ἤθελα καὶ τὴ νύχτα νὰ τὸ κάμνω αὐτό, καὶ στὶς ὧρες τοῦ φαγητοῦ σας, καί, ἐὰν ἦταν βέβαια δυνατό, ἀφοῦ γινόμουν ἀμέτρητα κομμάτια, νὰ ἐρχόμουν κοντά σας καὶ νὰ σᾶς μιλοῦσα· ἀλλ᾿ ἐὰν μιὰ φορὰ τὴν ἑβδομάδα σᾶς καλοῦμε καὶ δείχνετε ὀκνηρία, καὶ ἄλλοι μὲν δὲν ἔρχεσθε καθόλου, ἄλλοι δέ, ἐρχόμενοι, ἀναχωρεῖτε χωρὶς κανένα ἐπὶ πλέον κέρδος, τί δὲν θὰ κάμνατε, ἐὰν συνέχεια τὸ κάμναμε αὐτό; Τί νὰ κάνω; Γνωρίζω ὅτι πολλοὶ καὶ μὲ κακολογεῖτε, λόγω τοῦ ὅτι πάντοτε σᾶς ὁμιλῶ γιὰ τὰ ἴδια· τόσο πολὺ βαρετὸς ἔχω γίνει. Αἴτιος δὲ αὐτοῦ δὲ εἶμαι ἐγῶ, ἀλλ᾿ αὐτοὶ ποὺ μὲ ἀκοῦν· διότι, ἐκεῖνος μὲν ποὺ προκόβει πνευματικὰ χαίρεται πάντοτε ν᾿ ἀκούει τὰ ἴδια, σὰν νὰ λέγονται ἐγκώμια γι᾿ αὐτόν, ἐνῶ ἐκεῖνος ποὺ δὲν θέλει νὰ προκόβει νομίζει καὶ ὅτι ἐνοχλεῖται, καὶ ἂν γιὰ δεύτερη μόνο φορὰ ἀκούσει κάτι, νομίζει ὅτι πολλὲς φορὲς τὸ ἄκουσε. «Ἐγὼ εἶμαι καθαρὸς ἀπὸ τὸ αἷμα ὅλων», λέγει·

4. Αὐτὸ μὲν ταίριαζε στὸν Παῦλο νὰ τὸ πεῖ, ἐνῶ ἐγὼ δὲν τολμῶ νὰ τὸ πῶ αὐτό, συναισθανόμενος τὰ ἄπειρα ἀ-

Διό περ ἐκείνῳ, τῷ διὰ παντὸς ἀγρυπνοῦντι καὶ ἐφεστῶτι, τῷ πάντα ὑπὲρ τῆς σωτηρίας τῶν μαθητευομένων ὑπομένοντι, ἥρμοττε λέγειν· ἡμεῖς δὲ τὸ Μωσέως ἐροῦμεν, ὅτι «ὠργίσθη μοι Κύριος δι' ὑμᾶς, ὅτι εἰς πολλὰ ἁμαρτήματα προάγετε καὶ ἡμᾶς»· ὅταν γὰρ ἀθυμῶμεν, ὁρῶντες ὑμᾶς οὐ προκόπτοντας, οὐ τὸ πλέον ἡμῖν τῆς ἰσχύος καταπίπτει; Τί γάρ, εἰπέ μοι, γέγονεν; Ἰδοὺ τῇ χάριτι τοῦ Θεοῦ καὶ ἡμεῖς λοιπὸν τριετίαν ἔχομεν, νύκτα μὲν καὶ ἡμέραν οὐ παρακαλοῦντες, διὰ τριῶν δὲ πολλάκις ἡμερῶν ἢ δι' ἑπτὰ τοῦτο ποιοῦντες. Τί γέγονε πλέον; Ἐγκαλοῦμεν, ἐπιτιμῶμεν, δακρύομεν, ὀδυνώμεθα, εἰ καὶ μὴ φανερῶς, ἀλλὰ κατὰ καρδίαν. Ἐκεῖνα δὲ πολὺ τούτων τὰ δάκρυα κουφότερα· ταῦτα μὲν γὰρ φέρει τινὰ τοῖς ἀθυμοῦσι παραμυθίαν, ἐκεῖνα δὲ αὐτὴν ἐπιτείνει καὶ συσφίγγει. Οὕτω καὶ ὅταν ἐν ἀθυμίᾳ τις ᾖ, καὶ μὴ δύνηται ἐξενεγκεῖν τὴν ἀλγηδόνα, ὥστε μὴ δόξαι κενόδοξος εἶναι, μείζονα ἄρα πάσχει, ἢ ἂν ταύτην ἐξήνεγκεν. Εἰ μή μέ τις ἔκρινε φιλοτιμίας περιττῆς, εἶδες ἂν καθ' ἑκάστην ἡμέραν πηγὰς δακρύων ἀφιέντα· ταύτας δέ μοι σύνοιδεν ὁ οἰκίσκος καὶ ἡ ἐρημία.

Πιστεύσατε γάρ μοι, τῆς μὲν ἐμαυτοῦ σωτηρίας ἀπέγνων, τὰ δὲ ὑμέτερα θρηνῶν, οὐδὲ σχολὴν ἔχω τὰ ἐμαυτοῦ κακὰ πενθεῖν· οὕτω μοι πάντα ὑμεῖς ἐστε. Κἂν αἴσθωμαι ἐπιδιδόντας ὑμᾶς, οὐκ αἰσθάνομαι τῶν ἐμαυτοῦ κακῶν ὑπὸ τῆς ἡδονῆς· κἂν ἴδω μὴ ἐπιδιδόντας, ὑπὸ τῆς ἀθυμίας πάλιν παραπέμπομαι τὰ ἐμά, φαιδρὸς μὲν ὢν ἐπὶ τοῖς ἡμετέροις ἀγαθοῖς,

------

36. Πρβλ. 3, 26

μαρτήματά μου. Γι' αὐτὸ ταίριαζε αὐτὸ νὰ τὸ λέγει ἐκεῖνος, ποὺ ἐπαγρυπνοῦσε καὶ φρόντιζε γιὰ τὸν καθένα, ἐκεῖνος ποὺ ὅλα τὰ ὑπέμενε γιὰ τὴ σωτηρία τῶν μαθητῶν· ἐγὼ ὅμως θὰ πῶ ἐκεῖνο ποὺ εἶπε ὁ Μωϋσῆς, ὅτι «Ὀργίσθηκε ὁ Κύριος ἐναντίον μου ἐξ αἰτίας σας, διότι πολλὰ ἁμαρτήματα προξενεῖτε καὶ σ' ἐμᾶς»[38]· διότι, ὅταν κυριεύομε ἀπὸ λύπη, βλέποντάς σας νὰ μὴ προκόβετε, δὲν καταρρέει τὸ μεγαλύτερο μέρος τῆς δυνάμεώς μου; Διότι πές μου, τί ἔγινε; Νά, μὲ τὴ χάρη τοῦ Θεοῦ καὶ ἐγὼ ἔχω πιὰ τριετία, ποὺ δὲν παρακαλῶ βέβαια νύχτα καὶ ἡμέρα, ἀλλὰ τὸ κάνω αὐτὸ πολλὲς φορὲς τρεῖς ἡμέρες καὶ ὄχι ἐφτά. Τί ἐπὶ πλέον συνέβηκε; κατηγορῶ, ἐπιτιμῶ, δακρύζω, ὑποφέρω, ἂν καὶ ὄχι φανερά, ἀλλὰ μέσα στὴν καρδιά μου. Ἐκεῖνα τὰ δάκρυα ὅμως εἶναι πολὺ πιὸ ἐλαφριὰ ἀπ' αὐτά· διότι αὐτὰ μὲν δίνουν κάποια παρηγοριὰ σ' ἐκείνους ποὺ λυποῦνται, ἐνῶ ἐκεῖνα αὐξάνουν αὐτὴν καὶ τὴν συσφίγγουν. Ἔτσι καὶ ὅταν κάποιος εἶναι στενοχωρημένος, καὶ δὲν μπορεῖ νὰ φανερώσει τὸν ὑπερβολικὸ πόνο του, γιὰ νὰ μὴ φανεῖ ὅτι εἶναι ματαιόδοξος, πολὺ περισσότερο ὑποφέρει τότε, παρὰ ἂν φανέρωνε αὐτόν. Ἐὰν κάποιος δὲν μὲ κατέκρινε γιὰ περιττὴ φιλοδοξία, θὰ μποροῦσες νὰ δεῖς καθημερινὰ νὰ χύνω πηγὲς ἀπὸ δάκρυα· ἀλλ' αὐτὲς τὶς πηγὲς τῶν δακρύων μου τὶς γνωρίζει τὸ σπιτάκι μου καὶ ἡ ἐρημιά.

Πράγματι πιστέψτε με, γιὰ μὲν τὴ δική μου σωτηρία ἔχασα κάθε ἐλπίδα, θρηνώντας ὅμως τὰ δικά σας, δὲν μοῦ μένει εὐκαιρία νὰ πενθῶ γιὰ τὰ δικά μου ἁμαρτήματα· τόσο πολὺ εἶστε σεῖς τὸ πᾶν γιὰ μένα. Καὶ ἂν ἀντιληφθῶ νὰ προκόβετε σεῖς στὴν ἀρετή, δὲν αἰσθάνομαι, ἐξ αἰτίας τῆς μεγάλης χαρᾶς, τὰ δικά μου ἁμαρτήματα· ἂν πάλι δῶ νὰ μὴ προκόβετε, τότε πάλι, λόγω τῆς μεγάλης μου λύπης, παραβλέπω τὰ δικά μου, καὶ νιώθω μὲν μεγάλη χαρὰ γιὰ

κἂν μυρία ἔχω δεινά, σκυθρωπὸς δὲ ἐπὶ τοῖς ὑμετέροις λυπηροῖς, κἂν μυρία μοι κατορθώματα ᾖ· τίς γὰρ ἐλπὶς διδασκάλῳ, τοῦ ποιμνίου διεφθαρμένου; ποία ζωή, ποία προσδοκία; μετὰ ποίας στήσεται παρρησίας πρὸς τὸν Θεόν; τί ἐρεῖ; Θῶμεν γὰρ ὅτι οὐδὲ ἐγκαλεῖται, οὐδὲ δίδωσι δίκην, ἀλλ' ἔστι καθαρὸς ἀπὸ τοῦ αἵματος πάντων· καὶ οὕτως ἀνίατα πείσεται· ἐπεὶ καὶ πατέρες ὑπὲρ παίδων οὐ μέλλοντες ἐγκαλεῖσθαι, ὅμως ἀλγοῦσι καὶ δάκνονται.

Καὶ οὐδὲν αὐτοὺς τοῦτο, φησίν, ὠφελεῖ, οὐδὲ προΐσταται, ὅτι «αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν»; 'Αλλ' ἀγρυπνοῦσιν ὡς λόγον ἀποδώσοντες· καὶ δοκεῖ μέν τισι τοῦτο εἶναι φοβερόν, ἐμοὶ δὲ οὐδεὶς τούτου λόγος μετὰ τὴν ὑμετέραν ἀπώλειαν· ἄν τε γὰρ δῶ λόγον, ἄν τε μὴ δῶ, οὐδέν μοι τὸ ὄφελος. Γένοιτο σωθῆναι ὑμᾶς, καὶ δοῦναι λόγον ἐμὲ δι' ὑμᾶς! ὑμᾶς σωθῆναι, καὶ ἐμὲ ἐγκαλεῖσθαι ὡς μὴ πληρώσαντα τὰ παρ' ἐμαυτοῦ! οὐ γὰρ τοῦ δι' ἐμοῦ σωθῆναι ὑμᾶς φροντίζω, ἀλλὰ τοῦ σωθῆναι μόνον δι' ὁτουδήποτε. Οὐκ ἴστε τὴν τυραννίδα τῶν ὠδίνων τῶν πνευματικῶν, πῶς μυριάκις ἕλοιτο ἂν κατακοπῆναι ὁ τοῦτον τὸν τόκον ὠδίνων, ἢ τῶν τεχθέντων ἕνα ἀπολλύμενον ἰδεῖν καὶ διεφθαρμένον; Πόθεν ὑμᾶς πείσομεν; ἑτέρωθεν μὲν οὐδαμόθεν, ἀπὸ δὲ τῶν γινομένων τὰ καθ' ὑμᾶς πάντα ἀπολυσόμεθα.

Δυνάμεθα καὶ ἡμεῖς λέγειν ὅτι οὐδὲν ὑπεστειλάμεθα· ἀλλ' ὅμως ἀλγοῦμεν· καὶ ὅτι ἀλγοῦμεν δῆλον ἐξ

7. Ἑβρ. 13, 17

τὰ δικά σας ἀγαθά, καὶ ἂν ἀκόμα εἶναι ἀμέτρητα τὰ κακὰ ποὺ μὲ πιέζουν, κυριεύομαι δὲ ἀπὸ ὑπερβολικὴ λύπη γιὰ τὰ δικά σας λυπηρά, καὶ ἂν ἀκόμα εἶναι ἀμέτρητα τὰ κατορθώματά μου· διότι ποιὰ ἐλπίδα ὑπάρχει γιὰ τὸ δάσκαλο, ὅταν τὸ ποίμνιο εἶναι διεφθαρμένο; ποιὰ ζωή; ποιὰ προσδοκία; μὲ ποιὸ θάρρος θὰ σταθεῖ μπροστὰ στὸ Θεό; τί θὰ πεῖ; Διότι ἂς ὑποθέσομε ὅτι δὲν κατηγορεῖται, οὔτε τιμωρεῖται, ἀλλ' εἶναι καθαρὸς ἀπὸ τὸ αἷμα ὅλων· καὶ ἔτσι θὰ ὑποστεῖ ἀθεράπευτα κακά· καθόσον καὶ οἱ πατέρες ποὺ δὲν συμβαίνει νὰ κατηγορηθοῦν γιὰ τὰ παιδιά τους, ὅμως πονοῦν καὶ καταπληγώνονται.

Καὶ σὲ τίποτε αὐτό, λέγει, δὲν τοὺς ὠφελεῖ, οὔτε τοὺς προφυλάσσει, τὸ ὅτι δηλαδὴ «αὐτοὶ ἀγρυπνοῦν γιὰ τὶς ψυχές μας»[37]; Ἀλλ' ἀγρυπνοῦν διότι θὰ δώσουν λόγο· καὶ φαίνεται μὲν αὐτὸ σὲ μερικοὺς ὅτι εἶναι φοβερό, ἐμένα ὅμως δὲν μὲ ἐνδιαφέρει καθόλου αὐτὸ μετὰ τὴ δική σας ἀπώλεια· διότι καὶ ἂν δώσω λόγο, καὶ ἂν δὲν δώσω δὲν ἔχω νὰ ὠφεληθῶ σὲ τίποτε. Μακάρι νὰ συμβεῖ νὰ σωθεῖτε σεῖς καὶ νὰ δώσω ἐγὼ λόγο γιὰ σᾶς! νὰ σωθεῖτε σεῖς, καὶ ἐγὼ νὰ κατηγορηθῶ ὅτι δὲν ἔκανα ἐκεῖνο ποὺ ἐξαρτόταν ἀπὸ μένα! διότι δὲν φροντίζω γιὰ νὰ σωθεῖτε σεῖς μὲ τὴ δική μου προσπάθεια, ἀλλὰ τὸ νὰ σωθεῖτε μόνο μέσω ὁποιουδήποτε. Δὲν γνωρίζετε τὴν τυραννικὴ ἐξουσία τῶν πνευματικῶν πόνων, πῶς ἄπειρες φορὲς θὰ προτιμοῦσε νὰ κατακομματιασθεῖ ἐκεῖνος ποὺ ὑποφέρει ἀπὸ αὐτὸν τὸν ὑπερβολικὸ πόνο τοῦ τοκετοῦ, παρὰ νὰ δεῖ ἕνα ἀπὸ ἐκείνους ποὺ γεννήθηκαν νὰ χάνεται καὶ νὰ καταστρέφεται; Ἀπὸ ποῦ νὰ σᾶς πείσομε; ἀπὸ πουθενὰ μὲν ἀλλοῦ, ἀλλὰ ἀπὸ αὐτὰ ποὺ συμβαίνουν θὰ δώσομε λύση σ' ὅλα τὰ σχετικὰ μὲ σᾶς.

Μπορῶ καὶ ἐγὼ νὰ λέγω ὅτι δὲν παρέλειψα τίποτε· ἀλλ' ὅμως πονῶ ἀφάνταστα· καὶ τὸ ὅτι πονῶ γίνεται φα-

ὧν μυρία κατασκευάζομεν καὶ μηχανώμεθα. Καίτοι γε ἐνῆν πρὸς ὑμᾶς αὐτοὺς εἰπεῖν· 'Τί μοι μέλει; ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα, ἐγὼ καθαρός εἰμι ἀπὸ τοῦ αἵματος'· ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς παραμυθίαν. Εἴ γε ἐνῆν τὴν καρδίαν ἡμῶν ἀναρρῆξαι καὶ ἐπιδεῖξαι, εἴδετε ἂν μετὰ πολλῆς ἔνδον ὄντας τῆς εὐρυχωρίας πάντας ὑμᾶς, καὶ γυναῖκας καὶ παῖδας καὶ ἄνδρας· τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις, τοῦ οὐρανοῦ εὐρυχωροτέραν ποιεῖ τὴν ψυχήν. «Χωρήσατε ἡμᾶς», ἔλεγεν ὁ Παῦλος, «οὐδένα ἠδικήσαμεν, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν».

Τοῦτο λέγομεν νῦν καὶ ἡμεῖς· «Χωρήσατε ἡμᾶς». Πᾶσαν τὴν Κόρινθον εἶχεν ἐκεῖνος ἐν τῇ καρδίᾳ ἑαυτοῦ, καὶ ἔλεγε· «Πλατύνθητε καὶ ὑμεῖς· οὐ στενοχωρεῖσθε». 'Αλλ' αὐτὸς οὐκ ἂν ἔχοιμι τοῦτο λέγειν· εὖ γὰρ οἶδα ὅτι καὶ ὑμεῖς ἡμᾶς ἀγαπᾶτε καὶ χωρεῖτε. 'Αλλὰ τί τὸ κέρδος ἢ τῆς ἐμῆς ἀγάπης ἢ τῆς ὑμῶν, ὅταν τὸ κατὰ Θεὸν ἡμῖν μὴ προχωρῇ; Μείζονος ἀθυμίας ὑπόθεσις, πλείονος λύμης ἀφορμή. Οὐδὲν ἔχω ἐγκαλεῖν ὑμῖν· «μαρτυρῶ γὰρ ὑμῖν ὅτι, εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι». 'Ιμειρόμεθα οὐ μόνον τὸ Εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς δοῦναι ὑμῖν. Φιλούμεθα καὶ φιλοῦμεν, ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον.

Φιλήσωμεν οὖν τὸν Χριστὸν πρῶτον· πρώτη γὰρ ἐντολή· «'Αγαπήσεις Κύριον τὸν Θεόν σου· δευτέρα δὲ ὁμοία αὐτῆς· Καὶ τὸν πλησίον σου ὡς σεαυτόν». Τὴν δευτέραν ἔχομεν, τῆς πρώτης ἡμῖν δεῖ· τῆς πρώ-

------

38. Β' Κορ. 7, 2 καὶ 6, 12
39. Β' Κορ. 6, 12 - 13
40. Γαλ. 4, 15
41. Ματθ. 22, 37 - 39 καὶ Μάρκ. 12, 30 - 31

νερὸ ἀπὸ τὸ ὅτι ἀμέτρητα μέσα ἐπινοῶ καὶ μηχανεύομαι. Ἂν καὶ βέβαια θὰ μποροῦσα νὰ πῶ πρὸς σᾶς· Τί μ' ἐνδιαφέρει; ἐγὼ ἔκανα ὅ,τι ἐξαρτόταν ἀπὸ μένα, ἐγὼ εἶμαι καθαρὸς ἀπὸ τὸ αἷμα σας· ὅμως δὲν εἶναι ἀρκετὸ αὐτὸ γιὰ παρηγοριά. Ἐὰν δηλαδὴ ἦταν δυνατὸ νὰ σχίσω τὴν καρδιά μου καὶ νὰ σᾶς τὴ δείξω, θὰ μπορούσατε νὰ δεῖτε ὅτι ὑπάρχετε ὅλοι σας μέσα σ' αὐτὴν μὲ μεγάλη εὐρυχωρία, καὶ γυναῖκες καὶ παιδιὰ καὶ ἄνδρες· διότι τέτοια εἶναι ἡ δύναμη τῆς ἀγάπης· κάμνει τὴν ψυχὴ πιὸ εὐρύχωρη ἀπὸ τὸν οὐρανό· «Κάνετε χῶρο στὴν καρδιά σας γιὰ ἐμᾶς», ἔλεγε ὁ Παῦλος, «κανένα δὲν ἀδικήσαμε, δὲν ὑπάρχει ἔλλειψη χώρου γιὰ σᾶς μέσα στὴν καρδιά μας»[38].

Αὐτὸ λέγω τώρα καὶ ἐγώ· «Κάνετε χῶρο στὴν καρδιά σας γιὰ μένα». Ὅλη τὴν Κόρινθο εἶχε ἐκεῖνος μέσα στὴν καρδιά του καὶ ἔλεγε· «Πλατύνατε καὶ σεῖς τὴν καρδιά σας, δὲν ὑπάρχει ἔλλειψη χώρου μέσα στὴν εὐρυχωρία τῆς καρδιᾶς μας»[39]. Ἀλλ' ἐγὼ δὲ θὰ μποροῦσα νὰ τὸ πῶ αὐτό· διότι γνωρίζω πολὺ καλὰ ὅτι καὶ σεῖς μὲ ἀγαπᾶτε καὶ ἔχετε χῶρο στὴν καρδιά σας γιὰ μένα. Ἀλλὰ ποιὸ τὸ κέρδος ἢ ἀπὸ τὴ δική μου ἀγάπη ἢ ἀπὸ τὴ δική σας, ὅταν ἡ εὐδοκίμησή μας σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ δὲν προχωρεῖ; Αὐτὸ γίνεται αἰτία μεγαλύτερης λύπης, ἀφορμὴ περισσότερης καταστροφῆς. Δὲν μπορῶ νὰ σᾶς κατηγορήσω γιὰ τίποτε· «Διότι ἐγὼ δίνω τὴ διαβεβαίωση γιὰ σᾶς, ὅτι, ἐὰν ἦταν δυνατὸ καὶ τὰ μάτια σας θὰ βγάζατε καὶ θὰ μοῦ τὰ δίνατε»[40]. Ἐπιθυμῶ ὑπερβολικὰ ὄχι μόνο τὸ Εὐαγγέλιο νὰ σᾶς δώσω, ἀλλὰ καὶ τὴν ψυχή μου. Ἀγαπιέμαι καὶ ἀγαπῶ, ἀλλὰ δὲν εἶναι αὐτὸ τὸ ζητούμενο·

Ἂς ἀγαπήσομε λοιπὸν πρῶτα τὸν Χριστό· διότι ἡ πρώτη ἐντολὴ εἶναι· «Ν' ἀγαπήσεις τὸν Κύριο τὸ Θεό σου· δεύτερη δὲ ὅμοια αὐτῆς εἶναι· καὶ τὸν πλησίον σου ὅπως τὸν ἑαυτό σου»[41]. Τὴ δεύτερη τὴν ἔχομε κατορθώσει,

της δεῖ μετὰ πολλῆς τῆς ὑπερβολῆς καὶ ἐμοὶ καὶ ὑμῖν. Ἔχομεν αὐτήν, ἀλλ' οὐχ ὡς χρή. Φιλήσωμεν αὐτὸν (ἴστε πόσος ἀπόκειται μισθὸς τοῖς φιλήσασι τὸν Χριστόν)· φιλήσωμεν αὐτὸν θερμότητι ψυχῆς, ἵνα, τῆς παρ' αὐτοῦ εὐνοίας ἀπολαύοντες, διαφύγωμεν τὸν κλύδωνα τοῦ παρόντος βίου, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ Παιδός, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χρειάζεται νὰ ἐπιτύχομε τὴν πρώτη· χρειαζόμαστε τὴν πρώτη σὲ ὑπερβολικὸ βαθμὸ καὶ ἐγὼ καὶ ἐσεῖς ἔχομε αὐτή, ἀλλ' ὄχι ὅπως πρέπει. Ἂς ἀγαπήσομε αὐτὸν (γνωρίζετε πόση ἀμοιβὴ ἐπιφυλάσσεται γιὰ ἐκείνους ποὺ ἀγάπησαν τὸν Χριστό)· ἂς ἀγαπήσομε αὐτὸν μὲ ὅλη τὴ φλόγα τῆς ψυχῆς μας, ὥστε, ἀφοῦ ἀπολαύσομε τὴν εὔνοια αὐτοῦ, νὰ ἀποφύγομε τὸ κλυδωνισμὸ τῆς παρούσας ζωῆς καὶ ν' ἀξιωθοῦμε νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους ποὺ ἀγαποῦν αὐτὸν μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ*

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

* Οἱ ἀριθμοὶ παραπέμπουν γιὰ μὲν τὰ χωρία τῆς Ἁγίας Γραφῆς κατὰ σειρὰ στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα, γιὰ δὲ τὰ ὀνόματα καὶ πράγματα στη σελίδα που βρίσκονται.

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

B

Z

H

Θ

I

Κ

M

O

Π

Ρ

Σ

Χ

Ψ

Ω